# ΟΙ ΘΕΙΟΙ ΚΑΙ ΙΕΡΟΙ

# ΚΑΝΟΝΕΣ,

## Η ΚΑΝΟΝΙΚΑΙ ΕΠΙΣΤΟΛΑΙ

## ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ,

Μετὰ τῆς ἐξηγήσεως

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ, ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ, ΚΑΙ ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΡΙΣΤΗΝΟΥ,

οἷς προσετέθησαν

*Καὶ ἄλλαι τινὲς Κανονικαὶ πραγματεῖαι κτ.λ.*

Μετὰ πίνακος ἀναλυτικοῦ ἁπάντων τῶν ἐν τῷ τετάρτῳ τόμῳ κανόνων, καὶ τῆς συμφωνίας αὐτῶν.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

ΑΘΗΝΗΣΙΝ,

ἘΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1854.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλεψίτυπον καὶ καταδιώκεται κατὰ τὸν νόμον.

Γ. Α. Ῥάλλης

ΜΕΤΑ τὴν διὰ τῶν τριῶν πρώτων τόμων τῆς παρούσης ἐκδόσεως δημοσίευσιν τοῦ Νομοκάνονος καὶ τῶν ἱερῶν κανόνων τῶν τε Οἰκουμενικῶν καὶ τῶν Τοπικῶν Συνόδων, ὑπελείπετο ἔτι ἡ τῶν κανονικῶν ἐπιστολῶν τῶν ἁγίων Πατέρων, καὶ ταύτας παραδίδομεν σήμερον τῷ εὐμενεῖ ἀναγνώστῃ μετὰ τῆς εἰς αὐτὰς ἑρμηνείας τῶν ἀρχαίων Ἐξηγητῶν· οὕτω δὲ συμπληροῦται τὸ κύριον τῆς ἡμετέρας ἐκδόσεως μέρος, τὸ *Σύνταγμα τοῦ Πατριάρχου Φωτίου*, καθὰ τοῦτο ἡμῖν διετηρήθη ὑπὸ τῶν Ἑρμηνευτῶν αὐτοῦ, καὶ ὡς ἐν γένει ἀπαντᾶται ἔν τε τοῖς λοιποῖς χειρογράφοις κώδιξι, καὶ ἐν τῷ Τραπεζουντίῳ.

Ἐπειδὴ δὲ πρὸς τὸν καὶ ἄλλοτε ἐκτεθέντα σκοπὸν τῆς παρούσης βίβλου, ἀπαιτεῖται νὰ περιλάβωμεν ἐντὸς αὐτῆς καὶ πᾶσαν ἄλλην κανονικὴν διάταξιν, σχέσιν ἔχουσαν μετὰ τῆς ἐν τῷ *Συντάγματι τοῦ Φωτίου* περιεχομένης ὕλης, ὁ ἀναγνώστης θέλει ἀπαντήσει ἤδη ἐν τῷ παρόντι τόμῳ καὶ ἕτερα κανονικὰ συγγράμματα. Περὶ τῆς κατατάξεως δὲ καὶ τῆς ἐπεξεργασίας αὐτῶν ἀναγκαῖον κρίνομεν ἐνταῦθα νὰ προτάξωμεν ὀλίγα.

Καὶ καθόσον μὲν ἀφορᾷ τὰς κανονικὰς ἐπιστολάς, ἢ τοὺς ἱεροὺς κανόνας τῶν ἁγίων Πατέρων, δὲν ἐπανερχόμεθα εἰς ὅσα περὶ τοῦ τρόπου τῆς ἐπεξεργασίας τοῦ Φωτιανοῦ Συντάγματος ἐν γένει προεγράφησαν, καθότι καὶ ἐπ᾽ αὐτῶν ἐγένετο χρῆσις τῶν αὐτῶν βοηθημάτων. Παρατηροῦμεν δὲ μόνον ὅτι, ὡς πρὸς τοὺς κανόνας ἰδίως τοῦ μεγάλου Βασιλείου, ἐσυμβουλεύθημεν περιπλέον καὶ τὴν πλείστου λόγου ἀξίαν ἔκδοσιν τῶν σωζομένων αὐτοῦ, ὑπὸ τῶν Βενεδικτίνων, ἐν Παρισίοις τοῦ ἔτους 1730(1), ἧς

(1) Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας, Καππαδοκίας, τὰ εὑρισκόμενα πάντα, opera et studio monachorum ordinis S. Benedicti e congregatione S. Mauri. Parisiis, typis et sumptibus Joannis Baptistæ Coignard, Regii architypographi ac bibliopolæ ordinarii, MDCCXXX.

ἡ περὶ τὴν ἐκλογὴν τῶν ἀρίστων γραφῶν λεπτολόγος ἀκρίβεια, οὐ τὴν τυχοῦσαν παρέσχεν ἡμῖν βοήθειαν πρὸς ἀποκατάστασιν τῆς γνησιότητος τῶν κειμένων. Μεταβαίνομεν ὅθεν ἀμέσως εἰς τὰ μετὰ ταῦτα.

Τελευταίαν μεταξὺ τῶν κανονικῶν ἐπιστολῶν τάξιν ἔλαχεν ἡ πρὸς τὸν Πάπαν Ἀδριανὸν ἐπιστολὴ τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου, ἥτις, καί τοι μὴ ἀποτελέσασα ἀρχικῶς μέρος τοῦ *Συντάγματος τοῦ Φωτίου*, μνημονεύεται ὅμως παρὰ τοῦ Πατριάρχου ἐν τῷ Νομοκάνονι (1), καὶ συγκαταλέγεται παρ' αὐτοῦ μεταξὺ τῶν κανονικῶν διατάξεων· κατεχωρίσθη δὲ μετέπειτα ἐν τῷ Συντάγματι, ἀμέσως μετὰ τοὺς κανόνας τῆς Ζ'. Οἰκουμενικῆς Συνόδου, ἑρμηνευθεῖσα καὶ ὑπὸ τοῦ Βαλσαμῶνος, καὶ οὕτω περιλαμβάνεται ἐν ἅπασι τοῖς σωζομένοις κώδιξι τοῦ Φωτιανοῦ Συντάγματος.

Κατόπιν τῆς τοῦ Ταρασίου ἐπιστολῆς ἕπονται ἑπτὰ τεμάχια κανονικά, ἐκ τῶν συγγραφῶν τῶν Πατέρων ἐξαχθέντα, ὧν τὸ μὲν ἐν σελ. 386 ἐκ τῆς πρὸς Νικοπολίτας ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου, περὶ τοῦ ὑπομένειν καὶ εὐχαρίστως φέρειν τοὺς πειρασμούς, ἀναγινώσκεται καὶ ἐν τῇ ἐκδόσει τῆς εἰς τὸ Σύνταγμα ἐξηγήσεως τοῦ Βαλσαμῶνος ἐν Παρισίοις τοῦ ἔτους 1620· αὐτό τε δὲ καὶ τὸ ἐν σελ. 394 παράγγελμα τοῦ αὐτοῦ Πατρὸς πρὸς τὸν ἱερέα περὶ τῆς θείας χάριτος, ἐξεδόθησαν ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου Τόμ. Β'. σελ. 183 τὸ πρῶτον, καὶ μετὰ τὸ τέλος τῆς Συνόψεως τὸ δεύτερον. Μετὰ τὸ πρῶτον τεμάχιον ἀναγινώσκεται τὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖν τὰς ἐπιτιμίας ἐπάγειν, ἐκδοθὲν καὶ παρὰ Λεϋγκλαυΐῳ, ἐν τῷ πρώτῳ τόμῳ τοῦ Γραικο-Ῥωμαϊκοῦ δικαίου σελ. 186, τὸ τοῦ ἁγίου Ἀναστασίου, τὸ τοῦ μεγάλου Βασιλείου ἐκ τῆς πρὸς Καισαρίαν Πατρικίαν ἐπιστολῆς, καὶ δύο τοῦ Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἐφεσίους καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, τὰ τέσσαρα ταῦτα περὶ τοῦ ποσάκις τοῦ ἔτους καὶ πῶς τῶν ἁγιασμάτων κοινωνεῖν ὀφείλομεν, ἅτινα ἐν ταῖς λοιπαῖς ἐκδόσεσι

(1) Νομοκάν. Τίτλ. Α'. κεφ. κδ'.



τοῦ Συντάγματος μὴ ἀπαντώμενα, ἐλήφθησαν ἐκ τοῦ Τραπεζουντίου κώδικος.

Ἐν τῷ παρόντι τόμῳ θέλει παρατηρήσει ὁ ἀναγνώστης, ὅτι ἡ Ἐπιτομή, ἢ Σύνοψις τῶν κανόνων, μετὰ τῆς εἰς αὐτὴν ἑρμηνείας τοῦ Ἀριστηνοῦ, δὲν παρουσιάζεται πλέον, ὡς ἐν τοῖς προηγουμένοις, ὑπὸ τοὺς κανόνας τῶν Πατέρων, ἐξαιρουμένων μόνον τῶν ΠΔ'. πρώτων τοῦ μεγάλου Βασιλείου. Εἰς τούτους περιορίζεται τῷ ὄντι ἡ Ἐπιτομὴ τῶν κανόνων τῶν Πατέρων παρά τε Βοέλλῳ καὶ Ἰουστέλλῳ, καὶ ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου, παρ' ᾧ περιπλέον ἀναγινώσκεται καὶ ἡ εἰς αὐτοὺς ἑρμηνεία τοῦ Ἀριστηνοῦ.

Ἀλλὰ μετὰ τὴν τύπωσιν τῶν κανόνων τῶν Πατέρων, ὁ ἀκάματος οὗτος Ἑλληνιστής, ἀνερευνήσας νέους χειρογράφους κώδικας, εὗρε καὶ τὴν Ἐπιτομὴν ἢ Σύνοψιν τῶν λοιπῶν ἐπιστολῶν τῶν Πατέρων, ὁμοῦ μὲ ἑτέρας τινὰς κανονικὰς πραγματείας, ἀλλ' ἄνευ τῆς ἑρμηνείας τοῦ Ἀριστηνοῦ, καὶ ταῦτα ἐξέδωκεν ἐν παραρτήματι, μετὰ τὴν ἐπιστολὴν τοῦ Ταρασίου. Τὴν συλλογὴν ταύτην τῆς Ἐπιτομῆς ἢ Συνόψεως κατετάξαμεν κατόπιν τῶν σχετικῶν κανόνων, ὑπὸ τὴν ἐπιγραφήν, Σύνοψις, ἐκτὸς ὀλίγων αὐτῆς τεμαχίων, ἅτινα ἐδημοσιεύσαμεν ἐν εἴδει παραρτήματος μετὰ τῶν ἐν τῇ αὐτῇ Συνόψει περιεχομένων λοιπῶν διατάξεων.

Μετὰ τὸ Σύνταγμα τοῦ Φωτίου εἵπετο νὰ ἐκδοθῶσιν αἱ ἀποκρίσεις τοῦ Πατριάρχου Νικολάου καὶ τῆς περὶ αὐτὸν ἁγίας συνόδου ἐπὶ τῶν ἐρωτήσεων μοναχῶν τινων ἔξω τῆς πόλεως ἀσκουμένων, αἵτινες ἀπαντῶνται ἐν τοῖς κατὰ τὸν Βαλσαμῶνα χειρογράφοις τοῦ Συντάγματος τοῦ Φωτίου μετὰ τῆς εἰς αὐτὰς ἑρμηνείας τοῦ αὐτοῦ Ἐξηγητοῦ, μεταξὺ τοῦ Νομοκάνονος καὶ τῶν ἱερῶν κανόνων. Αὗται ἐξεδόθησαν μετὰ μὲν τῆς ἑρμηνείας ἐν τῇ πολλάκις μνημονευθείσῃ ἐκδόσει τοῦ Συντάγματος τοῦ Φωτίου τοῦ ἔτους 1620 ἐν Παρισίοις, καὶ ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου μετὰ τὴν Σύνοψιν· ἄνευ δὲ τῆς ἑρμηνείας, ἐν τῷ Κανονικῷ Χριστοφόρου τοῦ μοναχοῦ (1) σελ. 826, καὶ ἐν τῷ Πηδαλίῳ εἰς κοινὴν διάλεκτον. Τόσον δὲ ὁ Τραπεζούντιος κώ-

(1) Κανονικόν, ἤτοι οἱ θεῖοι κανόνες τῶν ἁγίων καὶ πανσέπτων Ἀποστόλων,

διξ, ὅσον καὶ ὁ ὑπ' ἀριθ. V τῶν νομικῶν κωδίκων τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης (1), μᾶς ἐχορήγησαν κατὰ τὴν ἐπεξεργασίαν αὐτῶν πλείστου λόγου ἀξίας γραφάς.

Μετὰ τὰς ἀποκρίσεις τοῦ Νικολάου ἕπονται οἱ κανόνες Νικηφόρου τοῦ Ὁμολογητοῦ, καὶ Ἰωάννου τοῦ Νηστευτοῦ, περιλαμβανόμενοι, ὡς καὶ ἐκεῖναι, μεταξὺ τῶν κανόνων τῶν περιεχομένων ἐν τῷ ἐγκρίσει τῆς Μεγάλης Ἐκκλησίας πρὸς χρῆσιν τοῦ κλήρου ἐκδοθέντι Πηδαλίῳ (2), καὶ ἀπαντώμενοι συνήθως ἐν τοῖς χειρογράφοις κώδιξι τοῦ κατὰ στοιχεῖον Συντάγματος Ματθαίου τοῦ Βλαστάρεως (3) ὡς ἐν παραρτήματι.

τῶν τε Οἰκουμενικῶν καὶ Τοπικῶν Συνόδων, καὶ τῶν κατὰ μέρος θεοφόρων Πατέρων, ἐν ἐπιτομῇ συνειλεγμένοι παρὰ Χριστοφόρου μοναχοῦ, τοῦ ἐκ τῆς κατὰ τὴν εὐαγῆ μονὴν τῶν Ἰβήρων Προδρομικῆς σκήτεως· ὑφ' οὗ καὶ σημειώσεις ἐκ διαφόρων ἱερῶν διδασκάλων εἰς αὐτὸ τοῦτο συνερανισθεῖσαι προσετέθησαν· ὅπερ τῇ τοῦ παναγιωτάτου καὶ θειοτάτου Οἰκουμενικοῦ Πατριάρχου, κυρίου Νεοφύτου, καὶ τῆς περὶ αὐτὸν Ἱερᾶς Συνόδου τῶν ἁγίων Ἀρχιερέων, ἀξιώσει, σπουδῇ τε αὐτῶν, καὶ δαπάνῃ, νῦν πρῶτον τύποις ἐκδίδοται, ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως τυπογραφείῳ. ‚αω'.

(1) Τοῦτον τὸν ἀριθμὸν φέρει σήμερον ὁ κῶδιξ οὗτος ἐν τῷ καταλόγῳ τῶν χειρογράφων τῆς ῥηθείσης βιβλιοθήκης, τῷ ἐκδοθέντι ὑπὸ Δανιὴλ Νέσσελ· ἐν δὲ τῷ τοῦ Λαμβεκίου καταλόγῳ σημειοῦται ὑπ' ἀριθ. XV. Ἐν τοῖς διαληφθεῖσι καταλόγοις εὑρίσκεται ἡ ἀκριβὴς περιγραφὴ τοῦ ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ Βουσβεκίου ἀγορασθέντος τούτου κώδικος, ἣν περιττὸν ἐνομίσαμεν νὰ ἐπαναλάβωμεν ἐνταῦθα.

(2) Εἰς δόξαν Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τοῦ ἑνὸς Θεοῦ, Πηδάλιον τῆς νοητῆς νηὸς, τῆς μιᾶς, ἁγίας, καθολικῆς, καὶ ἀποστολικῆς τῶν Ὀρθοδόξων Ἐκκλησίας, ἤτοι, ἅπαντες οἱ ἱεροὶ καὶ θεῖοι κανόνες τῶν τε ἁγίων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, τῶν Τοπικῶν, καὶ τῶν κατὰ μέρος θείων Πατέρων, ἑλληνιστὶ μὲν χάριν ἀξιοπιστίας ἐκτιθέμενοι, διὰ δὲ τῆς καθ' ἡμᾶς κοινοτέρας διαλέκτου πρὸς κατάληψιν τῶν ἁπλουστέρων ἑρμηνευόμενοι, παρὰ Ἀγαπίου Ἱερομονάχου, καὶ Νικοδήμου μοναχοῦ· καὶ μετ' ἐπιμελείας ἀνακριθέντες καὶ διορθωθέντες, ψήφῳ τοῦ παναγιωτάτου καὶ τῆς ἱερᾶς καὶ ἁγίας Συνόδου παρὰ τοῦ σοφολογιωτάτου διδασκάλου καὶ ἱεροκήρυκος Κ. Δωροθέου, νῦν πρῶτον τύποις ἐκδοθέντες ἀδείᾳ μὲν, καὶ προτροπῇ, καὶ ἐπιταγῇ τοῦ παναγιωτάτου Πατριάρχου καὶ τῆς ἁγίας Συνόδου, ἐπιστασίᾳ δὲ καὶ ἐπιμελείᾳ τοῦ αὐτελοῦς ἐν ἱερομονάχοις Θεοδωρήτου τοῦ ἐξ Ἰωαννίνων, διὰ δαπάνης τῶν ὀνομαστὶ φερομένων ἐν τῷ τέλει τῆς βίβλου, εἰς κοινὴν ἁπάντων τῶν Ὀρθοδόξων σοφῶν τε καὶ ἁπλουστέρων ὠφέλειαν. Ἐν Λειψίᾳ τῆς Σαξωνίας, ἐν τῇ τυπογραφίᾳ τοῦ Βραϊτκόπφ καὶ Αἵρτελ ‚αω'. 1800· Ἐγένετο καὶ δευτέρα ἔκδοσις ἐν Ἀθήναις, ἐκ τῆς τυπογραφίας τοῦ ἐκδότου Κωνσταντίνου Γκαρπολᾶ, ‚αωμα'.

(3) Mortreuil, Histoire du droit Byzantin, τόμ. Γ'. σελ. 461, καὶ Biener, de Collectionibus Canonum Ecclesiæ Græcæ σελ. 37 καὶ 38.



Τοῦ Ὁμολογητοῦ δεκαεπτὰ κανόνας ἐξέδωκε πρῶτος ὁ Βονεφίδιος (1) ἐν τῷ Ἀνατολικῷ αὐτοῦ Νομίμῳ, Μέρ. Β'. σελ. 19 — 21, καὶ μετ' αὐτὸν ὁ Λεϋγκλαΐβιος ἐν τῷ Γραικο-Ῥωμαϊκῷ αὐτοῦ Νομίμῳ, τόμ. Α'. σελ. 196. Πληρεστέρα δὲ αὐτῶν ἔκδοσις ὑπάρχει ἡ παρὰ Κοτελερίῳ τόμ. Γ'. σελ. 445—451, ὅπου περιέχονται α'. σελ. 445 τριάκοντα ἑπτὰ κανόνες, ἐξ ὧν δέκα ἐκ τῶν ὑπὸ τοῦ Βονεφιδίου καὶ Λεϋγκλαυΐου ἐκδοθέντων· β'. σελ. 451 ἕτεροι ἐννέα κανόνες ληφθέντες ἐξ ἄλλου χειρογράφου, ὅπου περιείχοντο καὶ ἕτεροι ἐννέα παραλειφθέντες ὑπὸ τοῦ Κοτελερίου, ὡς ταυτιζόμενοι μετὰ τῶν παρὰ Λεϋγκλαυΐῳ· ἀλλὰ καὶ ἐκ τούτων οἱ ὑπ' ἀριθμὸν ς'. ιζ'. ιθ'. κθ'. καὶ ὁ τελευταῖος παραλλάσσουσι μόνον κατὰ τὸ λεκτικὸν τοῦ ιδ'. ις'. ιζ'. ιη'. κ'. καὶ κέ. τῆς σειρᾶς τῶν λζ'. καὶ γ'. σελ. 453, ἐπιστολὴ κανονικὴ διῃρημένη εἰς ιζ'. ἐρωτήσεις καὶ ἀποκρίσεις. Ὁ δὲ Μάνσης, ἐν τῷ ΙΔ'. τόμῳ τῆς Συλλογῆς τῶν Συνόδων (2) σελ. 119, ἐξέδωκε καὶ τὴν παρὰ Λεϋγκλαυΐῳ καὶ Βονεφιδίῳ συλλογὴν τῶν ιζ'. κανόνων, καὶ ἑτέραν ἑξήκοντα ἑνὸς (3). Ἐκ τῶν κανόνων τούτων εὑρίσκομεν τὴν μὲν συλλογὴν τῶν παρὰ Κοτελερίῳ λζ'. κανόνων ἐν τῇ Συλλογῇ τοῦ Ἀγαπίου (4), καὶ ἐν τῷ Κανονικῷ τοῦ Χριστοφόρου, ὅπου ὅμως ἀπαντᾶται καὶ ὁ παρ' ἡμῖν τριακοστὸς ὄγδοος κανών. Ἐν δὲ τῷ Πηδαλίῳ ἐξεδόθησαν εἰς κοινὴν διάλεκτον οἱ αὐτοὶ λη'. κανόνες· ἐκτὸς δὲ τούτων καὶ ἕτεροι ἑπτὰ ἐκ τῶν παρὰ Βονεφιδίῳ καὶ Λεϋγκλαυΐῳ, παραλειφθέντων τῶν λοιπῶν δέκα, καθὸ περιεχομένων ἤδη ἐν τῇ σειρᾷ τῶν λη'.

(1) Τοῦ Ἀνατολικοῦ Νομίμου βιβλία Γ'. Juris Orientalis libri III, ab Enimundo Bonefidio J. C. digesti ac notis illustrati, et nunc primum in lucem editi, cum Latina interpretatione, anno MDLXXII excudebat Henricus Stephanus.

(2) Sacrorum Conciliorum nova et amplissima collectio, edente Joan. Dom. Mansi. Florentiæ 1759—67. Tom. I—XIII. Venet. 1769—1798. T. XIV—XXXI fol.

(3) Βλέπε Biener, de Collectionibus Canonum, σελ. 37 ἐπ. ἐν Σημ. 7.

(4) Συλλογὴ πάντων τῶν ἱερῶν καὶ θείων κανόνων τῶν τε ἁγίων Ἀποστόλων καὶ Οἰκουμενικῶν Συνόδων ἅμα δὲ καὶ Τοπικῶν, σὺν τούτοις καὶ τῶν λοιπῶν ἁγίων Πατέρων τῶν κατ' ἰδίαν ὁροθετησάντων, καὶ ὑπὸ Συνόδων Οἰκουμενικῶν ἢ Τοπικῶν θεωρηθέντων, συλλεχθέντας ἐκ διαφόρων βιβλίων, καὶ τυπωθέντες νῦν διὰ προτροπῆς καὶ ἀναλωμάτων τοῦ πανιερωτάτου καὶ σεβασμιωτάτου ἁγίου Ναζαρὲτ, Κ. Κ. Νεοφύτου Πελοποννησίου. Ἐνετίῃσι, 1787. Παρὰ Ἀντωνίῳ τῷ Βόρτωλῃ.

Μὴ δυνηθέντες νὰ κάμωμεν χρῆσιν τῆς ἐκδόσεως τοῦ Μάνση, ἧς ςερεῖται καὶ αὐτὴ ἡ ἐθνικὴ ἡμῶν βιβλιοθήκη (1), ἀπεφασίσαμεν νὰ δημοσιεύσωμεν Α'. τὴν παρὰ Κοτελερίῳ συλλογὴν τῶν λζ'. κανόνων, προσθέντες καὶ τὸν παρὰ Χριςοφόρῳ καὶ ἐν τῷ Πηδαλίῳ ἀπαντώμενον τριακοςὸν ὄγδοον· Β'. τοὺς ἐκ τῶν ιζ'. τοῦ Βονεφιδίου καὶ Λεϋγκλαυΐου μὴ μετὰ τῶν προηγουμένων ταυτιζομένους ἑπτὰ κανόνας· Γ'. τοὺς ἐννέα τῆς δευτέρας συλλογῆς τοῦ Κοτελερίου· καὶ τέλος Δ'. τὰς δεκαεπτὰ ἐρωταποκρίσεις τῆς παρὰ τῷ αὐτῷ Κοτελερίῳ κανονικῆς Ἐπιστολῆς.

Τὸ Κανονικὸν Ἰωάννου τοῦ Νηστευτοῦ, ἢ, ἀκριβέστερον εἰπεῖν, ἡ ὑπὸ Ματθαίου τοῦ Βλαστάρεως γενομένη αὐτοῦ Ἐπιτομὴ ἐξεδόθη ἐν τῇ Συλλογῇ Ἀγαπίου τοῦ Δημητζανίτου σελ. 466—486. Οἱ δὲ τοῦ Πηδαλίου ἐκδόται, παραλαβόντες ἐκ τῆς Ἐπιτομῆς τοῦ Βλαστάρεως τὰς ἐν αὐτῇ περιεχομένας διατάξεις τοῦ Νηστευτοῦ, διήρεσαν αὐτὰς εἰς κανόνας, οὓς ἐξέδωκαν κατὰ τὴν κοινὴν διάλεκτον.

Τοὺς κανόνας τοῦ Νηστευτοῦ παρεβάλομεν πρὸς τοὺς ἐν τῇ Αὐτοκρατορικῇ βιβλιοθήκῃ τῆς Βιέννης ἱςορικοὺς κώδικας, κατὰ μὲ τὸν Νέσσελ ὑπ' ἀρ. XCVII, XXXIV, LVIII, καὶ ἰδίως τὸν XXIV, κατὰ δὲ τὸν Λαμβέκιον ὑπ' ἀρ. LII, LIII, LIV, καὶ LI. Διὰ νὰ μὴ παραλειφθῇ δὲ οὐδὲν ἐκ τῶν ἐν τῷ Πηδαλίῳ περιεχομένων, κατεχωρίσαμεν ἐν ὑποσημειώσει καὶ τοὺς ἐν αὐτῷ κατὰ τὴν κοινὴν διάλεκτον ἀπαντωμένους ἑτέρους ιη. κανόνας, ἀποδιδομένους ὑπὸ τῶν ἐκδοτῶν τοῦ Πηδαλίου εἰς τὸν αὐτὸν Ἰωάννην τὸν Νηστευτήν.

Συμπληρώσαντες δὲ οὕτω τό τε Σύνταγμα τοῦ Φωτίου, καὶ τοὺς ἐν τῷ Πηδαλίῳ περιεχομένους κανόνας, ἁρμόδιον ἐκρίναμεν νὰ κατατάξωμεν ἐν τῷ παρόντι τόμῳ καὶ τὰ σωζόμενα λοιπὰ κανονικὰ συγγράμματα τῶν δύο κορυφαίων Ἐξηγητῶν τῶν κανόνων, τοῦ Βαλσαμῶνος, καὶ τοῦ Ζωναρᾶ.

(1) Δὲν δυνάμεθα νὰ κάμωμεν ἐνταῦθα μνείαν τῆς Ἐθνικῆς ἡμῶν Βιβλιοθήκης, χωρὶς ν' ἀποδώσωμεν δημοσίως τὸν φόρον τῆς εὐγνωμοσύνης ἡμῶν πρός τε τὸν ἀξιότιμον αὐτῆς Ἔφορον Κ. Γ. Τυπάλδον, καὶ πρὸς τὸν ἄοκνον αὐτοῦ βοηθὸν τὸν Κ. Ἀποστολίδην Κοσμητὴν, ἕνεκα τῆς συντόνου προθυμίας μεθ' ἧς μᾶς συνέδραμον διαρκῶς εἰς τὰς διαφόρους ἐρεύνας μας.



Οὕτως ἐξεδώκαμεν πρῶτον τὰς κανονικὰς ἐρωτήσεις τοῦ Πατριάρχου Ἀλεξανδρείας Μάρκου μετὰ τῶν ἐπ' αὐτῶν ἀποκρίσεων τοῦ Βαλσαμῶνος, ἐκδοθείσας παρά τε Βονεφιδίῳ Μέρ. Γ'. σελ. 237—300, καὶ μετατυπωθείσας παρὰ Λεϋγκλαυΐῳ τόμ. Α. σελ. 362—394.

Τῶν ἐρωτήσεων τούτων ἀριθμοῦνται παρὰ τοῖς ἀνωτέρω ξδ', ἢ ἀληθέστερον ξγ', διὰ τὸ μετὰ τὴν μδ'. ἐρώτησιν ἀριθμητικὸν λάθος· ἐν τῇ παρούσῃ δὲ ἐκδόσει ἀριθμοῦνται ξς', ὧν αἱ τρεῖς, ἀνέκδοτοι μέχρι τοῦδε, ἐλήφθησαν ἐκ τοῦ ἱστορικοῦ χειρογράφου κώδικος XXIV τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, ἐξ οὗ ἀνεπληρώθησαν καὶ πλεῖστα ἄλλα κενὰ (1) καὶ ἡμαρτημένα τῶν μέχρι τοῦδε ἐκδόσεων.

Ἕπονται δὲ αἱ Μελέται τοῦ Βαλσαμῶνος, ἐξ ὧν πέντε ἐξεδόθησαν παρὰ τοῦ Λεϋγκλαυΐου τόμ. Α. σελ. 442—478, δύο ὑπὸ Κοτελερίου, ἡ μὲν περὶ τῶν ρασοφόρων τόμ. Γ'. σελ. 473, καὶ ἡ περὶ νηστειῶν τόμ. Β'. σελ. 492—514, ἡ δὲ ὀγδόη, ἡ δευτέρα κατὰ τὴν ἐν τοῖς χειρογράφοις σειρὰν, περὶ τοῦ μὴ αναγινώσκειν μαθηματικὸν βιβλίον, ἀνέκδοτος μέχρι τοῦδε(2), ἐλήφθη ἐκ τοῦ ἤδη μνησθέντος ἀρχαίου κώδικος V τῶν νομικῶν χειρογράφων· ὥστε πρῶτον ἤδη ἐκδίδεται πλήρης ἡ συλλογὴ τῶν ὀκτὼ Μελετῶν τοῦ Βαλσαμῶνος. Μετὰ δὲ τὴν τελευταίαν αὐτοῦ πραγματείαν περὶ νηςειῶν, δὲν ἐθεωρήσαμεν ἄπο σκοποῦ νὰ προσθέσωμεν καὶ τὴν τοῦ Ἀναστασίου τοῦ Σιναΐτου περὶ τοῦ αὐτοῦ ἀντικειμένου, μνημονευομένην ἐν τῇ τελευταίᾳ Μελέτῃ τοῦ Βαλσαμῶνος, ὡς καὶ τὴν τοῦ Ἀναστασίου τοῦ Καισαρείας τῆς Παλαιστίνης, καὶ τὴν τοῦ ἁγίου Νίκωνος, ἐρανισθέντες αὐτὰς ἐκ τῆς Συλλογῆς τοῦ Κοτελερίου, τόμ. Γ'. σελ. 425—444.

Ὁ τόμος ἀποπερατοῦται διὰ τῶν δύο πραγματειῶν τοῦ Ζωναρᾶ, περὶ τοῦ μὴ δεῖν δύο δισεξαδέλφους τὴν αὐτὴν ἀγαγέσθαι πρὸς γάμον, καὶ περὶ τῆς φυσικῆς ἐκροῆς τῆς γονῆς, ἐξ ὧν ἐκεί-

(1) Ὁ κῶδιξ XXIV φέρει, ὡς προείρηται, παρὰ Λαμβεκίῳ ἀρ. 51. Σημείωσαι δὲ, ὅτι κατὰ τυπογραφικὸν λάθος ὁ κῶδιξ οὗτος παρατίθεται σελ. 442—454 τοῦ παρόντος τόμου ὑπὸ τὸν ἀρ. XCVII. — Ὁ δὲ Κ. Mortreuil τόμ. Γ'. σελ. 490 ἀριθμεῖ ξή. Ἐρωτήσεις τοῦ Μάρκου.

(2) Mortreuil, Histoire du droit Byzantin, τόμ. Γ'. σελ. 490.

νη μὲν ἐλήφθη ἐκ τοῦ αὐτοῦ Κοτελερίου τόμ. Γ'. σελ. 483—492, ἡ δὲ τελευταία ἐκ τοῦ προμνησθέντος Νομίμου τοῦ Βονεφιδίου σελ. 216—237 καὶ ἐκ τοῦ Λεύγκλαυΐου τόμ. Α. σελ. 354—364, παραβληθεῖσαι καὶ πρὸς τὸν κώδικα τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης ὑπ' ἀρ. XXIV.

Οὕτω διὰ τῆς ἐκδόσεως τοῦ τετάρτου τούτου τόμου ἀπαρτίζονται, ὡς ὁρᾷ ὁ ἀναγνώστης, ἐκτὸς τοῦ Συντάγματος τοῦ Πατριάρχου Φωτίου, καὶ ἅπαντα τὰ κανονικὰ συγγράμματα τοῦ Ζωναρᾶ καὶ τοῦ Βαλσαμῶνος· ἡ ὕλη αὕτη ἀποτελεῖ ἤδη ὁλόκληρον καὶ αὐτοτελὲς ἔργον.

Ἀλλὰ πιςοὶ πρὸς τὰ διὰ τῆς ἡμετέρας ἀγγελίας ὑποσχεθέντα, καὶ ἐπιθυμοῦντες νὰ δικαιώσωμεν ἔτι μᾶλλον τὴν εὐνοϊκὴν ἀποδοχὴν τῶν ὁμογενῶν, ἧς ἔτυχε μέχρι τοῦδε ἡ ἡμετέρα ἐπιχείρησις, βαίνομεν θαῤῥαλέως πρὸς τὴν ἀποπεράτωσιν αὐτῆς, καὶ ἐλπίζομεν ἐντὸς τοῦ προσεχῶς ἀρχομένου ἔτους νὰ παραδώσωμεν πρὸς τοὺς ἡμετέρους συνδρομητὰς τὸ εἰσέτι ὑπολειπόμενον μέρος τῆς παρούσης ἐκδόσεως.

Ἐν Ἀθήναις 15 Δεκεμβρίου 1853.

# ΕΠΙΣΤΟΛΗ

## ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΔΙΟΝΥΣΙΟΥ,

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

Πρὸς Βασιλείδην ἐπίσκοπον, ἐρωτήσαντα περὶ διαφόρων κεφαλαίων, πρὸς ἃ διὰ τῆς ἐπιστολῆς ὁ Διονύσιος ἀποκρίσεις ἐποιήσατο, αἳ καὶ ὡς κανόνες ἐδέχθησαν.

### ΔΙΟΝΥΣΙΟΣ ΒΑΣΙΛΕΙΔΗι,

Τῷ ἀγαπητῷ μου υἱῷ καὶ ἀδελφῷ συλλειτουργῷ καὶ θεοπειθεῖ, ἐν Κυρίῳ χαίρειν.

### Κανὼν Α'.

ΕΠΕΣΤΕΙΛΑΣ ΜΟΙ, πιστότατε καὶ λογιώτατε υἱέ μου, πυνθανόμενος καθ' ἣν ὥραν ἀπονηστίζεσθαι δεῖ τὴν τοῦ Πάσχα ἡμέραν· τινὰς μὲν γὰρ τῶν ἀδελφῶν λέγειν φῄς, ὅτι χρὴ τοῦτο ποιεῖν πρὸς τὴν ἀλεκτοροφωνίαν· τινὰς δὲ, ὅτι ἀφ' ἑσπέρας χρή· οἱ μὲν γὰρ ἐν Ῥώμῃ(1) ἀδελφοὶ, ὥς φασι, περιμένουσι τὸν ἀλέκτορα· περὶ δὲ τῶν ἐνταῦθα ἔλεγες, ὅτι τάχιον. Ἀκριβῆ δὲ ὅρον τιθέναι ἐπιζητεῖς, καὶ ὥραν πάνυ μεμετρημένην, ὅπερ καὶ δύσκολον, καὶ σφαλερὸν ἐστί. Τὸ μὲν γὰρ ὅτι μετὰ τὸν τῆς Ἀναστάσεως τοῦ Κυρίου ἡμῶν καιρὸν χρὴ τῆς ἑορτῆς καὶ τῆς εὐφροσύνης ἐνάρχεσθαι, μέχρις ἐκείνου τὰς ψυχὰς ταῖς νηστείαις ταπεινοῦντας, ὑπὸ πάντων ὁμοίως ὁμολογηθήσεται. Κατεσκεύασας δὲ δι' ὧν ἔγραψάς μοι πάνυ ὑγιῶς καὶ τῶν θείων Εὐαγγελιστῶν αἰσθόμενος (2), ὅτι μηδὲν ἀπηκριβωμένον ἐν αὐτοῖς περὶ τῆς ὥρας, καθ' ἣν ἀνέστη, φαίνεται. Διαφόρως μὲν γὰρ οἱ Εὐαγγελισταὶ τοὺς ἐπὶ τὸ μνημεῖον ἐλθόντας ἀνέγραψαν κατὰ καιροὺς ἐνηλλαγμέ-

(1) Ἐκ Ῥώμης Χ. Τρ. — (2) Ε. Π. — Εὐαγγελίων ᾐσθημένος Χ. Τρ.

νους; καὶ πάντες ἀνεστηκότα ἤδη τὸν Κύριον ἔφασαν εὑρηκέναι, καὶ ὀψὲ σαββάτων, ὡς ὁ Ματθαῖος εἶπε· καὶ πρωΐας ἔτι σκοτίας οὔσης, ὡς ὁ Ἰωάννης γράφει· καὶ ὄρθρου βαθέος, ὡς ὁ Λουκᾶς· καὶ λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, ὡς ὁ Μάρκος. Καὶ πότε μὲν ἀνέστη, σαφῶς οὐδεὶς ἀπεφήνατο· ὅτι δὲ ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ μιᾷ σαββάτων, μέχρις ἀνατολῆς ἡλίου τῆς μιᾶς σαββάτων, οἱ ἐπὶ τὸ μνημεῖον παραγενόμενοι οὐκέτι κείμενον αὐτὸν ἐν αὐτῷ κατέλαβον, τοῦτο ἀνωμολόγηται. Καὶ μηδὲ διαφωνεῖν, μηδὲ ἐναντιοῦσθαι τοὺς Εὐαγγελιστὰς πρὸς ἀλλήλους ὑπολάβωμεν· ἀλλ' εἰ καὶ μικρολογία τις εἶναι δόξει περὶ τὸ ζητούμενον, εἰ συμφωνοῦντες πάντες ἐν ἐκείνῃ τῇ νυκτὶ τὸ τοῦ κόσμου φῶς, τὸν Κύριον ἡμῶν, ἀνατεταλκέναι, περὶ τὴν ὥραν διαφέρονται, ἀλλ' ἡμεῖς εὐγνωμόνως τὰ λεχθέντα καὶ πιστῶς ἁρμόσαι προθυμηθῶμεν. Τὸ μὲν οὖν ὑπὸ τοῦ Ματθαίου λεχθὲν οὕτως ἔχει (1)· Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδού, σεισμὸς ἐγένετο μέγας· Ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών· ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ Ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη, καθὼς εἶπε. Τοῦτο δὲ τὸ λεχθὲν ὀψέ, οἱ μέν τινες οἰήσονται κατὰ τὴν κοινότητα τοῦ ῥήματος, τὴν ἑσπέραν δηλοῦν τοῦ σαββάτου, οἱ δὲ σοφώτερον ἐξακούοντες, οὐ τοῦτο, ἀλλὰ νύκτα βαθεῖαν ἐροῦσιν εἶναι, βραδύτητα καὶ μακρὸν χρόνον τοῦ, ὀψέ, δηλοῦντος· καὶ ὅτι νύκτα λέγει,

(1) Ματθ. ΚΗ', 1.



καὶ οὐχ ἑσπέραν, ἐπήγαγε, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων. Καὶ ἧκον, οὔπω, ὡς οἱ λοιποί φασι, τὰ ἀρώματα φέρουσαι, ἀλλὰ θεωρῆσαι τὸν τάφον, καὶ εὗρον τὸν σεισμὸν γεγονότα, καὶ καθήμενον τὸν Ἄγγελον ἐπὶ τοῦ λίθου, καὶ ἀκηκόασι παρ' αὐτοῦ, Οὐκ ἔστιν ὧδε, ἠγέρθη. Ὁμοίως ὁ Ἰωάννης (1), Ἐν μιᾷ τῶν σαββάτων, φησί, Μαρία ἡ Μαγδαληνὴ ἦλθε πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου· πλὴν παρὰ τούτῳ, σκοτίας ἔτι οὔσης (2) προεληλύθει. Ὁ δὲ Λουκᾶς φησί (3)· Τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν. Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος, ἐπὶ τὸ μνῆμα ἦλθον, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα· εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. Ὁ βαθὺς ὄρθρος, ἴσως προϋποφαινομένην αὐγὴν (4) ἑωθινὴν ἐμφανίζει τῆς μιᾶς τῶν σαββάτων, διὰ τὸ παρῳχηκέναι (5) ἤδη τελείως σὺν τῇ μετ' αὐτὸ νυκτὶ πᾶν τὸ σάββατον, καὶ ἑτέραν ἄρχεσθαι ἡμέραν, ὅτε ἦλθον τὰ ἀρώματα καὶ τὰ μύρα φέρουσαι· ὅθεν δῆλον, ὡς ἀνειστήκει πρὸ πολλοῦ. Τούτῳ κατακολουθεῖ καὶ ὁ Μάρκος, λέγων (6)· Ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν· καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου· λίαν μὲν γὰρ πρωΐ, καὶ οὗτος εἶπεν· ὅπερ ταυτόν ἐστι τῷ, βαθέος ὄρθρου, καὶ ἐπήγαγεν, ἀνατείλαντος τοῦ ἡλίου. Ἡ μὲν γὰρ ὁρμή, καὶ ἡ ὁδὸς αὐτῶν, δῆλον ὡς ὄρθρου βαθέος, καὶ λίαν πρωῒ κατήρχθη· παρέτειναν δὲ κατά τε τὴν πορείαν, καὶ περὶ τὸ μνημεῖον διατρίβουσαι μέχρις ἀνατολῆς ἡλίου· καὶ λέγει καὶ τότε ταύταις ὁ νεανίσκος ὁ λευχείμων· Ἠγέρθη, οὐκ ἔστιν ὧδε. Τούτων οὕτως ἐχόντων, τοῦτο τοῖς ἀκριβολογουμένοις ἀποφαινόμεθα (7), κατὰ ποίαν ὥραν, ἢ καὶ ποῖον ἡμιώριον,

(1) Ἰω. Κ', 1.—(2) εἰς τὸ μνημεῖον προεληλύθει Π.—(3) Λουκ. ΚΔ', 1.—(4) Χ. Τρ. Π.—αὐτὴν Βευερ. Ε.—(5) Χ. Τρ. Π.—διὰ τοῦ παρῳχηκότος... νυκτὶ πάσῃ σαββάτου Ε. Βευερ.—(6) Μάρκ. Ιϛ', 1.—(7) Σ. Ρ. Ε. Π.—ἀπολογούμεθα Χ. Τρ.

ἢ ὥρας τέταρτον, ἄρχεσθαι προσῆκε τῆς ἐπὶ τῇ τοῦ Κυρίου ἡμῶν ἐκ νεκρῶν Ἀναστάσει χαρᾶς· τοὺς μὲν λίαν ἐπιταχύνοντας, καὶ πρὸ νυκτὸς ἐγγὺς ἤδη μεσούσης ἀνιέντας, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς μεμφόμεθα, ὡς παρ' ὀλίγον προκαταλύοντας τὸν δρόμον, λέγοντος ἀνδρὸς σοφοῦ, Οὐ μικρὸν ἐν βίῳ τὸ παρὰ μικρόν· τοὺς δὲ ἐφυστερίζοντας(1) καὶ διαρκοῦντας ἐπὶ πλεῖστον, καὶ μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας, καθ' ἣν καὶ τοῖς πλέουσιν ὁ Σωτὴρ ἡμῶν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἐπεφάνη, ὡς γενναίους καὶ φιλοπόνους ἀποδεχόμεθα· τοῖς δὲ μεταξὺ, ὡς ἐκινήθησαν, ἢ ὡς ἠδυνήθησαν, ἀναπαυσαμένοις, μὴ πάνυ διοχλῶμεν· ἐπεὶ μηδὲ τὰς ἓξ τῶν νηστειῶν ἡμέρας ἴσως, μηδὲ ὁμοίως πάντες διαμένουσιν· ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερτιθέασιν, ἄσιτοι διατελοῦντες· οἱ δὲ, δύο, οἱ δὲ, τρεῖς, οἱ δὲ, τέσσαρας, οἱ δὲ, οὐδεμίαν· καὶ τοῖς μὲν πάνυ διαπονηθεῖσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκαμοῦσι, καὶ μόνον οὐκ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γεύσεως· εἰ δέ τινες, οὐχ ὅπως οὐχ ὑπερτιθέμενοι, ἀλλὰ μηδὲ νηστεύσαντες, ἢ καὶ τρυφήσαντες τὰς προαγούσας τέσσαρας, εἶτα ἐλθόντες ἐπὶ τὰς τελευταίας δύο, καὶ μόνας αὐτὰς ὑπερτιθέντες, τήν τε παρασκευὴν καὶ τὸ σάββατον, μέγα τι καὶ λαμπρὸν ποιεῖν νομίζουσιν, ἂν μέχρι τῆς ἕω διαμείνωσιν, οὐκ οἶμαι τὴν ἄθλησιν αὐτοὺς πεποιῆσθαι ἴσην τοῖς τὰς πλείονας ἡμέρας προησκηκόσι. Ταῦτα μὲν, ὡς φρονῶ, συμβουλεύων περὶ τούτων ἔγραψα.

---

ΖΩΝΑΡ. Πρὸς τὸ ἐρώτημα τοῦτό φησιν ὁ ἐρωτηθεὶς, ὅτι ἐζήτησας ἀκριβῆ ὅρον ἐπιτεθῆναι, ἤγουν κανόνα καὶ τύπον ὁρισθῆναι, καὶ σαφηνισθῆναι ἀκριβῶς τὴν ὥραν τῆς Ἀναστάσεως τοῦ Κυρίου, ὅπερ καὶ δύσκολον, καὶ σφαλερὸν ἐστίν. Ὅτι μὲν γὰρ μετὰ τὸ ἀναστῆναι τὸν Κύριον, τῆς ἑορτῆς τῆς

(1) ὑφυστερίζοντας Ε. Βιυιρ.



Ἀναστάσεως ἄρχεσθαι δεῖ, ἕως τότε νηστεύοντας, καὶ τὰς ψυχὰς οὕτω ταπεινοῦντας, (ἡ γὰρ διὰ τῆς νηστείας ταπείνωσις τοῦ σώματος, διὰ τὴν τῆς ψυχῆς ἐπιτηδεύεται ταπείνωσιν, ὡς εἴ γε ἐπηρμένη εἴη τοῦ νηστεύοντος ἡ ψυχὴ, ματαία ἡ νηστεία ἐστὶ), τοῦτο ὁμολογούμενον· ἐπάγει δὲ, ὅτι ὅσοι πρὸς τὸ μνημεῖον ἀπῆλθον, ἀναστάντα ἤδη εὗρον τὸν Κύριον· καὶ μὴ διαφωνεῖν, φησι, καὶ ἐναντιοῦσθαι ἀλλήλοις δόξωμεν τοὺς Εὐαγγελιστὰς, ὅτι συμφωνοῦντες περὶ τῆς Ἀναστάσεως, ὡς ἐν ἐκείνῃ τῇ νυκτὶ τοῦ Κυρίου ἀναστάντος, τὴν ὥραν καθ' ἣν ἀνέστη σαφῶς οὐ λέγουσιν· εἶτα καὶ αὐτὰ τὰ ῥήματα, ἢ μᾶλλον τὰ χωρία τῆς Γραφῆς τίθησιν, ὅσα ἕκαστος τῶν Εὐαγγελιστῶν λέγει περὶ τῆς Ἀναστάσεως τοῦ Κυρίου, καὶ συμβιβάζει τὴν δοκοῦσαν διαφωνίαν αὐτῶν· καὶ ἐπὶ τούτοις, τοὺς μὲν πρὸ τοῦ μεσονυκτίου λύοντας τὴν νηστείαν, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς, φησι, μεμφόμεθα, ὡς δι' ὀλίγην ὥραν τὸν δρόμον τῆς νηστείας καταλύοντας· τοὺς δὲ μέχρι τετάρτης φυλακῆς, ἤτοι ὄρθρου, ἐγκαρτεροῦντας, ἀποδεχόμεθα· εἰ καί τινες μετὰ τὸ μεσονύκτιον ἀνεπαύσαντο, ἤγουν τὴν κακοπάθειαν τὴν ἐκ τῆς νηστείας ἔπαυσαν ὡς ἠδυνήθησαν, τούτοις, φησὶ, μὴ ἐνοχλῶμεν, ἀντὶ τοῦ, μὴ ὅτι ἕως πρωῒ οὐκ ἐκαρτέρησαν, αἰτιώμεθα αὐτοὺς, ὅτι οὐδὲ τὰς ἓξ ἡμέρας τῆς τοῦ πάθους τοῦ Κυρίου ἑβδομάδος πάντες ὁμοίως ἀνύουσιν· οἱ μὲν γὰρ τὰς πάσας νηστεύουσιν, οἱ δὲ δύο ἢ τρεῖς, οἱ δὲ πλείους, οἱ δὲ οὐδεμίαν. Τοῖς οὖν ἐπὶ πλείους ἡμέρας νηστεύσασι καὶ κοπιάσασιν, εἰ ταχύτερον γεύσονται τροφῆς, συγγνώμην δοτέον· εἰ καί τινες οὐ μόνον ἐφ' ἡμέρας τινὰς οὐκ ἐνήστευσαν, ἀλλὰ καὶ ἐτρύφησαν τὰς ἑτέρας τέσσαρας τῆς ἑβδομάδος ἡμέρας, κατὰ δὲ τὴν παρασκευὴν, καὶ τὸ σάββατον ἀπέσχοντο βρώσεως, καὶ μέγα τι ποιεῖν νομίζουσιν, εἰ μέχρι πρωΐας τῆς ἀναστασίμου ἡμέρας ἐγκαρτερήσουσιν ἄσιτοι· οὐ τὴν ὁμοίαν ἄθλησιν ποιοῦντες, τουτέστιν οὐχ ὁμοίως πεποιήκασι τοῖς πλείονας ἡμέρας ἀσκήσασι. Καὶ ὁ πθʹ. κανὼν τῆς ϛʹ. συνόδου, περὶ μέσας νύκτας τοῦ μεγάλου σαββάτου, φησὶ, δεῖν ἀπονηστίζεσθαι, τὰς ἄλλας ἡμέρας τῆς ἑβδομάδος τοῦ πάθους ἐν νηστείᾳ, καὶ κατανύξει, καὶ προσευχῇ διάγοντας·

ΒΑΛΣ. Ἐπισκόπου τινὸς ἐρωτήσαντος τὸν μέγαν τοῦτον ἀρχιερέα, καθ' ἣν ὥραν ἀνέστη ὁ Χριστὸς, ἐφ' ᾧ κατὰ τὴν πρὸ ταύτης ὥραν ἀπονηστίζειν, ὁ ἀρχιερεὺς προέθετο, ὅτι ἡ ἑορτὴ τοῦ Πάσχα μετὰ τὸ ἀναστῆναι τὸν Κύριον ἄρχεται, καὶ ἕως τότε ὀφείλομεν νηστεύειν· τηνικαῦτα δὲ, οὐ πρὸ τῆς Ἀναστάσεως ἀπονηστίζειν. Ὅτι δὲ οὐκ ἐξῆν αὐτῷ εἰπεῖν τὴν ὥραν καθ' ἣν ὁ Κύριος ἀνέστη, ἀπελογήσατο ἀπὸ ῥημάτων διαφόρων Εὐαγγελιστῶν, ὅτι εἰ καὶ μὴ ἔξεστιν ἀπὸ τούτων γνῶναι τὴν ὥραν καθ' ἣν ὀφείλομεν ἀπονηστίζειν, ἀλλὰ τοὺς μὲν πρὸ τοῦ μεσονυκτίου λύοντας τὴν νηστείαν, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς μεμφόμεθα, τοὺς δὲ μέχρι τετάρτης φυλακῆς, ἤτοι ὄρθρου ἐγκαρτεροῦντας, ἀποδεχόμεθα· τοὺς δὲ ἐν τῷ μεταξὺ ἀναπαυθέντας, οὐκ αἰτιώμεθα· ὅτι οὐδὲ τὰς ἓξ ἡμέρας τῆς τοῦ πάθους τοῦ Κυρίου ἑβδομάδος πάντες ὁμοίως ἀνύουσιν· οἱ μὲν γὰρ τὰς πάσας νηστεύουσιν, οἱ δὲ δύο, οἱ δὲ τρεῖς, οἱ δὲ πλείους, οἱ δὲ οὐδεμίαν. Τοῖς οὖν ἐν πλείοσιν ἡμέραις νηστεύσασι, καὶ κοπιάσασιν, εἰ ταχύτερον γεύσονται τροφῆς, συγγνώμην δοτέον· τοῖς δὲ τέσσαρας ἡμέρας μὴ νηστεύσασιν, ἀλλὰ καὶ τρυφήσασι, κατὰ δὲ τὴν παρασκευὴν καὶ τὸ σάββατον νηστεύσασι, μὴ νομισθείη μέγα τι ποιεῖν, εἰ μέχρι πρωΐας τῆς ἀναστασίμου ἡμέρας ἐγκαρτερήσουσιν ἄσιτοι· οὐ γὰρ ὁμοίαν ποιοῦνται ἄθλησιν. Καὶ ἡ μὲν ἀπολογία τοῦ Πατρὸς αὕτη. Σὺ δὲ ἀνάγνωθι τὸν πθ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, διοριζόμενον ἀπονηστίζεσθαι περὶ μέσας νύκτας τοῦ μεγάλου σαββάτου, τὰς δ' ἄλλας ἡμέρας τοῦ σωτηρίου πάθους, ἐν νηστείᾳ, καὶ προσευχῇ, καὶ κατανύξει διάγειν. Ἐπεὶ δὲ ἔξωθεν τοῦ αὐτοῦ κανόνος ἐσαφηνίσθη ἡ ὥρα τῆς τοῦ Χριστοῦ Ἀναστάσεως ἀπὸ διαφόρων γραφικῶν τέως κατὰ τὸ ἐγχωροῦν (τὸ γὰρ ἀληθὲς μόνος οἶδεν ὁ ἀναστὰς Θεὸς,) ὀφείλομεν εἰπεῖν, ὅτι μέχρι μὲν τῆς ἕκτης ὥρας καὶ αὐτῆς τοῦ νυκτερινοῦ σαββάτου, ὀφείλομεν νηστεύειν· ἀπὸ δὲ τῆς ἑβδόμης ὥρας, ἐπεὶ ἄρχεται ἡ Κυριώνυμος, καθ' ἣν καὶ ἀνέστη ὁ Χριστὸς, (εἰκὸς δέ ἐστιν ἢ κατὰ τὴν ἑβδόμην, ἢ κατὰ τὴν ὀγδόην ὥραν γενέσθαι τὴν Ἀνάστασιν,) οὐκ ὀφείλομεν κατὰ ταύτας νηστεύειν, οὐδὲ ἀπονηστίζειν, ἵνα μὴ δόξωμεν ἐναν-



τιοῦσθαι τοῖς κανόσι, τοῖς διοριζομένοις κατὰ τὰς Κυριωνύμους μὴ νηστεύειν ἡμᾶς, κἂν γὰρ τρίτη ἡμέρα λογίζηται ἡ Κυριώνυμος, ἀλλ' εἰς μόνον τὸ ἅψασθαι ταύτης τὴν τριήμερον Ἀνάστασιν, λογίζεται τρίτη, πρώτη γάρ ἐστι· καὶ ἀκολούθως τῷ πθ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, λέγε πρὸ τῆς ἑβδόμης ὥρας τοῦ νυκτερινοῦ σαββάτου ὀφείλειν ἡμᾶς ἀπονηστίζεσθαι, ἐν οἵᾳ ὥρᾳ θελήσει τις τῶν ἓξ πρώτων ὡρῶν, πάντως κατὰ τὴν οἰκείαν δύναμιν καὶ προαίρεσιν.

## Κανὼν Β'.

Περὶ δὲ τῶν ἐν ἀφέδρῳ γυναικῶν, εἰ προσῆκεν αὐτὰς οὕτω διακειμένας, εἰς τὸν οἶκον εἰσιέναι τοῦ Θεοῦ, περιττὸν καὶ τὸ πυνθάνεσθαι νομίζω· οὐδὲ γὰρ αὐτὰς οἶμαι πιστὰς οὔσας καὶ εὐλαβεῖς, τολμήσειν οὕτω διακειμένας, ἢ τῇ τραπέζῃ τῇ ἁγίᾳ προσελθεῖν, ἢ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριςοῦ προσάψασθαι· οὐδὲ γὰρ ἡ τὴν δωδεκαετῆ ῥύσιν ἔχουσα, πρὸς τὴν ἴασιν ἔθιγεν αὐτοῦ, ἀλλὰ μόνου τοῦ κρασπέδου· προσεύχεσθαι μὲν γὰρ ὅπως ἂν ἔχῃ τις, καὶ ὡς ἂν διάκηται μεμνῆσθαι τοῦ δεσπότου, καὶ δεῖσθαι βοηθείας τυχεῖν, ἀνεπίφθονον· εἰς δὲ τὰ ἅγια, καὶ τὰ ἅγια τῶν ἁγίων, ὁ μὴ πάντη καθαρὸς καὶ ψυχῇ, καὶ σώματι, προσιέναι κωλυθήσεται.

---

ΖΩΝΑΡ. Αἱ Ἑβραΐδες γυναῖκες, ὅτε γένηται αὐταῖς ἡ τῶν ἐμμήνων ῥύσις, ἐν τόπῳ μεμονωμένῳ καθήμεναι, οὐδενὸς προσάπτονται ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν· ὅθεν εἴληπται τὸ, ἐν ἀφέδρῳ, δηλοῦν, τὸ κεχωρίσθαι αὐτὰς ἀπὸ τῆς τῶν λοιπῶν ἕδρας ὡς ἀκαθάρτους. Ἐρωτηθεὶς δὲ ὁ Πατὴρ οὗτος περὶ τῶν πιστῶν γυναικῶν, εἰ χρὴ ταύτας, ὅτε ἡ τῶν ἐμμήνων ῥύσις αὐταῖς ἐνοχλεῖ, εἰσιέναι εἰς ἐκκλησίαν, ἀπεκρίθη, μὴ δεῖν· καὶ τὴν ἐν τῷ Εὐαγγελίῳ αἱμοῤῥοοῦσαν παρήγαγεν εἰς παράδειγμα, μὴ τολμήσασαν θίξαι τοῦ Κυρίου, ἀλλ' ἢ μόνου τοῦ κρασπέδου αὐτοῦ· εὔχεσθαι μὲν γὰρ καὶ τοῦ Κυρίου μεμνῆσθαί, φησιν, οὐδ' ἐν τῷ τοιούτῳ καιρῷ κωλυθήσονται·

εἰς ναὸν δὲ Θεοῦ εἰσιέναι, ἢ μεταλαμβάνειν αὐτὰς τῶν ἁγιασμάτων, οὐ δεῖ.

ΒΑΛΣ. Αἱ Ἑβραΐδες γυναῖκες, ὅταν γένηται αὐταῖς ἡ τῶν ἐμμήνων ῥύσις, ἐν τόπῳ μεμονωμένῳ καθήμεναι ἡσυχάζουσιν, ἕως ἂν ἡμέραι ἑπτὰ παρέλθωσι, καὶ ἡ τῶν ἐμμήνων ῥύσις καθαρισθῇ· ὅθεν εἴληπται τὸ, ἐν ἀφέδρῳ, ἤτοι τὸ κεχωρίσθαι αὐτὰς ἀπὸ τῆς τῶν λοιπῶν ἕδρας, ὡς ἀκαθάρτους· ἐρωτηθεὶς οὖν ὁ ἅγιος περὶ τῶν πιστῶν γυναικῶν, εἰ χρὴ ταύτας, ὅταν ὑπὸ τῶν ἐμμήνων ὀχλῶνται, εἰσιέναι εἰς ἐκκλησίαν, ἀπεκρίθη μὴ δεῖν τοῦτο γίγνεσθαι, καὶ τὴν ἐν τῷ Εὐαγγελίῳ αἱμοῤῥοοῦσαν παρήγαγεν εἰς παράδειγμα, μὴ τολμήσασαν θίξαι τοῦ Κυρίου, ἀλλ' ἢ μόνου τοῦ κρασπέδου αὐτοῦ· εὔχεσθαι μὲν γὰρ, καὶ τοῦ Κυρίου μεμνῆσθαι, φησὶν, οὐδ' ἐν τοιούτῳ καιρῷ κωλυθήσονται· εἰς ναὸν δὲ Θεοῦ εἰσιέναι, ἢ μεταλαμβάνειν αὐτὰς τῶν ἁγιασμάτων, οὐ δεῖ. Ταῦτα τοῦ μεγάλου ἀρχιερέως διορισαμένου, βλέπομεν σήμερον εἰς τὰ γυναικεῖα καὶ μᾶλλον μοναστήρια ἀδεῶς τοιαύτας ἱσταμένας γυναῖκας εἰς τοὺς προνάους, παντοίαις ἁγίαις εἰκόσι κεκαλλωπισμένους, καὶ εἰς δοξολογίαν Θεοῦ ἀπονεμηθέντας, καὶ ἐρωτῶντες ὅπως τοῦτο γίνεται, ἀκούομεν μὴ ἐκκλησιάζειν αὐτὰς, ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ· οὐ γάρ εἰσιν οἱ πρόναοι κοινοὶ, ὡς τὰ τῶν ἐκκλησιῶν προαύλια, ἀλλὰ μέρος αὐτῶν ἀπονεμηθὲν ταῖς γυναιξὶ ταῖς μὴ κωλυομέναις ἐκκλησιάζειν· ὃς δὴ πρόναος, τόπος δεύτερός ἐστι μετανοίας, ὁ τῶν ἀκροωμένων λεγόμενος· καὶ ἐν αὐτῷ, οὐδὲ ἀνδράσιν ἐφεῖται ἵστασθαι ἐπιτιμηθεῖσι μὴ ἐκκλησιάζειν, ἀλλὰ ἔξωθεν αὐτοῦ προσκλαίειν. Ἔδει γοῦν τοὺς τοιούτους προνάους, εἰς οὓς αἱ τοιαῦται ἀκάθαρτοι γυναῖκες ἔμελλον ἵστασθαι, μὴ ἀναπληροῦν τόπον ἐκκλησιῶν ἐξ ὀρθοῦ, ὥστε καὶ ἱερεῖς μετὰ τῶν θείων ἁγιασμάτων διέρχεσθαι κατὰ τὸν χερουβικὸν ὕμνον, καὶ θυμιᾷν τοὺς ἐν τούτῳ ὄντας ἴσως τάφους καὶ ἁγίους, καὶ τελετὰς ἁγίων εὐχῶν ποιεῖν· ἢ κἂν μετὰ ἐπισκοπικῆς ἐπιτροπῆς τοὺς τοιούτους τόπους ἀφορίζεσθαι, ὥστε ἀπροκριματίστως ἵστασθαι ἐν αὐτοῖς τὰς ἀκαθάρτους γυναῖκας. Ἐγὼ δὲ εἶδον καὶ τοιαύτην γυναῖκα ἐπὶ τοῦ προνάου ἑστῶσαν, καὶ

εὐχὴν ἀῤῥαβῶνος παρὰ ἀρχιερέως δεξαμένην, ὅπερ καὶ ἐθαύμασα. Ὡς ἔοικε δὲ, τὸ παλαιὸν εἰσήρχοντο γυναῖκες εἰς τὸ θυσιαστήριον, καὶ ἀπὸ τῆς ἁγίας τραπέζης μετελάμβανον· διὰ τοῦτο γὰρ καὶ τοῦ θυσιαστηρίου μέμνηται ὁ κανών· καὶ ἀνάγνωθι τὸν μδ'. κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου καὶ τὸν ξθ'. τῆς ς'. συνόδου· ὡσαύτως ἀνάγνωθι καὶ τὴν ιζ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ἐν μέρει ταῦτα διαλαμβάνουσαν· Ὁρίζομεν περὶ τεκουσῶν γυναικῶν, καὶ περὶ τῶν ὅσαι τῇ φυσικῇ καθάρσει καταλαμβάνονται, ἀνενοχλήτους μὲν ἐξ ἄλλης τινὸς διαθέσεως νοσερᾶς τῆς ζωῆς αὐτῶν συντελούσης, ἀμετόχους εἶναι· τὰς μὲν ἀτελέστους, τοῦ φωτισμοῦ· τὰς δὲ μεμυσταγωγημένας τῶν ἀχράντων μυστηρίων τῆς μεταλήψεως, μέχρι τῆς τῶν μ'. ἡμερῶν προθεσμίας· νοσήματος δέ τινος κατασχόντος, καὶ τὴν διακοπὴν τῆς ζωῆς ἀπειλοῦντος, παντὶ τρόπῳ μεταλαμβάνειν αὐτὰς τοῦ ἁγιάσματος. Καὶ μετά τινα πάλιν παρακελεύεται ἡ αὐτὴ νεαρὰ περὶ βρεφῶν, νοσήματος μὲν μὴ κατεπείγοντος, μετὰ τὴν ὀγδόην ἡμέραν ταῦτα βαπτίζεσθαι· θανάτου δὲ ἐφισταμένου, καὶ τῆς ὀγδόης ἡμέρας ἐντὸς αὐτὰ βαπτίζεσθαι. Ἐπεὶ δὲ ἤκουσά τινος λέγοντος, ὡς οὐκ ὀφείλουσιν οἱ ἀφωρισμένοι λαϊκοὶ ἢ ἀκροᾶσθαι θείων ψαλτῳδημάτων, ἔξωθεν τοῦ προνάου ἱστάμενοι, ἀλλ' οὐδὲ ψάλλειν, ἀπολογοῦμαι πρὸς αὐτὸν, ὅτι τὰ ἐν τῷ παρόντι κανόνι γεγραμμένα ἐπιστομίζουσί σε, ἄνθρωπε, τοιαῦτα λέγοντα· ὥσπερ γὰρ αἱ μὴ παραχωρούμεναι ἐκκλησιάζειν γυναῖκες προσεύχεσθαι οὐ κωλύονται· οὕτως οὐδὲ οἱ ἀφωρισμένοι κωλυθήσονται καθ' ἑαυτοὺς εὔχεσθαι, ἵστασθαι δὲ καὶ ἔξωθεν τοῦ προνάου τῆς ἐκκλησίας, καὶ ἀκροᾶσθαι τῶν θείων ψαλτῳδημάτων· διότι τοῦτο πρὸς πλείονα συντριβὴν αὐτῶν ἐστίν.

## Κανὼν Γ'.

Αὐτάρκεις δὲ καὶ οἱ γεγαμηκότες (1) ἑαυτῶν ὀφείλουσιν εἶναι κριταί· ὅτι γὰρ ἀπέχεσθαι ἀλλήλων προσῆκον ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσωσι τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ὦσιν, ἀκηκόατε Παύλου γράφοντος.

(1) Χ. Τρ. Π. Σ. Ρ. — γεγηρακότες Ε. Βευερ.

ΖΩΝΑΡ. Περὶ τῶν ἐν γάμῳ νομίμῳ βιούντων ἐρωτηθεὶς, εἰ χρὴ ἀπέχεσθαι ἀλλήλων, ἔφησεν, ὡς ὀφείλουσιν οἱ τοιοῦτοι αὐτοὶ ἑαυτῶν εἶναι κριταὶ, καί ποτε ἀλλήλων ἀπέχεσθαι ἐκ συμφώνου, ἤγουν ἐκ κοινοῦ θελήματος· οὔτε γὰρ ὁ ἀνὴρ ἐξουσιάζει τοῦ ἰδίου σώματος, οὔτε ἡ γυνὴ, κατὰ τὸν μέγαν Ἀπόστολον (1)· διὰ τοῦτο οὖν συμφωνεῖν ἀλλήλους δεῖ περὶ ἀποχῆς, ἵνα σχολάζωσι τῇ προσευχῇ καὶ τῇ νηστείᾳ· εἰ γὰρ μὴ ἐκ συμφώνου γίνοιτο ἡ ἀποχὴ, ἀποστερεῖ πάντως(2) τὸ μὴ βουλόμενον τὴν συνουσίαν μέρος, τὸ ταύτην ἐπιζητοῦν· καὶ πῶς ἂν δόξῃ ἐξουσιάζειν τοῦ σώματος τοῦ μὴ συγχωροῦντος μέρους, τὸ τὴν συνάφειαν ζητοῦν καὶ μὴ συγχωρούμενον; Συμβαίνει δὲ καὶ τὴν θατέρου ἐγκράτειαν, εἰς βλάβην ἴσως ἀποβαίνειν θατέρου· εἰ γὰρ νικᾶται ὑπὸ τῆς ἐπιθυμίας καὶ οὐ παραχωρεῖται, περιπεσεῖται μίξει ἀθέσμῳ. Εἶτα καὶ τὸν καιρὸν ὁ Ἀπόστολος ὁρίζει, ὅν φησιν εἶναι τῆς προσευχῆς καὶ νηστείας. Ἐρεῖ οὖν τις, ὅτι τοῦ Ἀποστόλου λέγοντος, ἀδιαλείπτως προσεύχεσθαι, ἀεὶ χρὴ καὶ τοὺς συνοικοῦντας ἀλλήλων ἀπέχεσθαι, εἰ, ὅτε προσεύχονται, ἀλλήλων ἀπαιτοῦνται ἀπέχεσθαι· ἀλλ' οὐ περὶ πάσης προσευχῆς ἐνταῦθά φησιν ὁ Ἀπόστολος, περὶ δέ γε τῆς σπουδαιοτέρας, ἣν ἐν δάκρυσι καὶ κακοπαθείαις δεῖ γίνεσθαι· οὐ γὰρ πάντως οὕτω προσεύξονται πάντοτε· νηστείαν δὲ λέγει, τὴν γινομένην ἐν καιροῖς ὡρισμένοις, ἢ ὅτε μέλλει τις τῶν ἁγιασμάτων μετέχειν. Καὶ τοῖς Ἰουδαίοις δὲ μέλλουσιν ἀκοῦσαι τῶν ἐν τῷ ὄρει θείων φωνῶν, ἀπέχεσθαι τῶν γαμετῶν ἐπετάχθη(3). Καὶ ὁ Ἰωὴλ, Ἁγιάσατε νηστείαν, εἰπὼν, ἐξελθέτω, προσέθετο, νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς(4)· δεῖ γὰρ τοὺς νηστεύοντας, ἡδυπαθείας πάσης ἀπέχεσθαι, ὅτι χαυνοῦν τὴν ψυχὴν, καὶ συγχέειν τὸν λογισμὸν, αἱ τῶν ἡδονῶν ἀπολαύσεις πεφύκασιν.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἠρωτήθη ὁ ἅγιος, ἐὰν ἐνδέχηται τοὺς συζύγους γεγηρακότας, καθ' οὓς καιροὺς ὀφείλουσι προσεύχεσθαι,

(1) Κορ. Ζ', 4. — (2) ἠνάγκην ἀποστερεῖν Χ. Γρ. — (3) Ἐξόδ. ΙΘ', 15.— (4) Ἰωὴλ. Β', 16.



τῆς ἐπιμιξίας ἀπέχεσθαι· καί φησιν, ὡς οἱ τοιοῦτοι ἑαυτῶν κριταὶ γινέσθωσαν· καί ποτε ἀλλήλων ἐκ συμφώνου, ἤγουν ἐκ κοινοῦ θελήματος ἀπεχέτωσαν, ἤγουν κατὰ τοὺς καιροὺς καθ' οὓς ἐνετάλθησαν προσεύχεσθαι, διαγέτωσαν μετὰ πάσης σωφροσύνης, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἔστωσαν, ὅτι καὶ ὁ μέγας Παῦλος τοῦτο διετάξατο· καὶ ὁ μὲν κανὼν περὶ γεγηρακότων φησίν· ἐξακουστέον δὲ τὰ ἐν αὐτῷ, καὶ εἰς πάντας τοὺς ὁμοζύγους. Καλῶς δὲ εἶπε τὸ, ἐκ συμφώνου· οὔτε γὰρ ὁ ἀνὴρ ἐξουσιάζει τοῦ ἰδίου σώματος· οὔτε ἡ γυνὴ, κατὰ τὸν μέγαν Ἀπόστολον· διὰ τοῦτο οὖν ἀλλήλους δεῖ συμφωνεῖν περὶ ἀποχῆς, ἵνα σχολάσωσι τῇ προσευχῇ καὶ τῇ νηστείᾳ· εἰ γὰρ μὴ ἐκ συμφώνου γίνοιτο ἡ ἀποχὴ, ἀποστερεῖ πάντως τὸ μὴ βουλόμενον τὴν συνουσίαν μέρος, τὸ ταύτην ἐπιζητοῦν· καὶ πῶς ἂν δόξειεν ἐξουσιάζειν τοῦ σώματος τοῦ μὴ συγχωροῦντος μέρους τὸ τὴν συνάφειαν ζητοῦν καὶ μὴ συγχωρούμενον; συμβαίνει δὲ καὶ τὴν θατέρου ἐγκράτειαν, εἰς βλάβην ἴσως ἀποβαίνειν θατέρου· εἰ γὰρ νικᾶται ὑπὸ τῆς ἐπιθυμίας καὶ οὐ παραχωρεῖται, περιπεσεῖται μίξει ἀθέσμῳ. Ἐρεῖ δέ τις, ὡς, ἐπεὶ ὁ κανὼν φησιν ἀποδιΐστασθαι τοὺς ὁμοζύγους ἵνα σχολάσωσι τῇ προσευχῇ, ὁ Ἀπόστολος διορίζεται ἀδιαλείπτως ἡμᾶς προσεύχεσθαι, ἀεὶ χρὴ καὶ τοὺς συνοικοῦντας ἀλλήλων ἀπέχεσθαι; Ἀλλ' οὐ περὶ πάσης προσευχῆς ὁ λόγος ἐστί· περὶ δὲ τῆς σπουδαιοτέρας, ἤγουν τῆς τῶν ἁγίων νηστειῶν· ὅτι καὶ διὰ τοῦ Μωσέως ὁ Θεὸς παρηγγύησατο τοῖς Ἰουδαίοις, μέλλουσιν ἀκοῦσαι τῶν ἐν τῷ ὄρει θείων φωνῶν, ἀπέχεσθαι τῶν ἰδίων γαμετῶν (1). Καὶ ὁ Προφήτης Ἰωὴλ, Ἁγιάσατέ, φησι, νηστείαν, καὶ ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς(2). Τούτων δὲ οὕτως ἐχόντων, οὐ συνορῶ, ποίοις ἐπιτιμίοις καθυποβληθήσονται οἱ ταῦτα μὴ φυλάττοντες· νομίζω δὲ, ὅτι κατὰ τὴν διάκρισιν τοῦ τὴν ἐξαγορίαν δεχομένου, ἡ θεραπεία γενήσεται πρὸς τὰ πρόσωπα, καὶ τὴν ἀνάγκην τῆς φύσεως· καὶ ἀνάγνωθι τὸν ρβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

(1) Ἐξόδ. ΙΘ', 15. — (2) Ἰωὴλ Β', 16.

## Κανὼν Δ'.

Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, καὶ οὗτοι τῷ ἰδίῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτοὺς, εἴτε διακρίνονται περὶ τούτου, εἴτε μὴ, σκοπείτωσαν· ὡς γὰρ ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται· οὕτω καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω, καὶ εὐπαῤῥησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ(1). Ταῦτα, σὺ μὲν, τιμῶν ἡμᾶς (οὐ γὰρ ἀγνοῶν ἀγαπητὲ,) τὰ πύσματα ἡμῖν προσήγαγες, ὁμόφρονας ἡμᾶς, ὥσπερ οὖν ἐσμὲν, καὶ ὁμοψήφους σεαυτῷ παρασκευάζων. Ἐγὼ δὲ, οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς μετὰ πάσης ἁπλότητος προσῆκον ἡμᾶς ἀλλήλοις διαλέγεσθαι, εἰς κοινὸν τὴν διάνοιαν ἐμαυτοῦ ἐξέθηκα· ἣν ἐπικρίνας καὶ σὺ, συνετώτατέ μου υἱὲ, ὅ,τι ἂν σοι φανῇ δίκαιον καὶ βέλτιον, εἰ καὶ οὕτως ἔχειν δοκιμάζοις, περὶ αὐτῶν ἀντιγράψεις. Ἐῤῥῶσθαί σε, ἀγαπητέ μου υἱέ, ἐν εἰρήνῃ λειτουργοῦντα τῷ Κυρίῳ, εὔχομαι.

---

ΖΩΝΑΡ. Καὶ ταῦτα πρὸς ἐρώτησιν ὁ Πατὴρ ἀποκρίνεται. Ἐρωτηθεὶς γὰρ, εἰ δεῖ τοὺς ἐκ ῥύσει σπέρματος γενομένους ἀπροαιρέτως, τῶν ἁγιασμάτων μετέχειν, ἔφη, ὅτι οἱ τοῦτο παθόντες τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· ἤγουν τὸ συνειδὸς ἐχέτωσαν τοῦ πράγματος δικαστὴν, τὴν οἰκείαν δηλονότι διάνοιαν, ὥστε, εἰ μὲν μή τινος ἐμπαθείας προϋποκειμένης συμβέβηκεν αὐτομάτως ἡ τῆς γονῆς ἐκροὴ, τῆς φύσεως αὐτὴν ὡς περίττωμα ἐκκρινάσης, ἢ εἰ μὴ ἐκ παροινίας καὶ ἐξ ἀδδηφαγίας ἐγένετο, οὐκ ἐμποδισθήσεται ὁ τοῦτο παθὼν τῷ ἁγίῳ προσελθεῖν θυσιαστηρίῳ· εἰ δέ τις προϋπῆρξεν ἐμπαθὴς λογισμὸς, καὶ οὗτος ἐμφιλοχωρήσας τῇ διανοίᾳ αὐτοῦ, φαντασίαν ἐπήνεγκε νυκτερινὴν, καὶ ταύτῃ ἐπηκολούθησεν ἡ τῆς γονῆς ἐκροὴ, καὶ ἐξ ἀκρασίας βρωμάτων καὶ πόσεως συνέβη, ὁ τοιοῦτος οὐ καθαρός ἐστιν, οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος (οὐδὲ γὰρ ἀκάθαρτον τοῦτο, ἐπεὶ μηδὲ ἡ σὰρξ, ἧς ἐκεῖνο περίττωμα,) ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον, ὅπερ ἐμόλυνε τὴν διάνοιαν· ὁ γοῦν τοιοῦτος οὐκ εὐσυνείδητος, κἀντεῦθεν οὐδ' εὐπαῤῥησίαστος διὰ τὸ ἴδιον ἐνθύμιον· πῶς οὖν προσελεύσεται τῷ Θεῷ διακρινόμενος; Ἐπάγει δὲ καὶ χρῆσιν ἐκ τοῦ μεγάλου Παύλου, γράψαντος περὶ τῶν εἰδωλοθύτων, ὅτι ὁ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται. Περὶ δὲ τῆς τοῦ σπέρματος ῥεύσεως, καὶ ὁ μέγας Ἀθανάσιος πλατέως ἔγραψε πρὸς Ἀμμοῦν μονάζοντα.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ Πατὴρ, εἰ ὀφείλουσι τῶν ἁγιασμάτων μετέχειν οἱ ἐν ῥύσει σπέρματος ἀπροαιρέτως γενόμενοι, ἔφησεν, ὅτι οἱ τοῦτο παθόντες, τὸ οἰκεῖον συνειδὸς κριτὴν ἐχέτωσαν, ὥστε, εἰ μὲν μή τινος ἐμπαθείας προϋποκειμένης, συνέβη αὐτοῖς τοῦτο, αὐτομάτως τῆς φύσεως ἐκκρινάσης ὡς περίττωμα τὴν ἐκροὴν, οὐκ ἐμποδισθήσονται τῶν ἁγιασμάτων μεταλαβεῖν· εἰ δέ τισι προϋπῆρξεν ἐξ ἐμπαθοῦς λογισμοῦ ἐπιθυμία, καὶ ταύτῃ ἐπηκολούθησεν ἐκροὴ, ἢ ἐξ ἀκρασίας βρωμάτων καὶ πόσεως συνέβη τοῦτο, οἱ τοιοῦτοι οὐκ εἰσὶ καθαροί· οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος, (οὐ γὰρ ἀκάθαρτον τοῦτο, ἐπεὶ μηδὲ ἡ σὰρξ, ἧς ἐκεῖνο περίττωμα,) ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον, ὅπερ ἐμόλυνε τὴν διάνοιαν· ὁ γοῦν τοιοῦτος οὐκ εὐσυνείδητος, κἀντεῦθεν οὐδ' εὐπαῤῥησίαστος εἰς τὸ προσελθεῖν τῷ Θεῷ. Ἐπάγει δὲ καὶ χρῆσιν ἐκ τοῦ μεγάλου Παύλου γράψαντος περὶ τῶν εἰδωλοθύτων, ὅτι ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται. Περὶ δὲ τῆς τοῦ σπέρματος ῥεύσεως, ζήτει καὶ τοῦ μεγάλου Ἀθανασίου ἐπιστολὴν πρὸς Ἀμμοῦν μονάζοντα.

---

(1) Ἐνταῦθα λήγει ὁ κανὼν ἐν Χ. Τρ. καὶ Σ. Ρ.

(1) Ῥωμ. ΙΔ', 23.

# ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
# ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΠΕΤΡΟΥ
## ΚΑΙ ΜΑΡΤΥΡΟΣ,

### ΚΑΝΟΝΕΣ ΕΜΦΕΡΟΜΕΝΟΙ ΕΝ ΤΩ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΑΥΤΟΥ ΛΟΓΩ.

### Κανὼν Α'.

ΕΠΕΙ(1) τέταρτον ἤδη Πάσχα ἐπικατείληφε τὸν διωγμὸν, αὐτάρκως ἔχει τοῖς μὲν προσενεχθεῖσι καὶ φυλακισθεῖσι, βασάνους τε ἀνηκέστους (2) ὑπομεμενηκόσι, καὶ ἀφορήτους μάστιγας, καὶ πολλὰς ἑτέρας δεινὰς ἀνάγκας, ὕστερον δὲ προδεδομένοις ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, εἰ καὶ μὴ ἐξ ἀρχῆς παρεδέχθησαν διὰ τὴν παρακολουθήσασαν μεγίστην πτῶσιν, ὅμως διὰ τὸ πολλὰ αὐτοὺς ἠθληκέναι, καὶ ἐπὶ πολὺ ἀντιμαχέσασθαι, (οὐ γὰρ κατὰ προαίρεσιν εἰς τοῦτο ἐληλύθασιν, ἀλλὰ καταπροδοθέντες ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἐπειδὴ καὶ (3) στίγματα τοῦ Ἰησοῦ ἐνδείκνυνται ἐν τοῖς σώμασιν αὐτῶν, καὶ ἤδη τρίτον τινὲς ἔτος ἔχουσι καταπενθοῦντες) προσεπιτιμηθῆναι αὐτοῖς ἀπὸ τῆς προσελεύσεως καθ' ὑπόμνησιν, ἄλλας τεσσαράκοντα ἡμέρας, ἃς καί περ νηστεύσας ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τὸ βαπτισθῆναι, ἐπειράσθη ὑπὸ τοῦ διαβόλου· εἰς ἃς καὶ αὐτοὶ κατὰ περισσὸν διαγυμνασθέντες, εὐτονώτερόν τε νήψαντες, γρηγορήσουσιν εἰς προσευχὰς τοῦ λοιποῦ, καταμελετῶντες τὸ λελεγμένον ὑπὸ τοῦ Κυρίου πρὸς τὸν πειράζοντα αὐτὸν, ἵνα προσκυνήσῃ αὐτῷ· Ὕπαγε ὀπίσω μου Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (4).

---

(1) Ἐπεὶ τοίνυν Π. Ε. — (2) Π. Χ. Τρ. Σ. Ρ. — ἀνυποίστους Βευερ. — (3) ἐπειδὴ καὶ τὰ στίγματα Π. — (4) Ματθ. Δ', 10. Λουκ. Δ', 8. Δευτερ. ς', 13.

ΖΩΝΑΡ. Διαιρέσεις ποιεῖται ὁ ἅγιος οὗτος Πατὴρ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν πίστιν (1), καί φησιν, ὅτι τοῖς ἀχθεῖσι πρὸς τοὺς τυράννους, καὶ εἰς φυλακὴν ἐμβληθεῖσι, βασάνους τε ἀνηκέστους ὑπομεμενηκόσι, καὶ ἀφορήτους μάστιγας, καὶ σχεδὸν ἀνιάτους καὶ ἀθεραπεύτους (ἄκος γὰρ ἡ θεραπεία ἐστὶ, καὶ ἀνήκεστον τὸ ἀθεράπευτον), καὶ ἄλλας ἀνάγκας, καὶ μετὰ ταῦτα ὑποκύψασι, καὶ θύσασιν, ὡς ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς προδοθεῖσι, μὴ δυνηθείσης μέχρι τέλους ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς, ἀρκεῖ ὁ παρελθὼν χρόνος εἰς ἐπιτίμησιν· τέταρτον γάρ, φησιν, ἤδη Πάσχα ἐπικατείληφεν, ἐξ ὅτου πεπτώκασι τὴν μεγίστην πτῶσιν· καὶ εἰ τάχα καὶ ἐξ ἀρχῆς ὅτε προσῆλθον μεταμελόμενοι οὐκ ἐδέχθησαν, ὅμως, ὅτι οὐ κατὰ προαίρεσιν ἦλθον εἰς τὸ θῦσαι, καὶ ἀντέστησαν ἐπὶ πολὺ, καὶ στίγματα τοῦ Ἰησοῦ, ἤγουν μώλωπας τῶν τραυμάτων, ὧν ὑπέστησαν ὑπὲρ τοῦ Χριστοῦ, ἔχουσι, καὶ ἤδη τρίτον ἔτος παρῆλθε πενθούντων αὐτῶν διὰ τὴν πτῶσιν, προσεπιτιμηθῆναι ὥρισεν, ἀντὶ τοῦ, ἐπὶ πλέον ἐπιτιμηθῆναι, ἄλλας τεσσαράκοντα ἡμέρας ἐξ ὅτου προσῆλθον ζητοῦντες δεχθῆναι· ἐν αἷς ἐπὶ πλέον γυμνασίαν πρὸς μετάνοιαν ἐπιδείξαντες, καὶ ἐντονώτερον νήψαντες, ἤγουν σπουδαιότερον προσχόντες ἑαυτοῖς, γρηγορήσουσιν εἰς προσευχὰς, καταμελετῶντες, ἤγουν συνεχῶς ἐν φροντίδι ποιοῦντες, καὶ λέγοντες ἃ ὁ Κύριος πρὸς τὸν πειράζοντα εἶπεν· Ὕπαγε ὀπίσω μου Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

ΒΑΛΣ. Οἱ παρόντες κανόνες, περὶ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν οἰκείαν πίστιν, καὶ μετανοησάντων, διαλαμβάνουσι. Καὶ αὐτίκα ὁ πρῶτος κανὼν διακελεύεται (2), τοὺς θύσαντας μετὰ βασάνους πολλὰς, ὡς μὴ δυνηθέντας δι' ἀσθένειαν ἐγκαρτερῆσαι, καὶ διαβιβάσαντας τρία ἔτη ἐν τῇ μετανοίᾳ, προσεπιτιμηθῆναι καὶ ἑτέρας τεσσαράκοντα ἡμέρας, καὶ οὕτω δεχθῆναι. Σημείωσαι τοὺς παρόντας κανόνας διοριζομένους διάφορά τινα καὶ ἀναγκαῖα χάριν τῶν ἀρνησιθέων ζητούντων μετάνοιαν, καὶ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον καὶ ἐκπεπτωκότων, καὶ πάλιν ὁμολογησάντων τὴν πίστιν, καὶ

(1) Χ. Τρ. — τὴν οἰκείαν Βενετ. — (2) παρακελεύεται Χ. Τρ.

περὶ ἄλλων τινῶν τοιούτων. Ζήτει ἀναγκαίως καὶ τοὺς πλείους κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου (1).

## Κανὼν Β'.

Τοῖς δὲ μετὰ τὸ φυλακισθῆναι μόνον, καὶ ὑπομεμενηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ, ὡς ἂν ἐν πολιορκίᾳ, θλίψεις τε καὶ δυσωδίας, ὕστερον δὲ χωρὶς πολέμου βασάνων γενομένοις αἰχμαλώτοις, κατὰ πολλὴν πτωχείαν δυνάμεως, καὶ κατά τινα τυφλότητα τεθραυσμένοις (2), ἐπαρκέσει ἐνιαυτὸς πρὸς τῷ ἑτέρῳ χρόνῳ· ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπιδεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ (3) θλιβῆναι, εἰ καὶ ἀπήλαυσαν ἐν τῷ δεσμωτηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύσεως, ἅπερ (4) πολλαπλασίονα ἀποδώσουσι, ποθοῦντες λυτρωθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλωσίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγοντος· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως (5).

---

ΖΩΝΑΡ. Ἐν δευτέρᾳ τάξει τίθησι τοὺς μόνον φυλακισθέντας καὶ κακοπαθήσαντας ἐν τῇ φυλακῇ, καὶ χωρὶς βασάνων παραπεπτωκότας, οἷς ἐνιαυτὸν ἔταξεν εἰς ἐπιτίμιον μετὰ τὸν παρελθόντα χρόνον, ἤγουν τὴν τριετίαν, ἣν εἴρηκεν ἄνω· διότι καὶ αὐτοί, φησιν, ὑπὲρ τοῦ ὀνόματος ἐθλίβησαν τοῦ Χριστοῦ, εἰ τάχα καὶ ἀπήλαυσαν παρακλήσεως ἐν τῷ δεσμωτηρίῳ ἐκ τῶν ἀδελφῶν (6)· ὡς ἔοικε γάρ, οἱ πιστοί, ὅσοι οὐ συνεσχέθησαν, τοῖς καθειργμένοις ἐχορήγουν τὰ εἰς διοίκησιν, καὶ

(1) καὶ περὶ ἄλλων . . . συνόδου οὐ κεῖται ἐν Χ. Τρ. — ὅπου ἡ σημ. αὕτη εὕρηται ἐν περισσ. — (2) καὶ κατά τινα τυφλότητα τεθραυσμένοις, οὐ κεῖται ἐν Π. — (3) Π. Βευερ. Ἐ. — τοῦ Κυρίου Χ. Τρ. — (4) οἵπερ Ἐ. — (5) Ἡσ. Α', 1. Λουκ. Δ', 18, 19. — (6) ἐκ τῶν ἀδελφῶν οὐ κεῖται ἐν Χ. Τρ.



ἀνέπαυον αὐτούς (1)· ἅπερ πολλαπλασίονα ἀποδώσουσιν, ἀντὶ τοῦ, ἀνθ' ὧν ἀπήλαυσαν ἐν τῇ φυλακῇ μετανοοῦντες, θλίψουσιν ἑαυτοὺς καὶ κακώσουσι πολλαπλασίως, εἰ θέλουσι λυτρωθῆναι ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, αἰχμάλωτοι καὶ δοῦλοι γεγονότες αὐτῷ διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ. Εἶτα ἐπάγει τὰ προφητικὰ ῥήματα, ἅπερ ἐκ τοῦ Ἡσαΐου εἰσί, λέγων, ὅτι δεῖ τούτων μεμνῆσθαι αὐτούς.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν διαλαμβάνει τοὺς μόνον κακοπαθήσαντας ἐν τῇ φυλακῇ, καὶ χωρὶς βασάνων παραπεπτωκότας, ἐπιτιμᾶσθαι μετὰ τὸν τριετῆ χρόνον καὶ ἐπὶ ἕτερον ἐνιαυτόν. Εἰ τάχα γάρ, φησι, καὶ ἀπήλαυσαν παρακλήσεως, ὡς τινων πιστῶν χορηγούντων αὐτοῖς τὰ πρὸς διοίκησιν, ἀλλὰ καὶ οὗτοι ὀφείλουσι συγγνώμης ἀξιοῦσθαι, ὡς ὑπὲρ τῆς πίστεως κακοπαθήσαντες.

## Κανὼν Γ'.

Τοῖς δὲ μηδ' ὅλως μηδέν τι τοιοῦτον πεπονθόσι, μηδὲ ἐνδειξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομολήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ὑπὸ δειλίας, καὶ φόβου, νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀναγκαῖόν ἐστι καὶ ἁρμόζον, τὴν τῆς ἀκάρπου συκῆς παραβολὴν παραθέσθαι, ὡς ὁ Κύριος λέγει (2)· Συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε καρπὸν ζητῶν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδού, τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτήν, καὶ βάλω κόπρια· κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν· ἣν πρὸ ὀφθαλμῶν λαβόντες, ἐνδειξάμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας ἐν τῷ διαστήματι τοῦ τοσούτου χρόνου, μᾶλλον ὠφεληθήσονται.

---

(1) καὶ ἀνέπαυον αὐτούς, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Λουκ. ΙΓ', 6—9.

ΖΩΝΑΡ. Ὅσοι δέ, φησι, μή τι ὑποστάντες ἀλγεινόν, διὰ φόβον μόνον καὶ δειλίαν ηὐτομόλησαν, ἀντὶ τοῦ, αὐτοὶ ἑκόντες προσῆλθον τῇ κακίᾳ, εἶτα εἰς μετάνοιαν ἀπεῖδον, τοῖς τοιούτοις ἡ τῆς συκῆς ἁρμόσει παραβολὴ κατὰ τὸ Εὐαγγέλιον· ἣν λαβόντες πρὸ ὀφθαλμῶν, καὶ καρπὸν ἄξιον μετανοίας ἐπὶ τοσοῦτον χρόνον δόντες, ὠφεληθήσονται, ἤγουν ἐπὶ τετραετίαν· ὁ γὰρ Κύριος, Τρία ἔτη, ἔφησεν, ἔρχομαι πρὸς αὐτὴν ζητῶν καρπόν, καὶ οὐχ εὑρίσκω· ὁ δὲ ἀμπελουργός, Ἄφες αὐτήν, εἶπε, Κύριε, καὶ τοῦτο τὸ ἔτος.

ΒΑΛΣ. Τοὺς μέντοι διὰ φόβον μόνον καὶ δειλίαν αὐτομολήσαντας, εἶτα εἰς μετάνοιαν ἀπιδόντας, διὰ τριετίας ἐπιτιμᾷ ὁ κανών, κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολὴν τῆς συκῆς. Ὁ γὰρ Κύριος, Τρία ἔτη, ἔφησεν, ἔρχομαι πρὸς αὐτὴν ζητῶν καρπόν, καὶ οὐχ εὑρίσκω· ὁ δὲ ἀμπελουργός, Ἄφες, εἶπεν, αὐτήν, Κύριε καὶ τοῦτο τὸ ἔτος.

## Κανὼν Δ'.

Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις καὶ ἀμετανοήτοις, δέρμα τε Αἰθίοπος ἀμετάβλητον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς ἑτέρας συκῆς· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα (1)· διὸ καὶ παραχρῆμα ξηραίνεται. Ἀποπληροῦται γοῦν ἐπ' αὐτοῖς καὶ τὸ ὑπὸ τοῦ Ἐκκλησιαστοῦ εἰρημένον(2)· Διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι· εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἐπικοσμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι. Ὅθεν καὶ ἐπὶ τέλους συμβήσεται αὐτοῖς τὸ λελεγμένον ὑπὸ τοῦ προφήτου Ἡσαΐου· Καὶ ὄψονται γάρ, φησι, τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί(3). Ἐπεὶ καὶ ὡς προλέλεκται ὑπ' αὐτοῦ, οἱ δὲ ἄδικοι ὡς θάλασσα

(1) Ματθ. ΚΑ', 19. Μάρκ. ΙΑ', 13. — (2) Ἐκκλ. Α', 15. — (3) Ἡσ. ΞΣ', 24.



ἀναβεβρασμένη (1), οὕτω κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται· καὶ οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.

---

ΖΩΝΑΡ. Ἃ μὲν προείρηται, περὶ τῶν παραπεπτωκότων εἴρηται καὶ μεταμελομένων. Κατὰ δὲ τῶν ἀμετανοήτων ἐξ ἀπογνώσεως, ἢ πονηρᾶς γνώμης, καὶ τὸ ἐξ ἁμαρτίας μελάνωμα ἀμετάβλητον καὶ ἀνέκπλυτον ἐχόντων, ὡς οἱ Αἰθίοπες τὸ ζοφερὸν τοῦ δέρματος ἀμετάβλητον (2), καὶ ἡ πάρδαλις τὰ ποικίλματα, τὴν κατάραν τῆς ἑτέρας ἐπάγει συκῆς, πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται· καὶ πληροῦσθαι, φησίν, ἐπ' αὐτοῖς τὰ τοῦ Ἐκκλησιαστοῦ, λέγοντος· Διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι· εἶτα σαφηνίσας τὰ ῥητὰ ταῦτα, προστίθησι καὶ τὰ τοῦ Ἡσαΐου.

ΒΑΛΣ. Ἃ μὲν προείρηται, περὶ τῶν παραπεπτωκότων εἴρηται καὶ περὶ μεταμελομένων. Κατὰ δὲ τῶν ἀμετανοήτων, τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει, πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται.

## Κανὼν Ε'.

Τοῖς δὲ καθυποκρινομένοις κατὰ τὸν ἐπιληπτευσάμενον Δαβὶδ(3), ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίληπτον, καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς ἄρνησιν, ἀλλὰ διαπαίξασι κατὰ πολλὴν στενοχωρίαν, ὡς ἂν παιδία βουλευτικὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι, τὰς τῶν ἐχθρῶν ἐπιβουλάς, ἤτοι ὡς διελθόντες βωμούς, ἤτοι ὡς χειρογραφήσαντες, ἤτοι ὡς ἀνθ' ἑαυτῶν βαλόντες ἐθνικούς, (εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων (4), ὡς ἤκουσα, ἐπεὶ μάλιστα κατὰ πολλὴν εὐλάβειαν ἐξέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρός, καὶ τῆς ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων) ἐπεὶ τοίνυν ἔλαθεν αὐτοὺς ἀνοία

(1) Σ. Ρ.— ὡς θάλασσα ἀναβεβρασμένη, οὐ κεῖται ἐν Π. Ἑ. Χ. Τρ. Βευερ. — (2) Χ. Τρ.—κεῖται παρὰ Βευερ.—(3) α'. Βασιλ. ΚΑ', 13.—(4) ὁμολογητῶν Σ. Ρ.

τοῦτο πράξαντας(1), ὅμως ἑξάμηνος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς· οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσονται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν, καὶ λέγοντες· Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος· ὅσπερ, ὡς ἴστε, ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ ἑτέρου παιδίου, τοῦ προκηρύξαντος πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν, συνελήφθη καὶ αὐτὸς κηρύξαι μετάνοιαν. Καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούομεν ἐν πρώτοις κηρυσσόντων οὐ μόνον περὶ μετανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν, ἥτις, καθὼς μεμαθήκαμεν, ἐντὸς ἡμῶν ἐστι, τῷ ἐγγὺς ἡμῶν εἶναι τὸ ῥῆμα, ὃ πιστεύομεν ἐν τῷ στόματι ἑαυτῶν, καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν· περὶ ἧς καὶ αὐτοὶ ὑπομνησθέντες, μαθήσονται ὁμολογεῖν ἐν τῷ στόματι ἑαυτῶν, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, πιστεύοντες ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν· ἅτε δὴ ἀκούοντες (2), ὅτι καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

---

ΖΩΝΑΡ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ τὰ πρὸς ἄρνησιν ἔγραψαν, ἀντὶ τοῦ, οὐκ ἀπαρακαλύπτως, οὐ φανερῶς, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτοὺς, ὡς ὁ Δαβὶδ, ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δέ, φησι, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ, ἔμφρονα, φρόνιμα δηλαδὴ, καὶ συνετῶς βουλευόμενα, διαπαίζουσιν ἐν ἄφροσι παιδίοις·

(1) Χ. Τρ. Σ. Ῥ. Π. — ἀνοίᾳ τοῦ πράξαντος Ἑ. Βευερ. —(2) περὶ ἧς καὶ αὐτοὶ ὑπομνησθέντες ... ἅτε δὴ ἀκούοντες, οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. Σ. Ῥ. Ἐ. καὶ Π.



παιδίοις δὲ ἔμφροσιν ἀπεικάζει τοὺς ἀπατήσαντας τοὺς ἀσεβεῖς, καὶ δόξαντας μὲν θύειν, μὴ θύσαντας δέ· ἔμφροσι μὲν, ὡς τὴν θυσίαν τέως ἐκκλίνοντας· παιδίοις δὲ, ὡς μὴ τέλειον καὶ ἀνδρῶδες ἐνδειξαμένους φρόνημα, καὶ γενναίως ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἀλλ' ὅλως συνθεμένους θῦσαι, ἢ καὶ εἴ τινες ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς, ἤγουν ἀπίστους, καὶ ἐκείνων θυσάντων, ἐνομίσθησαν αὐτοὶ τεθυκέναι, τοῖς τοιούτοις, φησὶν, ἑξάμηνος καιρὸς ἐξαρκέσει εἰς μετάνοιαν· κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι, ἢ ὅτι ἑτέρους ὑπέβαλον, καὶ ἔδοξαν αὐτοὶ θῦσαι, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων· τινὲς γὰρ τῶν μαρτυρησάντων καὶ παθόντων ὑπὲρ τῆς πίστεως συνεχώρησαν τοῖς διὰ μεθόδων, ὡς εἴρηται, μὴ θύσασι, καὶ ἐδέξαντο αὐτοὺς μετὰ τῶν πιστῶν, ὅτι ἐξέφυγον πολυτρόπως τὸ θυσιάσαι τοῖς δαίμοσι· διὰ δὲ τὴν ἑξάμηνον προθεσμίαν, ἐμνήσθη καὶ τοῦ διὰ Γαβριὴλ μηνύματος, τοῦ ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ Προδρόμου, ἐν ᾧ συνελήφθη ὁ Κύριος. Ἐπιφέρει δὲ καὶ ῥήματα ἀποστολικά.

ΒΑΛΣ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ καὶ φανερῶς τοῦτο ἐποίησαν, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτοὺς, ὡς ὁ Δαβὶδ, ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη, φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ, ἔμφρονα, διαπαίζουσιν ἄφρονας παῖδας· ἠπάτησαν γὰρ τοὺς ἀσεβεῖς διὰ τὸ δόξαι μὲν θύειν, μὴ θῦσαι δέ· τυχὸν γὰρ ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς ἢ ἀπίστους, καὶ δι' ἐκείνων ἐνόμισαν τεθυκέναι· τοῖς τοιούτοις, φησὶν, ἑξάμηνος καιρὸς ἀρκέσει εἰς μετάνοιαν· κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι, ἢ ἑτέρους ὑπέβαλον, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν μαρτυρησάντων ὑπὲρ τῆς πίστεως. Ἀπεικάζει δὲ τούτους παισὶ μὲν, ὡς μὴ ἀνδρικῶς ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἔμφροσι δὲ, ὡς εὐμεθόδως τὴν θυσίαν ἐκκλίναντας.

## Κανὼν ς'.

Τοῖς δὲ δούλους Χριστιανοὺς ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι, ὡς ἂν ὑποχείριοι ὄντες, καὶ τρόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες τε ὑπ' αὐτῶν, καὶ διὰ τὸν φόβον αὐτῶν εἰς τοῦτο ἐληλυθότες, καὶ κατολισθήσαντες, ἐν ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι, μανθάνοντες τοῦ λοιποῦ, ὡς δοῦλοι Χριστοῦ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, καὶ φοβεῖσθαι αὐτὸν, ἀκούοντες μάλιστα, ὅτι ἕκαστος, ἐάν τι ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος (1).

---

ΖΩΝΑΡ. Τινὲς δούλους οἰκείους Χριστιανοὺς ἀνθ' ἑαυτῶν καὶ ἀκόντων ὑπέβαλλον θύειν· τοὺς μὲν οὖν δούλους, εἰ καὶ κελεύσει τῶν δεσποτῶν ἔθυσαν βιασθέντες, ἀλλ' οὐκ ἐξ οἰκείου θελήματος, ἐνιαυτὸν ἐν μετανοίᾳ διάγειν ὁ Πατὴρ οὗτος διορίζεται, καὶ μαθεῖν ὅτι πιστοὶ ὄντες, Χριστοῦ δοῦλοί εἰσι, κἀκεῖνον μᾶλλον φοβεῖσθαι ὀφείλουσι· καὶ ὅτι ἕκαστος, κατὰ τὸν μέγαν Ἀπόστολον, ὃ ἐὰν ποιήσῃ, κομιεῖται, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

ΒΑΛΣ. Τοὺς κατὰ κέλευσιν καὶ ἀπειλὴν τῶν δεσποτῶν θύσαντας δούλους, ἐπὶ ἐνιαυτὸν ἐπιτιμᾷ ὁ Πατὴρ οὗτος· ὡς μὲν γὰρ πεισθεῖσι τοῖς δεσπόταις, συγγνωμονεῖ, καὶ βαρεῖαν οὐκ ἐπάγει κόλασιν· ὡς δὲ δούλοις Χριστοῦ οὖσι μᾶλλον, κἀκεῖνον πλέον φοβεῖσθαι ὀφείλουσι, μετρίως ἐπιτιμᾷ. Ἕκαστος γάρ, φησι, κατὰ τὸν μέγαν Παῦλον, ὃ ἐὰν ποιήσῃ ἀγαθὸν, κομιεῖται τοῦτο παρὰ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

## Κανὼν Ζ'.

Οἱ δὲ ἐλεύθεροι, ἐν τρισὶν ἔτεσιν ἐξετασθήσονται ἐν μετανοίᾳ, καὶ ὡς ὑποκρινάμενοι, καὶ ὡς καταναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι, ἅτε δὴ παρακούσαντες τοῦ Ἀποστόλου, τὰ αὐτὰ θέλοντος ποιεῖν τοὺς δεσπότας τοῖς δού-

---

(1) Ἐφεσ. ς', 8.

λοις, ἀνιέντας τὴν ἀπειλὴν, εἰδότας, φησὶν, ὅτι καὶ ἡμῶν, καὶ αὐτῶν, ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία παρ' αὐτῷ οὐκ ἔστιν(1). Εἰ δὲ ἕνα Κύριον οἱ ἔχομεν πάντες ἀπροσωπόληπτον, ἐπεὶ καὶ πάντα, καὶ ἐν πᾶσίν ἐστιν ὁ Χριστὸς, ἔν τε βαρβάροις καὶ Σκύθαις, δούλοις καὶ ἐλευθέροις(2), σκοπεῖν ὀφείλουσιν ὃ κατειργάσαντο, θελήσαντες τὴν ψυχὴν ἑαυτῶν σῶσαι, τοὺς δὲ συνδούλους ἑαυτῶν(3) ἑλκύσαντες ἐπὶ εἰδωλολατρείαν, δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ τὴν ἰσότητα ἦσαν αὐτοῖς παρασχόντες, ὡς πάλιν ὁ Ἀπόστολος λέγει (4).

---

ΖΩΝΑΡ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ, ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν ὑποκύψαι, καὶ ὅτι τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν· ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων τῷ Κυρίῳ, καὶ τοῖς οἰκέταις συνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν· τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατήπειξαν, δυναμένους ἐκφυγεῖν.

ΒΑΛΣ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ, ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν κατανεῦσαι, καὶ ὅτι τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλὴν, ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων τῷ Κυρίῳ, καὶ τοῖς οἰκέταις συνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχὴν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατήπειξαν, δυναμένους ἐκφυγεῖν.

## Κανὼν Η'.

Τοῖς δὲ παραδεδομένοις, καὶ ἐκπεπτωκόσι, τοῖς τε αὐτοῖς προσεληλυθόσιν εἰς τὸν ἀγῶνα, καὶ ὁμολογοῦσιν εἶ-

---

(1) Ἐφεσ. ς', 9. — (2) Κολοσσ. Γ', 11. — (3) Σ. Ϸ. — συνδούλους ἡμῶν Βευερ. Ἑ. οἱ τοὺς συνδούλους ἑλκύσαντες Π. Χ. Τρ. — (4) Κολοσσ. Δ', 1.

ναι Χριστιανοῖς, ἐμβεβλημένοις τε ἐν τῇ φυλακῇ μετὰ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει καρδίας συνεπισχύειν, καὶ κοινωνεῖν ἐν πᾶσιν, ἔν τε ταῖς προσευχαῖς, καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, καὶ τῇ παρακλήσει τοῦ λόγου· ἵνα εὐτονώτερον ἀγωνισάμενοι καταξιωθῶσι καὶ αὐτοὶ τοῦ βραβείου τῆς ἄνω κλήσεως (1). Καὶ γὰρ ἑπτάκις, φησί, πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται (2)· ὅπερ, εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες πεποιήκασι, τελειοτάτην καὶ ὁλοκάρδιον μετάνοιαν ἐνεδείξαντο.

---

ΖΩΝΑΡ. Εἴ τινες δέ, φησι, προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυραννοῦσιν, ἢ αὐτοὶ ἑαυτοὺς παρέδωκαν, καὶ ἐκπεπτώκασι τῆς μαρτυρίας, ἡττηθέντες τῶν κολάσεων, καὶ μὴ φέροντες τὰς ἐν ταῖς φυλακαῖς κακουχίας καὶ τὰς βασάνους· εἶτα ἀνεπάλαισαν τὴν πτῶσιν, καὶ ὡμολόγησαν εἶναι Χριστιανοί, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι, καὶ βασάνους ὑποστῆναι, τοὺς τοιούτους εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι, καὶ ἐπισχύειν, ἀντὶ τοῦ, ἐπιῤῥωννύειν, ἐνδυναμοῦν, καὶ παραθαῤῥύνειν πρὸς τὴν ὁμολογίαν, καὶ κοινωνεῖν αὐτοῖς ἐν πᾶσιν, ἔν τε προσευχαῖς, καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ λόγου παρακαλεῖν, ἤτοι διεγείρειν αὐτοὺς εἰς μαρτυρίαν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξιωθῶσιν. Ἵνα δὲ μὴ διότι πεπτώκασι θύσαντες, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἐκ τῆς Γραφῆς, τό, ἑπτάκις, ἀντὶ τοῦ, πολλάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται· τοῦτο δέ, φησιν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτούς, ἐνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν.

ΒΑΛΣ. Τινὲς προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυράννοις, ἢ καὶ ἑκουσίως αὐτοὶ ἑαυτοὺς παρέδωκαν· ἡττηθέντες δὲ ὑπὸ τῶν κολάσεων, ἐκπεπτώκασι τῆς μαρτυρίας· εἶτα μεταμεληθέντες καὶ ἐπιγνόντες τὸ ἀγαθόν, ὡμολόγησαν εἶναι Χριστιανοί, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι, καὶ βασάνους ὑποστῆναι.

---

(1) Φιλιππ. Γ', 14. — (2) Παροιμ. ΚΔ', 16.

Τοὺς τοιούτους οὖν, εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι, καὶ ἐπιῤῥωννύειν πρὸς τὴν ὀρθόδοξον πίστιν, καὶ κοινωνεῖν αὐτοῖς ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ λόγου παρακαλεῖν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ καταξιωθῶσι τῆς ἐπουρανίου βασιλείας. Ἵνα δὲ μὴ διότι πεπτώκασι θύσαντες (1), νομίζωνται τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἀπὸ τῆς Γραφῆς, τὸ, ἑπτάκις, ἀντὶ τοῦ, πολλάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται· τοῦτο δέ, φησιν, εἰ καὶ πάντες οἱ ἐκ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτούς, ἐνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν. Διαφορὰ γοῦν ἐστι τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων, καὶ τῶν ἐν τῷ πρώτῳ κανόνι περιεχομένων αὕτη, ὅτι ἐκεῖ μὲν, οἱ διὰ τὰς βασάνους ἐκπεπτωκότες, οὐ μετεστράφησαν ἐνώπιον τῶν τυράννων εἰς τὴν ὁμολογίαν τῆς πίστεως· ἐνταῦθα δὲ, οἱ ἐκπεπτωκότες διὰ βασάνους, ἐξ ἀγαθοῦ μεταμέλου ἐπὶ τῶν τυράννων τὸν Κύριον ὡμολόγησαν, καὶ διὰ τοῦτο οὐδὲ λογίζονται ἐκπεσεῖν.

## Κανὼν Θ'.

Καὶ τοῖς δὲ ὡς ἂν (2) ἐξ ὕπνου ἑαυτοὺς παραπηδῶσιν εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκύσαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλαττομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακας ἁμαρτωλῶν, καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ ἐν ὀνόματι Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ προσέχουσιν αὐτοῦ τοῖς λόγοις, διδάσκοντος, προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν (3), καὶ πάλιν ἐν εὐχῇ λέγειν τῷ Πατρί· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ (4)· ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς πολλάκις γινομένας ἀναχωρήσεις τοῦ οἰκείου Δεσπότου (5) καὶ Δι-

(1) Χ. Τρ. — θύσαντες, οὐ κεῖται παρὰ Βευερ. 'Ε. — (2) καὶ τοῖς ὡς ἂν Χ. Τρ. Π. — (3) Ματθ. Κϛ', 41. —(4) Λουκ. ΙΑ', 4. — (5) Π. Χ. Τρ. — τοῦ οἰκοδεσπότου Βευερ. Ε. Σ. 'Ρ.

δασκάλου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι ἐσθ' ὅτε, οὐδὲ παῤῥησίᾳ περιεπάτει δι' αὐτούς (1)· καὶ ὅτι, καὶ ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προσήγγισεν, οὐχ ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐδέξατο (2), ἕως ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων· λέγει οὖν πρὸς αὐτούς· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με (3); οἳ καὶ παρέδωκαν αὐτόν, φησι, Πιλάτῳ· καθ' ὁμοιότητα γοῦν αὐτοῦ, καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν, λέγει· Προσέχετε ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς (4)· παραδώσουσι δὲ εἶπεν, ἀλλ' οὐχὶ ἑαυτοὺς παραδώσετε· καὶ ἐπὶ ἡγεμόνας δὲ, φησὶ, καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου (5), ἀλλ' οὐχὶ ἑαυτοὺς ἄξετε· ἐπεὶ καὶ μεταπηδᾷν ἡμᾶς βούλεται ἀπὸ τόπων εἰς τόπους διωκομένους διὰ τὸ ὄνομα αὐτοῦ· ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγοντος· Καὶ ὅτε διώκουσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν (6)· οὐ γὰρ θέλει αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπιστὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανάτων αἴτιοι αὐτοῖς γινώμεθα, ὡς ἂν καταναγκάζοντες αὐτοὺς μᾶλλον κατατραχύνεσθαι καὶ τελεσιουργεῖν τὰ θανατηφόρα ἔργα, ἀλλ' ἐκδέχεσθαι, καὶ προσέχειν ἑαυτοῖς, γρηγορεῖν τε καὶ προσεύχεσθαι, ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν (7). Οὕτω Στέφανος πρῶτος κατ' ἴχνος αὐτοῦ μαρτύριον ἀναδεξάμενος, ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθοβολούμενος ἐν ὀνόματι Χριστοῦ, ἐδοξάσθη παρακαλῶν, καὶ λέγων·

(1) Ἰω. ΙΑ', 54. — (2) ἀλλ' ἐξεδέξατο Π. — (3) Μάρκ. ΙΔ', 48. — (4) Ματθ. 17. — (5) Λουκ. ΚΑ', 13. — (6) Ματθ. Ι', 23. — (7) Ματθ. Κς', 41.

Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην (1)· οὕτως Ἰάκωβος δεύτερος, συλληφθεὶς ὑπὸ Ἡρώδου, μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη (2)· οὕτως ὁ πρόκριτος τῶν Ἀποστόλων Πέτρος, πολλάκις συλληφθεὶς, καὶ φυλακισθεὶς, καὶ ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη· ὁμοίως καὶ ὁ περιβόητος Παῦλος, πλεονάκις παραδοθεὶς, καὶ ἕως θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας, καὶ καυχησάμενος ἐν πολλοῖς διωγμοῖς, καὶ θλίψεσιν, ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη, ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε· ὅτι καὶ ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τείχους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος αὐτὸν πιάσαι (3). Τὸ γὰρ προκείμενον ἦν αὐτοῖς, ἐν πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν τὸν λόγον τοῦ Θεοῦ, ἐν οἷς ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς ἐμμένειν ἐν τῇ πίστει· καὶ τοῦτο ἔλεγον, ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ (4)· ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι (5). Καὶ ἦν πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον πράσσειν, εἰ μὴ, ὡς λέγει ὁ Ἀπόστολος, ἐπιλείψῃ δ' ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος (6).

—

ΖΩΝΑΡ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμόϋπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον. Τοιούτοις παρείκασεν (7) ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τὸν ἀγῶνα, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκύσαι, ἀντὶ τοῦ, μήπω εἰς φανερὸν ἐκραγέντα, ἀλλὰ μελετώμενον ὅσον ἐπ' αὐτοὺς, καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκύσαι τοὺς

---

(1) Πράξ. Ζ', 60. — (2) Πράξ. ΙΒ', 2. — (3) β', Κορ. ΙΑ', 33. Βευερ. — (4) Πράξ. ΙΔ', 22. — (5) α', Κορ. Ι', 33. — (6) Ἑβρ. ΙΑ', 32. — (7) Π. Βευερ. — ἀπείκασε Χ. Τρ.

ἀγωνιζομένους, οἵτινες ἑαυτοῖς πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν, μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. Ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτω ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι ἐν ὀνόματί, φησι, τοῦ Χριστοῦ παρέρχονται εἰς τοῦτο, θαῤῥοῦντες δηλαδὴ τῷ Χριστῷ, ἢ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ αἱρούμενοι τὸν ἀγῶνα· εἰ τάχα καὶ οὐ κατὰ τὴν ἐκείνου ποιοῦσι διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, ἢ καὶ ἀγνοοῦσιν, ὅτι ὁ Κύριος ὑπεχώρει ἀπὸ τῶν ἐπιβουλευόντων αὐτῷ, καὶ ἔστιν ὅτε οὐδὲ φανερῶς περιεπάτει, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκε παθεῖν, ἀλλὰ παρεδόθη, καὶ ἐν τῷ διώκεσθαι τοὺς μαθητὰς αὐτοῦ, διετάξατο φεύγειν εἰς πόλιν ἐκ πόλεως, καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστάς· ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας, καὶ τοὺς Ἀποστόλους παράγει εἰς ὑπόδειγμα, τὸν Στέφανον, τὸν Ἰάκωβον, καὶ τοὺς κορυφαιοτάτους Πέτρον, καὶ Παῦλον.

ΒΑΛΣ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμόϋπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον. Τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τὸν ἀγῶνα, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίναντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ, μήπω εἰς φανερὸν ἐκραγέντα, ἀλλὰ μελετώμενον, καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκῦσαι αὐτοὺς ἀγωνισομένους· οἵτινες ἑαυτοῖς πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν, μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις· ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτω ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι διὰ τὸν Χριστὸν ὑπεισῆλθον τὸν ἀγῶνα, κἂν ἠγνόησαν τὴν ἐκείνου διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκεν, ἀλλὰ παρεδόθη· καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστάς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς



τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας· ἐπάγει δὲ καὶ διάφορα παραδείγματα γραφικὰ ὁ κανών.

## Κανὼν Ι'.

Ὅθεν οὐκ ἔστιν εὔλογον, οὐδὲ τοὺς ἀπὸ κλήρου αὐτομολήσαντας, ἐκπεπτωκότας τε καὶ ἀναπαλαίσαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅτε δὴ καταλείψαντας τὸ ποίμνιον τοῦ Κυρίου, καὶ μωμησαμένους ἑαυτούς· ὅπερ οὐδεὶς τῶν Ἀποστόλων πεποίηκε. Καὶ γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξανύσας(1), πολλά τε ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος, ὁ μακάριος Ἀπόστολος Παῦλος, ἐγνωκὼς ὅτι κάλλιόν ἐστιν ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, ἐπιφέρει καὶ λέγει· Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς (2). Σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν(3), ἀναγκαιότερον τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ παραμένειν τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν· ὃς καὶ τὸν διδάσκοντα θέλει εἶναι ἐν τῇ διδασκαλίᾳ, τύπον γινόμενον τῶν πιστῶν (4). Ὅθεν οἱ ἐν (5) τῇ εἱρκτῇ ἐπιδικαζόμενοι, τῆς λειτουργίας ἐκπεπτωκότες καὶ ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι· πῶς γὰρ αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; Ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει· ὅτε δὲ ἔπταισαν, ὡς ἂν περπερευσάμενοι, καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι δύνανται λειτουργεῖν· διὸ φροντιζέτωσαν μᾶλλον ἐν ταπεινοφροσύνῃ, πῶς ἐκτελέσουσι παυσάμενοι τῆς κενοδοξίας. Ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία μετ' ἐπιστάσεως καὶ ἀκριβείας πρὸς ἀμφότερα γινομένη, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μή τινες ἐκπεσόντες προφασίσωνται, ὡς ἂν

(1) ἐξαντλήσας Σ. Ρ. Χ. Τρ. — (2) Φιλιππ. Α', 24. — (3) α'. Κορ. Ι', 33. — (4) Ρωμ. ΙΒ', 7. — α'. Τιμόθ. Δ', 6. — (5) ἄνευ τῆς, ἐν, Π.

διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμίας (1) ὑπεκλελυμένοι, οἵτινες πλέον ἁπάντων αἰσχύνην καὶ ὄνειδος ἕξουσι, κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον, καὶ μὴ ἰσχύσαντα ἐκτελέσαι. Ἄρξονται γάρ, φησι, πάντες οἱ παραπορευόμενοι ἐμπαίζειν αὐτὸν, λέγοντες, Οὗτος ὁ ἄνθρωπος θεμέλιον ἔθηκε, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι (2).

—

ΖΩΝΑΡ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυρίου ἀγῶνα διαλεχθεὶς ὁ Πατὴρ, νῦν καὶ περὶ κληρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν, ὡς εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκε, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος ἀνεπάλαισε τὴν οἰκείαν πτῶσιν, καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται, καὶ τὴν αἰτίαν ἐπάγει· ἥ δέ ἐστιν, ὅτι ἑκὼν κατέλιπε τὸ ποίμνιον τοῦ Κυρίου, καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ ἐγκαρτερῆσαι τὰς βασάνους, μῶμον προσήνεγκεν ἑαυτῷ· τὸ δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ, καὶ προτιμήσασθαι τὸ ἑαυτοῖς συμφέρον, οὐδὲ οἱ Ἀπόστολοι πεποιήκασιν. Ὁ γὰρ μέγας Παῦλος μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν τοῦ λαοῦ, οὓς καὶ πάνυ ἀναισθήτους ἀποφαίνεται, αἰτοῦντας τὴν λειτουργίαν ἧς ἐθελονταὶ ἐκπεπτώκασι. Πῶς γάρ, φησίν, αἰτοῦσιν ὃ κατέλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγμοῦ δηλαδή; Ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει, τῇ αὐτομολήσει δηλαδὴ, ἢ τῇ περὶ τὸ διδάσκειν τοὺς ἀδελφοὺς ῥᾳθυμίᾳ· ὅτε δὲ ἔπταισαν, ὡς ἂν περπερευσάμενοι, καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι δύνανται λειτουργεῖν. Εἰ μὲν οὖν οὐ πεπτώκασι, φησὶν, εἶχον ἂν συγγνώμην ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει· παράλογον πρᾶξιν, οὐ τὸ αὐτομολῆσαι μόνον καλῶν, ἀλλὰ μᾶλλον τὸ καταλιπεῖν τὸ ποίμνιον τοῦ Κυρίου, καὶ μὴ παραμένειν αὐτῷ καὶ στηρίζειν τοὺς ἀδελφοὺς κλονουμένους

(1) ἐπιτιμήσεως Π. — (2) Λουκ. ιδ', 29, 30.



ἐν τῷ καιρῷ τοῦ διωγμοῦ· εἰ δὲ πεπτώκασιν ἐκ περπερείας, (περπέρειαν δ' ἐνταῦθα τὴν οἴησιν, καὶ τὴν ἀλαζονείαν καλεῖ), ὅτι ἐξ ἀλαζονείας ἐθάῤῥησαν ἑαυτοῖς, καὶ τὸν ἀγῶνα ὑπέδυσαν, καὶ ἑαυτοὺς ἐμωμήσαντο, ἀντὶ τοῦ, διὰ τὴν πτῶσιν μῶμον ἐπήνεγκαν ἑαυτοῖς, οὐκέτι δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν, λέγει, μᾶλλον ἐν ταπεινοφροσύνῃ, πῶς ἐκτελέσουσι τὴν ὁμολογίαν, δηλαδὴ παυσάμενοι τῆς κενοδοξίας· τὸ γὰρ τὴν λειτουργίαν ζητεῖν, διὰ κενοδοξίαν, φησὶ, γίνεται· ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία, ἤγουν τὸ συγκοινωνεῖν αὐτοῖς τοὺς πιστοὺς, ἤτοι συνεύχεσθαι, ἢ καὶ τῶν θείων μυστηρίων μεταλαμβάνειν· καὶ ταῦτα μετ' ἐπιστασίας καὶ ἀκριβείας γινόμενα, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι, μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μὴ λυπούμενοι, φησίν, ἀπέλθωσιν ἐντεῦθεν ἀναλύοντες ἀπὸ τοῦ σώματος, δηλονότι ἐξερχόμενοι μετὰ βίας τῆς ἐκ τῶν κολάσεων καὶ τῆς ἐν ταῖς εἱρκταῖς κακοπαθείας· καὶ ἵνα μή τινες πρόφασιν σχῶσι τοῦ ἐκλυθῆναι καὶ χαυνωθῆναι πρὸς τὸν ἀγῶνα τῆς ὁμολογίας, καὶ διὰ τοῦτο ἐκπεσεῖν τὴν ἐπιτίμησιν· οἵτινες μᾶλλον αἰσχυνθήσονται, κατὰ τὸ ἐν Εὐαγγελίοις εἰρημένον· Ὃς θεμέλιον θεὶς οὐκ ἴσχυσεν ἐκτελέσαι.

ΒΑΛΣ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυρίου ἀγῶνα διαλεχθεὶς ὁ Πατὴρ, νῦν καὶ περὶ κληρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν, ὡς εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκε, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος, ἀνεπάλαισε τὴν οἰκείαν πτῶσιν, καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται, διότι καταλέλοιπε τὸ ποίμνιον τοῦ Κυρίου, καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ καρτερῆσαι τὰς βασάνους μῶμον προσήνεγκεν ἑαυτῷ· τὸ δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ, καὶ προτιμήσασθαι τὸ ἑαυτῷ συμφέρον, οὐδὲ οἱ Ἀπόστολοι πεποιήκασιν· ὁ γὰρ μέγας Παῦλος, μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ. Ἀναίσθητοι γοῦν εἰσιν οἱ ζητοῦντες τὴν λειτουργίαν, ἧς ἐθελονταὶ ἐκπεπτώκασι. Πῶς γὰρ αἰτοῦσιν ὃ κατέλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγ-

μοῦ δηλαδή; Εἰ μὲν οὖν πεπτώκασί, φησίν, εἶχον ἂν συγγνώμην ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει τῆς αὐτομολήσεως δηλαδή, ἢ τῆς περὶ τὸ διδάσκειν καὶ στηρίζειν τοὺς ἀδελφοὺς ῥαθυμίας· εἰ δὲ πεπτώκασιν ἐκ περπερείας, ἤτοι ἀλαζονείας, (τοιοῦτον γάρ ἐστι τὸ κατατολμῆσαι προπετῶς τῶν βασάνων, καὶ μὴ ἐμμεῖναι,) καὶ διὰ τοῦτο ἐθριαμβεύθησαν, οὐκέτι δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν μᾶλλον πῶς ἐκτελέσουσι τὴν ὁμολογίαν ἐν ταπεινοφροσύνῃ, παυσάμενοι τῆς ἀπὸ τοῦ ζητεῖν τὴν λειτουργίαν κενοδοξίας· ἀρκεῖ γὰρ αὐτοῖς ἡ μετὰ τῶν πιστῶν κοινωνία διὰ δύο γινομένη τινὰ μετὰ ἐπιστασίας ἀκριβοῦς καὶ οἰκονομίας. Εἰ γὰρ εἴπωμεν μὴ ἔχειν αὐτοὺς κοινωνικούς, τούτους τε λυπήσομεν, ὡς ἀποφαινόμενοι μετὰ βίας, ἤγουν ἐπιτετιμημένους, ἐντεῦθεν ἀναλῦσαι αὐτούς, ἤγουν ἀποθανεῖν· καὶ τοὺς ἄλλους δὲ ἐκπεσόντας ἴσως, καὶ βουλομένους ὑποστρέψαι εἰς τὸ ἀγαθόν, ἐκλελυμένους πρὸς τοῦτο καὶ ἀμελεῖς ποιήσομεν, προφασιζομένους τὸ μὴ μέλλειν αὐτοὺς εἶναι κοινωνικοὺς τοῖς πιστοῖς, κἂν ὁμολογήσωσι τὴν πίστιν μετὰ τὴν ἔκπτωσιν· οἵτινες μὴ ἐπιστρέφοντες πλέον ἁπάντων ἵνα ὀνειδισθῶσι καὶ αἰσχυνθῶσι κατὰ τὸν ποιήσαντα μὲν θεμέλιον, μὴ ποιήσαντα δὲ οἴκημα· τούτῳ γὰρ ἐοίκασιν οἱ πρὸς τὰς βασάνους αὐτομολήσαντες μὲν διὰ Χριστόν, καὶ οἱονεὶ καλὸν θέμενοι θεμέλιον, μὴ δυνηθέντες δὲ τελειῶσαι τὸ καλὸν διὰ τὴν ἔκπτωσιν. Σημείωσαι οὖν, ὅτι οὐδὲ ἡ διὰ Χριστὸν ὁμολογία ἀποκαθιστᾷ τὸν ἅπαξ ἐκ τοῦ κλήρου ἀποξενωθέντα διὰ τὴν ἔκπτωσιν.

*Ἐπεξήγησις φερομένη κατὰ τοῦ Μουζάλωνος ἅπασα*(2).

Ἐπιστησάτωσαν δὲ τὸν νοῦν τοῖς παρὰ τοῦ μεγάλου τοῦδε Πατρὸς καὶ ἱερομάρτυρος εἰρημένοις ἐνταῦθα, οἱ λέγοντες δύνασθαι τοὺς ἀρχιερεῖς παραιτεῖσθαι τὰς ἐκκλησίας αὐτῶν, καὶ παρακρατεῖν τὴν ἱερωσύνην. Εἰ γὰρ οἱ πρὸς ὁμολογίας ἀγῶνα ἑκόντες ὁρμήσαντες κληρικοί, καὶ κολασθέντες, καὶ μὴ ἐπιμείναντες, ἀλλ' ἐνδόντες, εἶτα ἀναπαλαίσαντες οὐκ ἀξιοῦνται συγγνώμης εἰς τὸ τὴν λειτουργίαν ἀναλαβεῖν, κατὰ τὸν θεῖον τοῦτον Πατέρα, οὐδὲν ἕτερον ἐγκαλούμενοι, ἢ τὸ καταλιπεῖν τοὺς ἀδελφούς, δυνάμενοι αὐτοῖς ἐν καιρῷ περιστάσεων εὔχρηστοι εἶναι εἰς τὸ στηρίζειν αὐτούς, καὶ ταῦτα μαρτυρίας ἀξιωθέντες, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ αὐτῶν περιφέροντες, πῶς ἀρχιερεὺς καὶ ποιμήν, ὃς ὀφείλει τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καταλιπὼν τὴν ἐμπιστευθεῖσαν ποίμνην αὐτῷ, καὶ παραιτησάμενος τὴν αὐτῆς φροντίδα καὶ ἐπιμέλειαν, καὶ ὅσον τὸ κατ' αὐτὸν τοῖς λύκοις ταύτην ἐκδεδωκώς, ἀντέχεσθαι τῆς λειτουργίας δίκαιος λογισθήσεται, καὶ οὐ μᾶλλον βαρυτάτων ἐπιτιμίων κριθήσεται ἄξιος, διὰ τὴν τοῦ ἀνατεθέντος αὐτῷ λαοῦ ἐγκατάλειψιν, ἀλλὰ καὶ γέρας ὑπὲρ ταύτης αἰτήσει, ἢ μᾶλλον αὐτὸς ἑαυτῷ παρέξει, τὸ μὲν κόπον προξενοῦν αὐτῷ παραιτούμενος, τὴν διδασκαλίαν, φημί, καὶ τὴν τῶν σφαλμάτων διόρθωσιν (1), τὸ δὲ δόξαν καὶ τιμὴν περιποιοῦν παρακατέχων, καὶ οἰκειούμενος, καὶ τούτου ἀπρὶξ ἐχόμενος, καὶ μηδὲν μεθιστάμενος. Εἰ γὰρ ἐπὶ κληρικῶν παράλογος ὠνομάσθη πρᾶξις, τὸ καταλιπεῖν τὸν λαόν, καὶ πρὸς τὸν τῆς σωτηρίας αὐτομολῆσαι ἀγῶνα, πόσῳ πλέον παραλογώτερον ἂν κριθείη ἐπὶ ἐπισκόπου καταλιπόντος τὸν οἰκεῖον λαόν, καὶ οὐ πρὸς ἀγῶνα χωροῦντος, πρὸς ῥᾳστώνην δέ, καὶ ἀνάπαυσιν, καὶ φροντίδων ὑπὲρ ὠφελείας ψυχῶν ἀπόθεσιν καὶ ἀπόδρασιν. Καὶ ὁ ιϛ'. δὲ κανὼν τῆς ἑβδόμης οἰκουμενικῆς συνόδου(2), πολλὴν ἀβελτηρίαν κατηγορεῖ τῶν ψηφιζομένων δύνασθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπὰς παραιτεῖσθαι, τὴν δὲ ἱερωσύνην παρακρατεῖν· εἰ γὰρ κατὰ τὸν εἰρημένον κανόνα ὁ ἐπίσκοπος ὑπὲρ τὸ ἑξάμηνον τῆς οἰκείας ἀποδημήσας ἐπισκοπῆς ἄνευ μιᾶς τῶν ἀπηριθμημένων ἐν αὐτῷ αἰτιῶν, καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀρχιερωσύνης ἐκπίπτει, καὶ ἀμφοῖν ἠλλοτρίωται, πῶς ὁ παραιτούμενος τὴν ἐπισκοπήν, καὶ ἀπαγορεύσας μηκέτι (3) ποιμαίνειν τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, καὶ τῆς τούτου

---

(1) Χ. Τρ. — μόλις ἀξιοῦνται Βευερ. — (2) Βευερ. — Ἡ ἐπεξήγησις αὕτη φέρεται ἐν ἰδίῳ παραγράφῳ ὡς συνέχεια τῆς τοῦ Ζωναρᾶ ἐξηγήσεως ἐν Χ. Τρ. ἀρχομένη οὕτως· Ἀκουέτωσαν ταῦτα οἱ λέγοντες δύνασθαι κτλ.



(1) τὴν διδασκαλίαν, φημί, καὶ τὴν οἰκονομίαν Χ. Τρ. — (2) Κατὰ λάθος μνημονεύεται ἡ Ζ'. Οἰκουμενικὴ σύνοδος, ἀντὶ τῆς Α'. καὶ Β'. — (3) μηκέτι, οὐ κεῖται ἐν Χ. Τρ.

φροντίδος διὰ βίου καταφρονήσας, εἴη ἂν ἀρχιερεύς; Εἰ γὰρ ὁ τὸ ἧττον ἁμαρτάνων, τὸ ἐπὶ πλέον ἐξαμηνιαίου καιροῦ καταλιπεῖν τὸν ὑπ᾽ αὐτὸν λαὸν ἀποίμαντόν τε καὶ ἀτημέλητον, ἔκπτωσιν καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης ὑφίσαται, ὁ τὸ μᾶλλον καὶ τὸ πολυπλάσιον πλημμελῶν, τὸ διόλου καταλιπεῖν τὰ πλήθη, ἅπερ αὐτῷ ἐπισκοπεῖν τε καὶ ἐφορᾷν ἡ τοῦ θείου Πνεύματος χάρις ἀνέθετο, μᾶλλον ἂν εἴη δίκαιος σφοδρότερον κολασθήσεσθαι, καὶ μείζονα τιμωρίαν ὑφέξειν, τῆς ὅσον ἐπ᾽ ἐκείνῳ ἀπωλείας ποιμνίου, οὗ προεχειρίσθη ποιμὴν παρὰ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ ἀρχιποίμενος· οἱ δὲ καὶ γέρας αὐτῷ καὶ ἀμοιβὴν τῆς παραιτήσεως ἐπιψηφιζόμενοι τὴν ἱερωσύνην, οἶμαι καὶ ἑαυτοὺς κἀκεῖνον ὑπευθύνους ποιήσουσι τῷ κρίματι τοῦ Θεοῦ.

## Κανὼν ΙΑ΄.

Οἱ γὰρ πρῶτον(1) παραπηδήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, περιεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους μάρτυρας σπεύδοντας ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως (2), ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι, ἐπεδίδουν ἑαυτοὺς εἰς τοῦτο, πολλῇ τῇ παῤῥησίᾳ χρώμενοι, βλέποντες (3) μάλιστα τοὺς ὑποσυρομένους, καὶ ἐκπίπτοντας, δι᾽ οὓς ὑποθερμαινόμενοι ἔσωθεν, καὶ ἐνηχούμενοι καταπολεμῆσαι τὸν ὑπεραιρόμενον καὶ ἀντικείμενον, ἔσπευδον εἰς τοῦτο, ἵνα μὴ καὶ δοχῇ παρ᾽ ἑαυτῷ φρόνιμος εἶναι (4), ἐφ᾽ οἷς κατὰ πανουργίαν ἔδοξε νικᾷν (5), εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων τὰς τῶν ξυστήρων καὶ μαστίγων βασάνους, τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς καταφλέξεις (6) τοῦ πυρός, καὶ τὰς τῶν ὑδάτων καταποντώσεις· καὶ τοῖς κατὰ πίστιν ὑπεξιοῦσιν εὐχὰς καὶ δεήσεις γίνεσθαι, ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατα-

(1) Χ. Τρ. Π. — πρῶτοι Σ. Ῥ. Βευερ. Ε. — (2) Φιλιππ. Γ΄, 14. — (3) ὑποβλέποντες Σ. Ῥ. Χ. Τρ. — (4) Παροιμ. Γ΄, 7. — (5) ἡττᾷν Χ. Τρ. Π. Ε. — (6) τὰς φλέξεις Π.



τιμωρηθέντων, καὶ προδεδομένων ὑπὸ λιμοῦ, καὶ δίψης, ἤτοι ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων, καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκός, ἄξιόν ἐστιν ἐπινεῦσαι. Συμπάσχειν γὰρ καὶ συναλγεῖν τοῖς ὀδυρομένοις, καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν τῷ ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων, ἢ ἀδελφῶν, ἢ τέκνων, οὐδένα οὐδὲν καταβλάπτει· ἴσμεν γὰρ καὶ δι᾽ ἑτέρων πίστιν ἀπολαύσαντάς τινας τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν, καὶ ὑγείᾳ σώματος, καὶ ἀναστάσει νεκρῶν. Μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων, ὧν προϋπήνεγκαν ἐν ὀνόματι τοῦ Χριστοῦ, καὶ τῶν ταλανισμῶν, οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν, καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ προδοσίαν, ἐν ἀτονίᾳ, καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μεμαρτυρημένων ἀπολιτεύτων γενομένων(1) ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, διὰ τοῦ γενομένου ὑπὲρ ἡμῶν παρακλήτου πρὸς τὸν Πατέρα, ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν. Καὶ ἐάν τις γάρ, φησίν, ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν (2).

---

ΖΩΝΑΡ. Ὁ νοῦς τοῦ παρόντος κανόνος τοιοῦτός ἐστιν· οἱ ἐν τῷ βράσματι, φησί, τοῦ διωγμοῦ, ἤγουν ἐν τῇ ἀκμῇ, τῇ ζέσει, ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανοῦ στεφάνους λαβεῖν, κατὰ ζῆλον θεῖον ἐπεδίδουν ἑαυτοὺς εἰς τὰ μαρτύρια, μετὰ παῤῥησίας πολλῆς ὁρμήσαντες εἰς τὸν ἀγῶνα, ζηλώσαντες τοὺς

(1) ἀπολιτεύτων γενομένων, οὐ κεῖται ἐν Χ. Τρ. — εὐπολιτεύτων Σ. Ῥ. — (2) α΄. Ἰω. Β΄, 1, 2.

ἁγίους πάσχοντας, καὶ ἐπιδόντες ἑαυτοὺς προθύμως τῇ μαρτυρίᾳ, καὶ μάλιστα, ὅτι ἔβλεπόν τινας ὑποσυρομένους, ἀντὶ τοῦ, κλεπτομένους, ἀπατωμένους, καὶ ἀρνουμένους τὴν εὐσέβειαν, ὑποθερμαινόμενοι, ἤτοι πυρούμενοι τὴν καρδίαν, ἔσπευδον καταπολεμῆσαι τὸν αὐτοὺς ὑποσύροντα πονηρὸν, ἵνα μὴ καυχᾶται ὡς ἡττῶν τοὺς εὐσεβεῖς, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν ἀγνοῶν, ὅτι μᾶλλον ἡττᾶται, πολλῶν μέχρι θανάτου τὴν ὑπὲρ τῆς πίστεως ἔνστασιν ἐνδειξαμένων· ἔσπευδον μὲν οὖν, φησιν, οὕτω ποιῆσαι· ἡττήθησαν δὲ τῶν βασάνων δι' ἀσθένειαν τῆς σαρκὸς, οἱ μὲν ἐν ταῖς φυλακαῖς κακοπαθοῦντες, οἱ δὲ ἐπὶ δικαστηρίου κολασθέντες, καὶ μὴ ἐνεγκόντες τὰς τιμωρίας· ἄξιον οὖν ἐστι τοῖς ὑπὲρ αὐτῶν πενθοῦσι συμπάσχειν. Πενθοῦσι δέ, φησιν, οἱ μὲν ὑπὲρ γονέων, οἱ δὲ ὑπὲρ ἀδελφῶν, οἱ δὲ ὑπὲρ τέκνων παραπεπτωκότων· τὸ γοῦν συμπενθεῖν τοῖς τοὺς παραπεπτωκότας πενθοῦσιν, οὐδένα καταβλάπτει, καὶ τὸ συνδέεσθαι, καὶ συναλγεῖν τοῖς δεομένοις ὑπὲρ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, ἤγουν μετὰ τοῦ ποιεῖν ἐκείνους τοὺς παραπεπτωκότας, καὶ τὰ ἄλλα τὰ πρέποντα τῇ μετανοίᾳ, ἅπερ εἰσὶ, νηστεῖαι, καὶ δάκρυα, ἄλλαι τε κακακοπάθειαι, ἐπιτιμίων φυλακαὶ, εἰ δ' ἂν εὐπορεῖεν, καὶ δόσεις χρημάτων πρὸς πένητας, δι' ὧν ὁ γενόμενος παράκλητος ὑπὲρ ἡμῶν, ἐξευμενίσεται ἡμῖν τὸν Πατέρα· εἶτα καὶ χρήσει κέχρηται γραφικῇ, ἥτις ἐστὶν ἐκ τῆς πρώτης ἐπιστολῆς τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάνννου.

ΒΑΛΣ. Εἰπὼν ἀνωτέρω ὁ ἅγιος, ὅτι οἱ αὐτομολήσαντες καὶ ἐκπεσόντες μὲν, μὴ μεταμεληθέντες δὲ, καὶ τὴν ἔκπτωσιν ἀνακαλεσάμενοι, ἐπὶ πλέον αἰσχύνην ἕξουσιν, ὡς μὴ ἐπὶ τῷ θεμελίῳ καὶ ὄροφον τεκτηνάμενοι, ἤτοι μὴ τελειώσαντες τὸ καλὸν, νῦν καὶ κατασκευὴν τούτου τε καὶ τῶν λοιπῶν ἐπάγει, λέγων· Οἱ γὰρ ἐν τῷ βράσματι, ἤγουν ἐν τῇ ἀκμῇ τοῦ διωγμοῦ ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανοῦ στεφάνους λαβεῖν, κατὰ ζῆλον θεῖον ἐπεδίδουν ἑαυτοὺς εἰς τὸ μαρτύριον μετὰ παρ-

(1) ά. Ἰωάνν. Β', 1, 2.

ρησίας πολλῆς, καὶ μάλιστα ὅτι ἔβλεπόν τινας ὑποσυρομένους, ἀντὶ τοῦ, κλεπτομένους, καὶ ἀπατωμένους ὑπὸ τοῦ διαβόλου, καὶ ἐκπίπτοντας, ἤτοι ἀρνουμένους τὴν εὐσέβειαν· ὧν χάριν ὑποθερμαινόμενοι ἔσωθεν, ἤτοι τὴν καρδίαν πυρούμενοι, ὡς καὶ ἀκούοντες καταπολεμῆσαι, ἤτοι νικῆσαι διὰ τούτου τὸν ἀλαζόνα καὶ ἀντικείμενον διάβολον, ἐσπούδασαν ὑποδῦναι τὸ μαρτύριον, ἵνα μὴ καυχήσηται ὁ διάβολος καὶ δόξῃ παρ' ἑαυτῷ φρόνιμος εἶναι, ὡς νικήσας κατὰ πανουργίαν τοὺς αὐτομολήσαντας· εἰ καὶ ἐλάνθανε μᾶλλον νικᾶσθαι ὑπὸ τῶν ἀθλητῶν τῶν καρτερησάντων τὰς βασάνους. Τοῖς γοῦν πιστοῖς ἄξιόν ἐστιν εὐχομένοις ὑπὲρ αὐτῶν τῶν τιμωρηθέντων καὶ ἡττηθέντων, ἐπινεύειν, ἤτοι συντρέχειν, ὅ,τι καὶ δέδοκται, καὶ κατά τι οὐ βλάπτει συμπάσχειν καὶ λυπεῖσθαι μετὰ τῶν γονέων ἢ τῶν ἄλλως προσῳκειωμένων μετὰ τῶν μαρτυρησάντων καὶ ἐκπεπτωκότων ἀπὸ μηχανῆς τοῦ διαβόλου· γινώσκομεν γάρ ὡς πολλοὶ ἀπήλαυσαν τῆς ἀγαθότητος καὶ τοῦ ἐλέους τοῦ Θεοῦ διὰ εὐχῆς ἑτέρων· διά τοι τοῦτο αὐτοῖς τε δοθῆναι ἄφεσιν παρὰ τοῦ Θεοῦ ἐξαιτήσομεν, καὶ τοῖς ἄλλοις τοῖς ἐκπεπτωκόσι, καὶ μετὰ ταῦτα τὴν πλάνην ἀνακαλεσαμένοις, καὶ ὁμολογήσασι τὴν εὐσέβειαν, συγκοινωνήσομεν, μεμνημένοι τῶν πρὸ τῆς ἐκπτώσεως ἀγώνων αὐτῶν, ὧν ὑπήνεγκαν διὰ τὸν Θεόν, ἀλλὰ μὴν καὶ τοῦ μετὰ ταῦτα ἀγαθοῦ μεταμέλου τούτων, καὶ ὅτι μεμαρτύρηνται ἀπολιτεύτους λογίζεσθαι ἑαυτοὺς διὰ τὸ ἁμάρτημα· καὶ οὐ μόνον συγκοινωνήσομεν αὐτοῖς, ἀλλὰ καὶ συνευξόμεθα ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων τῶν καθηκόντων, ἤγουν μετὰ τῶν ὀφειλουσῶν γίνεσθαι εὐποιϊῶν περὶ τούτων, νηστείας δηλονότι, ἐλεημοσύνης, καὶ μετανοίας, δι' ὧν ὁ γενόμενος παράκλητος ὑπὲρ ἡμῶν ἐξευμενίζεται ἡμῖν τὸν Πατέρα· εἶτα καὶ χρήσει κέχρηται γραφικῇ· ἡ δέ ἐστιν ἐκ τῆς πρώτης καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου.

## Κανὼν ΙΒ'.

Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους κὐ-

τοὺς παντάπασι γενέσθαι ἀπὸ πάσης κακίας, οὐκ ἔστιν ἔγκλημα προσάγειν· ζημίαν γὰρ καὶ ἀπώλειαν χρημάτων ὑπήνεγκαν, ἵνα μὴ τὴν ψυχὴν ἑαυτῶν ζημιωθῶσιν, ἢ ἀπολέσωσιν(1)· ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι· καίτοι γε τοῦ Κυρίου λέγοντος· Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ, ἢ ἀπολέσῃ(2)· καὶ ὅτι, Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ Μαμωνᾷ. Ἐφάνησαν γὰρ παρ' ἐκείνοις Θεῷ δουλεύοντες, τὰ ἀργύρια μισήσαντες, καὶ καταπατήσαντες, καὶ καταφρονήσαντες αὐτῶν, ἀπεπλήρωσάν τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον· Λύτρον ἀνδρὸς ψυχῆς, ὁ ἴδιος πλοῦτος (3). Ἐπεὶ καὶ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ἀνέγνωμεν, τοὺς συρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ τοὺς πολιτάρχας, μετὰ καὶ πλησμονῆς(4)ἀπολυθέντας. Μετὰ γὰρ τὸ καταβαρῆσαι (5) αὐτοὺς πολλὰ διὰ τὸ ὄνομα, καὶ ταράξαι(6) τὸν ὄχλον καὶ τοὺς πολιτάρχας, λαβόντες, φησί, τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσωνος (7) καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν.

—

ΖΩΝΑΡ. Οἱ δὲ χρήματα, φησί, δεδωκότες, καὶ ἐκφυγόντες, καὶ ἑαυτοῖς τηρήσαντες τὴν εὐσέβειαν, οὐκ αἰτιαθήσονται, οὐδὲ ἔγκλημά τι ἐντεῦθεν προσάψει αὐτοῖς· εἵλοντο γὰρ χρήματα ζημιωθῆναι, καὶ μὴ τὰς ἑαυτῶν ψυχάς· καὶ ἐφάνησαν τῷ Θεῷ δουλεύειν ἑλόμενοι, καὶ οὐ τῷ Μαμμωνᾷ, ἤτοι τοῖς χρήμασιν. Ἐπιφέρει δὲ καὶ ῥήματα γραφικά, καὶ παράδειγμα ἐκ τῶν Πράξεων περὶ τοῦ μακαρίου Ἀποστόλου Παύλου καὶ ἑτέρων. Τὸ δὲ ἀνενοχλήτους γενέσθαι ἀπὸ πάσης κακίας, ἢ τὸ μὴ ὀχληθῆναι εἰς ἄρνησιν, τῆς εὐσεβείας ἐστίν, ἥπερ πᾶσαν κακίαν νικᾷ· ἢ κακίαν τὰς κακώσεις ὠνόμασε τὰς ἐκ τῶν κολάσεων.

(1) Μάρκ. Η', 36. — (2) Ματθ. ς', 24. — (3) Παροιμ. ΙΓ', 8. — (4) οὕτως ἀπολυθέντας Χ. Τρ. — (5) τὸ κατηγορῆσαι Χ. Τρ. — (6) ἐκταράξαι Π. Χ. Τρ. — (7) Πράξ. ΙΖ', 9.



ΒΑΛΣ. Πληρώσας ὁ ἅγιος τὰ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον, φησίν, ἀκαταιτιάτους εἶναι τοὺς διὰ χρημάτων δόσεως ἀνενοχλήτους συντηρήσαντας ἑαυτοὺς ἀπὸ τῆς κακώσεως τῶν κολάσεων· εἵλοντο γὰρ χρήματα ζημιωθῆναι, καὶ μὴ τὰς ἑαυτῶν ψυχάς· εἶτα κατασκευάζων τοῦτο αὐτό, ἐπιφέρει καὶ διάφορα γραφικὰ καὶ παράδειγμα ἐκ τῶν ἀποστολικῶν Πράξεων περὶ τοῦ μακαρίου Ἀποστόλου Παύλου, καὶ ἑτέρων.

## Κανὼν ΙΓ'.

Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα διὰ τὴν τῆς ψυχῆς σωτηρίαν καὶ ἀναχωρήσασιν, ἔστιν ἐγκαλεῖν, ὡς ἂν ἑτέρων δι' αὐτοὺς κατασχεθέντων· καὶ γὰρ καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου συνήρπασαν Γάϊον εἰς τὸ θέατρον, καὶ Ἀρίσταρχον, συνεκδήμους Παύλου, καὶ βουλόμενον εἰσελθεῖν εἰς τὸν δῆμον, ἐπεὶ καὶ δι' αὐτὸν πείσαντα καὶ μεταστήσαντα πολὺν ὄχλον ἐπὶ τὴν θεοσέβειαν ἡ στάσις ἦν γενομένη, οὐκ εἴων αὐτὸν οἱ μαθηταί, φησίν· οὐ μὴν ἀλλὰ καί τινες τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτόν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον(1)· εἰ δὲ ἐπιμένοιέν τινες ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς προσέχουσι, τῷ λέγοντι, Σώζων, σῶζε τὴν σεαυτοῦ ψυχήν, μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω (2), ὑπομνησθήτωσαν, καὶ περὶ τοῦ προκρίτου τῶν Ἀποστόλων Πέτρου, βεβλημένου τε ἤδη εἰς φυλακήν, καὶ παραδοθέντος τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, οὗ ἐν νυκτὶ φυγόντος, καὶ ῥυσθέντος ἐκ χειρὸς τοῦ φονώδους Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων, κατ' ἐντολὴν τοῦ Ἀγγέλου Κυρίου, γενομένης, φησίν, ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο (3). Ἡρώδης δὲ ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι(4), δι' οὓς οὐδεμία

(1) Πράξ. ΙΘ', 30, 31. — (2) Γενέσ. ΙΘ', 17. — (3) Πράξ. ΙΒ', 4, 18. — (4) ἀπαγχθῆναι Π. Ἐ.

αἰτία τῷ Πέτρῳ προσάπτεται· ἐξῆν γὰρ καὶ αὐτοὺς, ἑωρακότας τὸ γενόμενον ἐκφυγεῖν, ὡς καὶ πάντα τὰ παιδία τὰ ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ μέλλον ἔσεσθαι, ἅπερ ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφόνου Ἡρώδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον ἀπολέσθαι ἓν παιδίον, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν Ἀγγέλου Κυρίου ἐξέφυγεν, ἤδη ἀρξάμενον ταχέως σκυλεύειν, καὶ ὀξέως προνομεύειν κατὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος, καθὼς γέγραπται· Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων(1). Οἱ γοῦν Μάγοι ὡς ἤδη σκυλευθέντες, καὶ προνομευθέντες, ὑποτεταγμένως καὶ τιμητικῶς προσκυνοῦσι τὸ παιδίον (2), ἀνοίγοντες τοὺς θησαυροὺς αὐτῶν, καὶ προσφέροντες αὐτῷ καιριώτατα καὶ πρεπωδέστατα δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, ὡς βασιλεῖ, καὶ Θεῷ, καὶ ἀνθρώπῳ(3)· ὅθεν οὐκέτι πρὸς τὸν Ἀσσύριον βασιλέα ἠξίωσαν ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς προνοίας. Χρηματισθέντες γὰρ, φησὶ, κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Ὅθεν ἰδὼν ὁ αἱμοβόρος Ἡρώδης, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας, φησὶν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων (4)· μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννηθὲν ἕτερον παιδίον ζητήσας ἀποκτεῖναι, καὶ μὴ εὑρὼν, τὸν πατέρα αὐτοῦ Ζαχαρίαν ἐφόνευσε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου(5), ἐκφυγόντος τοῦ παιδίου μετὰ τῆς μητρὸς Ἐλισάβετ, ἐφ' ὧν οὐδεμίαν μέμψιν ἔχουσιν(6).

—

(1) Ἡσ. Η, 3, 4. — (2) τῷ παιδίῳ Σ. Ρ. Χ. Τρ. — (3) Ματθ. Β', 11. — (4) Ματθ. αὐτ. 16. — (5) Ματθ. ΚΔ', 35. — (6) ἔσχον Χ. Τρ. Σ. Ρ.

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, κατέλιπον τὰς περιουσίας αὐτῶν καὶ ἀνεχώρησαν, ἵνα μὴ κατασχεθέντες κινδυνεύσωσιν, ἴσως μὴ δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν κολαζόντων ἀπήνειαν, οὐκ ἐγκληθήσονται, οὐδὲ εἰ δι' αὐτοὺς ἕτεροι κατεσχέθησαν καὶ ἐκολάσθησαν. Καὶ πάλιν ἀπὸ τῶν Πράξεων παράγει παράδειγμα, λέγων, ὅτι καὶ ἐν Ἐφέσῳ ἀντὶ τοῦ Παύλου συνηρπάγησαν Γάϊος καὶ Ἀρίσταρχος· ἀλλ' ὁ Παῦλος διὰ τοῦτο οὐκ ἠτιάθη, οὔτε ὁ Πέτρος ὑπὸ Ἀγγέλου τῆς φυλακῆς ἐκβληθεὶς, ὅτε ἐκεῖνος μὲν διέδρα τὸν κίνδυνον, οἱ δὲ φυλάσσοντες αὐτὸν στρατιῶται δι' ἐκεῖνον ἐκολάσθησαν· καὶ ἀπὸ τοῦ Εὐαγγελίου δὲ ὑποδείγματι κέχρηται, τοῖς ὑπὸ τοῦ Ἡρώδου ἀναιρεθεῖσι παισὶ, δι' ἅ, φησιν, οὐκ ἠτιάθη ὁ Κύριος· καὶ τῆς Ἐλισάβετ φυγούσης μετὰ τοῦ Ἰωάννου, καὶ περιφυλαξάσης αὐτὸν, ὁ Πατὴρ αὐτοῦ Ζαχαρίας ἀνῃρέθη τὸν υἱὸν ἀπαιτούμενος, ἀλλ' ὁ Ἰωάννης διὰ τοῦτο οὐκ ἠτιάθη.

ΒΑΛΣ. Εἰ δέ τινες, φησὶ, κατέλιπον τὰς περιουσίας αὐτῶν καὶ ἀνεχώρησαν, ἵνα μὴ κατασχεθέντες κινδυνεύσωσιν, ἴσως μὴ δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν κολαζόντων ἀπήνειαν, οὐκ ἐγκληθήσονται, κἂν καὶ ἕτεροι κατεσχέθησαν καὶ ἐκολάσθησαν δι' αὐτούς. Καὶ παράγει χάριν τούτου εἰς παράδειγμα τὸν Γάϊον καὶ τὸν Ἀρίσταρχον, τοὺς ἀντὶ Παύλου κατασχεθέντας, τοὺς στρατιώτας τοὺς φυλάσσοντας τὸν Πέτρον, τὰ νήπια τὰ παρὰ τοῦ Ἡρώδου ἀναιρεθέντα διὰ τὸν Χριστὸν, καὶ τὸν τοῦ τιμίου καὶ ἁγίου Προδρόμου πατέρα Ζαχαρίαν.

## Κανὼν ΙΔ'.

Εἰ δέ τινες βίαν πολλὴν καὶ ἀνάγκην πεπόνθασι, χάνον λαβόντες ἐν τῷ στόματι, καὶ δεσμοὺς, καὶ ἐπιμείναντες καρτερῶς τῇ διαθέσει τῆς πίστεως, καὶ τὰς χεῖρας αὐτῶν καῆναι(1) καρτερήσαντες, προσαγομένας ἄκοντι τῷ ἀνιέρῳ θύματι· ὥσπερ οὖν ἔγραψάν μοι οἱ ἀπὸ τῆς φυλακῆς τρισμακάριοι μάρτυρες περὶ τῶν ἐν τῇ Λιβύῃ, καὶ ἕτεροι δὲ συλλειτουργοὶ, οἱ τοιοῦτοι συμμαρτυρούντων αὐτοῖς μάλιστα καὶ τῶν ἄλλων

(1) καυθῆναι Χ. Τρ. — (2) ά. Τιμόθ. ς', 11.

ἀδελφῶν, δύνανται εἶναι ἐν τῇ λειτουργίᾳ, ταχθέντες ἐν τοῖς ὁμολογηταῖς, ὡς καὶ οἱ κατανεκρωθέντες ἐν ταῖς πολλαῖς βασάνοις, καὶ μηκέτι ἐξισχύσαντες λαλῆσαι, ἢ φθέγξασθαι, ἢ κινηθῆναι εἰς τὸ ἀντιστῆναι τοῖς εἰς μάτην βιαζομένοις· οὐδὲ γὰρ συγκατέθεντο τῇ βδελυρίᾳ αὐτῶν, ὥσπερ οὖν παρὰ συλλειτουργῶν πάλιν ἤκουσα. Ταχθήσεται δὲ ἐν τοῖς ὁμολογηταῖς καὶ πᾶς ὁστισοῦν κατὰ Τιμόθεον πολιτεύεται, πειθόμενος καὶ αὐτὸς τῷ λέγοντι· Δίωκε δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα· ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων (1).

---

ΖΩΝΑΡ. Οἱ τοὺς ἁγίους κολάζοντες μάρτυρας, μετὰ βασάνους πολλὰς ἐπεί τινων βίᾳ τοῖς στόμασιν αὐτῶν ἐνέχεον οἶνον ἐκ τῶν σπονδῶν, ἢ καὶ ἐκ τῶν εἰδωλοθύτων κρεῶν ἐνέβαλλον εἰς τὰ στόματα αὐτῶν, καὶ ταῖς χερσὶν αὐτῶν ἐπιτιθέντες λιβανωτὸν, εἷλκον αὐτοὺς ἐπὶ τὸν βωμὸν, καὶ τὰς χεῖρας αὐτῶν κρατοῦντες βίᾳ, τὸ λιβανωτὸν ἐπέχεον τῷ βωμῷ, ἢ καὶ ἄνθρακας μετὰ λιβανωτοῦ ταῖς παλάμαις αὐτῶν ἐπετίθουν, ἵνα, μὴ φέροντες τὴν ὀδύνην τὴν ἐκ τῆς καύσεως, ἐπιχέωσι τὸ λιβανωτὸν σὺν τοῖς ἄνθραξι τῷ βωμῷ· κατείχοντο γὰρ παρ' αὐτῶν· τοὺς τοιούτους φησὶ δύνασθαι εἶναι ἐν τῇ λειτουργίᾳ, ἢ μᾶλλον καὶ ἐν τοῖς ὁμολογηταῖς τετάχθαι· οὐ γὰρ οἰκείᾳ προαιρέσει, ἢ τῶν σπονδῶν ἐγεύσαντο, ἢ τὸ λιβανωτὸν ἐπέβαλον τῷ βωμῷ, ἀλλὰ βίᾳ, τοῦ λογισμοῦ αὐτῶν τῇ πράξει μὴ συγκατατιθεμένου· ὥσπερ καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ σώματος, ὡς μήτε κινηθῆναι δύνασθαι, μήτε φθέγξασθαι, καὶ ἀντιστῆναι τοῖς βίᾳ εἰς τὰ στόματα αὐτῶν ἐγχέασι τὸν οἶνον τῶν σπονδῶν, κἀκεῖνοι τοῖς ὁμολογηταῖς συνταχθήσονται. Ἑξῆς δὲ περὶ τῶν ἀνυόντων (2) τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κἀκείνους τοῖς συνομολογηταῖς συναριθμῶν.

(1) α'. Τιμόθ. ς', 11. — (2) Χ. Γρ. — διανυόντων Βευερ.



ΒΑΛΣ. Τοὺς ἀπὸ βίας τυραννικῆς δόξαντας φαγεῖν κρέας ἐκ τῶν εἰδωλοθύτων, ἢ πιεῖν οἶνον ἐκ τῶν ἑλληνικῶν σπονδῶν, (τυχὸν γὰρ κατὰ γῆς οἱ τυραννοῦντες θέμενοι τούτους, καὶ χάνους, ἤτοι σιδήρια βαλόντες εἰς τὰ στόματα αὐτῶν, ὥστε διόλου εἶναι ἠνεῳγμένα, ἐπέχεον εἰς τὸν φάρυγγα τούτων οἶνον, καὶ κρέα ἐπέῤῥιπτον, ἢ καὶ ταῖς χερσὶν αὐτῶν ἀνθρακιὰς μετὰ λιβανωτοῦ θέμενοι, παρεσκεύαζον δῆθεν θύειν αὐτοὺς) κληρικοὺς μὲν ὄντας, εἶναι καὶ πάλιν ἐν τῷ οἰκείῳ βαθμῷ ὁ κανὼν διορίζεται, ὡς τεταγμένους μετὰ τῶν ὁμολογητῶν· λαϊκοὺς δὲ, λογίζεσθαι ὡς μάρτυρας, διὰ τὸ μὴ κατὰ προαίρεσιν οἰκείαν ποιῆσαι ταῦτα τούτους, μηδὲ συγκαταθέσθαι ὅλως τῇ πράξει· ὥσπερ τοῖς ὁμολογηταῖς συνταχθήσονται καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ σώματος, καὶ μὴ δυνάμενοι ἀντιστῆναι τοῖς ἐγχέουσιν εἰς τὰ στόματα αὐτῶν οἶνον ἀπὸ τῶν σπονδῶν. Ἑξῆς δὲ περὶ τῶν ἀνυόντων τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κἀκείνους τοῖς ὁμολογηταῖς συναριθμεῖ.

## Κανὼν ΙΕ'.

Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις τετράδα, καὶ παρασκευὴν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν εὐλόγως προστέτακται· τὴν μὲν τετράδα, διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων, ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου· τὴν δὲ παρασκευὴν, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν (1). Τὴν δὲ Κυριακὴν, χαρμοσύνης ἡμέραν ἄγομεν, διὰ τὸν ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνυ κλίνειν παρειλήφαμεν.

---

ΖΩΝΑΡ. Δεῖ, φησὶ, τὰς τετράδας, καὶ τὰς παρασκευὰς ἑκάστης ἑβδομάδος νηστεύειν, καὶ οὐκ αἰτιάσεταί τις ἡμᾶς νηστεύοντας, καὶ τὰς αἰτίας προστίθησι· τὴν δὲ Κυριακὴν νηστεύειν οὐ δεῖ, χαρμόσυνον οὖσαν διὰ τὴν τοῦ Κυρίου Ἀνάστασιν·

(1) ὅτι αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθε, Βευερ.

οὐδὲ γόνυ κλίνειν ἐν αὐτῇ, φησὶ, παρειλήφαμεν. Σημειωτέον οὖν τὸ, παρειλήφαμεν, καὶ τὸ, κατὰ παράδοσιν ἡμῖν προστέτακται· κἀντεῦθεν γὰρ φαίνεται, ὅτι τὸ ἐπὶ μακρὸν κρατῆσαν ἔθος, ἀντὶ νόμου λελόγισται. Ὁ δὲ μέγας Βασίλειος, καὶ τὰς αἰτίας προστίθησι, δι' ἃς ἀπηγόρευται γόνυ κλίνειν ἐν Κυριακῇ, καὶ ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς. Ἀνάγνωθι καὶ τὸν ξϛ'. ἀποστολικὸν κανόνα καὶ ξθ'.

ΒΑΛΣ. Ἀκολούθως τῷ ξδ'. ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ μὴ νηστεύειν ἡμᾶς κατὰ τὰς Κυριακὰς καὶ τὰ σάββατα, πλὴν τοῦ ἑνὸς μόνου σαββάτου, τοῦ μεγάλου δηλαδὴ, καὶ τῷ ξθ'. κανόνι, τῷ κολάζοντι μεγάλως τοὺς μὴ νηστεύοντας τὴν ἁγίαν Τεσσαρακοστὴν, καὶ πᾶσαν τετράδα καὶ παρασκευὴν, καὶ ὁ παρὼν κανὼν διατάττεται.

# ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ

## ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ,

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ,

Περὶ τῶν ἐν τῇ ἐπιδρομῇ τῶν βαρβάρων εἰδωλόθυτα φαγόντων, ἢ καὶ ἕτερά τινα πλημμελησάντων (1).

### Κανὼν Α'.

ΟΥ τὰ βρώματα ἡμᾶς βαρεῖ, ἱερὲ (2) πάπα, εἰ ἔφαγον οἱ αἰχμάλωτοι ταῦτα, ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν· μάλιστα ἐπειδὴ εἷς λόγος παρὰ πάντων (3), τοὺς καταδραμόντας τὰ ἡμέτερα (4) μέρη βαρβάρους, εἰδώλοις μὴ τεθυκέναι. Ὁ δὲ Ἀπόστολος φησί· Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει (5). Ἀλλὰ καὶ ὁ Σωτὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, Οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον, (6) λέγει· Καὶ (7) τὸ τὰς αἰχμαλώτους γυναῖκας διαφθαρῆναι, ἐξυβριζόντων τῶν βαρβάρων (8) εἰς τὰ σώματα αὐτῶν. Ἀλλ' εἰ μὲν καὶ πρότερον κατέγνωστό τινος ὁ βίος, πορευομένης ὀπίσω ὀφθαλμῶν τῶν ἐκπορνευόντων κατὰ τὸ γεγραμμένον, δῆλον ὅτι ἡ πορνικὴ ἕξις, ὕποπτος καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας, καὶ οὐ προχείρως δεῖ τὰς τοιαύτας κοινωνεῖν τῶν εὐχῶν. Εἰ μέν τοι τις (9) ἐν ἄκρᾳ σωφροσύνῃ ζήσασα, καὶ καθαρὸν καὶ ἔξω πάσης ὑπονοίας ἐπιδεδειγμένη βίον τὸν [illegible], [illegible]

---

(1) Οἱ κανόνες τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ [illegible] τῶν τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας. Ἀλλ' ἡμεῖς [illegible] ματι τοῦ Φωτίου, τῇ καὶ ὑπὸ τῶν ἑρμηνευτῶν [illegible] Π. Ε.—(3) παρ' αὐτῶν πάντων Π. Χ. Τρ.—(4) [illegible] Θ', 5, 13.—(6) Ματθ. ΙΕ', 11.—(7) ἐνταῦθα ἄρχεται [illegible] Τρ. παρὰ δὲ Ἑ. καὶ Βευερ. ἐξακολουθεῖ ὁ Κανὼν Α', ὡς καὶ παρὰ τοῖς ἐξηγηταῖς. — (8) Ρουθ, Γ', 10. — (9) ἐνταῦθα ἄρχεται ὁ Καν. Γ', ἐν Χ. Τρ.

πέπτωκεν ἐκ βίας καὶ ἀνάγκης ὕβρει, ἔχομεν παράδειγμα τὸ ἐν τῷ Δευτερονομίῳ τὸ ἐπὶ τῇ νεάνιδι, ἣν ἐν τῷ πεδίῳ εὗρεν ἄνθρωπος, καὶ βιασάμενος αὐτὴν, ἐκοιμήθη μετ' αὐτῆς· Τῇ νεάνιδι, φησὶν, οὐ ποιήσετε οὐδέν· οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου· ὅτι, ὡς εἴ τις ἀναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσει αὐτοῦ τὴν ψυχὴν, οὕτω τὸ πρᾶγμα τοῦτο· ἐβόησεν ἡ νεάνις, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ(1). Ταῦτα μέν τοι τοιαῦτα.

---

ΖΩΝΑΡ. Βαρβάρων ἐπελθόντων χώραις Ῥωμαϊκαῖς, καὶ ληϊσαμένων αὐτὰς, οἱ παρ' αὐτῶν αἰχμαλωτισθέντες ἐγεύσαντο εἰδωλοθύτων, ἢ καὶ ἄλλων ἀπηγορευμένων βρωμάτων. Ἠρωτήθη οὖν περὶ τούτων ὁ ἅγιος, καί φησιν, ὅτι, εἰ ἔφαγον οἱ αἰχμάλωτοι τὰ παρὰ τῶν αἰχμαλωτισάντων αὐτοῖς παρατιθέμενα, τοῦτο οὐ βαρεῖ, ἀντὶ τοῦ, οὐ βαρεῖαν ἐμποιεῖ βλάβην· καὶ μᾶλλον ὅτι εἷς λόγος παρὰ πάντων, ἤγουν, ὅτι πάντες τὸ αὐτὸ λέγουσιν, ὅτι οἱ τὰ ἡμέτερα καταδραμόντες βάρβαροι εἰδώλοις οὐκ ἔθυσαν, ὥστε οὐδὲ εἰδωλόθυτα ἔφαγον οἱ αἰχμάλωτοι. Παράγει δὲ καὶ ἐκ τοῦ Ἀποστόλου χρήσεις, καὶ ἐκ τοῦ Εὐαγγελίου· ἐκ μὲν τοῦ Ἀποστόλου τὸ, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι, καὶ τὰ ἑξῆς· ὃ δὴ χωρίον περὶ πλησμονῆς λέγει καὶ γαστριμαργίας· καὶ βρώματα μὲν, τὰ περιττὰ ὀνομάζει, καὶ τὴν τρυφήν· κοιλίαν δὲ, τὴν γαστριμαργίαν, ἀλλ' οὐχὶ τὴν γαστέρα· διὰ δὲ τούτων ὁ Ἀπόστολος λέγει, ὅτι ἡ ἀδδηφαγία, καὶ ἡ τρυφὴ, τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ' οὐ πρὸς Θεὸν φέρει, καὶ τῇ τρυφῇ τὸ τῆς γαστριμαργίας πάθος ᾠκείωται, καὶ θάτερον θατέρῳ δουλεύει· ὁ δὲ Θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει ταῦτα, ὥστε μὴ ἐξ αὐτῶν τινας βλάπτεσθαι. Ἔοικε δὲ ὁ ἅγιος οὗτος χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασιν ἐνταῦθα, δεικνὺς, ὅτι τὰ κατὰ τρυφὴν καὶ ἀδδηφαγίαν γινόμενα διαβέβληνται, καὶ ἐπιτιμίων εἰσὶν ἄξια, οὐ τὰ δι' ἀνάγκην καὶ βίαν σωματικήν· ὥστε κἂν ἔφαγον οἱ αἰχμάλωτοι βρώματά τινα

---

(1) Δευτ. ΚΒ', 26—28.



τῶν ἀπηγορευμένων, δοῦλοι ὄντες, δι' ἀπορίαν ἑτέρας τροφῆς, τῆς φύσεως τραφῆναι βιαζομένης, τοῦτο οὐ βαρεῖ, ὡς καὶ ἁμάρτημα λογισθῆναι. Ἐκ δὲ τοῦ Εὐαγγελίου ἐχρήσατο τοῖς τοῦ Κυρίου ῥήμασι τοῖς λέγουσιν, ὅτι, Οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον· καὶ ταῦτα δὲ πρὸς τὴν εἰρημένην τείνουσιν ἔννοιαν. Εἶτα καὶ περὶ γυναικῶν φησιν αἰχμαλώτων, αἷς οἱ βάρβαροι συνεφθάρησαν· καὶ δίδωσι γνώμην, ὅτι, εἰ μὲν ὁ πρῴην αὐτῶν βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις, καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας, καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ δεῖ συνεύχεσθαι, ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπιτιμίοις· ἕξις δ' ἐστὶν, ἡ χρονίσασα συνήθεια, καὶ τῷ χρόνῳ παγιωθεῖσα, ἥτις καὶ φύσει προσέοικεν, ὥστε αἱ μὴ τοιαῦται οὐχ ἥμαρτον βιασθεῖσαι, οὐδ' ἐπιτιμηθήσονται. Εἰ δὲ ὁ πρότερος αὐτῶν βίος σώφρων καὶ ἀνεπίληπτος, δουλωθεῖσαι δὲ διὰ τῆς αἰχμαλωσίας, ἐκ βίας ὑπέμειναν τὴν τῶν βαρβάρων ὕβριν, ἀνέγκλητοι εἰσί· καὶ παραδείγματι κέχρηται τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθεσίᾳ τῇ περὶ τῆς βιασθείσης παρθένου, ἣν ἐν ἐρημίᾳ ὁ βιασάμενος ἔφθειρε, λεγούσῃ, Οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος περὶ τοῦ τί ὀφείλει γίνεσθαι εἰς τοὺς Χριστιανοὺς τοὺς αἰχμαλωτισθέντας παρὰ βαρβάρων, καὶ φαγόντας τὰ παρὰ τούτων αὐτοῖς παρατιθέμενα εἰδωλόθυτα, ἀπελογήσατο, ὡς τὰ βρώματα ταῦτα οὐ βαρεῖ, ἀντὶ τοῦ, οὐ βαρεῖαν ἐμποιεῖ βλάβην, καὶ μᾶλλον, ὅτι εἷς λόγος παρὰ πάντων, ἤγουν, ὅτι πάντες λέγουσι μὴ θῦσαι τοῖς εἰδώλοις τοὺς τὰ ἡμέτερα καταδραμόντας βαρβάρους. Παράγει δὲ καὶ ἐκ τοῦ Ἀποστόλου χρήσεις, καὶ ἐκ τοῦ Εὐαγγελίου· ἐκ μὲν τοῦ Ἀποστόλου, τὸ, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· ὃ δὴ ἀποστολικὸν χωρίον, περὶ πλησμονῆς λέγει καὶ γαστριμαργίας· καὶ βρώματα μὲν, τὰ περιττὰ ὀνομάζει καὶ τὴν τρυφήν· κοιλίαν δὲ τὴν γαστριμαργίαν, ἀλλ' οὐχὶ τὴν γαστέρα· διὰ δὲ τούτων ὁ Ἀπόστολος λέγει, ὅτι ἡ ἀδδηφαγία, καὶ ἡ τρυφὴ, τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ' οὐ πρὸς Θεὸν φέρει· καὶ τῇ τρυφῇ τὸ τῆς γαστριμαργίας πάθος ᾠκείωται, καὶ θάτερον θατέρῳ δουλεύει·

ὁ δὲ Θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει ταῦτα, ὥστε μὴ ἐξ αὐτῶν τινα βλάπτεσθαι· Ἐκ δὲ τοῦ Εὐαγγελίου ἐχρήσατο τοῖς τοῦ Εὐαγγελίου ῥήμασι, τοῖς λέγουσιν, ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον· εἶτα καὶ περὶ γυναικῶν αἰχμαλώτων, αἷς οἱ βάρβαροι συνεφθάρησαν, καί φησιν, ὅτι εἰ μὲν ὁ πρώην αὐτῶν βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας· καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ συνεύχεσθαι δεῖ, ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπιτιμίοις· ἕξις δέ ἐστιν ἡ μακρὰ συνήθεια καὶ τῷ χρόνῳ παγιωθεῖσα, ἥτις καὶ φύσει προσέοικεν· ὥστε αἱ μὴ τοιαῦται οὐχ ἥμαρτον βιασθεῖσαι. Καὶ παραδείγματι κέχρηται τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθεσίᾳ τῇ περὶ τῆς ὑβρισθείσης παρθένου κατὰ βίαν ἐν ἐρημίᾳ· καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἔοικε δὲ ὁ ἅγιος ἀπὸ τοῦ εἰπεῖν μὴ ἐπάγεσθαι βαρεῖαν βλάβην τοῖς φαγοῦσι τὰ εἰδωλόθυτα παρατιθέμενα τούτοις παρὰ τῶν βαρβάρων, καὶ ἀπὸ τοῦ λέγειν πληροφορεῖσθαι πάντας μὴ γενέσθαι τοὺς βαρβάρους εἰδωλοθύτας, καὶ ἀπὸ τοῦ χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασι τοῖς διαλεγομένοις περὶ τρυφῆς καὶ ἀδδηφαγίας, ὡσαύτως καὶ τοῖς Εὐαγγελικοῖς τὰ αὐτὰ διαλαμβάνουσι, μὴ ἁπλῆν ποιῆσαι τὴν ἀπόκρισιν, ἀλλὰ διαιρουμένην εἰς φαγόντας εἰδωλόθυτα κατὰ τρυφὴν ἑκοντὶ, εἰς τοὺς κατὰ βίαν τῶν βαρβάρων φαγόντας ταῦτα, εἰς τοὺς δι' ἀνάγκην τῆς φύσεως βρῶμα ποιησαμένους αὐτὰ, καὶ εἰς τοὺς βιασθέντας πρὸς τοῦτο παρὰ βαρβάρων μὴ τεθυκότων τοῖς εἰδώλοις. Ὅθεν καὶ ὡς ἐμοὶ δοκεῖ, οὐδὲ εἷς ἐκ τούτων ἀνεπιτίμητος ἔσται· οἱ μὲν γὰρ διὰ τρυφὴν φαγόντες ταῦτα, μείζοσιν ἐπιτιμίοις ὑποβληθήσονται· οἱ δὲ δι' ἀνάγκην καὶ ἀποτροφὴν τοῦ σώματος, ὡς μὴ ἔχοντες ἄλλως πως ἀποτραφῆναι, ἧττόνως κολασθήσονται· καὶ οἱ λοιποὶ διὰ τὴν μιαροφαγίαν μετριώτερον ἐπιτιμηθήσονται, ὅτι καὶ ὁ ἅγιος, οὐ βαρύ, φησιν εἶναι τὸ φαγεῖν εἰδωλόθυτα παρὰ τῶν μὴ θυσάντων τοῖς εἰδώλοις παρατιθέμενα, οὐ μὴν καὶ πάντη ἀκατέγκλητον. Ἐρωτήσει δέ τις, ὡς τοῦ ιδ'. κανόνος τοῦ μακαρίου Πέτρου, ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος, διαλαμβάνοντος, τοὺς κατὰ βίαν τυραννικὴν φαγόντας εἰδωλόθυτον, καὶ τοιουτοτρόπως θύσαντας, μὴ ἐπιτιμᾶσθαι, ἀλλὰ



μᾶλλον καὶ ἐν τῷ κλήρῳ εἶναι, κληρικοὺς ὄντας, πῶς ἡ παροῦσα ἐπιστολὴ διορίζεται, τοὺς φαγόντας εἰδωλόθυτα μὴ βαρέως βλάπτεσθαι, ὡς ἐκ τούτου φαίνεσθαι βλάπτεσθαι αὐτοὺς μετρίως; Λύσις. Ὁ ἱερομάρτυς Πέτρος ἐν τῷ ιδ'. κανόνι αὐτοῦ καὶ περὶ αὐτὸ τὸ φαγεῖν τὰ εἰδωλόθυτα μαρτυρῆσαι τοὺς ἀθλητὰς διαλαμβάνει· φησὶ γὰρ, ὅτι καὶ χάνος ἐνεβλήθη τῷ στόματι αὐτῶν, καὶ αἱ χεῖρες τούτων κατεκάησαν, καὶ ἁπλῶς οὐδ' ὅλως συνέθεντο εἰς τὸ εἰδωλόθυτα φαγεῖν, ἢ εἰς τὸ θῦσαι τοῖς εἰδώλοις. Ἡ δὲ παροῦσα κανονικὴ ἐπιστολὴ διαλαμβάνει κατὰ τὰς ἀρχὰς, κατὰ βίαν μὲν φαγεῖν τοὺς αἰχμαλώτους τὰ παρατιθέμενα αὐτοῖς εἰδωλόθυτα, οὐ μὴν καὶ κατ' αὐτὸ τὸ φαγεῖν τυραννηθῆναι, καὶ διὰ τοῦτο θέλει, ὡς ὅλως ὑποκύψαντας τῷ θελήματι τοῦ τυράννου, μετρίως τιμωρηθῆναι. Νομίζω δὲ ἐγὼ, ὅτι ὥσπερ οὐκ ἔστι πάντη ἀνεπιτίμητον τὸ φαγεῖν εἰδωλόθυτα κατὰ βίαν βαρβάρων μὴ ἐπιθυσάντων, οὕτως οὐδὲ τὸ ὑποστῆναι φθορὰν βαρβαρικὴν κατὰ βίαν· καὶ τοῦτο γὰρ μετρίως ἐπιτιμηθήσεται. Κἂν γὰρ καὶ ὁ πολιτικὸς νόμος φησὶν ἐν βιβλίῳ ξ'. τίτ. λή. κεφ. ιβ'. θέματι ἕκτῳ(1), Καὶ ἡ παρὰ τοῖς πολεμίοις μοιχευθεῖσα καὶ ὑποστρέψασα, κατηγορεῖται παρὰ τοῦ ἀνδρὸς, οὐ δικαίῳ ἀνδρὸς, εἰ μὴ βίᾳ τοῦτο πέπονθε, καὶ τοιουτοτρόπως συγγινώσκει τὴν βιασθεῖσαν, καὶ τὸν γάμον οὐ διασπᾷ· ἀλλ' ὁ ἐκκλησιαστικὸς νόμος, τὴν ὅλως ὑπὸ βαρβάρων μολυνθεῖσαν, μὴ καθαριεῦσαι δι' ἐπιτιμίου οὐκ ἀνέξεται. Ἀνάγνωθι καὶ τὴν ργ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λέγουσαν περὶ τὸ τέλος ταῦτα· Οὐδαμῶς οὖν θεσπίζομεν ἔτι πρὸς συνάφειαν ἑτέρου τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας ἔρχεσθαι, καὶ τὰ ἑξῆς. Ἀναιρεῖ δὲ ἡ τοιαύτη νεαρὰ τὴν Ἰουστινιάνειον ριζ'. νεαρὰν, τὴν κειμένην ἐν βιβλίῳ κή. τίτ. ζ'. καὶ λέγουσαν, ἔστιν ὅτε λύεσθαι τὸν τοιοῦτον γάμον· πλὴν ἡ τοιαύτη νεαρὰ χώραν ἔχει, ὅταν ἡ αἰχμαλωτισθεῖσα οὐκ ἐμιάνθη παρὰ τῶν βαρβάρων· τοιούτου δέ τινος γεγονότος, χώραν ἔχουσι τὰ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ ξ'. βιβλίου.

(1) Βιβλ. ξ', τίτλ. λζ', Κεφ. ιέ, Θέμ. ς'. Ἐκδ. Λιμβαχίου.

## Κανὼν Β' (1).

Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον φευκτὸν (2) καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν, καὶ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς τοιοῦτος ἐκκήρυκτος ἐκκλησίας Θεοῦ. Τὸ δὲ ἐν καιρῷ τῆς καταδρομῆς ἐν τοσαύτῃ οἰμωγῇ καὶ τοσούτοις θρήνοις τολμῆσαί τινας, τὸν καιρὸν τὸν πᾶσιν ὄλεθρον φέροντα, νομίσαι ἑαυτοῖς καιρὸν εἶναι κέρδους, ἀνθρώπων ἐστὶν ἀσεβῶν καὶ θεοστυγῶν, οὐδὲ ὑπερβολὴν ἀτοπίας ἐχόντων. Ὅθεν ἔδοξε τοὺς τοιούτους πάντας ἐκκηρύξαι, μήποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ, καὶ ἐπ' αὐτοὺς πρῶτον τοὺς προεστῶτας, τοὺς μὴ ἐπιζητοῦντας· φοβοῦμαι γὰρ, ὡς ἡ Γραφὴ λέγει, μὴ συναπολέσῃ ἀσεβὴς τὸν δίκαιον (3)· πορνεία γὰρ, φησὶ, καὶ πλεονεξία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας (4)· μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν· ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε, (ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθοσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ,) δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται. Τοιαῦτα μὲν ὁ Ἀπόστολος (5). Ἐὰν δὲ διὰ τὴν προτέραν πλεονεξίαν τὴν ἐν τῇ εἰρήνῃ γενομένην, δίκην τιννύντες, ἐν αὐτῷ τῷ καιρῷ τῆς ὀργῆς πάλιν πρὸς τὴν πλεονεξίαν ἐκτραπῶσί τινες, κερδαίνοντες ἐξ αἵματος καὶ ὀλέθρου ἀνθρώπων ἀναστάτων γενομένων, ἢ αἰχμαλώτων, ἢ πεφονευμένων, τί ἕτερον χρὴ προσδοκᾷν,

(1) Κανὼν Γ', ἐν Π. καὶ Δ', ἐν Χ. Τρ. — (2) φρικτὸν Βευερ. — (3) Γεν. ΙΗ', 23. — (4) Κολοσσ. Γ', 6. — (5) Ἐφεσ. Ε', 8—13.



ἢ ὡς ἐπαγωνιζομένους τῇ πλεονεξίᾳ, ἐπισωρεῦσαι ὀργὴν καὶ ἑαυτοῖς, καὶ παντὶ τῷ λαῷ;

---

ΖΩΝΑΡ. Ἐν τῷ καιρῷ τῆς τῶν μαρτύρων λεηλασίας, τινὲς τῶν διαφυγόντων ἐπῆλθον ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων, καὶ ἥρπασαν τὰ παρὰ τῶν βαρβάρων καταλειφθέντα· περὶ τούτων οὖν ἐρωτηθεὶς ὁ μέγας οὗτος Πατὴρ, φησὶν, ὅτι πᾶσα πλεονεξία τῇ θείᾳ Γραφῇ ἀπηγόρευται, καὶ οὐ δυνατόν ἐστιν ἐν μιᾷ ἐπιστολῇ περιλαβεῖν ὅσα περὶ πλεονεξίας ἡ Γραφὴ διέξεισι· συντόμως δέ φησιν, ὅτι πᾶς πλεονέκτης, ἐκκήρυκτος τῆς ἐκκλησίας ἐστὶν, ἀντὶ τοῦ, ἀπόβλητος, καὶ ἀλλότριος· ἀποκηρύσσεσθαι γὰρ λέγονται οἱ υἱοὶ, ὅταν δι' αἰτίαμα τῆς γονικῆς κληρονομίας ἐκβάλλωνται, καὶ ἀλλοτριῶνται τῆς συγγενείας· τὸ δὲ ἐν καιρῷ συμφορᾶς, ὅτε ἐθρήνουν οἱ ἄνθρωποι, οἱ μὲν, αἰχμαλωτισθέντες, οἱ δὲ, διὰ τοὺς οἰκείους εἰς δουλείαν ἀγομένους, οἱ δὲ, διὰ στέρησιν πραγμάτων, τολμῆσαί τινας τὸν τοιοῦτον καιρὸν λογίσασθαι κέρδους καιρὸν, ἀσεβῶν ἐστιν ἀνθρώπων καὶ θεοστυγῶν, ἤγουν ὑπὸ Θεοῦ μισουμένων, καὶ πάσης ἀτοπίας ἐπέκεινα· ὅθεν ἔδοξε τοὺς τοιούτους ἐκκηρύξαι, ἀντὶ τοῦ, φανερῶς ἐκδιῶξαι τῆς ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν πιστῶν, ἵνα μὴ δι' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ πάντας, καὶ πρὸ τῶν ἄλλων ἐπὶ τοὺς προεστῶτας, τοὺς μὴ ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους· καὶ γραφικὰς μαρτυρίας ἐπάγει· εἶτα ἐπιφέρει, ὅτι, ἐάν τινες διὰ πλεονεξίαν προλαβοῦσαν, καὶ πρὸ τῆς τῶν βαρβάρων ἐπιδρομῆς γενομένην, δίκην τιννύντες, οὐ μόνον οὐκ ἐσωφρονίσθησαν, (τοῦτο δὲ διττὴν ἔννοιαν ὑποβάλλει, ἢ γὰρ δίκην τιννύντες λέγει, ἀντὶ τοῦ, τιμωρούμενοι παρὰ τοῦ Θεοῦ, διὰ ἀδικίας προλαβούσας τοὺς βαρβάρους εἰς τιμωρίαν κινήσαντος, ἢ δίκην τιννύντες, ἀντὶ τοῦ, δι' ἐπιτιμημάτων ἐπισκοπικῶν κολαζόμενοι διὰ προλαβούσας πλεονεξίας οὐκ ἐσωφρονίσθησαν,) ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς ὀργῆς τοῦ Θεοῦ, δι' ἣν ἐπῆλθον οἱ βάρβαροι, αὖθις εἰς πλεονεξίαν ἐκτραπῶσι, κερδαίνοντες ἐξ αἵματος καὶ ὀλέθρου ἀνθρώπων ἀναστάτων γενομένων, ἢ αἰχμαλώτων πεφονευμένων· τὸ δὲ, ἐξ αἵματος κερδαίνοντες, ἐρ-

μηνεύων, ἐπήγαγε τὰ ἑξῆς· ἢ γὰρ, φησὶν, ἀνθρώπων εἰς αἰχμαλωσίαν ἀπαγομένων, ὅπερ ὄλεθρός ἐστιν, ἢ ἀναιρεθέντων ἀνθρώπων πράγματα διαρπάζουσι· τί ἄλλο χρὴ ἐλπίζειν, ἢ διὰ τὴν πλεονεξίαν ἐπισωρεῦσαι ὀργὴν ἑαυτοῖς, καὶ παντὶ τῷ λαῷ, ἤγουν ἑλκύσαι τὴν τοῦ Θεοῦ ὀργὴν ἐφ᾽ ἑαυτοὺς καὶ ἐπὶ τὸν λαόν· Καὶ ἐξ ἱστορίας δὲ παλαιᾶς ὑπόδειγμα παρατίθησιν, ὅτι ἑνὸς ἁμαρτήσαντος πολλοὶ ἐκολάσθησαν.

ΒΑΛΣ. Ἐν τῷ καιρῷ τῆς τῶν βαρβάρων ἐπιδρομῆς, ἥρπασάν τινες τῶν ὀρθοδόξων τὰ τὴν λεηλασίαν διαφυγόντα τῶν αἰχμαλωτισθέντων πράγματα· περὶ τούτων οὖν ἐρωτηθεὶς ὁ ἅγιος, φησὶν, ὅτι πᾶς πλεονέκτης, ἐκκήρυκτος τῆς ἐκκλησίας ἐστὶν, ἀντὶ τοῦ, ἀπόβλητος καὶ ἀλλότριος· ἀποκηρύσσεσθαι γὰρ λέγονται οἱ υἱοὶ, ὅταν διά τινα αἰτιάματα ἐκ τῆς γονικῆς κληρονομίας ἀλλοτριῶνται· τὸ δὲ ἐν καιρῷ συμφορᾶς τοιαύτης τολμῆσαί τινα τοιοῦτόν τι κακὸν, καὶ λογίσασθαι κέρδους ἀφορμὴν τὴν τῶν ἀδελφῶν συμφορὰν, ἔργον ἐστὶν ἀνθρώπων ἀσεβῶν καὶ ὑπὸ τοῦ Θεοῦ μεμισημένων, καὶ πάσης ἀτοπίας ἐπέκεινα· ὅθεν ἔδοξε τοὺς τοιούτους ἐκκηρύξαι, ἀντὶ τοῦ, φανερῶς ἐκδιῶξαι τῆς ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν πιστῶν· ἵνα μὴ δι᾽ αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ πάντας, καὶ πρὸ τῶν ἄλλων, ἐπὶ τοὺς προεστῶτας, μὴ ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους. Εἶτα ἐπάγει καὶ γραφικὰς μαρτυρίας, καὶ περὶ τὸ τέλος ἐπιφέρει· Εἰ δέ τινες διὰ πλεονεξίαν γενομένην παρ᾽ αὐτῶν κατὰ τὸν τῆς εἰρήνης καιρὸν κολασθέντες, πάλιν καὶ εἰς τὴν τῶν βαρβάρων ἔφοδον τὰ αὐτὰ ἥμαρτον, οἱ τοιοῦτοι, φησὶν, οὐ μόνον καθ᾽ ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ ἐφελκύσουσιν, ἀλλὰ καὶ κατὰ παντὸς τοῦ λαοῦ. Τούτων οὕτως ἐχόντων, σημείωσαι, ὅτι καὶ ἀπὸ τῆς παρούσης ἐπιστολῆς ἐφεῖται τοῖς ἐπισκόποις τὰς τῶν πλεονεκτῶν δυναστείας ἀναστέλλειν διὰ ἐπιτιμίων, καὶ τοὺς μὲν ἁρπάζοντας τὰ ἀπὸ τῆς αἰχμαλωσίας περιλειφθέντα πράγματα τῶν ὀρθοδόξων, διὰ μεγάλων ἐκκλησιαστικῶν σωφρονίζειν κολάσεων, τοὺς δὲ μὴ τοιούτους ἅρπαγας, μετριωτέρως ἐπιτιμᾷν· ὥστε ἀπὸ τούτων, περὶ τοιούτων ὑποθέσεων



καὶ λαϊκοὺς ἐνδυνάμως ἵνα δικάσωσιν οἱ ἐπίσκοποι· πῶς γὰρ ἐπιτιμήσουσι τούτους τῆς ἀληθείας μὴ ἀναφανείσης πρότερον; Τὸ δὲ διὰ πλεονεξίαν ἀποκηρύσσεσθαί τινα ἐκ τῆς κοινωνίας τῶν πιστῶν, μέγα ἐστὶ, καὶ οὐαὶ τοῖς πλεονεκτοῦσιν. Ὁ μέν τοι πολιτικὸς νόμος, τὸν ἁρπάζοντα ἀπὸ ἐμπρησμοῦ, ἢ καταπεσούσης οἰκίας, εἴσω μὲν ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν καταδικάζει· μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν· καὶ ἀνάγνωθι τὸ α΄. κεφ. τοῦ κ΄. τίτλου τοῦ ξ΄. βιβλίου. Παρομοίως δὲ κολάζονται κατὰ τὴν χρηματικὴν ποινὴν καὶ οἱ ἀπὸ οἰκίας καταπολεμηθείσης ἁρπάζοντες· φησὶ γὰρ τὸ β΄. θέμα τοῦ γ΄. κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου ταῦτα ῥητῶς· Κἂν ἀπὸ οἰκίας, ἢ κώμης καταπολεμουμένης ἁρπαγῇ τι, χώρα τῷ νόμῳ.

## Κανὼν Γ΄ (1).

Οὐκ ἰδοὺ Ἄχαρ ὁ τοῦ Ζαρᾶ πλημμελείᾳ ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθέματος, καὶ ἐπὶ πᾶσαν συναγωγὴν Ἰσραὴλ ἐγενήθη ἡ ὀργή (2); καὶ εἷς μόνος οὗτος ἥμαρτε, μὴ μόνος ἀπέθανεν ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ; Ἡμῖν δὲ πᾶν τὸ μὴ ἡμέτερον, ἀλλὰ ἀλλότριον τῷ καιρῷ τούτῳ κέρδος, ἀνάθεμα νενομίσθαι προσήκει. Κἀκεῖνος μὲν γὰρ ὁ Ἄχαρ, ἐκ τῆς προνομῆς ἔλαβε· καὶ αὐτοὶ νῦν ἐκ προνομῆς· κἀκεῖνος μὲν τὰ τῶν πολεμίων· οἱ δὲ νῦν, τὰ τῶν ἀδελφῶν, κερδάναντες ὀλέθριον κέρδος.

---

ΖΩΝΑΡ. Ἐν τῇ βίβλῳ Ἰησοῦ τοῦ Ναυῆ γέγραπται, ὅτι πολιορκῶν ὁ Ἰησοῦς οὗτος τὴν Ἱεριχὼ, πάντα τὰ ἐν αὐτῇ ἀνάθεμα ἐπηγγείλατο εἶναι Θεῷ. Ἑαλωκυίας δὲ τῆς πόλεως, ὁ Ἄχαρ, χρυσὸν, καί τι ὕφασμα ὑφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ· ὀργισθέντος δὲ τοῦ Θεοῦ, διὰ τοῦτο, ἡττήθησαν μετὰ ταῦτα ἐν πολέμῳ οἱ Ἰσραηλῖται, καὶ ἔπεσον πολλοί. Ζητουμένου δὲ τοῦ αἰτίου τῆς τοῦ Θεοῦ ὀργῆς, ὁ κλῆρος ἐπὶ τὸν Ἄχαρ ἔπεσε· κἀκεῖνος ἀνακρινόμενος ὡμολόγησε τὸ κλέμμα, καὶ τὰ κλαπέντα προήνεγκε· καὶ ἐλι-

(1) Κανὼν Δ΄, ἐν Π. καὶ Ε΄, ἐν Χ. Τρ. — (2) Ἰησοῦ Ζ΄.

θοβολήθη αὐτός τε καὶ ἡ γυνὴ, καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἡ σκηνὴ, καὶ τὰ ζῶα. Ἰδοὺ οὖν, φησὶν, εἷς ἥμαρτε, καὶ ἀπώλοντο ἐν τῷ πολέμῳ Ἰσραηλῖται πολλοί· καὶ αὖθις οὐκ ἐκεῖνος μόνος ἀπέθανεν, ἀλλὰ καὶ οἱ ἐκείνου πάντες. Εἶτα καὶ ἐξαίρει ὁ μέγας οὗτος Πατὴρ τὴν τότε πλεονεξίαν, καὶ χείρονα εἶναι κατασκευάζει ἁμαρτίαν παρὰ τὴν τοῦ Ἄχαρ, συγκρίνων ἄμφω· καὶ γὰρ ὁ Ἄχαρ, φησὶν, ἐκ προνομῆς ἔλαβεν ἃ ὑφείλετο, καὶ οὗτοι ὁμοίως ἐκ προνομῆς· ἀλλ' ἐκεῖνος μὲν τὰ τῶν πολεμίων ἔλαβεν· οὗτοι δὲ τὰ τῶν ἀδελφῶν, ὅπερ μεῖζον ποιεῖ τὸ κακόν. Εἶτα ἐπιφέρει, ὡς τινων λεγόντων, ὅτι εὕρομεν ταῦτα ἐῤῥιμμένα τυχὸν, μή τινος ἀντιποιουμένου αὐτῶν, καὶ οὔτε ᾔδειμεν τίνων ἦσαν, καὶ ἀντιτίθησιν αὐτοῖς τὰ τοῦ Δευτερονομίου, καὶ τὰ τῆς Ἐξόδου, καὶ φησί.

ΒΑΛΣ. Εἰπὼν ὁ ἅγιος ἀποκηρύττεσθαι τῶν πιστῶν τοὺς ἁρπάσαντας τὰ τοῖς αἰχμαλωτισθεῖσι διαφέροντα, καὶ ἀπὸ τῆς βαρβαρικῆς λεηλασίας περιλειφθέντα, καὶ ὅτι διὰ τοὺς οὕτω πολλάκις πταίσαντας καὶ μὴ διορθωθέντας, καὶ εἰς τὸν λαὸν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπισωρευθῇ, ἐπιφέρει πρὸς κατασκευὴν τούτων τὴν ἐν τῇ βίβλῳ τοῦ Ἰησοῦ τοῦ Ναυῆ γεγραμμένην ἱστορίαν περὶ τοῦ Ἄχαρ. Ἱστορεῖται γὰρ, ὡς τοῦ Ἰησοῦ ἐπαγγειλαμένου ἀνατεθειμένα εἶναι τῷ Θεῷ πάντα τὰ ἀπὸ τῆς Ἱεριχοῦντος σκυλευθησόμενα, ὁ Ἄχαρ μετὰ τὴν ἅλωσιν τῆς πόλεως Ἱεριχοῦντος, γλῶτταν χρυσῆν, καὶ ὕφασμά τι ὑφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ· ὀργισθέντος δὲ τοῦ Θεοῦ διὰ τοῦτο, ἡττήθησαν οἱ Ἰσραηλῖται. Ὅτι δὲ ἄδηλος ἦν ἡ αἰτία τῆς ὀργῆς τοῦ Θεοῦ, γέγονε κλῆρος, καὶ ἔπεσεν ἐπὶ τὸν Ἄχαρ. Κἀκεῖνος ἀνακρινόμενος ὡμολόγησε τὸ κλέμμα, καὶ τὰ κλαπέντα προήνεγκε· καὶ ἐλιθοβολήθη αὐτός τε καὶ πάντες οἱ περὶ αὐτὸν, καὶ τὰ ζῶα, καὶ πᾶσα ἡ ἀποσκευὴ αὐτοῦ· καί φησιν, ἰδοὺ, εἷς ἥμαρτε, καὶ ὑφείλετο ἀπὸ τοῦ ἀναθέματος τῷ Θεῷ, καὶ διὰ τὴν ἁμαρτίαν ἐκείνου, ἀπώλοντο ἐν τῷ πολέμῳ πολλοὶ ἐκ τῆς συναγωγῆς τῶν Ἰσραηλιτῶν· καὶ αὖθις ἡ ἐκδίκησις γέγονεν οὐκ εἰς ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἐκείνου. Πρὸς δὲ τὸν ἴσως εἰπόντα διαφορὰν εἶναι τῶν ἀνατεθειμένων τῷ Θεῷ, καὶ τῶν διαφερόντων ἰδιώταις, ἀντικαθίσταται ὁ ἅγιος,



καὶ κατασκευάζει χείρονα ἐκείνης τῆς πλεονεξίας εἶναι τὴν παροῦσαν ἁρπαγήν· ὅτι τε τὰ ἐν τῷ καιρῷ τῆς λεηλασίας τῶν βαρβάρων περιλειφθέντα πράγματα τῶν ἀδελφῶν, ὡς ἀνατεθειμένα τῷ Θεῷ λογίζονται, καὶ ὅτι, κἂν ἰσότητα ἔχωσι τὰ παρὰ τοῦ Ἄχαρ ἀποσυληθέντα, καὶ τὰ παρὰ τούτων ἁρπαγέντα, διὰ τὸ ἐκ προνομῆς, ἤτοι αἰχμαλωσίας, καὶ ἀμφότερα ἀποκερδανθῆναι, ἀλλ' ἡ ἐκ τούτων αἰτία, μείζων ἐστίν· ὁ μὲν γὰρ Ἄχαρ, τὰ τῶν πολεμίων ὑφείλετο, οἱ δὲ νῦν πλεονεκτήσαντες, τὰ τῶν ἀδελφῶν ἥρπασαν, τὴν συμφορὰν τούτων, κέρδος ὀλέθριον ἡγησάμενοι. Σημείωσαι τὰ παρόντα διὰ τοὺς ἁρπάζοντας τὰ τῶν ἐκκλησιῶν, καὶ τὰ τῶν μοναστηρίων, καὶ ἁπλῶς διὰ τοὺς ἰδιουμένους πάντα τὰ ἀνατεθειμένα τῷ Θεῷ.

## Κανὼν Δ'(1).

Μηδεὶς ἐξαπατάτω ἑαυτὸν, μήτε ὡς εὑρών· οὔτε γὰρ εὑρόντι κερδαίνειν ἔξεστι· φησὶ γὰρ τὸ Δευτερονόμιον· Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου, καὶ τὸ πρόβατον πλανώμενα ἐν τῇ ὁδῷ, ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου (2). Ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ, μηδὲ ἐπίστασαι αὐτὸν, συνάξεις αὐτὰ, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ἐκζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτῷ· καὶ οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις κατὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅσα ἂν ἀπόληται παρ' αὐτοῦ, καὶ εὑρήσῃς αὐτά. Ταῦτα τὸ Δευτερονόμιον. Ἐν δὲ τῇ Ἐξόδῳ, οὐ μόνον ἐὰν τὰ τοῦ ἀδελφοῦ τις εὕρῃ, ἀλλὰ καὶ τοῦ ἐχθροῦ, Ἀποστροφῇ, φησιν, ἀποστρέψεις αὐτὰ εἰς τὸν οἶκον τοῦ Κυρίου αὐτῶν. Εἰ δὲ ἐν εἰρήνῃ ῥαθυμοῦντος, καὶ τρυφῶντος, καὶ τῶν ἰδίων ἀμελοῦντος ἀδελφοῦ, ἢ ἐχθροῦ, κερδᾶναι οὐκ ἔξεστι, πόσῳ μᾶλλον δυστυχοῦντος, καὶ πο-

(1) Καν. Ε', ἐν Π. καὶ ς', ἐν Χ. Τρ. — (2) παρίδῃς Π. — (3) Δευτερ. 1—3. — (4) Ἐξόδ. ΚΓ', 4.

λεμίους φεύγοντος, καὶ κατὰ ἀνάγκην τὰ ἴδια ἐγκαταλείποντος;

—

ΖΩΝΑΡ. Πρὸς τοὺς λέγοντας τὰ εἰρημένα, φησὶν ὁ Πατὴρ, ὅτι μὴ ἐξαπατάτω τις ἑαυτὸν, ὡς εὑρὼν τὸ τοῦ ἀδελφοῦ πρᾶγμα ἐῤῥιμμένον ἴσως καὶ ἀνεπιμέλητον κείμενον· κἂν γὰρ οὕτως εὕρῃ αὐτὸ, οὐκ ἔξεστι κερδῆσαι αὐτὸ, καὶ οἰκειώσασθαι τὸ ἀλλότριον, κἂν ἴσως ἀγνοῇ τὸν δεσπότην τοῦ πράγματος· χρεωστεῖ γὰρ λαβεῖν αὐτὸ, καὶ φυλάξαι, ἕως ἂν ὁ Κύριος αὐτοῦ γνῷ, καὶ ζητήσῃ αὐτό· καὶ τὰ τοῦ Δευτερονομίου, καὶ τὰ τῆς Ἐξόδου ἐπάγει, λέγων· ὅτι, ἐὰν ἐν καιρῷ εἰρήνης ὁ ἀδελφός σου, ἢ ὁ ἐχθρός σου ἐκ ῥαθυμίας ἀπολέσῃ τὸ ἴδιον, οὐκ ἔξεστί σοι εὑρόντι αὐτὸ, κέρδος ἴδιον ποιήσασθαι, ἀλλ᾽ ἐπανασῶσαι τῷ ἀπολέσαντι αὐτὸ ἀπαιτῇ κατὰ τὸν νόμον τὸν παλαιὸν, πόσῳ μᾶλλον ἐὰν τοῦ φεύγοντος ἀδελφοῦ σου, ἢ τοῦ αἰχμαλωτισθέντος εὑρήσῃς πράγματα παρ᾽ αὐτῶν καταλειφθέντα, χρὴ σε περιφυλάξαι αὐτὰ, καὶ ἀποδοῦναι τῷ δυσπραγοῦντι.

ΒΑΛΣ. Εἰκὸς ἦν εἰπεῖν τινας, ὅτι οὐχ ἡρπάσαμεν τὰ τῶν αἰχμαλωτισθέντων ἀδελφῶν, ἀλλ᾽ εὕρομεν αὐτὰ ἐῤῥιμμένα, καὶ οὐκ ᾔδειμεν τίνων ἦσαν, καὶ διὰ τοῦτο ἀκαταιτίατοι νομιζόμεθα. Πρὸς γοῦν τούτους ἀντιτίθησιν ὁ ἅγιος τὰ τοῦ Δευτερονομίου, καὶ τὰ τῆς Ἐξόδου, καί φησιν, ὡς, κἂν ἐῤῥιμμένα καὶ ἀνεπιμέλητα ἐν καιρῷ τοιούτῳ εὑρήσῃ τις πράγματα, ἀγνοῇ δὲ καὶ τὸν δεσπότην αὐτῶν, οὐδὲ οὕτως ἐκχωρεῖται κερδᾶναι αὐτά· χρεωστεῖ γὰρ φυλάσσειν αὐτὰ, ἕως ἂν ὁ κύριος αὐτῶν γνῷ, καὶ ζητήσῃ αὐτά. Εἶτα προσεπάγει, ὅτι, ἐὰν κατὰ τὴν Μωσαϊκὴν νομοθεσίαν οὐκ ἔξεστί τινι ἰδιοῦσθαι τὰ ἑτέροις ἀνήκοντα πράγματα, κἂν φίλοι ὦσιν οὗτοι, κἂν ἐχθροὶ, κἂν ἀνεπιμέλητα ὦσι, καὶ ταῦτα ἐν καιρῷ εἰρήνης, ἀλλ᾽ ἀναγκάζεται ἀποκαθιστᾶν αὐτὰ πρὸς τοὺς δεσπότας τούτων, καὶ τρυφῶντας, καὶ μὴ ἐπιστρεφομένους τῆς τῶν ἰδίων εὑρέσεως· πόσῳ μᾶλλον ὀφείλει ὁ εὑρὼν ἀδελφοῦ δυστυχοῦντος καὶ αἰχμαλωτισθέντος, ἢ καὶ φεύγοντος τοὺς βαρβάρους πράγματα, καὶ κατὰ τοσαύτην ἀνάγκην ἀτημέλητα καταλιπόντος τὰ οἰκεῖα, ἀποκαθιστᾶν



αὐτὰ πρὸς τὸ μέρος τοῦ οὕτω δυσπραγήσαντος ἀνθρώπου; Καὶ ὁ μὲν ἅγιος ταῦτα ἐθέσπισε· καὶ ἐφεξῆς διδάσκει, πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἵ τε ἁρπάσαντες τὰ τοιαῦτα πράγματα, καὶ οἱ μὴ ἁρπάσαντες, ἀλλὰ εὑρόντες, πρὸς δὲ καὶ οἱ μετὰ τὴν εὕρεσιν μὴ ἀποκαθιστῶντες αὐτά. Ὁ δὲ πολιτικὸς νόμος φησὶν ἐν θέματι έ. τοῦ μγ'. κεφ. τοῦ ιέ'. τίτλου τοῦ ξ'. βιβλίου ταῦτα ῥητῶς· Ὁ τὸ ἀλλότριον πρᾶγμα ἐῤῥιμμένον λαμβάνων ἐπὶ τῷ κερδᾶναι, κἂν ἀγνοῇ τίνος ἐστὶν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, εἰ μὴ ἄρα ἀπρονόητον ὁ δεσπότης εἴασεν αὐτό· τότε γὰρ, κἂν ὡς κλέπτων αὐτὸ ἔλαβεν, ἐπειδὴ ἐπαύσατο αὐτοῦ εἶναι, οὐχ ὑπόκειται· κλοπὴ γὰρ οὐ γίνεται μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου· εἰ δὲ μὴ ὂν ἀπρονόητον ἐνόμισεν ἀπρονόητον, οὐκ ἔστι κλέπτης· εἰ δὲ μὴ ἦν ἀπρονόητον, μήτε ἐνόμισεν, ἔλαβε δὲ, ἐπὶ τῷ δοῦναι τῷ εὑρισκομένῳ δεσπότῃ, οὐχ ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρετρα λάβῃ· ὡσαύτως καὶ τὸ ξά. κεφ. τοῦ γ'. τίτλου τοῦ ν'. βιβλίου οὕτω διαλαμβάνον· Ἐάν τις ἀπόντος πρᾶγμα κατέσχε σχολάζον, οὐκ ἐνήγετο τὸ παλαιὸν ἢ τῷ περὶ βίας παραγγέλματι, ἢ τῷ, ὅπερ βίᾳ ἢ λάθρα, εἰ μὴ ἄρα τῇ τὰ ἴδια ἐκδικούσῃ ἀγωγῇ, ἐν ᾧ δεσπότης ἦν ὁ ἀπών. Ἡμεῖς οὖν ὡς νομέα ὄντα, βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῷ παραγγέλματι· γελοῖον γάρ ἐστι τὸ λέγειν, ὅτι ἐνόμιζον ἴδιον τὸ ἀλλότριον· ὥσπερ οὖν καὶ ἐπὶ τῆς περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῆς εἴπομεν, ὅτι ὁ παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν, κλοπὴν ἁμαρτάνει· ταῦτα δέ φαμεν, ἐὰν μὴ τριακονταετία παρῆλθεν ἐξ οὗ τῆς νομῆς ἐπελάβετο. Σημείωσαι τὰ ἐνταῦθα γεγραμμένα περὶ τῶν πραγμάτων τῶν αἰχμαλώτων. Ἀνάγνωθι καὶ βιβλίον λδ'. τίτ. ά. κεφ. ιζ'. λέγον· Τοὺς ἀναληφθέντας παρὰ τῶν πολεμίων ἀγροὺς, οἱ πρώην ἀναλαμβάνουσι δεσπόται· οὐ γὰρ ἐν τάξει πραίδας εἰσὶν, οὐδὲ δημόσιοι γίνονται· οἱ γὰρ τῶν πολεμίων λαμβανόμενοι, γίνονται δημόσιοι. Σημείωσαι οὖν, ὅτι καὶ ἀπὸ τῶν κανόνων, καὶ ἀπὸ τῶν νόμων, οὐ μόνοι οἱ τὰ τῶν αἰχμαλωτισθέντων ἀποσυλῶντες ἢ ἁρπάζοντες κολάζονται καὶ ἐνέ-

χονται, ἀλλὰ καὶ οἱ εὕρεμά τι ἢ ἀκίνητον σχολάζον λέγοντες ἐφευρεῖν, καὶ μὴ αὐτίκα τὸ πρᾶγμα κατάδηλον ποιούμενοι, καὶ φυλάττοντες αὐτὸ εἰς ὄνομα τοῦ δεσπότου, κατὰ μὲν τὸν ἐκκλησιαστικὸν νόμον ἐπιτιμηθήσονται, κατὰ δὲ τὸν πολιτικὸν, ἢ ὡς κλέπται τιμωρηθήσονται, ἐάν ἐστι τὸ πρᾶγμα κινητὸν, ἢ τῷ περὶ βίας παραγγέλματι, ἐὰν ἐστιν ἀκίνητον. Ὅταν δὲ ἀπρονόητόν ἐστι τὸ εὑρεθὲν, τὸ παρὰ τοῖς νόμοις καλούμενον προδερέλικτον, οὐ κολάζεται παρομοίως ὁ τοῦτο κατασχών· ἀλλ' εἰ μὲν κινητόν ἐστιν, ἀναγκάζεται αὐτὸ ἀποδοῦναι καὶ μόνον, εἰ μὴ ἐδέσποσεν αὐτὸ, ὡς καλῇ πίστει νομεὺς, ἐντὸς τριετίας, εἰ δὲ ἀκίνητον, αὐτὸ ἐκεῖνο τὸ κατασχεθὲν ὡς προδερέλικτον, εἰ μὴ γέγονε τούτου δεσπότης, ἐντὸς δεκαετίας. Σχολάζοντος δὲ καὶ ἀπρονοήτου, μεγάλη διαφορά· τὸ μὲν γὰρ σχολάζον, ψυχῇ νεμόμεθα, κἂν φυσικῶς αὐτὸ οὐ κατέχομεν· τὸ δὲ προδερέλικτον, οὐδὲ νομίμως, οὐδὲ φυσικῶς κατέχομεν, καὶ διὰ τοῦτο δεσπόζεται παρὰ τοῦ καλῇ τῇ πίστει νεμηθέντος αὐτό. Ταῦτα δὲ χώραν οὐκ ἔχουσιν ἐπὶ τῶν ἀνηκόντων τοῖς αἰχμαλωτισθεῖσι, καὶ διὰ τοῦτο οἱ κατέχοντες αὐτὰ καὶ μὴ ἀποκαθιστῶντες, ὡς ἄνωθεν εἴρηται, ἀδιαστίκτως καὶ ἐνέχονται, καὶ κολάζονται.

## Κανὼν Ε΄(1).

Ἄλλοι (2) δὲ ἑαυτοὺς ἐξαπατῶσιν, ἀντὶ τῶν ἰδίων τῶν ἀπωλομένων, ἃ εὗρον ἀλλότρια κατέχοντες· ἵνα, ἐπειδὴ αὐτοὺς Βοράδοι, καὶ Γότθοι τὰ τῶν πολεμίων εἰργάσαντο, αὐτοὶ ἄλλοις Βοράδοι, καὶ Γότθοι γίνωνται. Ἀπεστείλαμεν οὖν τὸν ἀδελφὸν καὶ συγγέροντα Εὐφρόσυνον διὰ ταῦτα πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνθάδε τύπον, καὶ αὐτὸς(3) δῴη ὁμοίως, καὶ ὧν δεῖ τὰς κατηγορίας προσίεσθαι, καὶ οὓς δεῖ ἐκκηρύξαι τῶν εὐχῶν.

---

ΖΩΝΑΡ. Τινὲς, φησὶν, ἀπολέσαντες οἰκεῖα πράγματα, καὶ

---

(1) Καν. ϛ΄, ἐν Π. καὶ Ζ΄, ἐν Χ. Τρ. —(2) Πολλοὶ δὲ ἑαυτοὺς Π. —(3) καὶ αὐτοῦ Π.

εὑρόντες ἀλλότρια, λέγουσι κατέχειν αὐτὰ, ἀνθ' ὧν ἀπώλεσαν, ἐξαπατῶντες ἑαυτούς· ὅπερ γὰρ, φησὶν, ἐγένοντο ἐκείνοις οἱ πολέμιοι βάρβαροι, τοῦτο γίνονται αὐτοὶ τοῖς ἀδελφοῖς· ἥρπασαν οἱ βάρβαροι τὰ ἐκείνων, κἀκεῖνοι τὰ τῶν ἀδελφῶν· διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον, ἤγουν, καθὼς ἡμεῖς ἐνταῦθα ἐποιήσαμεν, δώῃ τύπον καὶ αὐτόθι ὥστε οὕτω ποιεῖν ὑμᾶς, καὶ τίνας δεῖ κατηγοροῦντας τίνων προσδέχεσθαι, καὶ οὓς ἐκκηρύξαι, ἤγουν τίνας τῆς ἐκκλησίας ἐξῶσαι, καὶ τῶν πιστῶν χωρίσαι, ὥστε μὴ συνεύχεσθαι αὐτοῖς· τίνας δὲ δεῖ κατηγοροῦντας προσδέχεσθαι, τὸ ἕκτον κεφάλαιον τῆς δευτέρας οἰκουμενικῆς συνόδου διδάσκει. Ἀναγνωστέον καὶ τὰ ἐκεῖ γεγραμμένα.

ΒΑΛΣ. Ἀπολογησάμενος ὁ ἅγιος τὰ εἰκότα πρὸς τοὺς λέγοντας, ὡς ἐῤῥιμμένα καὶ ἀτημέλητα εὑρεῖν τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ διὰ τοῦτο ἰδιώσασθαι αὐτὰ, ἄρτι ἀπολογεῖται πρὸς τοὺς ἀντιποιουμένους τῶν διαφερόντων τοῖς αἰχμαλωτισθεῖσιν, ἀντὶ τῶν φθασάντων παρὰ τῶν πολεμίων ἀφαιρεθῆναι πραγμάτων αὐτῶν. Φησὶ γὰρ, ὡς καὶ τοῦτο ἀπάτη ἐστὶ καὶ ματαία πρόφασις· οὐδὲ γὰρ δίκαιόν ἐστι τούτους γεγονότας παρανάλωμα πολέμου βαρβαρικοῦ, μὴ καρτερῆσαι, ἀλλὰ γενέσθαι αὐτοὺς πολεμίους τῶν ἀδελφῶν, καὶ χρηματίσαι εἰς τούτους ἄλλους βαρβάρους. Διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, τὸν ἀδελφὸν Εὐφρόσυνον πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον, ἤγουν, καθὼς ἡμεῖς ἐνταῦθα ἐποιήσαμεν, δώῃ τύπον καὶ αὐτόθι, ὥστε οὕτω ποιεῖν ὑμᾶς· εἶτα, φησὶν, ὡς ὁ αὐτὸς Εὐφρόσυνος ἀναδιδάξει, τίνας δεῖ προσδέχεσθαι κατηγοροῦντας κατὰ τίνων, καὶ τίνας χρὴ ἀποκηρύττειν τῆς ἐκκλησίας καὶ τῆς κοινωνίας τῶν πιστῶν.

## Κανὼν ϛ' (1).

*Περὶ τῶν βίᾳ κατεχόντων τοὺς ἐκ τῶν βαρβάρων αἰχμαλώτους.*

Ἀπηγγέλθη δέ τι ἡμῖν καὶ ἄπιστον ἐν τῇ χώρᾳ

---

(1) Κανὼν Ζ', ἐν Π. καὶ Ι', ἐν Χ. Τρ.

ὑμῶν γενόμενον, πάντως που ὑπὸ ἀπίστων καὶ ἀσεβῶν καὶ μὴ εἰδότων μηδὲ ὄνομα Κυρίου· ὅτι ἄρα εἰς τοσοῦτόν τινες ὠμότητος καὶ ἀπανθρωπίας προεχώρησαν, ὥστε τινὰς, τοὺς διαφυγόντας αἰχμαλώτους βίᾳ κατέχειν. Ἀποστείλατέ τινας εἰς τὴν χώραν, μὴ καὶ σκηπτοὶ πέσωσιν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

---

ΖΩΝΑΡ. Τινὲς, φησὶν, ὡς ἐμάθομεν, αἰχμαλώτους διαφυγόντας τοὺς πολεμίους, βίᾳ κατέχουσιν, οἵτινες ἄπιστοι πάντως εἰσὶ καὶ ἀσεβεῖς, καὶ οὐδὲ Θεοῦ ἐπίγνωσιν ἔχουσιν. Ἀπαιτεῖ οὖν ὁ ἅγιος τοὺς πρὸς οὓς γράφει, ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι περὶ τοῦ πράγματος, ἵνα μὴ πῦρ, φησὶν, ἐξ οὐρανοῦ πέσῃ καὶ καταφλέξῃ τοὺς ταῦτα πράσσοντας· τοῦτο δὲ εἶπε, τὴν ἀτοπίαν δεικνύων τῆς πράξεως.

ΒΑΛΣ. Ἔμαθεν ὁ ἅγιος, ὥς τινες ὀρθόδοξοι αἰχμάλωτοι, τὰς βαρβαρικὰς χεῖρας διαφυγόντες, κατέχονται ὑπό τινων κατὰ βίαν, καὶ οὐ παραχωροῦνται οἴκαδε ὑποστρέψαι. Φησὶν οὖν πρὸς οὓς ἀπεστάλη τὸ ἐπιστολιμαῖον τοῦτο γράμμα, ὡς τοῦτο καὶ ἄπιστον ἐλογίσθη αὐτῷ· ἔργον γάρ ἐστιν ἀπίστων καὶ ἀσεβῶν· εἰ δὲ γέγονεν, ἀνεκδίκητον οὐκ ἔσται· διὸ καὶ ὀφείλουσι τὰ περὶ τούτου πολυπραγμονηθῆναι, καὶ ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι. Νομίζει γὰρ ὡς καὶ σκηπτὸς, ἤγουν πῦρ ἐκ τοῦ οὐρανοῦ ἔπεσε καὶ κατέφλεξε τοὺς τοιαῦτα πράσσοντας.

## Κανὼν Ζ' (1).

*Περὶ τῶν ἐγκαταλεχθέντων τοῖς βαρβάροις, καὶ ἄτοπά τινα κατὰ τῶν ὁμοφύλων τολμησάντων.*

Τοὺς μὲν οὖν ἐγκαταλεχθέντας τοῖς βαρβάροις, καὶ μετ' αὐτῶν ἐν τῇ αἰχμαλωσίᾳ ἐπελθόντας (2), ἐπιλαθομένους ὅτι ἦσαν Ποντικοὶ καὶ Χριστιανοὶ, ἐκβαρβαρωθέντας δὲ ὡς καὶ φονεύειν τοὺς ὁμοφύλους ἢ ξύλῳ, ἢ ἀγχόνῃ, ὑποδεικνῦναι δὲ ἢ ὁ ὁδοὺς, ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρ-

---

(1) Κανὼν Η. ἐν Π. καὶ Θ', ἐν Χ. Τρ.—(2) ἐν τῇ αἰχμαλωσίᾳ γενομένους Χ. Τρ.—ἀπελθόντας Π.

βάροις, καὶ τῆς ἀκροάσεως ἀπεῖρξαι δεῖ, μέχρις ἂν κοινῇ περὶ αὐτῶν τι δόξῃ συνελθοῦσι τοῖς ἁγίοις, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι.

---

ΖΩΝΑΡ. Ὅσοι μὲν οὖν, φησὶν, αἰχμαλωτισθέντες ποτὲ, συγκατετάγησαν τοῖς βαρβάροις, καὶ μετ᾽ αὐτῶν ἐπῆλθον βαρβαρωθέντες τὰ ἤθη, καὶ ὥσπερ ἐπιλαθόμενοι, ὅτι καὶ αὐτοὶ ἐκ τοῦ Πόντου ἦσαν Χριστιανοὶ, ὁμοφύλους ἐφόνευσαν, ἢ ὁδοὺς ὑπεδείκνυον τοῖς βαρβάροις ἀγνοουμένας αὐτοῖς, ἢ οἰκίας λανθανούσας αὐτοὺς, οὗτοι μηδὲ εἰς ἀκρόασιν παραδεχθήτωσαν μετανοοῦντες· τουτέστιν, ἔξω παντελῶς τῆς ἐκκλησίας ἐςηκέτωσαν, ἐν τόπῳ δηλαδὴ προσκλαιόντων, ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι κοινῇ περὶ αὐτῶν συνελθόντες· ἁγίους δὲ, ἢ τοὺς ἐπισκόπους καλεῖ, ἢ τοὺς πιστοὺς ἁπλῶς, κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον· τὸ δὲ, πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι, ἐπήγαγε, δεικνὺς, ὅτι, ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ ἐπισκόπων, ἢ καὶ ἁπλῶς τῶν πιστῶν, τὸ ἅγιον Πνεῦμα ὑποτίθησι ταῦτα τοῖς περὶ αὐτῶν διασκεπτομένοις.

ΒΑΛΣ. Τοὺς μέν τοι μετὰ τὸ αἰχμαλωτισθῆναι τοῖς βαρβάροις ὁμοφρονήσαντας, καὶ οἷον βαρβαρωθέντας, καὶ τοὺς ὁμοφύλους Χριστιανοὺς φονεύσαντας, ἢ ὁδοὺς ἀγνοουμένας τοῖς βαρβάροις, καὶ ἀπαγούσας εἰς Χριστιανοὺς, ὑποδείξαντας, ἢ οἰκίας τούτων καταδήλους τοῖς πολεμίοις ποιήσαντας, μηδὲ εἰς ἀκρόασιν τῶν θείων δοξολογιῶν παραδεχθῆναι διορίζεται· ἀλλὰ ἔξω παντελῶς τῆς ἐκκλησίας ἵστασθαι αὐτοὺς ἐν τόπῳ προσκλαιόντων πάντως μετὰ τὴν ἐξομολόγησιν ἢ τὴν καταδίκην, ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι περὶ αὐτῶν κοινῇ συνελθόντες· ἁγίους δὲ τοὺς ἐπισκόπους καλεῖ· τὸ δὲ, πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι, ἐπήγαγε, δεικνὺς, ὅτι, ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ τῶν ἐπισκόπων, τὸ ἅγιον Πνεῦμα ὑποτίθησιν αὐτά. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει· ὁ δὲ πολιτικὸς, τῷ περὶ καθοσιώσεως ἐγκλήματι καθυποβάλλει τοὺς τοιούτους. Φησὶ γὰρ τὸ ά. κεφ. τοῦ λς'. τίτλου τοῦ ξ'. βιβλίου· Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ Ῥωμαϊκοῦ δήμου πλημμελήσας, καὶ

ὁ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους· ἢ ἵνα ἔνοπλοι ἄνθρωποι ἐν πόλει κατὰ τῆς πολιτείας ὦσιν, ἢ ἵνα τόπος, ἢ ἱερὰ κατασχεθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων· καὶ ὁ πρὸς τοὺς πολεμίους γράμμα, ἢ ἄγγελον πέμψας, ἢ σημεῖον αὐτοῖς δεδωκώς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας, ἢ ἐρεθίσας στρατιώτας πρὸς στάσιν, ἢ θόρυβον κατὰ τῆς πολιτείας. Καὶ κεφ. γ'. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου· Ὁ τοὺς πολεμίους ἐρεθίσας, ἢ παραδοὺς αὐτοῖς πολίτην, εἰς κεφαλὴν τιμωρεῖται· καὶ ἐφεξῆς διαλέγεται τὸ κεφάλαιον περὶ ἄλλων τινῶν ὁμοίων. Καὶ ταῦτα μὲν περὶ τῶν αἰχμαλωτισθέντων καὶ ὁμοφρονησάντων τοῖς πολεμίοις, καὶ περὶ τῶν μὴ αἰχμαλωτισθέντων, ὅμως μέντοι τοῖς πολεμίοις ὁμογνωμονησάντων, καὶ φρονησάντων κατὰ τῆς Ῥωμαϊκῆς ἐξουσίας. Οἱ δὲ τοῖς κατὰ χέρσον καὶ θάλασσαν λῃστεύουσι συλλῃστεύσαντες, πλειόνως, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται, ὅτι καὶ μείζων ἐστὶ τούτων ἡ κακία· οἱ μὲν γὰρ πολέμιοι κατὰ πρόσωπον καὶ γυμνῇ κεφαλῇ, τὸ λεγόμενον, τὸν πόλεμον συνιστῶσιν· οἱ δὲ λῃσταὶ ἀοράτως καὶ ἀφανῶς ἀπροσδόκητον μελετῶσι φόνον· ὅσον οὖν τοῦ προκειμένου κατ' ὄψιν κινδύνου ἡ μάχη κουφοτέρα ἐστὶ τοῦ ἀπροσδοκήτου κακοῦ, τοσοῦτον καὶ ἡ τῶν πολεμίων ἔφοδος ἀνεκτοτέρα ἐστὶ τῆς τῶν λῃστευόντων ἐπιβουλῆς.

## Κανὼν Η' (1).

*Περὶ τῶν οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμησάντων ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ.*

Τοὺς δὲ οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμήσαντας, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσι, μηδὲ τῆς ἀκροάσεως ἀξιώσῃς· ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι, καὶ ἀποδῶσιν, ἐν τῇ τῶν ὑποστρεφόντων τάξει ὑποπίπτειν.

ΖΩΝΑΡ. Οἵτινες δὲ ἐπῆλθον οἴκοις ἀλλοτρίοις καὶ ἥρπασαν ἐκεῖθεν χρήματα, οὗτοι, φησίν, εἰ μὲν κατηγορηθέντες καὶ ἀρνούμενοι ἐλεγχθῶσιν, ὁμοίως τοῖς προειρημένοις καὶ τῆς ἀκροάσεως κωλυέσθωσαν, καὶ μετὰ τῶν προσκλαιόντων τετάχθωσαν·

(1) Κανὼν Θ'. ἐν Π. καὶ Γ'. ἐν Χ. Τρ.



εἰ δὲ ἑαυτοὺς ἐξείπωσιν, ἢ πρὸ τοῦ κατηγορηθῆναι ὁμολογήσουσιν ἀγνοούμενον τὸ ἁμάρτημα, καὶ ἀποδοῖεν ἃ ἀφείλοντο, ἔστωσαν ἐν τοῖς ὑποστρέφουσιν ἀπὸ ἁμαρτίας, τουτέστι, τῆς τάξεως τῶν ὑποπιπτόντων, οἵτινες ὑποσυνεύχονται μὲν τοῖς πιστοῖς εἰσιόντες εἰς τὸν ναόν, ἐξέρχονται δὲ ὡς οἱ κατηχούμενοι.

ΒΑΛΣ. Παχυμερῶς διαλαβὼν ὁ ἅγιος περὶ τῶν ἁρπασάντων ἢ εὑρηκότων πράγματά τινων αἰχμαλωτισθέντων ὅσον τέως εἰς τὸν λόγον τῶν ἐπιτιμίων, ἄρτι καὶ τὰ εἴδη τῆς μετανοίας, ἤτοι τῶν ἐκκλησιαστικῶν ἐπιτιμίων, ἄρχεται λέγειν· καὶ αὐτίκα διορίζεται, ἵνα μηδὲ μετὰ τῶν ἀκροωμένων ἵστανται, ἀλλὰ μετὰ τῶν προσκλαιόντων ἔξωθεν τῆς ἐκκλησίας, οἱ ἁρπάσαντες τοιοῦτόν τι πρᾶγμα αἰχμαλώτου, καὶ μὴ ἀντιστρέψαντες αὐτό, ἀλλ' ἀναμείναντες κατηγορίαν καὶ ἔλεγχον διὰ τὴν ἄρνησιν. Τοὺς δὲ ἑαυτοὺς προσαγγείλαντας καὶ δόντας καλοθελῶς πρὸ ἀναγωγῆς ἃ ἀφείλοντο, διορίζεται διὰ τὴν μεταμέλειαν συνεύχεσθαι, ἤγουν συνίστασθαι μετὰ τῶν πιστῶν, ὑποπίπτειν δὲ αὐτῶν διὰ τὸ ἀναγκάζεσθαι ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει. Ὁ δὲ πολιτικός, τοὺς ἅρπαγας καὶ πρὸ καταδίκης προσάγοντας τὸ ὑπ' αὐτῶν ἁρπαγέν, οὐ προσδέχεται, ἀλλ' εἰς τὸ τετραπλάσιον καταδικάζει. Φησὶ γὰρ κεφ. ϛ'. τοῦ ιζ'. τίτλου τοῦ ξ'. βιβλίου· Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα. Καὶ θέμα ζ'. τοῦ β'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Εἴσω ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται, οὐ μὴν τὸ διαφέρον. Ὅπερ δέ φησιν ἐνταῦθα ὁ ἅγιος χάριν τῶν πρὸ καταδίκης καὶ κατηγορίας διδόντων τὸ ἀφαιρεθέν, τοῦτο ὁ νόμος παρακελεύεται γίνεσθαι εἰς τοὺς κατὰ φόβον λαβόντας τι ἔκ τινος· φησὶ γὰρ τὸ ε. θέμα τοῦ ιγ'. κεφ. τοῦ β'. τίτλου τοῦ ι. βιβλίου· Ἡ διὰ φόβον αἰτίασις αἱρετή ἐστι, καὶ ἔξεστι τῷ ἐναγομένῳ μέχρι ψήφου ἀποκαταστῆσαι τὸ πρᾶγμα, καὶ μὴ δοῦναι τὸ τετραπλοῦν. Ἔστι δὲ καὶ ἑτέρα διαφορὰ τῶν βιαίως ἀφαιρουμένων πράγματα, καὶ τῶν κατὰ φόβον λαμβανόντων τι ἀπό τινος· οἱ μὲν γὰρ ἅρπαγες σὺν τῇ

ἀποδόσει τοῦ τετραπλοῦ, καὶ ἀτιμοῦνται· οἱ δὲ φόβον ἐπαγαγόντες, σπιλοῦνται μόνον κατὰ τὴν ὑπόληψιν.

## Κανὼν Θ' (1).

*Περὶ τῶν ἐν τῷ πεδίῳ, ἢ ἐν τοῖς ἰδίοις οἴκοις εὑρόντων τὰ ὑπὸ τῶν βαρβάρων καταλειφθέντα.*

Τοὺς δὲ ἐν τῷ πεδίῳ εὑρόντας τι, ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις καταλειφθὲν ὑπὸ τῶν βαρβάρων, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν, ὁμοίως ἐν τοῖς ὑποπίπτουσιν· ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι, καὶ ἀποδῶσι, καὶ τῆς εὐχῆς ἀξιῶσαι.

ΖΩΝΑΡ. Οἱ βάρβαροι ληλατοῦντες τὴν χώραν, ἥρπαζον πράγματα, καὶ ἢ κρείττοσι μετὰ ταῦτα ἐντυγχάνοντες, ἢ διὰ βάρος μὴ δυνάμενοι φέρειν ὅσα ἥρπασαν, τὰ μὲν ἐν τῷ πεδίῳ ἔῤῥιπτον, τὰ δὲ καὶ ἐν οἰκίαις τινῶν, ἐν αἷς ἴσως καλλίονα εὕρισκον. Ὅσοι γοῦν, φησίν, εὗρόν τινα ἐν τῷ πεδίῳ, ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις, οὗτοι, ἐὰν μὲν κατηγορηθῶσι καὶ ἐλεγχθῶσι, ταττέσθωσαν ἐν τοῖς ὑποπίπτουσιν, ἐὰν δὲ ἑαυτοὺς προσαγγείλωσι καὶ ἀποδῶσιν ἃ εὗρον, καὶ τῆς εὐχῆς ἀξιούσθωσαν, ἤγουν μέχρι τέλους τῆς εὐχῆς συνεστηκέτωσαν τοῖς πιστοῖς, μόνης τῆς ἁγίας μεταλήψεως κωλυόμενοι· ἤγουν μέχρις ἂν μετάνοιαν ἐπιδείξωνται, καὶ ταύτης ἀξιωθῶσιν.

ΒΑΛΣ. Εἴρηται ὄπισθεν περὶ τῶν λεγόντων εὑρεῖν ἀνεπιμέλητα τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ ἰδιώσασθαι αὐτά. Καὶ νῦν δὲ διορίζεται ὁ ἅγιος, τοὺς ἐν ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων εὑρόντας πράγματα, ὡς μὴ παρὰ τῶν βαρβάρων ἀφαιρεθέντα, ἢ καὶ κατὰ τὰς ὁδοὺς ῥιφθέντα διὰ τὸ βάρος τυχὸν, ἀποκαθιστῶντας μὲν εὐγνωμόνως τὰ εὑρεθέντα, εἰς τὸν τόπον ἵστασθαι τὸν τέλειον μετὰ τῶν πιστῶν· εἰ δὲ καταδικασθῶσι, τάττεσθαι σὺν τοῖς ὑποπίπτουσιν, ἤγουν ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Τούτων οὕτως ἐχόντων, εἴποι τις, ὡς τὸ οὕτω κολάζεσθαι τοὺς ἀναμένοντας καταδίκην χάριν ἀντιστροφῆς τοῦ εὑρέματος,

(1) Κανὼν Ι', ἐν Π. καὶ ΙΆ, ἐν Χ. Τρ.



τος, δικαιότατόν ἐστιν, ὅτι καὶ τῇ περὶ κλοπῆς ἀγωγῇ ἐνέχονται, κατὰ τὸν νόμον τὸν λέγοντα, Κλέπτης ἐστὶν ὁ τὸ ἀλλότριον πρᾶγμα ψηλαφῶν παρὰ γνώμην τοῦ δεσπότου, ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν· τὸ δὲ συνίστασθαι τοῖς πιστοῖς καὶ μόνον, μὴ ἀξιοῦσθαι δὲ καὶ τῶν ἁγιασμάτων, τὸν προσαγγείλαντα ἑαυτὸν καὶ εὐγνωμόνως δόντα τὸ εὕρεμα, καινόν ἐστιν· ἄξιος γὰρ μᾶλλον εὐχαριστίας ἐστὶν, ὡς τὸ πρᾶγμα τοῦ αἰχμαλωτισθέντος φυλάξας, καὶ ἀποκαταστήσας αὐτό· διὸ καὶ λέγουσί τινες συνέπεσθαι τῇ μετὰ τῶν πιστῶν συστάσει καὶ τὴν τῶν ἁγιασμάτων μέθεξιν σιωπηρῶς.

## Κανὼν Ι' (1).

Τοὺς δὲ τὴν ἐντολὴν πληροῦντας, ἐκτὸς πάσης αἰσχροκερδείας πληροῦν δεῖ, μήτε μήνυτρα, ἢ σῶστρα, ἢ εὕρετρα, ἢ ᾧ ὀνόματι ταῦτα καλοῦσιν, ἀπαιτοῦντας.

ΖΩΝΑΡ. Τοῖς ὁμολογοῦσι τὸ εὕρημα τῶν ἀλλοτρίων (2), συγγνωμονέστερον διατίθεσθαι ὁ ἅγιος διετάξατο. Ἵνα δὲ μὴ οἱ ὁμολογοῦντες ἀπαιτῶσιν εὕρετρα, ἤ τι τοιοῦτον, ὡς ἂν καλοῖτο, ἐπήγαγεν, ὅτι οὐ δεῖ τι ἀπαιτεῖν τὸν ἀποδιδόντα εὐγνωμόνως τὰ ἀλλότρια, ἀλλὰ χωρὶς αἰσχροῦ κέρδους τὴν ἐντολὴν ἐκπληροῦν· αἰσχρὸν γὰρ ὄντως κέρδος ἐστὶ, τὸ ἀπαιτεῖν τι ἀπὸ τοῦ ἀπολέσαντος τὰ οἰκεῖα ἐν καιρῷ περιστάσεως, καὶ μὴ ἀποδιδόναι αὐτὰ ἀμισθί.

ΒΑΛΣ. Ἀποδεξάμενος τὴν ἀγαθοθέλειαν τῶν προσαγγειλάντων ἑαυτοὺς, καὶ ἀποδόντων εὐγνωμόνως τὸ εὕρεμα, προστίθησιν ὁ ἅγιος, ὡς, εἰ θέλουσιν οὗτοι λογισθῆναι πληρωταὶ τῆς ἐντολῆς τοῦ Θεοῦ, ὀφείλουσι χωρὶς αἰσχροῦ κέρδους οἱουδήτινος τὴν ἀπόδοσιν τοῦ εὑρέματος ποιεῖν. Ὡρίσθη δὲ μὴ ἀπαιτεῖσθαι παρὰ τοῦ εὑρηκότος ἐκ τοῦ μέρους τοῦ αἰχμαλώτου μήνυτρα, ἢ σῶστρα, ἢ εὕρετρα, ἢ ἄλλο τι, διὰ τὸ μὴ ἐξ ἀμελείας τῶν δεσποτῶν, ἢ καὶ τυχαίως γενέσθαι τὴν ἀπώλειαν, ἀλλ' ἀπὸ περιστάσεως μεγάλης, καὶ ἐπιδρομῆς βαρβαρικῆς. Οἱ γὰρ εὑρηκότες πράγματα ἐξ ἀμελείας τῶν δεσπο-

(1) Κανὼν ΙΑ', ἐν Π. καὶ ΙΒ', ἐν Χ. Τρ. — (2) Χ. Τρ. — τὸ ἀλλότριον Βιυερα

τῶν, ἢ τύχης ἀπολεσθέντα, καὶ ἀποκαθιστῶντες ταῦτα, καλῶς ἀπαιτοῦσιν εὕρετρα, καθὼς τοῦτο ἀναφαίνεται ἀπὸ τῶν ὄπισθεν καταστρωθέντων νόμων.

## Κανὼν ΙΑ'(1).

Ἡ πρόσκλαυσις ἔξω τῆς πύλης τοῦ εὐκτηρίου ἐστὶν, ἔνθα ἑστῶτα τὸν ἁμαρτῶντα(2), χρὴ τῶν εἰσιόντων δεῖσθαι πιστῶν, ὑπὲρ αὐτοῦ εὔχεσθαι· ἡ ἀκρόασις ἔνδοθι τῆς πύλης ἐν τῷ νάρθηκι, ἔνθα ἑστάναι χρὴ τὸν ἡμαρτηκότα ἕως τῶν κατηχουμένων, καὶ ἐντεῦθεν ἐξέρχεσθαι· ἀκούων γὰρ, φησὶ, τῶν Γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω, καὶ μὴ ἀξιούσθω προσευχῆς· ἡ δὲ ὑπόπτωσις, ἵνα ἔσωθεν τῆς πύλης τοῦ ναοῦ ἱστάμενος, μετὰ τῶν κατηχουμένων ἐξέρχηται· ἡ σύστασις, ἵνα συνίσταται τοῖς πιστοῖς, καὶ μὴ ἐξέρχηται μετὰ τῶν κατηχουμένων· τελευταῖον, ἡ μέθεξις τῶν ἁγιασμάτων.

---

ΒΑΛΣ. Ὁ μὲν παρὼν ἅγιος, πέντε τόπους μετανοούντων ὑποτυπώσας, οὐ παρεδήλωσε τοὺς καιροὺς τῆς ἐργασίας αὐτῶν, οὔτε μὴν τὰ ἁμαρτήματα, δι' ἃ ἡ μετάνοια ὡρίσθη. Ὁ δὲ μέγας Βασίλειος ἐν ταῖς κανονικαῖς ἐπιστολαῖς αὐτοῦ, ταῦτα πάντα μετ' ἀκριβείας παρέδωκε· πλὴν καὶ οὗτος εἰς τὴν ἐπισκοπικὴν διάκρισιν, τὴν διὰ τῶν ἐπιτιμίων θεραπείαν ἀνήρτησεν.

---

(1) Κανὼν ΙΒ', ἐν Π. καὶ ΙΓ', ἐν Χ. Τρ. — (2) Χ. Τρ. — ἁμαρτάνοντα Ἐ. Π.

# ΕΠΙΣΤΟΛΗ

## ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ,

### ΠΡΟΣ ΑΜΜΟΥΝ ΜΟΝΑΖΟΝΤΑ.

ΠΑΝΤΑ μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ Θεοῦ ποιήματα· οὐδὲν γὰρ ἄχρηστον, ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε λόγος· Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, κατὰ τὸν Ἀπόστολον(1). Ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τὴν γνώμην παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ, φέρε διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς(2)· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτι περ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν, καθαρότητος· ἔστι δὲ τὸ γινόμενον ἐνέδρα μᾶλλον, ἢ δοκιμασία. Ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν κατὰ τοῦτο, τοιαῦτα κινεῖ βομβύκια (3), ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι. Τί γὰρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα, ἢ ἀκάθαρτον, φυσική τις ἔκκρισις; Ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας, καὶ τὰ διὰ τοῦ στόματος πτύσματα· ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅπερ

(1) Β΄. Κορ. Β΄, 15. — (2) Τίτ. Α΄, 15. 6. — (3) Χ. Γρ. βομβύκια Βευηρ. Ἐ.

τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκε. Ἔτι τε εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον πιστεύομεν εἶναι τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφάς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γενέσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν (1), κατὰ τὰς θείας τῶν Ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον· τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσική τις ἀβουλήτως (2) ἔκκρισις γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προείπομεν, καὶ τοῦτο ὑπομένομεν. Ἀλλ᾽ ἐπειδήπερ οἱ θέλοντες ἀντιλέγειν μόνον τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν εὐαγγελικόν, ὡς ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα, ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν (οὐ γὰρ ἂν εἴποιμεν ζήτησιν) ἐλέγξωμεν. Πρῶτον μὲν γὰρ καὶ τὰς Γραφάς, κατὰ τὰς ἰδίας ἀμαθίας, ἀστήρικτοι ὄντες, βιάζονται. Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον. Τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδοιαστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἤγουν τὴν ἀπάτην δημοσιεύων, φησί, μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει καὶ πόθεν ἐξερχόμενα; καί φησι τὰ ἀπὸ τῆς καρδίας· ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένος, φησί· Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ (4). Φαίη δ᾽ ἄν τις καὶ νῦν εὐλόγως, φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν, (ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν,) ὑπὲρ τούτου ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι πρὸς τὸ τὸ περιττὸν ἀποπέμπειν τῶν ἐν ἑκάστῳ τῶν ἐν ἡμῖν μελῶν τρεφομένων χυμῶν, οἷον κεφαλῆς περιτ-

---

(1) Πράξ. ΙΖ', 28, 29. — (2) τὸ ἀβουλήτως, οὐ κεῖται ἐν Π. — (3) Ματθ. ΙΕ', 11, 18. — (4) α', Κορ. Η', 8.

τώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα· καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποία τοίνυν ἐστὶ πρὸς Θεοῦ, ὦ πρεσβύτα θεοφιλέστατε, ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον Δεσπότου θελήσαντος καὶ ποιήσαντος ταῦτα τὰ μέλη, τοιαύτας ἔχειν διεξόδους; Ἐπειδὴ δὲ δεῖ προλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα, (εἴποιεν γὰρ ἄν, οὐκοῦν οὐκ ἔστιν ἁμαρτία οὐδὲ ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ δημιουργοῦ διαπέπλασται,) πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν(1), φάσκοντες· Ποίαν λέγεις χρῆσιν; τὴν ἔννομον (2), ἣν ὁ Θεὸς ἐπέτρεψε, λέγων· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν (3); ἣν ὁ Ἀπόστολος ἀπεδέξατο, εἰπών· Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος (4); ἢ τὴν δημώδη μὲν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; ἐπεὶ καὶ τῶν ἄλλων τῶν ἐν τῷ βίῳ γινομένων εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον, καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται ' κηρύττουσαι τὰ κατορθώματα· ὥστε τὸ αὐτὸ, κατά τι μὲν, καὶ κατὰ καιρὸν, οὐκ ἔξεστι· κατά τι δὲ, καὶ εὐκαίρως ἀφίεταί τε καὶ συγκεχώρηται. Ὁ αὐτὸς οὖν λόγος καὶ περὶ τῆς μίξεως. Μακάριος ὃς ἐν νεότητι ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιίαν κέχρηται(5)· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους, καὶ μοιχοὺς, ἡ παρὰ τῷ Ἀποστόλῳ τιμωρία ἐκδέξεται. Δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω, τῆς δὲ ἑτέρας, ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας, εἰ μέν τις τὴν κοσμικὴν, ἤτοι τὸν γάμον ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει, τοσαῦτα δὲ χαρίσματα οὐ

(1) Χ. Τρ. Βευερ. Ἑ. — παύσομεν Π. — (2) Χ. Τρ. — τὴν ἐν νόμῳ Βευερ. Π. Ἑ. — (3) Γεν. Α', 28. — (4) Ἑβρ. ΙΓ', 4. — (5) Θρῆνοι Γ', 27.

λήψεται· λήψεται γὰρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τὸν τριάκοντα· εἰ δὲ τὴν ἁγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην, καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν, τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα, λύσεις ἰδίας ἔσχηκε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας. Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν ἀποστολικῶν παρακαλῶν, ἐκ τῶν εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῶν Ψαλμῶν συμβουλεύων. Ζῆσόν με, λέγων, κατὰ τὸ λόγιόν σου (1)· λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς καρδίας λατρεύειν αὐτῷ· τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς(2), ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. Πάλιν Δαβίδ· Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με(3), ἵνα, κἂν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις δύναμις παρὰ σοῦ στηρίξῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. Αὐτὸς τοίνυν ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους· Διδάξω ἀνόμους τὰς ὁδούς σου(4), καὶ θαῤῥῶν Κυρίῳ, ὅτι πείσεις ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε· Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Γένοιτο δὲ, τοὺς μὲν κακοήθως ζητοῦντας, παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ δι' εὐσέβειαν ἐνδοιαστῶς ἔχοντας, Πνεύματι ἡγεμονικῷ κρατυνθῆναι. Ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀῤῥαγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα, καὶ κράτος, σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

ΖΩΝΑΡ. Ἐρωτηθεὶς ὁ μέγας οὗτος Πατὴρ περὶ τῆς φυσικῆς

(1) Ψαλμ. ΡΙΗ', 17. — (2) Ψαλμ. Ν', 11. — (3) Ψαλμ. Ν', 14 — (4) Ψαλμ. Ν', 14.



ἐκκρίσεως τῆς γονῆς, εἰ ἀκάθαρτός ἐστιν, ἀπεκρίθη πρὸς τὸ ἐρώτημα, ὅτι οὐδὲν τῶν παρὰ Θεοῦ γενομένων ἀκάθαρτον. Ὅτι δὲ ὑποσπείρει, ἤγουν ὑποβάλλει λογισμοὺς ὁ πονηρὸς, καὶ ταράσσει τοὺς ἀκεραιοτέρους τὴν γνώμην, ἤτοι τοὺς ἁπλουστέρους, φέρε δι' ὀλίγων λόγων ἀπελάσωμεν ἐν Θεῷ τὴν τοῦ πονήρου πλάνην, τουτέστι, τῷ Θεῷ θαῤῥοῦντες, τὴν γνώμην τῶν ἁπλουστέρων στηρίζωμεν. Ἄρχεται οὖν τοῦ λόγου, χρῆσιν παράγων ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς τοῦ ἁγίου Παύλου, καί φησιν, ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ταῦτα δὲ ὁ μακάριος Παῦλος περὶ τῆς ἐν βρώμασιν ἰουδαϊκῆς λέγει παρατηρήσεως, ὅτι τῶν ὑπὸ Θεοῦ κτισθέντων οὐδὲν ἀκάθαρτον κατὰ τὴν ἑαυτοῦ φύσιν· οὐδὲν δὲ τοῖς μεμιασμένοις καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς, καὶ ἡ συνείδησις· μεμίανται δὲ τῇ ἁμαρτίᾳ καὶ τῷ λογίζεσθαι τὰ μὴ προσήκοντα. Διὰ τούτων οὖν τῶν λόγων προκατασκευάσας ὁ μέγας Πατὴρ οὗτος τὴν οἰκείαν γραφὴν, ἐπάγει· Ἄγαμαι δὲ, ἤτοι θαυμάζω τοῦ διαβόλου τὸ σόφισμα, τὴν ἀπάτην δηλαδὴ, ὅτι φθορὰ ὢν καὶ λύμη, ἐνθυμίζει λογισμοὺς δοκοῦντας εἶναι καθαρότητος· τὸ δὲ παρ' ἐκείνου γινόμενον ἐνέδρα ἐστὶν, ἤγουν κρυφία ἐπιβουλὴ, ἀλλ' οὐχὶ δοκιμασία· ἵνα γὰρ ἀπαγάγῃ τοῖς ἀσκητὰς τῆς ἐθίμου, τουτέστι τῆς συνήθους καὶ ὠφελίμου φροντίδος, καὶ δόξῃ νικᾷν αὐτοὺς κατὰ τοῦτο, διὰ τοῦτο τοιαῦτα κινεῖ βομβύκια, ἤτοι φόβητρα, βόμβους μόνον ἐμποιοῦντα. Τί γὰρ, φησὶν, ἔχει ἁμάρτημα, ἢ ἀκάθαρτον, ἡ φυσικὴ ἔκκρισις, ὥσπερ ἐάν τις αἰτιᾶται τοὺς ἀνθρώπους καὶ διὰ τὰς ἄλλας ἐκκρίσεις, οἷον, διὰ τὰς μύξας, καὶ τὰ πτύσματα, καὶ ὅσα διὰ γαστέρων ἐκκρίνονται, ἤγουν ἐκβάλλονται καὶ κενοῦνται, ἅ τινα ἐκκρινόμενα ὠφελοῦσι πρὸς τὴν ζωήν· ἐπιχειρεῖ δὲ καὶ ἑτέρωθεν. Εἰ γὰρ πιστεύομεν, φησὶ, τῶν χειρῶν τοῦ Θεοῦ ποίημα εἶναι τὸν ἄνθρωπον, πῶς ἐστι δυνατὸν ἐκ τοῦ Θεοῦ ἀκάθαρτόν τι γενέσθαι καὶ μεμολυσμένον; καὶ εἰ γένος Θεοῦ ὑπάρχομεν, κατὰ τὰς τῶν θείων Ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Ἐν γὰρ τῇ βίβλῳ τῶν Πράξεων ἱστόρηται ὁ μέγας Παῦλος τοῖς Ἀθηναίοις διαλεγόμενος, καὶ πρὸς τοῖς ἄλλοις, καὶ ταῦτα λέγων περὶ Θεοῦ· Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ'

ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ γένος ἐσμέν(1)· τοῦτο δὲ τῷ Ἀράτῳ εἴρηται περὶ τοῦ Διός· ὁ δὲ Ἀπόστολος, εἰς τὸν ὄντως Θεὸν τὸ νόημα ᾐχμαλώτισε. Τούτῳ τοίνυν εἰς κατασκευὴν τοῦ οἰκείου λόγου ὁ μέγας ἐχρήσατο Ἀθανάσιος, λέγων, ὡς εἰ γένος Θεοῦ ἐσμέν, ὡς ἐν ταῖς Πράξεσιν εἴρηται, οὐδὲν ἔχομεν μεμολυσμένον, ἢ μιαρόν· τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε ἁμαρτάνομεν· ἡ δὲ φυσική, φησίν, ἔκκρισις, γινομένη ἐξ ἀνάγκης τῆς φύσεως, οὐ μιαίνει. Ὥς τινων δ' ἀντιλεγόντων, καὶ παραγόντων ῥητὰ εὐαγγελικά, τὰ λέγοντα· Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα, ἵσταται καὶ πρὸς τοῦτο ὁ ἅγιος δεικνὺς μὴ καλῶς νοούμενα τὰ ῥητὰ παρὰ τῶν ἀντιλεγόντων· καί φησιν, ὅτι περὶ βρωμάτων ἐνδοιαστῶς ἐχόντων τινῶν, ἤτοι δειλιώντων, ἀμφιβαλλόντων, ὡς μολυνόντων τοὺς χρωμένους αὐτοῖς, λύων αὐτῶν τὴν ἄγνοιαν ὁ Κύριος, φησί, μὴ τὰ εἰσερχόμενα κοινοῦν, ἤγουν μιαίνειν, μολύνειν, ἀλλὰ τὰ ἐξερχόμενα, τὰ ἀπὸ καρδίας δηλονότι προϊόντα· καὶ ὁ Ἀπόστολος δὲ φησί· Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ (2). Τούτοις τὸν οἰκεῖον λόγον κρατύνας ὁ μέγας οὗτος Πατήρ, ἐπάγει· Εἴποι δ' ἄν τις καὶ νῦν εὐλόγως, φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν. Καὶ ἰατροὶ δέ, φησί, περὶ τούτου ἀπολογήσονται, ὅτι ἡ φύσις ὡς περίττωμα διώκει τὸ σπέρμα· τῷ γὰρ ζώῳ δέδονται πόροι, ἵνα διὰ τούτων ἕκαστον μέλος ἀποπέμπῃ τὸ περιττόν. Τῆς μὲν οὖν κεφαλῆς, φησί, περιττώματά εἰσιν αἱ τρίχες, καὶ τὰ διὰ ῥινῶν καὶ στόματος ὑγρά, καὶ γαστρὸς διαχωρήματα, ἢ καὶ ὅλου τοῦ σώματος· τῶν δὲ σπερματικῶν πόρων περίττωμα, τὸ σπέρμα. Ποία οὖν ἐστί, φησίν, ἁμαρτία, κενουμένου τοῦ περιττώματος τούτου, ὡς ὁ Θεὸς ὁ πλάσας τὸν ἄνθρωπον ἠθέλησε καὶ ᾠκονόμησεν; Ἵνα δὲ μή τις πρὸς ταῦτα ἀντιθήσῃ, ὅτι, ἐπεί, ὡς λέγεις, οὐκ ἔστιν ἁμαρτία ἡ τοῦ σπέρματος ἐκροή, ὡς φυσικῶς γινομένη, οὐδὲ ἡ ἀληθὴς χρῆσις, ἤγουν ἡ μίξις λογισθήσεται ἁμαρτία, ὅτι τὰ ὄργανα τὰ πρὸς αὐτὴν ἐνεργοῦντα παρὰ τοῦ Θεοῦ ἐπλάσθησαν· ἐρωτᾷ τὸν ἀντιλέγοντα δῆθεν, ποίαν λέγεις χρῆσιν, τὴν ἔννομον, ἢ τὴν κρυφίως καὶ μοιχικῶς γινομένην; τὴν γὰρ ἔννομον ὁ Θεὸς ἐπέτρεψεν, εἰπών· Αὐξάνεσθε καὶ πληθύνεσθε(3)· καὶ

(1) Πράξ. ΙΖ', 28. — (2) α'. Κορ. Η', 8. — (3) Γεν. Α', 28.



ὁ μέγας Παῦλος ἐκκεχώρηκε, λέγων· Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· ἡ δὲ ἄλλη χρῆσις κεκώλυται· τοῦτο δέ, φησί, καὶ ἐν ἄλλοις βιωτικοῖς εὑρήσομεν. Αὐτίκα τὸ φονεύειν ἀπηγόρευται· ἀλλ' ἐν πολέμοις ἀναιρεῖν τοὺς ὑπεναντίους ἐπαινετόν, καὶ τιμῶν μεγάλων ἄξιον· ὥστε τὸ αὐτὸ κατά τι μὲν οὐκ ἔξεστι, κατά τι δὲ ἔξεστι, καὶ ἐν διαφορᾷ ἐστι καὶ καιρῶν, καὶ προσώπων, καὶ τρόπων ἄλλων· οὕτως οὖν καὶ ἡ μίξις· καὶ χρήσεις γραφικὰς παράγει πρὸς τοῦτο. Εἶτα καὶ περὶ γάμου καὶ παρθενίας διαλέγεται, καὶ δύο φησὶν ὁδοὺς εἶναι, τὸν γάμον, καὶ τὴν ἁγνείαν. Εἰ μὲν οὖν τις τὸν γάμον ἕλοιτο, μέμψιν οὐκ ἔχει, οὐδὲ κατακριθήσεται διὰ τοῦτο, οὐ μὴν τοσαῦτα χαρίσματα λήψεται, ὅσα ὁ παρθενίᾳ συζήσας· λήψεται γάρ, φησί, κἀκεῖνος, ἐπεί περ φέρει καρπὸν τὸν τριάκοντα, * διὰ τὴν τεκνογονίαν καὶ τὴν τῶν παίδων ἀναγωγὴν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου γινομένην, κατὰ τὸν ἐν Χριστῷ λαλοῦντα Παῦλον * (1)· εἰ γὰρ (2) τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, ὁ σωφρόνως ἐν τῇ συζυγίᾳ βεβιωκώς, καὶ ὑπηρετήσας διὰ τῆς παιδοποιίας τῇ τοῦ Θεοῦ προστάξει, εἰπόντος, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ ἀνασχόμενος φροντίδων καὶ κόπων διὰ τὰ ἔκγονα, ἵνα θρέψῃ αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καρπὸν κἀκεῖνος τὸν τριάκοντα φέρει, καθ' ὃ καὶ ὁ μακάριος Παῦλος, σωθήσεσθαι, λέγει, τὰς γυναῖκας διὰ τῆς τεκνογονίας(3). Εἰ δέ τις τὴν ἁγνήν, φησί, καὶ ὑπερκόσμιον ὁδὸν (4) ἀσπάσοιτο, χαρίσματα θαυμασιώτερα λήψεται, ὅτι τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδός· τὸ δέ, παρὰ τὴν πρώτην, ἢ παρὰ τὴν ἤδη ῥηθεῖσαν ὁδὸν τοῦ γάμου νοητέον, ἢ παρὰ τὴν ἀρχήν· ὁ γὰρ ἑλόμενος παρθενεύειν, τῆς σαρκὸς εὐκαταφόρου τυγχανούσης πρὸς ἡδονάς, καὶ μάλιστα πρὸς τὰς τῆς μίξεως, παρὰ τὴν ἀρχὴν ἀνάγκην ὑφίσταται, πρὸς τὸ πάθος ὀργώσης τῆς φύσεως, καὶ πλέον ὅτε νεάζει ὁ ἄνθρωπος καὶ σφριγᾷ, διὸ παρὰ τὴν πρώτην εἴρηται· ὅτε δὲ πρὸς γῆρας ἀπονεύσει, εἰ καὶ μηδὲ τότε σβέννυται τὸ πῦρ τὸ ἐκ τῶν παθῶν, ἀλλά γε μαλθακώτερον γίνεται. Ταῦτα εἰπών, ἐπάγει, ὅτι τὰ ζητήμα-

(1) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. — (2) κατὰ τὸν μέγαν Παῦλον Βευερ. — (3) α', Τιμοθ. Β', 15. — (4) Βευερ. — ζωὴν Χ. Τρ.

ματα αὐτῶν τὰ ἀκάθαρτα προλέλυνται παρὰ τῶν θείων Γραφῶν, καὶ παραινεῖ τὸν ἐρωτήσαντα, ὑποστηρίζειν τοὺς ὑπ' αὐτὸν, καὶ χρήσεσι κέχρηται γραφικαῖς διαφόροις· εἶτα καὶ εἰς εὐχὴν τρέψας τὸν λόγον, τελειοῖ τὴν ἐπιστολήν. Ταῦτα μὲν οὖν ὁ μέγας φησὶν Ἀθανάσιος περὶ τῆς φυσικῆς ἐκκρίσεως τῆς γονῆς. Ὁ δὲ Ἀλεξανδρείας Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ, ταῦτα φησίν· Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν, καὶ ἑαυτοὺς, εἴτε διακρίνονται, εἴτε μὴ, σκοπείτωσαν· ὡς ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται, καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ εὐπαῤῥησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον πᾶς ὁ προσιὼν τῷ Θεῷ. Ὃ δὲ λέγει, τοιοῦτον ἐστίν· ὅτι ὁ τὴν τοῦ σπέρματος ὑποστὰς ῥεῦσιν, ἑαυτὸν ἀνακρινέτω· καὶ εἰ μὲν ἐμπάθειά τις προηγήσατο ἐκ πονηροῦ ἴσως ἐνθυμίου καὶ συγκαταθέσεως, καὶ οὕτως ἡ τῆς γονῆς ἐπηκολούθησε ῥύσις, οὐκ ἀμίαντος ὁ ταύτην παθών· εἰ δ' οὐδὲν τοιοῦτον προηγήσατο, οὐδὲ διακρίνεται διά τι τοιοῦτον, καὶ οὐ μεμόλυνται αὐτῷ ὁ λογισμὸς, προσίτω τοῖς ἁγιάσμασι. Τινὲς δὲ τὸν μέγαν Βασίλειον φασὶν ἀπείργειν τοὺς τοιοῦτόν τι παθόντας τῆς τῶν ἁγιασμάτων μεταλήψεως. Ἐρωτηθεὶς γὰρ ὁ ἅγιος οὗτος, ὡς ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ ἀναγέγραπται, εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ, χρὴ τολμᾷν εἰς κοινωνίαν τῶν ἁγίων παραδέχεσθαι, ἀπεκρίθη· Κρείττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἐδίδαξεν ὁ Ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτίσματι συνταφέντα Χριστῷ (1), ποτὲ μὲν εἰπὼν, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ, ποτὲ δὲ παραγγείλας, Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας (2)· ποτὲ δὲ ὅρον ἐκθέμενος ἐν τῷ εἰπεῖν· Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ, ἐσταύρωσαν τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· ἐγὼ δὲ ἔγνων, ὅτι ταῦτα κατωρθώθη Θεοῦ χάριτι, καὶ ἐν ἀνδράσι, καὶ ἐν γυναιξὶ, πίστει τῇ εἰς τὸν Κύριον γνησίᾳ· τοῦ δὲ ἐν ἀκαθαρσίᾳ ὄν-

(1) Ῥωμ. ς', 3, 6. — (2) Κολοσσ. Γ', 5, 6.



τα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρῖμα· εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι, παιδεύσει δὲ ἡμᾶς ὁ Ἀπόστολος εἰπών· Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει (1). Ἐκ γοῦν τῆς ἀποκρίσεως ταύτης οἴονταί τινες τὸν μέγαν Βασίλειον ἀκαθαρσίαν ἡγεῖσθαι τὴν τοῦ σπέρματος ἐκροήν· ἀλλ' οὐκ ἔστι τοῦτο· οὐ γὰρ περὶ ἀφαντάστου φησὶ ῥύσεως, ἀλλ' οὐδὲ μετὰ φαντασίας γενομένης, ἄνευ μέντοι ἐμπαθείας, ἧς ἐπιθυμία οὐ προηγήσατο· ἢ κἂν προηγήσατο, ἀλλ' οὐκ ἐνέμεινεν, ἀλλ' ἀπεπέμφθη, τοῦ κρείττονος ἐπικρατήσαντος λογισμοῦ· ὥστε μηδὲ συγκατάθεσιν γενέσθαι, μηδὲ μολυνθῆναι ταύτῃ τὸν λογισμόν. Καὶ τοῦτο ἐξ αὐτῆς τῆς γραφῆς τοῦ μεγάλου Πατρὸς ἐκείνου καταληφθήσεται τῷ προσέχοντι. Τὰ γὰρ τοῦ Ἀποστόλου ῥήματα, οἷς ἐκεῖνος εἰς κατασκευὴν ἐχρήσατο τοῦ οἰκείου λόγου, ἁμαρτίας μέμνηται, καὶ ἀκαθαρσίας, καὶ ἐπιθυμίας κακῆς· πρὸς ἅπερ ἐκεῖνος στηρίζει τὴν γνώμην τὴν ἑαυτοῦ, λέγων· Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ τὰ λοιπά. Οὐκ ἂν δέ τις εἴποι, ἀκαθαρσίαν ὀνομάσαι τὸν μέγαν Βασίλειον τὴν σπερματικὴν ἔκκρισιν ἀπαθῶς γινομένην· τοῦτο γὰρ διαβολὴ τῆς σαρκός· ὁ δὲ ἐν πλείοσι λόγοις ἐφιλοσόφησεν, ὡς οὐ κακὸν τὸ σῶμα, οὐδὲ κακίας ἀρχὴ, καθὼς ἔδοξέ τισιν· οὐδ' ἐναντία λέγειν αὐτὸν τῷ μεγάλῳ Ἀθανασίῳ λογίσαιτό τις, οὗ τοὺς λόγους ἅπαντες οἱ ἱεροὶ Πατέρες ἐξόχως σεβάζονται· ἀλλὰ πάντως ἀκαθαρσίαν ὁ μέγας Βασίλειος, οὐ τὴν σπερματικὴν ὠνόμασεν ἔκκρισιν, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν· ἧς ἡγουμένης, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία τελεῖται διὰ συγκαταθέσεως, καὶ οὕτω γίνεται φαντασία καθ' ὕπνους, καὶ τοῦ σπέρματος ἐκροή· καὶ ἐκ τοῦ φάναι δὲ, ὅτι ἐγὼ ἔγνων ὅτι ταῦτα κατωρθώθη Θεοῦ χάριτι καὶ ἀνδράσι καὶ γυναιξὶ, δείκνυται ἐναργῶς, ὅτι περὶ ἐκκρίσεως σπέρματος μετὰ φαντασίας γινομένης φησὶν, ἧς ἡ ἐμπάθεια προηγήσατο, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία· τοῦτο γάρ ἐστι κατόρθωμα, τὸ τὴν συγκατάθεσιν ἐκφυγεῖν, καὶ τὸν δι' αὐτῆς τοῦ λογισμοῦ μολυσμὸν, ἀλλ' οὐχὶ τὸ μὴ ἐπιθυμῆσαι,

(1) ά, Κορ. ΙΑ', 29.

δ] ἐστι τὸ μὴ προβαλεῖν λογισμόν· τοῦτο γὰρ τῆς φύσεως, ἢ ἠλιθιότης· τὸ δὲ μὴ ὑποκλιθῆναι τῇ ἐπιθυμίᾳ προβαλούσῃ, μηδὲ συγκαταθέσθαι τῷ λογισμῷ, μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι, καὶ ἀρετή ἐστι καὶ κατόρθωμα. Οὐδὲ τὸ μὴ γενέσθαι τινὶ τοῦ σπέρματος ἔκκρισιν, κατόρθωσις λογισθήσεται· φυσικὸν γὰρ τοῦτο, διὸ καὶ γινόμενον, ἀνέγκλητον. Ἀλλ' οὐδέ τις, οἶμαι, τὴν φυσικὴν ῥεῦσιν διόλου ἐκφεύξεται, εἰ μή τις εἴη λίαν ἠλίθιος.

ΒΑΛΣ. Τὴν ἐπιστολὴν ταύτην διαλαμβάνουσαν, μὴ εἶναι ἀκάθαρτον τὴν φυσικὴν ἔκκρισιν τοῦ σπέρματος τὴν ἀπὸ νόσου δηλαδὴ γινομένην, ἢ ἀπὸ φαντασίας νυκτερινῆς ἀπροαιρέτου καὶ ἀπαθοῦς, ὁ ὑπερφυέστατος ἐκεῖνος Ζωναρᾶς σοφῶς καὶ ὑπερδεξίως, καὶ ὡς οὐκ ἄν τις εἴποι κρειττόνως, ἡρμήνευσε· καὶ διὰ τοῦτο περιττὸν ἡμῖν ἔδοξε γράψαι τι περὶ ταύτης. Συναγαγόντες δὲ λέγομεν, ὡς ἡ φυσικὴ ἐκροὴ τοῦ σπέρματος, εἰ μὲν ἐξ ἀπροαιρέτου φαντασίας νυκτερινῆς καὶ ἄνευ προϋποκειμένης ἐμπαθοῦς ἐπιθυμίας γένηται, ἀπροκριμάτιστός ἐστι παντάπασι, καθὼς καὶ ἡ πρὸς τὸν Βασιλείδην ἐπιστολὴ τοῦ ἁγίου Διονυσίου διαλαμβάνει, ἥτις κατεστρώθη ὄπισθεν. Εἰ δὲ ἐμπάθειά τις προηγήσατο ἐκ πονηρᾶς ἐπιθυμίας ἴσως καὶ συγκαταθέσεως, ἀκάθαρτός ἐστι, καὶ ὁ ταύτην ὑποστὰς τῶν ἁγιασμάτων ἐμποδισθήσεται, καὶ κατὰ τὸ δοκοῦν τῷ ψυχικῷ αὐτοῦ ἰατρῷ θεραπευθήσεται. Τριῶν γὰρ ὄντων τρόπων, δι' ὧν παρὰ τοῦ Σατανᾶ πολεμούμεθα, προσβολῆς, συγκαταθέσεως, καὶ ἀποτελέσματος, εἰ μὲν ἀπὸ μόνης προσβολῆς φαντασία γένηται νυκτερινὴ, μετριώτερον ἐπιτιμηθῶμεν· εἰ δὲ σὺν τῇ προσβολῇ γέγονε καὶ συγκατάθεσις ἡμερινὴ, καὶ οὕτω παρηκολούθησε καὶ φαντασία νυκτερινὴ, καὶ ἐκκρίσεως ἀποτέλεσμα, ἐπὶ πλέον κολασθησόμεθα, κατὰ τὸ γράμμα τὸ ἱερὸν τὸ λέγον, Ὁ ἐπιθυμήσας γυναῖκα ἐν τῇ καρδίᾳ αὐτοῦ, ἤδη ἐμοίχευσεν αὐτήν (1). Εἰ δὲ οὕτω κολάζεται ἡ ἀπὸ συγκαταθέσεως διὰ νυκτερινῆς φαντασίας ἐκροὴ τοῦ σπέρματος, πολλῷ πλέον ἡ διὰ μαλακίας ἔκκρισις ἐπιτιμηθήσεται ὕπαρ καὶ οὐκ ἐξ ὀνειρώξεως γινομένη. Ἡ δὲ ἀπὸ νόσου νεφριτικῆς γινομένη ἐκροὴ τοῦ σπέρματος, οἵα ἐστὶν ἡ τῶν γονοῤῥοιῶν, καὶ τῆς λιθιάσεως, πάντη ἐστὶν ἀκατέγκλητος. Κἂν γὰρ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου οἱ γονοῤῥυεῖς ἀκάθαρτοι ἐλογίζοντο, ἀλλὰ καθ' ἕτερον τρόπον, ὅσον πρὸς τὸν ἡμέτερον νόμον, καθαροὶ λογίζονται, ὅτι καὶ οἱ λέπραν νοσήσαντες, παρὰ μὲν τῷ παλαιῷ νόμῳ ὡς ἀκάθαρτοι ἀπεπέμποντο, μεθ' ἡμῶν δὲ καὶ ἐκκλησιάζουσι, καὶ συνεύχονται, ἀπὸ τῆς νόσου μηδὲν ἐμποδιζόμενοι, ἀλλὰ μᾶλλον καὶ οἰκειούμενοι. Ἡ μέντοι ἑρμηνεία τοῦ Ζωναρᾶ οὐ κατεστρώθη ὧδε, διὰ τὸ πρὸς ἐξήγησιν γραφικῶν ῥημάτων μάλιστα ἀποβλέπειν, καὶ μὴ πρὸς κανονικὴν διδασκαλίαν. Ἡμῖν δὲ οὐκ ἐμέλησεν ὅλως ἐν τῇ παρούσῃ ἐξηγήσει συνθήκης ῥητορικῆς, ἢ εὐεπείας λέξεων, ἢ ῥημάτων γραφικῶν ἑρμηνείας, ἀλλὰ κανονικῆς καὶ νομικῆς διδασκαλίας, καὶ ἑρμηνείας τῶν δοκούντων ἐναντιοφανῶν νόμων τε καὶ κανόνων, τὰ λοιπὰ παραδραμοῦσιν, ὡς μὴ τοῦ παρόντος ὄντα καιροῦ. Ὁ γοῦν θέλων εὑρεῖν τὴν ἑρμηνείαν καὶ τὴν σαφήνειαν τῶν ἀποστολικῶν ῥημάτων, ἢ καὶ τῶν ἄλλων γραφικῶν, ἐντυγχανέτω τῷ Ζωναρᾷ, ἢ καὶ τοῖς ἄλλοις ἐξηγηταῖς αὐτῶν.

(1) Ματθ. Ε', 28.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΚ ΤΗΣ ΛΘ'. ΕΟΡΤΑΣΤΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Αλλ' ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν, ὡς νεκρῶν, περὶ δὲ ἡμῶν, ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας Γραφὰς, καὶ φοβοῦμαι μή πως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, τινὲς τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος καὶ τῆς ἁγνότητος πλανηθῶσιν ἀπὸ τῆς πανουργίας τῶν ἀνθρώπων, καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῶν ἀληθῶν βιβλίων, παρακαλῶ ἀνέχεσθαι, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω, διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς ἐκκλησίας. Μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης, τῷ τύπῳ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτός· Ἐπειδήπερ τινὲς ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς Πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν, ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία, ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων, ὁ δὲ καθαρὸς διαμείνας, χαίρῃ πάλιν ὑπομιμνησκόμενος. Ἔστι τοίνυν τῆς μὲν Παλαιᾶς Διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύο· τοσαῦτα γὰρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται, τῇ δὲ τάξει καὶ τῷ ὀνόματι ἔστιν ἕκαστον οὕτω· Πρώτη Γένεσις· εἶτα Ἔξοδος· εἶτα Λευϊτικόν· καὶ μετὰ τοῦτο Ἀριθμοί· καὶ λοιπὸν, τὸ Δευτερονόμιον· ἑξῆς δὲ



τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ· καὶ Κριταί· καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ αὖθις ἑξῆς, Βασιλειῶν βιβλία τέσσαρα· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται· τὸ δὲ τρίτον καὶ τέταρτον ὁμοίως εἰς ἕν· μετὰ δὲ ταῦτα, Παραλειπομένων πρῶτον καὶ δεύτερον, ὁμοίως εἰς ἓν βιβλίον πάλιν ἀριθμούμενα· εἶτα Ἔσδρα πρῶτον καὶ δεύτερον, ὁμοίως εἰς ἕν· μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν, καὶ ἑξῆς Παροιμίαι· εἶτα Ἐκκλησιαστὴς, καὶ Ἆσμα ᾀσμάτων· πρὸς τούτοις ἔστι καὶ Ἰώβ· καὶ λοιπὸν Προφῆται, οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶτα Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαρούχ· Θρῆνοι, καὶ ἐπιστολὴ, καὶ μετ' αὐτοὺς Ἰεζεκιὴλ, καὶ Δανιήλ. Ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται. Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι δὲ ταῦτα· Εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, καὶ κατὰ Ἰωάννην· εἶτα μετὰ ταῦτα Πράξεις Ἀποστόλων, καὶ ἐπιστολαὶ καθολικαὶ καλούμεναι τῶν Ἀποστόλων ἑπτά, οὕτως· Ἰακώβου μὲν μία, Πέτρου δὲ δύο, εἶτα Ἰωάννου τρεῖς, καὶ μετὰ ταύτας Ἰούδα μία· πρὸς τούτοις Παύλου Ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτω· Πρώτη πρὸς Ῥωμαίους, εἶτα πρὸς Κορινθίους δύο, καὶ μετὰ ταύτας πρὸς Γαλάτας, καὶ ἑξῆς πρὸς Ἐφεσίους, εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολοσσαεῖς, καὶ πρὸς Θεσσαλονικεῖς δύο, καὶ ἡ πρὸς Ἑβραίους· καὶ ἑξῆς πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον μία, καὶ τελευταία ἡ πρὸς Φιλήμονα μία· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα, ἐμφορεῖσθαι τῶν ἐν τούτοις λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται· μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους ἐδυσώπει, λέγων· Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφὰς, μηδὲ τὰς δυνάμεις αὐτῶν(1)· τοῖς δὲ Ἰουδαίοις πα-

(1) Ματθ. ΚΒ', 29. Μάρκ. ΙΒ', 24.

ρήνει· Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ (1)· ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο γράφων ἀναγκαίως(2), ὡς ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μὲν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος· Σοφία Σειράχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὴθ, καὶ Τωβίας, καὶ διδαχὴ καλουμένη τῶν Ἀποστόλων, καὶ ὁ Ποιμήν. Καὶ ὅμως, ἀγαπητοὶ, κἀκείνων κανονιζομένων, καὶ τούτων ἀναγινωσκομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν, ὅτε θέλουσιν αὐτὰ, χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵνα ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾷν ἐκ τούτων τοὺς ἀκεραίους.

---

ΖΩΝΑΡ. (3) Ἐνταῦθα ὁ μέγας Ἀθανάσιος ἀπαρίθμησιν ποιεῖται τῶν βιβλίων τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς, ἵνα μή τινες πλανώμενοι, ἀναγινώσκωσι καὶ τὰς λεγομένας ἀποκρύφους βίβλους, καὶ ἐντεῦθεν βλάπτωνται, ἀκέραιοι ὄντες, ἤτοι ἄπλαστοι καὶ εὐεξαπάτητοι· ταῦτα δὲ καὶ ὁ ΠΕ. τῶν Ἀποστόλων κανὼν πρὸ τούτου ἀπαριθμεῖ. Οὐκ ἐν πᾶσι δὲ ὁ κανὼν οὗτος συμφωνεῖ τῷ ἀποστολικῷ κανόνι· οἱ μὲν γὰρ Ἀπόστολοι, καὶ τὴν Ἐσθὴρ ἀπηριθμήσαντο, καὶ τὴν Σοφίαν Σειράχ, καὶ τὰ Μακκαβαϊκά· οὗτος δὲ παραλέλοιπε ταῦτα. Ἐν δὲ ταῖς τῆς Νέας Γραφῆς βίβλοις, οἱ μὲν θεῖοι Ἀπόστολοι, καὶ τὰς διὰ τοῦ Κλήμεντος συγγραφείσας διαταγὰς αὐτῶν ἀπηρίθμησαν· οὗτος δὲ ταῦτα μὲν παραλέλοιπε· προσέθετο δὲ τὴν Ἀποκάλυψιν τοῦ Θεολόγου· μετὰ δὲ τὴν ἀπαρίθμησιν φησὶν, ὅτι ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μὲν, ἀναγινωσκόμενα δὲ, ἅτινα λέγει εἶναι τὴν

(1) Ἰωάνν. Ε', 39. — (2) ἀναγκαίως, οὐ κεῖται ἐν Χ. Τρ.

(3) Ἡ παροῦσα τοῦ Ζωναρᾶ ἑρμηνεία οὐκ ἀναγινώσκεται ἐν τῷ κειμένῳ τοῦ Βευερηγίου, ἀλλ' ἐν ταῖς σημειώσεσιν αὐτοῦ Τόμ. Β'. σελ. 221, ληφθεῖσα ἐκ τοῦ Ἀμερβαχείου Κώδικος· ἐτέθη δ' ἐνταῦθα κατὰ τὴν ἐν τῷ Χ. Τρ. καθαρωτέραν γραφήν.



Σοφίαν Σολομῶντος, καὶ τὴν Σοφίαν Σειράχ, Ἐσθὴρ, Ἰουδὴθ, καὶ Τωβίτ· καὶ Διδαχὴν καλουμένην τῶν Ἀποστόλων, καὶ Ποιμένα. Τὴν Διδαχὴν δὲ τῶν Ἀποστόλων τινὲς λέγουσιν εἶναι τὰς διὰ τοῦ Κλήμεντος συγγραφείσας τῶν Ἀποστόλων Διατάξεις, ἃς ἡ λεγομένη ἕκτη σύνοδος, ἀναγινώσκεσθαι οὐ συγχωρεῖ, ὡς νοθευθείσας καὶ παραφθαρείσας ὑπὸ αἱρετικῶν. Αἱ δὲ καλούμεναι, φησὶν, ἀπόκρυφοι βίβλοι, οὔτε ἐν τοῖς ἀπηριθμημένοις βιβλίοις εὑρίσκονται, οὔτε ἐν τούτοις τοῖς ἐκτὸς ἐκείνων τεταγμένοις ἀναγινώσκεσθαι, δηλαδὴ τοῖς ἀκανονίστοις. Κεκανονισμένα δὲ βιβλία ἔφη ὁ ἅγιος ἐκ τοῦ κανόνος, ὅς ἐστι ξύλον, ᾧ κέχρηνται οἱ τεχνῖται εἰς ξύλων καὶ λίθων εὐθύτητα· παρατιθέντες γὰρ τὸν κανόνα τοῖς παρ' αὐτῶν ἐργαζομένοις, δι' αὐτοῦ, εἴ τινας εὑρίσκουσιν ἐν αὐτοῖς λοξότητας, εἰσοχάς τε καὶ ἐξοχὰς, εἰς εὐθύτητα ἀποξέουσι, καὶ ὀρθοῦσι τὸ ἐργαζόμενον. Τοῦτο οὖν καὶ ἐπὶ τῶν βιβλίων τούτων ὁ λόγος ὥσπερ κανὼν ἐποίησεν, ἀποδιελὼν αὐτὰ τῶν μὴ ὀρθῶς ἐχόντων, ἀλλὰ διεστραμμένων· καὶ τὰ μὲν ἐγκρίνας καὶ δοκιμάσας, καὶ προθέμενος εἰς ἀνάγνωσιν τοῖς εὐσεβέσι, τὰ δὲ ἀποδοκιμάσας, καὶ ἀπείρξας ἀναγινώσκεσθαι. Ζήτει καὶ τὰ γραφέντα εἰς τὸν τελευταῖον κανόνα τῶν ἁγίων Ἀποστόλων.

ΒΑΛΣ. Ὁ τελευταῖος ἀποστολικὸς κανὼν ἀπαριθμεῖται τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Νέας. Ἐνταῦθα δὲ ὁ ἅγιος, ὡς ἔοικε, μαθὼν, ὅτι τινὲς θέλοντες ἀπατᾷν τοὺς ἀκεραίους κατὰ τὴν εὐσέβειαν, ἤγουν τοὺς μὴ ἔχοντας ἐλλιπές τι, ἢ σύνθετον καὶ σκολιὸν, ἀλλὰ ὄντας ἁπλοῦς, λέγουσιν εἶναι καὶ ἕτερά τινα βιβλία, διεστραμμένων μὲν ὄντα δογμάτων, ἀπόκρυφα δὲ λεγόμενα, ἔγραψε καὶ αὐτὸς τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία. Μὴ θαυμάσῃς δὲ εὑρίσκων τὸν ἀποστολικὸν κανόνα, καὶ ἑτέρων βιβλίων ἀπαρίθμησιν ποιούμενον, ἀλλὰ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα.

---

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΡΟΥΦΙΝΙΑΝΟΝ ΕΠΙΣΚΟΠΟΝ.

*Κυρίῳ υἱῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ῥουφινιανῷ, Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.*

ΣΥ μὲν τὰ υἱῷ ἠγαπημένῳ πρέποντα πρὸς Πατέρα γράφεις· ἐγγίσαντα γοῦν σε διὰ τοῦ γράμματος περιεπτυξάμην, πάντων ἐμοὶ ποθεινότατε Ῥουφινιανέ. Κἀγὼ δὲ ὡς υἱῷ δυνάμενος γράφειν ἔν τε προοιμίοις, καὶ μέσοις, καὶ τελευταίοις, ἐπέσχον, ἵνα μὴ ἐκ γραμμάτων ἡ σύστασις, καὶ ἡ μαρτυρία γνωρίζηται· σὺ γὰρ ἐμοὶ ἐπιστολὴ κατὰ τὸ γεγραμμένον, ἐπιγινωσκομένη καὶ ἀναγινωσκομένη ἐν καρδίᾳ. Οὕτω τοίνυν πίστευε, διακείμενος, ναὶ πίστευε, προσαγορεύω σε, καὶ προτρέπω γράφειν· οὐ γὰρ ὀλίγως, ἀλλὰ μεγάλως εὐφραίνεις τοῦτο ποιῶν. Ἐπειδὴ δὲ φιλοκάλως καὶ ἐκκλησιαστικῶς (τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ) ἠρώτησας περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων μὲν, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ, καὶ ἠθέλησας γράψαι με τὰ δόξαντα περὶ αὐτῶν ἐν ταῖς συνόδοις καὶ πανταχοῦ, γίνωσκε, κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γενομένης βίας, γέγονε σύνοδος παρόντων ἀπὸ τῶν ἔξω μερῶν ἐπισκόπων· γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς· οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ· καὶ ἤρεσεν ὅπερ ὧδε, καὶ πανταχοῦ, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας, συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς τόπον κλήρου· τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου, μάλιστα ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο, καὶ ἔδοξε τοῦτό



πως οἰκονομικῶς γεγενῆσθαι· διεβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι εἰς ἀσέβειαν. Ἵνα δὲ μὴ κατασταθέντες τινὲς ἀσεβέστατοι, διαφθείρωσι τὰς ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος, ἢ λαοὺς ἀπολέσθαι(1). Τοῦτο δὲ λέγοντες ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν, τὸν Μωσέως ἀδελφὸν, ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ. Καὶ γὰρ ἦν φαινόμενον εὔλογον, ὅτι μένοντες μὲν ἐν τῇ ἐρήμῳ, δύνανται παύσασθαι τῆς ἀσεβείας, εἰσελθόντες δὲ εἰς Αἴγυπτον, ἐπετρίβοντο καὶ ηὔξανον ἐν αὐτοῖς τὴν ἀσέβειαν· τούτου τοίνυν ἕνεκα συγγνωστὸν τὸ πρὸς τὸν κλῆρον γέγονε· τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμη δίδοται. Ταῦτα καὶ τῇ σῇ εὐλαβείᾳ δηλῶ, θαῤῥῶν ὅτι καὶ τὰ δόξαντα ὑποδέξεταί σου ἡ θεοσέβεια, καὶ οὐ καταγνώσεται ἐκεχειρίαν τῶν συνελθόντων οὕτω. Καταξίωσον δὲ ταῦτα ἀναγνῶναι τῷ ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σὲ, ἵνα καὶ αὐτοὶ γινώσκοντες μὴ μέμφωνται οὕτω σε διακείμενον περὶ τοὺς τοιούτους· ἀπρεπὲς γὰρ ἦν ἐμὲ γράφειν, δυναμένης τῆς σῆς εὐλαβείας καὶ τὴν ἡμῶν περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λείποντα ἀποπληρῶσαι. Χάρις τῷ Κυρίῳ τῷ πληρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. Οἱ μὲν οὖν μετανοοῦντες φανερῶς ἀναθεματιζέτωσαν ὀνομάζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοπιστίαν· αὐτοὶ γὰρ λοιπὸν βλασφημοῦντες αὐτὸν κτίσμα, ἀπεγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται· ὁμολογείτωσαν δὲ τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην σύνοδον προκρίνειν ταύτης τῆς συνόδου. Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα, ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει σε.

---

(1) ἀπολέσαι Χ. Τρ.

ΖΩΝΑΡ. Οὐ περὶ τῶν εἰδώλοις θυσάντων, καὶ οὕτω παραπεπτωκότων, ἡ ἐρώτησις αὕτη ἐστὶν, ἀλλὰ περὶ τῶν αἱρετικοῖς συγκοινωνησάντων, ἤγουν Ἀρειανοῖς. Οἱ γὰρ τῆς Ἀρείου αἱρέσεως, προστεθέντας αὐτοῖς σχόντες βασιλεῖς τὸν Κωνστάντιον, καὶ τὸν Οὐάλεντα, κἀντεῦθεν μέγα δυνάμενοι, πολλοὺς ἐβιάσαντο προστεθῆναι τῇ δόξῃ αὐτῶν· ὧν ὕστερον μετανοούντων, καὶ προσερχομένων τῇ καθολικῇ ἐκκλησίᾳ, ἠρώτησεν ὁ Ῥουφινιανὸς, ἐπίσκοπος ὢν, ὅπως χρὴ τοὺς τοιούτους δέχεσθαι. Πρὸς ἣν ἐρώτησιν ἀπεκρίθη ὁ μέγας Ἀθανάσιος, ὅτι πολλῶν γενομένων συνόδων τοπικῶν δηλαδὴ περὶ τούτων ἔδοξεν, ὥστε τοῖς μὲν παραπεσοῦσι καὶ συγκοινωνήσασι τοῖς αἱρετικοῖς, καὶ τὰ αὐτὰ ἐκείνοις φρονεῖν ὁμολογήσασι, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ προϊσταμένοις τῆς ἀσεβείας, ἤγουν ὑπεραγωνιζομένοις αὐτῆς καὶ συνηγοροῦσι, καὶ πείθειν σπεύδουσιν, ὡς ἀσφαλής ἐστιν ἡ ἐκείνων δόξα, μετανοοῦσι καὶ προσερχομένοις τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ, δίδοσθαι μὲν μετάνοιαν καὶ συγγνώμην, μὴ μέντοι γε καὶ τόπον κλήρου αὐτοῖς παρέχεσθαι. Κἂν γὰρ ἐπίσκοποι τυχὸν ἦσαν, ἢ κληρικοὶ, οὐκέτι δεχθήσονται εἰς τόπον ἱερωμένων, ἀλλ' ὡς λαϊκοὶ ἔσονται. Τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, ἤγουν μὴ κατὰ αὐθεντίαν καὶ γνώμην ἑκούσιον κοινωνήσασι τοῖς αἱρετικοῖς, παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἤτοι βιαίως συνθεμένοις τῇ ἀσεβείᾳ, καὶ ἐξελκυσθεῖσι τῆς εὐσεβείας, (ὥσπερ γὰρ ὁ ὑπὸ σφοδρᾶς ὑδάτων φορᾶς παρασυρόμενος οὐ κατὰ προαίρεσιν οἰκείαν φέρεται, ἀλλὰ βιαίως ἕλκεται· οὕτω κἀκεῖνοι, τῇ βίᾳ νικηθέντες τῶν αἱρετικῶν, παρεσύρησαν καὶ ὑπέκυψαν,) ἔδοξε, φησὶ, καὶ συγγνώμην δίδοσθαι μεταμελομένοις, ἀπονέμειν δὲ αὐτοῖς καὶ τὸν τόπον τοῦ κλήρου. Καὶ οὐ μόνον ὅτι βιασθέντες ἐνδεδώκασι, συγγνωμονοῦνται, φησὶν, ἀλλ' ὅτι καὶ ἀπολογίαν πιθανὴν ποιοῦνται, δι' ἣν ἔδοξε τὸ ὑποκύψαι αὐτοὺς τοῖς αἱρετικοῖς, οἰκονομικῶς γενέσθαι. Διεβεβαιώσαντο γὰρ, ἀντὶ τοῦ, βεβαίως ἐπληροφόρησαν, μὴ μεταβληθῆναι εἰς ἀσέβειαν, ἤγουν μὴ συνθέσθαι τῇ δόξῃ τῶν αἱρετικῶν, ἀλλὰ τῆς ὀρθῆς ἔχεσθαι πίστεως· μόνον δὲ συγκοινωνῆσαι τοῖς αἱρετικοῖς, ἵνα μὴ αὐτῶν ἐκδιωχθέντων



τῶν ἐκκλησιῶν, ἕτεροι ἀσεβεῖς ἀντεισαχθῶσι, καὶ διαφθείρωσι τὰς ἐκκλησίας, ἤτοι τὸν ὀρθόδοξον λαόν. Καὶ διὰ τοῦτο ᾑρετίσαντο συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος τοῦ ἐπιτιμίου, διὰ τὸ δόξαι ὑποκύψαι, καὶ μὴ μᾶλλον τοὺς λαοὺς ἀπολέσθαι. Ἔδοξαν οὖν, φησὶ, πιθανῶς ταῦτα λέγειν, χρώμενοι καὶ παραδείγματι τῷ Ἀαρών· κἀκεῖνος γὰρ, τοῦ Μωσέως χρονίσαντος ἐν τῷ ὄρει, καὶ τοῦ λαοῦ τῶν Ἑβραίων θεοὺς ζητοῦντος, ἐνδέδωκε τῇ τοῦ λαοῦ παραβάσει, καὶ γενέσθαι αὐτοῖς παρεχώρησε χωνευτὸν μόσχον· τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ τῇ Αἰγυπτιακῇ, λογισάμενος, ὅτι ἐν τῇ ἐρήμῳ ὄντες, δυνήσονται ἀποστῆναι τῆς ἀσεβείας, ἐν δὲ τῇ Αἰγύπτῳ γενόμενοι, μᾶλλον ἀσεβήσουσι τοῖς τῶν Αἰγυπτίων ἑπόμενοι ἔθεσι· διὰ ταῦτα, φησὶ, καὶ πρὸς τὸν κλῆρον δέχονται· τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι, συγγνώμη δίδοται. Ταῦτα περὶ λαϊκῶν ἀπατηθέντων παρὰ τῶν αἱρετικῶν, ἢ βιασθέντων, καὶ συνθεμένων τοῖς ἐκείνων δόγμασιν, οἷς, φησὶ, μετανοοῦσι καὶ προσερχομένοις τῇ ἐκκλησίᾳ, συγγνώμη δίδοται, δεχομένοις καὶ οἰκονομουμένοις κατὰ τοὺς τῶν ἁγίων Πατέρων κανόνας (1). Ταῦτα δὲ, φησὶν, ἔγραψα θαῤῥῶν, ὅτι τὰ δόξαντα ἡμῖν ἀποδέξῃ καὶ σὺ, καὶ οὐ καταγνώσῃ τῶν συνελθόντων οὕτως ἐκεχειρίαν· τοιοῦτος δ' ἐστὶ τούτου ὁ νοῦς· ὅτι οὐ καταγνώσῃ τῶν ἀθροισθέντων ἡμῶν οὕτως, ἤγουν ἐπὶ τῷ σκοπῆσαι περὶ τῶν τοῖς αἱρετικοῖς κοινωνησάντων, ὡς μάτην, καὶ ἀργῶς, ἀπράκτως τε συνελθόντων, οἷα μηδὲν τάχα περὶ αὐτῶν καίριον ἀποφηναμένων· ἐκεχειρία γάρ ἐστιν ἡ ἀπραξία καὶ ἡ ἀργία, ἀπὸ τοῦ ἐπέχειν τὰς χεῖρας, ἐχεχειρία (1) τις οὖσα· εἶτα προστίθησι, καὶ τί ὀφείλουσι ποιεῖν οἱ μετανοοῦντες, λέγων· ἀναθεματιζέτωσαν τάδε φανερῶς· ἀντὶ τοῦ, δημοσίᾳ, ἐπ' ἐκκλησίας, καὶ ὁμολογείτωσαν τὴν ἐν Νικαίᾳ ὁρισθεῖσαν πίστιν, καὶ τὰ λοιπά.

ΒΑΛΣ. Περὶ τῶν εἰδωλόθυτα φαγόντων, καὶ περὶ τῶν θυσάν-

(1) Χ. Τρ. — νόμους, ἤτοι κανόνας Beuer. — (2) Χ. Τρ. — ἐκεχειρία, (ἐσφαλμένως) Beuer.

των τοῖς εἰδώλοις, ἡ ἐν Γάγγρᾳ σύνοδος, καὶ οἱ κανόνες τοῦ ἁγίου Πέτρου, ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος, πλατύτερον διαλαμβάνουσιν. Ἡ δὲ παροῦσα ἐπιστολὴ τοῦ ἁγίου Ἀθανασίου διαλαμβάνει περὶ τῶν συγκοινωνησάντων αἱρετικοῖς, καὶ προσερχομένων τῇ ἐκκλησίᾳ. Φησὶ γὰρ ὁ ἅγιος ἐπιστέλλων πρὸς τὸν ἐρωτήσαντα Ῥουφινιανὸν, ὅτι οἱ μὲν παραπεπτωκότες, καὶ κοινωνήσαντες τοῖς αἱρετικοῖς, καὶ προστάται καὶ συνήγοροι τῆς ἀσεβείας γενόμενοι, εἰς μετάνοιαν μὲν δέχονται, κληρικοὶ δὲ ὄντες, ἢ καὶ ἄλλως ἱερωμένοι, τῆς ἱερωσύνης οὐκ ἀξιοῦνται. Οἱ δὲ μὴ αὐθεντοῦντες ὑπὲρ τῆς ἀσεβείας, ἤγουν μὴ κατὰ αὐθεντίαν καὶ καθ' ἑκούσιον γνώμην κοινωνήσαντες τοῖς αἱρετικοῖς, ἀλλὰ βιαίως ἑλκυσθέντες ἀπὸ τῆς εὐσεβείας εἰς ἀσέβειαν, κληρικοὶ ὄντες, συγγνώμης τε ἀξιοῦνται, καὶ τοῦ κλήρου οὐκ ἀποξενοῦνται, καὶ μᾶλλον ὅτι διαβεβαιοῦνται μὴ μεταβληθῆναι εἰς ἀσέβειαν, ἤγουν μὴ συνθέσθαι τῇ δόξῃ τῶν αἱρετικῶν, ἀλλὰ κατὰ λόγον οἰκονομίας συγκοινωνῆσαι τούτοις, ἵνα μὴ αὐτῶν ἐκδιωχθέντων ἀπὸ τῶν ἐκκλησιῶν, ἕτεροι ἀσεβεῖς ἀντεισαχθῶσι καὶ διαφθείρωσι τὸν ὀρθόδοξον λαόν. Ἔδοξεν οὖν, φησὶ, πιθανῶς ταῦτα λέγειν, χρώμενοι καὶ παραδείγματι τῷ Ἀαρών· ἐκεῖνος γὰρ, τοῦ Μωϋσέως χρονίσαντος ἐν τῷ ὄρει, καὶ τοῦ λαοῦ τῶν Ἑβραίων θεοὺς ζητοῦντος, ἐνέδωκε τῇ τούτων παραβάσει, καὶ γενέσθαι αὐτοῖς παρεχώρησε χωνευτὸν μόσχον· τοῦτο δ' ἐποίησεν, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ τῇ Αἰγυπτιακῇ, λογισάμενος, ὅτι ἐν τῇ ἐρήμῳ ὄντες, δυνήσονται ἀποστῆναι τῆς ἀσεβείας· ἐν δὲ τῇ Αἰγύπτῳ γενόμενοι, μᾶλλον ἀσεβήσουσι τοῖς Αἰγυπτίων ἑπόμενοι ἔθεσι. Καὶ περὶ μὲν ἱερωμένων ταῦτα φησί. Τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι λαϊκοῖς συγγνώμη δίδοται, δεχομένοις καὶ οἰκονομουμένοις παρὰ τῶν ἐπισκόπων κανονικῶς, ὡς καὶ ὀφείλουσιν ἀναθεματίζειν μὲν τὰ τῶν αἱρετικῶν φανερῶς, ἤγουν ἐπ' ἐκκλησίας, ὁμολογεῖν δὲ τὴν ἐν Νικαίᾳ ὀρθόδοξον πίστιν. Ἐκεχειρία δὲ λέγεται, ἡ ἀργία καὶ ἀπραξία, ἥτις καὶ ἄνετος ἄδεια λέγεται, ἀπὸ τοῦ ἐπέχειν τὰς χεῖρας, ἐχεχειρία τις οὖσα. Σημείωσαι οὖν καὶ ἀπὸ τῆς παρούσης ἐπιστολῆς, ὅτι ἄλλως κολάζονται οἱ κατὰ βίαν κοινωνήσαντες μόνον τοῖς αἱρετικοῖς, ἄλλως οἱ ὁμοφρονήσαντες τούτοις καὶ ὑπὲρ



τῆς ἀσεβείας συνηγορήσαντες, ἄλλως οἱ αὐτομολήσαντες* εἰς τὴν ἀσέβειαν καὶ θάτερον τούτων ἐνδειξάμενοι,*(1) ἄλλως οἱ κοινωνήσαντες τούτοις καὶ θύσαντες, ἄλλως οἱ κατὰ βίαν φαγόντες εἰδωλόθυτα, καὶ ἄλλως οἱ παθόντες βίαν καὶ περὶ αὐτὸ τὸ φαγεῖν· καὶ ἁπλῶς τὰ τῶν τοιούτων μεγάλης ἐξετάσεως (2) δέονται, ὅτι καὶ δυσχερῶς θεραπεύονται.

---

(1) Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἐ. ἀλλ' ἐν Χ. Τρ. καὶ λατινιστὶ μόνον παρὰ Ἐ. — (2) Βευερ. Ἐ. — κατεξετάσεως Χ. Τρ.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
## ΠΑΤΡΟΣ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΥ,
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ, ΚΑΠΠΑΔΟΚΙΑΣ,
### ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ(1),
### Ἐπιστολὴ κανονικὴ Α'.

ΑΝΟΗΤΩι, φησίν, ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται (2)· σοφοῦ δὲ, ὡς ἔοικεν, ἐπερώτημα καὶ τὸν ἀνόητον σοφίζει· ὅπερ τῇ τοῦ Θεοῦ χάριτι συμβαίνει ἡμῖν, ὁσάκις ἂν σου δεξώμεθα τῆς φιλοπόνου ψυχῆς τὰ γράμματα· ἐπιςατικώτεροι γὰρ ἑαυτῶν καὶ (3) ἐμφρονέστεροι γινόμεθα ἀπ' αὐτῆς τῆς ἐρωτήσεως, πολλὰ, ὧν οὐκ ἐπιστάμεθα, διδασκόμενοι· καὶ γίνεται ἡμῶν διδάσκαλος ἡ περὶ τὸ ἀποκρίνεσθαι μέριμνα. Ἀμέλει καὶ νῦν, οὐδέποτε λαβόντες ἐν φροντίδι τὰ ἐπερωτήματά σου, ἠναγκάσθημεν καὶ ἐπισκέψασθαι ἀκριβῶς, καὶ εἴ τι ἠκούσαμεν παρὰ τῶν πρεσβυτέρων, ἀναμνησθῆναι, καὶ τὰ συγγενῆ ὧν ἐδιδάχθημεν, παρ' ἑαυτῶν ἐπιλογίσασθαι.

---

ΖΩΝΑΡ. Πολλῆς ταπεινοφροσύνης γέμει τὸ προοίμιον τῆς ἐπιστολῆς, εἰ ὁ μέγας Βασίλειος λέγει σοφίζεσθαι διὰ τῶν τοῦ θείου Ἀμφιλοχίου ἐρωτήσεων, προϊὼν δὲ λέγει ὅπως σοφίζεται. Πρὸ γὰρ τῶν ἐρωτημάτων, φησὶ, μὴ τούτων ἐν φροντίδι γενόμενοι, νῦν μετὰ τὴν ἐρώτησιν ἐπιστατικώτερον, ἤγουν προσεκτικώτερον ἐπισκεψάμενοι ταῦτα, καὶ ὅσα παρὰ τῶν ἀρχαιοτέρων ἠκούσαμεν ἀνεμνήσθημεν, καὶ παρ' ἑαυτῶν προσεθέμεθα τὰ λοιπὰ, ὅσα συγγενῆ ὧν ἐδιδάχθημεν, ἤγουν ἐκείνοις ἀκόλουθα καὶ σύμφωνα, ἀλλ' οὐκ ἐναντιούμενα (4).

---

(1) πρὸς τὸν ἅγιον Ἀμφιλόχιον, ἐπίσκοπον Ἰκονίου, τῆς μητροπόλεως Φρυγίας. Χ. Τρ. —(2) Παροιμ. ΙΖ', 28.—(3) καὶ οἷον Π.—(4) καὶ παρ' αὐτῶν τὰ λοιπὰ, ὅσα εἰσὶν ἀκόλουθα προσεθέμεθα· οὕτως ἔχει ἡ τελευταία φράσις ἐν Χ. Τρ.

## Κανὼν Α'.

Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, καὶ εἴρηται πρότερον, καὶ καλῶς ἀπεμνημόνευσας, ὅτι δεῖ τῷ ἔθει τῷ καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνδιενεχθῆναι(1) περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας. Τὸ δὲ τῶν Πεπουζηνῶν οὐδένα μοι λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα, πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον παρῆλθεν. Ἐκεῖνο γὰρ ἔκριναν οἱ παλαιοὶ δέχεσθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν, τὰς μὲν, αἱρέσεις ὠνόμασαν· τὰ δὲ, σχίσματα· τὰς δὲ, παρασυναγωγάς· αἱρέσεις μὲν, τοὺς παντελῶς ἀπεῤῥηγμένους, καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς, καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντας· παρασυναγωγὰς δὲ, τὰς συνάξεις(2) τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων, ἢ ἐπισκόπων, καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας· οἷον, εἴ τις ἐν πταίσματι ἐξετασθεὶς ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν, καὶ συναπῆλθον τούτῳ τινὲς, καταλιπόντες τὴν καθολικὴν ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτον· σχίσμα δὲ, τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας· αἱρέσεις δὲ, οἷον ἡ τῶν Μανιχαίων, καὶ Οὐαλεντίνων, καὶ Μαρκιωνιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν· εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεώς ἐστιν ἡ διαφορά. Ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν, παντελῶς ἀθετῆσαι· τὸ δὲ τῶν ἀποσχισάντων, ὡς ἔτι ἐκ τῆς ἐκκλησίας ὄντων, παραδέξασθαι· τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς, μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτε-

(1) Ἐ. Βεντρ. — ἐνεχθῆναι Χ. Τρ. Π. Σ. Ῥ. — (2) Βεντρ. Ἐ. Π. Σ. Ῥ. — τὰς παρασυνάξεις — Χ. Τρ.

σθαι πάλιν τῇ ἐκκλησίᾳ, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν (1) παραδέχεσθαι τάξιν. Οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐβλασφήμησαν (2), Μοντανῷ, καὶ Πρισκίλλῃ τὴν τοῦ Παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες. Εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες, κατάκριτοι, εἴτε ὡς τὸ Πνεῦμα τὸ ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίζοντες (3), καὶ οὕτω τῇ αἰωνίῳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν (4). Τίνα οὖν λόγον ἔχει τὸ τούτων βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς Πατέρα, καὶ Υἱὸν (5), καὶ Μοντανὸν, καὶ Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ μὴ εἰς τὰ παραδεδομένα ἡμῖν βαπτισθέντες. Ὥστε, εἰ καὶ τὸν μέγαν Διονύσιον τοῦτο παρέλαθεν (6), ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος· τὸ γὰρ ἄτοπον, αὐτόθεν πρόδηλον, καὶ πᾶσιν ἐναργὲς, οἷς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν. Οἱ δὲ Καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσί· πλὴν ἀλλ' ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτους πάντας μιᾷ ψήφῳ ὑποβαλεῖν, Καθαροὺς, καὶ Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, καὶ Ἀποτακτίτας (7). Διότι (8) ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς ἐκκλησίας ἀποστάντες, οὐκ ἔτι ἔσχον τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐφ' ἑαυτούς· ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθίαν. Οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν Πατέρων ἔσχον τὰς χειροτονίας, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικόν· οἱ δὲ ἀποῤῥαγέντες, λαϊκοὶ

(1) αὐτῶν Σ. Ῥ.—(2) ἐβλασφήμουν Σ. Ῥ.— (3) καθυβρίσαντες Π. Ἑ. Βευερ. —(4) Ματθ. ΙΒ', 31.—(5) καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, Μοντανὸν καὶ Πρίσκιλλαν. —(6) τοῦτο παρῆλθε Διονύσιον Σ. Ῥ. Χ. Τρ.— (7) Π. Βευερ. Ῥ. — καὶ Ἀποτακτίτας οὐ κεῖται ἐν Σ. Ῥ. καὶ Χ. Τρ. — (8) δι' ὃ Βευερ.



γενόμενοι, οὔτε τοῦ βαπτίζειν, οὔτε τοῦ χειροτονεῖν εἶχον ἐξουσίαν· οὔτε ἠδύναντο χάριν Πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι· διὸ ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν, ἐκέλευσαν ἐρχομένους ἐπὶ τὴν ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς ἐκκλησίας ἀνακαθαίρεσθαι. Ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα τῶν πολλῶν, δεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν. Τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι, ἵνα αὐτοὺς ἀπροσδέκτους ποιήσωσι τῇ ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι· ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν. Νομίζω τοίνυν, ὅτι, ἐπειδὴ οὐδέν ἐστι περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα· κἄν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ ἐκκλησίᾳ βαπτίζειν (1). Ἐὰν μέντοι μέλλῃ τῇ καθόλου οἰκονομίᾳ (2) ἐμπόδιον ἔσεσθαι τοῦτο (3), πάλιν τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήσασι τὰ καθ' ἡμᾶς Πατράσιν ἀκολουθητέον. Ὑφορῶμαι γὰρ μήποτε, ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν ποιῆσαι, ἐμποδίσωμεν τοῖς σωζομένοις διὰ τὸ τῆς προτάσεως αὐστηρόν· εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς μὴ δυσωπείτω· οὐ γὰρ ἀντιδιδόναι αὐτοῖς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων. Παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἀπὸ τοῦ βαπτισμοῦ (4) ἐκείνων προσερχομένους, χρίεσθαι ὑπὸ τῶν πιστῶν δηλονότι, καὶ οὕτω προσιέναι τοῖς μυστηρίοις. Οἶδα δὲ, ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ Ζώινον (5) καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως, προσεδεξάμεθα εἰς τὴν (6) καθέδραν τῶν ἐπισκόπων· ὥστε τοὺς τῷ τάγματι ἐκείνων συνημμένους, οὐκέτι δυ-

(1) τοῦτον ἀναβαπτίζειν Σ. Ῥ.—(2) τῇ καθολικῇ ἐκκλησίᾳ ἡ οἰκονομία Χ. Τρ.— (3) τούτῳ Χ. Τρ. — (4) Σ. Ῥ. — ἐπὶ τῷ βαπτισμῷ Χ. Τρ. ἐπὶ τὸν βαπτισμὸν Π. Ἑ. — (5) Χ. Τρ. — Ζώϊν Βευερ. Ἑ. — Ζώνιον Π. Ἰζόην Σ. Ῥ. — (6) εἰς τὴν τάξιν καὶ καθέδραν Σ. Ῥ.

νάμεθα διακρίνειν ἀπὸ τῆς ἐκκλησίας, οἷον κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν ἐπισκόπων παραδοχῆς.

---

ΖΩΝΑΡ. Περὶ τοῦ, εἰ χρὴ βαπτίζεσθαι τοὺς Ναυατιανούς, ἡ ἐρώτησις ἦν· οὗτοι γὰρ ὠνόμαζον ἑαυτοὺς Καθαρούς. Περὶ τούτου φησὶν ὁ ἅγιος, ὅτι καὶ πρότερον εἴρηται· τὸ δὲ προειρημένον φαίνεται εἶναι ἐκ τοῦ εἰπεῖν, καλῶς ἀπεμνημόνευσας, τὸ ἕπεσθαι τῷ ἔθει τῷ καθ' ἑκάστην χώραν, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν· ἄλλοι γάρ, φησίν, ἄλλως εἶπον περὶ τοῦ, πῶς δεῖ αὐτοὺς προσερχομένους δέχεσθαι, καὶ διηνέχθησαν ταῖς γνώμαις· καὶ ταῦτα μὲν ὁ μέγας Βασίλειος. Ὁ δὲ τελευταῖος κανὼν τῆς δευτέρας συνόδου, μὴ ἀναβαπτίζεσθαι λέγει αὐτούς, ἀλλὰ μόνον χρίεσθαι τῷ ἁγίῳ μύρῳ. Τοῦτον οὖν πάντως δέον κρατεῖν, ὅτι τε μεταγενέστερός ἐστιν ὁ κανών, καὶ ὅτι συνοδικός, καὶ συνόδου οἰκουμενικῆς.

Ἐνταῦθα ὁ μέγας Βασίλειος διδάσκει, τί ἐστιν αἵρεσις, καὶ τί, σχίσμα, καὶ τί, παρασυναγωγή· καὶ τὸ μὲν τῶν αἱρετικῶν, φησί, βάπτισμα, παντελῶς ἀθετεῖσθαι· τὸ δὲ τῶν ἀποσχισάντων, παραδέχεσθαι· τοὺς δὲ παρασυνάγοντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ, ἐπιστρέφοντας ἐν μετανοίᾳ ἀξιολόγῳ· καὶ τοσοῦτον συνάπτεσθαι τῇ ἐκκλησίᾳ, ὥστε καὶ εἰς τὸν αὐτὸν πολλάκις, ἀντὶ τοῦ, ἔστιν ὅτε, παραδέχεσθαι αὐτοὺς βαθμόν· τοὺς δὲ Πεπουζηνούς, προδήλως ὄντας αἱρετικούς, βαπτίζεσθαι ἀποφαίνεται, προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ· οἱ γὰρ μὴ εἰς τὰ παραδεδομένα ἡμῖν βαπτισθέντες, ἤγουν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, οὐδὲ δοκοῦσι βαπτισθῆναι. Πῶς δὲ κατὰ τὴν τῆς καθολικῆς ἐκκλησίας παράδοσιν ἐβάπτισεν ἂν ὁ Παράκλητον τὸν Μοντανὸν ὀνομάζων καὶ τὴν Πρίσκιλλαν; Τοὺς δὲ Καθαρούς, φησί, καὶ Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, ἔδοξε τοῖς περὶ Κυπριανὸν καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, (οἰκειοῦται δὲ τὸν Φιρμιλιανὸν ὡς τῆς Καισαρείας γεγονότα ἐπίσκοπον,) πάντας ἀναβαπτίζεσθαι. Ἐν γὰρ τῇ Καρχηδόνι, ἧς ἐπίσκοπος ἦν ὁ Κυπριανός, συνόδου συστάσης ἀρχαιοτέρας πασῶν, ἔδοξε πάντας τούς τε αἱρετικούς, τούς τε σχισματικούς, βαπτίζεσθαι προσιόντας τῇ ἐκ-



κλησίᾳ· κἂν γὰρ μὴ περὶ δόγμα οἱ σχισματικοὶ σφάλλωνται, ἀλλ' ἐπεὶ τοῦ σώματος τῆς ἐκκλησίας ἀπερράγησαν, οὐκέτι ἔχουσιν αὐτοῖς παραμένουσαν τὴν χάριν τοῦ ἁγίου Πνεύματος· ὃ γοῦν οὐκ ἔχουσι, πῶς ἄλλοις αὐτοῦ μεταδώσουσιν; Ἀλλ' ὅμως φησὶν ὁ μέγας οὗτος Πατήρ, ὅτι, ἐπεί τισιν ἔδοξε δι' οἰκονομίαν τὸ τῶν Καθαρῶν βάπτισμα δέχεσθαι, ἔστω δεκτόν. Καὶ ἡ δευτέρα δὲ οἰκουμενικὴ σύνοδος, ὡς προείρηται, δεκτὸν αὐτὸ ἡγήσατο. Περὶ δὲ Ἐγκρατιτῶν φησιν, ὡς οὐκ ἔδει τὸ αὐτῶν βάπτισμα δέχεσθαι. Χρηστέον δέ, φησί, τῷ ἔθει, καὶ ἀκολουθεῖν δεῖ τοῖς τὰ καθ' ἡμᾶς οἰκονομήσασι Πατράσιν, ἵνα μὴ διὰ τὴν ἀκρίβειαν ὀκνηροτέρους αὐτοὺς ποιήσωμεν εἰς τὸ προσέρχεσθαι τῇ καθολικῇ ἐκκλησίᾳ· οὐχ ὅτι δέ, φησίν, φυλάσσουσιν ἐκεῖνοι τὸ ἡμέτερον βάπτισμα, δεῖ καὶ ἡμᾶς δυσωπουμένους τὸ ἐκείνων φυλάσσειν· οὐ γὰρ ὀφείλομεν χάριτας ἀντιδιδόναι αὐτοῖς, ἀλλὰ τηρεῖν τὴν ἀκρίβειαν. Τέως δὲ οἱ προσερχόμενοι ἐξ αὐτῶν χριέσθωσαν, φησί, τῷ ἁγίῳ μύρῳ, καὶ οὕτω τῶν ἁγιασμάτων μεταλαμβανέτωσαν. Ἡ δὲ τῶν Ἐγκρατιτῶν δόξα τοιαύτη ἦν· ἐμψύχου παντὸς ἀπείχοντο, καὶ τὸν γάμον ἠρνοῦντο, τοῦ Σατανᾶ καλοῦντες αὐτόν· λέγονται δὲ φρονεῖν καὶ τὰ τοῦ Μαρκίωνος. Ὅτι δέ, φησίν, ἐδεξάμεθα ἤδη εἰς τὴν καθέδραν τῶν ἐπισκόπων τόνδε καὶ τόνδε ἐξ ἐκείνων ὄντας, τῶν Ἐγκρατιτῶν δηλαδή, οὐκέτι δυνάμεθα διακρίνειν καὶ διαχωρίζειν ἀπὸ τῆς ἐκκλησίας τοὺς τῷ τάγματι ἐκείνων συνημμένους, ἤγουν τοὺς ὁμοδόξους ἐκείνοις· δεξάμενοι γὰρ τοὺς ἐπισκόπους αὐτῶν, κανόνα καὶ τύπον ὥσπερ ἐθέμεθα δι' ἐκείνων, καὶ τοὺς λοιποὺς δέχεσθαι.

ΒΑΛΣ. Μετὰ τὸ προοιμιάσασθαι τὸν ἅγιον, καὶ ἑαυτὸν μὲν εἰς ἐσχάτην ταπείνωσιν ἀγαγεῖν, τὸν δὲ τὰς ἐρωτήσεις πεποιηκότα ἅγιον Ἀμφιλόχιον ὑπερεγκωμιάσαι, ἀπολογεῖται περὶ ὧν ἠρωτήθη, καί φησιν, ὅτι περὶ τοῦ, εἰ χρὴ βαπτίζεσθαι τοὺς Ναυατιανούς, τοὺς καὶ Καθαροὺς ἑαυτοὺς ὀνομάζοντας, διάφοροι γνῶμαι προέβησαν, καθὼς καὶ σὺ ἀπεμνημόνευσας· καὶ ἤρεσε, τῷ ἔθει ἀκολουθεῖν ἑκάστης χώρας. Εἶτα περὶ τῶν Πεπουζηνῶν ἀρξάμενος ἀπολογεῖσθαι, διδάσκει, τί ἐστιν αἵρεσις, καὶ τί, σχίσμα καὶ τί, παρασυναγωγή. Καὶ τὸ μὲν βάπτισμα τῶν αἱρετικῶν, φησὶ παντελῶς ἀθετεῖσθαι· τὸ δὲ τῶν ἀποσχισάντων ἑαυτούς, παρα-

δέχεσθαι· τοὺς δὲ παρασυναγαγόντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ μετανοοῦντας ἀξίως, ὥστε καὶ εἰς τοὺς προτέρους βαθμοὺς πολλάκις παραδέχεσθαι. Τοὺς γοῦν Πεπουζηνούς, ὡς βλασφημοῦντας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ Παρακλήτου προσηγορίαν ἐπιφημίζοντας, αἱρετικοὺς εἶναι λέγει· τοὺς δὲ Ναυατιανούς, τοὺς Ἐγκρατίτας, καὶ τοὺς Ὑδροπαραστάτας, καθὼς καὶ ὁ τελευταῖος κανὼν τῆς δευτέρας συνόδου διωρίσατο, ἀπεφήνατο (1) μὴ ἀναβαπτίζεσθαι, ἀλλὰ χρίεσθαι τῷ ἁγίῳ μύρῳ, καὶ οὕτω μεταλαμβάνειν τῶν ἁγιασμάτων, καὶ ἐπισκόπους ὄντας δέχεσθαι εἰς τοὺς θρόνους αὐτῶν. Καὶ Ἐγκρατῖται μέν εἰσιν, οἱ τὸν γάμον ἀποβαλλόμενοι, καὶ λέγοντες εἶναι τοῦτον τοῦ Σατανᾶ, καὶ ἀπαγορεύοντες πᾶσαν ἐμψυχοφαγίαν· Ναυατιανοί, οἱ καὶ Καθαροὶ λεγόμενοι, ἐκλήθησαν ἀπὸ Ναυάτου τινὸς Ῥωμαίου, ἀποβαλλομένου τοὺς διγάμους καὶ μετάνοιαν μὴ δεχομένου. Ὑδροπαραστάται δὲ οἱ ἀντὶ οἴνου, ὕδωρ * εἰς τὴν ἀναίμακτον θυσίαν * προσφέροντες, (2) καὶ τὸν γάμον πορνείαν λέγοντες.

ΑΡΙΣΤ. Αἱρετικός, ὁ κατὰ τὴν πίστιν ἀλλότριος· ὁ δὲ κατά τι ἰάσιμον ζήτημα, σχισματικός· οἱ δὲ συνάγοντες ἀνυπότακτοι τούτους ἢ ἐκείνους, παρασυνάγωγοι. Τὸ ἐξ αἱρετικοῦ βάπτισμα ἄδεκτον· δεκτὸν δὲ τὸ ἀποσχίστου καὶ παρασυναγώγου. Παράκλητον οἱ Πεπουζηνοὶ τὸν Μοντανὸν ὀνομάζουσιν· ὅθεν καὶ εἰς αὐτὸν βαπτιζόμενοι, ἀβάπτιστοι. Τὸ τῶν Καθαρῶν, καὶ Ὑδροπαραστατῶν, καὶ Ἐγκρατιτῶν βάπτισμα, εἰ καὶ ἄδεκτον, διὰ τὸ ἐπιλεῖψαι τούτοις τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὖν οἰκονομίας χάριν ἔστω.

Οἱ μὴ κοινωνοῦντες τῇ καθολικῇ ἐκκλησίᾳ, εἰς τρία διαιροῦνται, εἰς αἱρετικούς, εἰς σχισματικούς, καὶ παρασυναγώγους. Καὶ αἱρετικοὶ μέν εἰσιν οἱ τῆς εἰς Θεὸν πίστεως παντελῶς ἀπαλλοτριώσαντες ἑαυτούς, ὡς οἱ Πεπουζηνοί, οἱ Μανιχαῖοι, οἱ Οὐαλεντινιανοί, οἱ Μαρκιωνισταί, καὶ ἄλλοι πολλοί. Οἱ μὲν γὰρ Πεπουζηνοὶ τὸν Μοντανὸν Παράκλητον ὀνομάζουσι, καὶ τὰς συναφθείσας αὐτῷ πορνικῶς δύο γυναῖκας Πρίσκιλλαν καὶ Μαξίμιλλαν, ὡς προφήτιδας ἔχουσι· τοὺς γάμους ἀδιαφόρως λύουσι· τὸ Πάσχα δια-

(1) Χ. Τρ. — ἀπεφήνατο, οὐ κεῖται παρὰ Ἐ. καὶ Βευερ. — (2) Χ. Τρ. παρὰ δὲ Βευερ. ὕδωρ τῷ Θεῷ προσφέροντες.



στρέφουσι· τὰς τρεῖς ὑποστάσεις τῆς ὁμοουσίου Θεότητος, εἰς ἓν συγχέουσι πρόσωπον, καὶ ἕτερά τινα ἀσεβῆ τοιαῦτα φρονοῦσιν. Οἱ δὲ Μανιχαῖοι δύο ἀρχὰς εἰσάγουσιν ἐναντίας καὶ ἰσοσθενεῖς· καὶ τὴν μὲν φωτὸς δοξάζουσιν εἶναι παραίτιον, τὴν δὲ, σκότους· καὶ ἥλιον, καὶ σελήνην θεοποιοῦντες, καὶ τὸν διάβολον, τῆς ὕλης προσαγορεύουσιν ἄρχοντα· καὶ τὸν γάμον, νομοθεσίαν καλοῦσι τοῦ δαίμονος, καὶ τὴν εἰς τοὺς δεομένους μετάδοσιν, ἀνόμημα κρίνουσι· καὶ τὸν Κύριον, οὐδὲν ἀνθρώπινον εἰληφέναι σαρκωθέντα δοξάζουσι· καὶ τὸν σταυρόν, καὶ τὸν θάνατον, καὶ τὴν Ἀνάστασιν, ὡς μὴ τῇ ἀληθείᾳ γινόμενα διασύρουσι· καὶ μυρία ἄλλα ἀσεβῆ δογματίζουσιν. Οἱ δὲ Οὐαλεντινιανοί, τῆς σαρκὸς ἀπαγορεύουσι τὴν ἀνάστασιν· τὴν Παλαιὰν ἀθετοῦσι Διαθήκην, τοὺς Προφήτας ἀναγινώσκοντες, καὶ πρὸς τὴν αἴσθησιν αὐτῶν τούτους μεθερμηνεύοντες, μυθολογίας τινὰς ἀναπλάττουσι· καὶ τὸν Χριστὸν ἀπ' οὐρανοῦ λέγουσι τὴν σάρκα κατενεγκεῖν, καὶ ὡς διὰ σωλῆνος διελθεῖν τῆς Παρθένου· καὶ ἄλλα τινὰ τοιαῦτα βλάσφημα ληρῳδοῦσιν. Οἱ δὲ Μαρκιωνισταί εἰσιν οἱ Μασαλιανοί, οἱ καὶ Εὐχῖται ἑρμηνευόμενοι, οἵτινες πολυκέφαλον καὶ πολυώνυμον τὴν αἵρεσιν ἔχουσιν. Οὗτοι γοῦν πάντες τῆς αἱρέσεως αὐτῶν μεταστραφέντες, καὶ τῇ ἀμωμήτῳ πίστει προσελθόντες, βαπτίζονται διὰ τὸ ἀθετεῖσθαι παρ' ἡμῶν τὸ βάπτισμα αὐτῶν· σχισματικοὶ δέ εἰσιν, οἱ τῆς ἐκκλησίας ἑαυτοὺς ἀποστήσαντες, ὡς οἱ Δονατισταί, καὶ οἱ λεγόμενοι Καθαροί, καὶ οἱ Ὑδροπαραστάται, καὶ οἱ Ἐγκρατῖται. Οὗτοι γάρ, εἰ ἐπιστρέψουσι πρὸς τὴν καθολικὴν ἐκκλησίαν, καὶ τὰς αἱρέσεις αὐτῶν ἀναθεματίσουσιν, ὡς βεβαπτισμένοι παραδεχθήσονται, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρισθήσονται. Παρασυνάγωγοι δέ εἰσιν, οἱ κατακριθέντες ἐπί τισι πταίσμασιν ἐπίσκοποι, ἢ πρεσβύτεροι, καὶ μετακινηθέντες τῆς λειτουργίας, καὶ μὴ ὑποκύψαντες τοῖς κανόσιν, ἀλλ' ἑαυτοὺς αὐθεντικῶς ἐκδικήσαντες τὴν προεδρίαν, καὶ τὴν λειτουργίαν, καὶ θυσιαστήριον πηξάμενοι ἕτερον, καὶ τῆς γνώμης αὐτῶν γενέσθαι τινὰς παραπείσαντες, ὥστε συνακολουθῆσαι αὐτοῖς, καὶ τὴν καθολικὴν καταλιπεῖν ἐκκλησίαν. Οἱ τοιοῦτοι γὰρ μεταμεληθέντες, καὶ μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντες, συνάπτονται πάλιν ὡς ἓν σῶμα τῇ ἐκκλησίᾳ.

## Κανὼν Β'.

Ἡ φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει· ἀκριβολογία δὲ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν· ἐνταῦθα γὰρ ἐκδικεῖται οὐ μόνον τὸ γεννηθησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτῇ ἐπιβουλεύσασα, διότι ὡς ἐπὶ τὸ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες. Πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου, ἕτερος φόνος κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων. Δεῖ μέντοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μὲν μετὰ τὸ μέτρον τῶν δέκα ἐτῶν, ὁρίζειν δὲ μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας τὴν θεραπείαν.

---

ΖΩΝΑΡ. Λάθρα γυναῖκές τινες ἀνδράσι συμφθειρόμεναι συλλαμβάνουσι· φόβῳ δὲ γονέων ἴσως, ἢ δεσποτῶν, ἢ ἑτέρων τινῶν, ἐπιτηδεύουσι τῶν ἐμβρύων ἀποβολὴν φαρμάκων τινῶν πόσεσιν, ἢ καὶ τρόποις ἑτέροις, καὶ φθείρουσι τὰ κυόμενα· τὰς οὖν τοῦτο ποιούσας, ὡς φόνον τολμησάσας, ἐπιτιμᾶσθαι ὁρίζει. Ἐπεὶ δὲ τὰ ἀποβαλλόμενα, τὰ μὲν ἔτι ἀμόρφωτά εἰσι, τὰ δὲ μεμορφωμένα, καὶ τοὺς χαρακτῆρας ἤδη σώζοντα τῆς ἀνθρωπίνης μορφῆς, (τὸ γὰρ σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον, πρότερον μὲν ἐξαιματοῦται, εἶτα εἰς σάρκα πήγνυται ἀμόρφωτον, εἶτα ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μόρια,) οὐκ ἀκριβολογούμεθα, φησὶν, εἴτε ἀμόρφωτον ἀπεβλήθη τὸ ἔμβρυον, εἴτε διατετυπωμένον· οὐ γὰρ ἡ φθορὰ ἐκείνου μόνου ἐκδικεῖται, ἀλλὰ καὶ ἡ κατὰ τῆς ἐν γαστρὶ ἐχούσης ἐπιβουλή· ὡς ἐπὶ τὸ πολὺ γὰρ, φησὶ, συναπόλλυνται καὶ αἱ γυναῖκες τοῖς ἐμβρύοις, ἐναποθνήσκουσαι τῇ τούτων ἀποβολῇ. Διά τε γοῦν τὴν ἐπιβουλὴν ἑαυτῆς, διά τε τὴν τοῦ ἐμβρύου φθορὰν, τῷ τοῦ φονέως ἐπιτιμίῳ καταδικάζεται· οὐ μέχρι δὲ τῆς ἐξόδου ἔσται ὑπὸ τὸ ἐπιτίμιον, ἀλλ' ἐν ἔτεσι δέκα. Οὐ χρὴ δὲ χρόνῳ περιγράφειν τὴν μετάνοιαν, ἀλλὰ τρόπῳ· ὥστε, εἰ μὲν καταφρονητικῶς διάκειται πρὸς τὴν μετάνοιαν



ἡ ἁμαρτήσασα, οὐ μόνον ἡ δεκαετία περαιωθήσεται, ἀλλὰ καὶ ἐπιταθήσεται· εἰ δὲ σπουδαίως τὴν ἁμαρτίαν διορθοῦται (1), καὶ ἡ δεκαετία κολοβωθήσεται· τὸ πᾶν δὲ τῇ τοῦ οἰκονομοῦντος αὐτὴν ἀνατίθησι κρίσει. Ἐν τῷ τέλει δὲ τοῦ ὀγδόου κανόνος, καὶ τὰς διδούσας τὰ ἀμβλωθρίδια φάρμακα τῷ τοῦ φόνου ἐπιτιμίῳ ὑπάγει. Ἀκουσίου δὲ φόνου ἐνταῦθα χρόνους ὁρίζει τῷ κατὰ τῶν τοιούτων γυναικῶν ἐπιτιμίῳ· ἐν γὰρ τῷ νζ'. κανόνι, οὕτω φησίν· Ὁ ἀκουσίως φονεύσας, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων. Ἀκριβολογία δὲ ἐνμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν, ἔφη ὁ ἅγιος, διότι εἴρηται ἐν τῇ βίβλῳ τῆς Ἐξόδου ταῦτα· Ἐὰν μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθόσον ἂν ἐπιβάλλῃ ὁ ἀνὴρ τῆς γυναικός· ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς(2). Ὅτι γοῦν ὁ παλαιὸς νόμος, ὅτε μὲν μὴ ἐξεικονισμένον ἤμβλωτο ἔμβρυον, εἰς χρήματα ἐζημίου, ὅτε δὲ ἦν ἐξεικονισμένον, εἰς ψυχὴν κατεδίκαζε θνήσκειν τὸν τὴν γυναῖκα πατάξαντα, τούτου τοῦ νόμου μνησθεὶς ὁ ἅγιος ἔφη, ὅτι ἡμεῖς οὐ διαφορὰν ἔχομεν, εἴτε ἐκμεμορφωμένα εἰσὶ τὰ ἀποβαλλόμενα, εἴτε ἀμόρφωτα· οὐ γὰρ χρήματα ζημιοῦμεν, ἀλλὰ φόνου κρίνομεν τὴν τοῦτο ποιήσασαν, διά τε τὴν τοῦ ἐμβρύου φθορὰν, καὶ διὰ τὴν τοῦτο ἀποβάλλουσαν, ἐπεὶ συμβαίνει πολλάκις τῷ ἐμβρύῳ συνδιαφθείρεσθαι καὶ αὐτήν.

ΒΑΛΣ. Περὶ τῶν πορνευουσῶν, καὶ ἀναιρουσῶν τὰ κατ' αὐτὰς ἔμβρυα διὰ φαρμάκων ἢ ἄλλως πως, εἴρηται ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἐν τῷ κά. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου. Ὁ δὲ παρὼν κανὼν διοριζόμενος τὰς τοιοῦτόν τι ποιούσας, τοῖς τῶν φονέων ἐπιτιμίοις καθυποβάλλεσθαι, προστίθησι μὴ εἶναι διαφορὰν τοῦ ἀμβλώματος· κἂν γὰρ ἀμόρφωτόν ἐστι τὸ ἀμβλωθὲν, κἂν μεμορφωμένον, καὶ χαρακτῆρα ἔχον ἀνθρώπου, ὁ αὐτὸς λόγος ἐστί. Τοῦτο δὲ ἐῤῥέθη διὰ τοὺς λέγοντας, ὡς,

---

(1) Χ. Γρ. — σπουδαίως προσφέρεται πρὸς τὴν τῆς ἁμαρτίας διάθεσιν, Βευερ. — (2) Ἐξόδ. ΚΑ', 22, 23.

ἐπεὶ τὸ σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον, οὐκ ἀπεντεῦθεν εἰδοποιεῖται εἰς ἄνθρωπον, ἀλλὰ πρότερον μὲν ἐξαιματοῦται, εἶτα εἰς σάρκα πήγνυται ἀνθρωπίνην, εἶτα ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μόρια, οὐ γίνεται φόνος ὅταν ἀμβλωθῇ τὸ ἔμβρυον τὸ μήπω εἰδοποιηθέν· ἔτι(1) προστίθησιν ὁ ἅγιος, ὡς οὐ μόνον διὰ τὴν τοῦ ἐμβρύου φθορὰν ἡ τοῦ φόνου ἐκδίκησις γίνεται, ἀλλὰ καὶ διὰ τὴν ἐπιβουλὴν τῆς κυοφορουμένης· ὡς ἐπὶ τὸ πολὺ γὰρ συναπόλλυνται καὶ αἱ μητέρες διὰ τὴν ἀποβολήν. Τὸ δὲ ἐπιτίμιον, φησὶ μὴ παρεκτείνεσθαι μέχρι τέλους ζωῆς αὐτῆς τῆς τὸν φόνον ἁμαρτούσης, ἀλλὰ ἐν δέκα ἔτεσι· καὶ ὁ τοιοῦτος δὲ χρόνος, κἂν κεκανόνισται, ἀλλὰ χρὴ τὴν θεραπείαν μὴ χρόνῳ ἀλλὰ τρόπῳ περιγράφεσθαι· ἤγουν, εἰ μὲν καταφρονητικῶς διάκειται πρὸς τὴν μετάνοιαν ἡ ἁμαρτοῦσα, οὐ μόνον ἡ δεκαετία περαιωθήσεται, ἀλλὰ καὶ ἐπιταθήσεται· εἰ δὲ σπουδαίως, καὶ ἡ δεκαετία κολοβωθήσεται· καὶ ταῦτα μὲν ὁ παρὼν κανών. Σὺ δὲ ἀνάγνωθι καὶ τὸν ϟα'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸ τέλος τοῦ η'. κανόνος τῆς παρούσης ἐπιστολῆς, καὶ μάθῃς, ὡς οὐ μόνον ἡ φθείρασα τὸ ἔμβρυον ὑπόκειται τῷ κανονικῷ τοῦ φονέως ἐπιτιμίῳ, ἀλλὰ καὶ ἡ διδοῦσα ἐμβρυοκτόνα δηλητήρια, καὶ ἡ ἔχουσα, καὶ ἡ λαβοῦσα, κἂν μὴ φονεύσῃ τὸ ἔμβρυον. Τοῦ δὲ παρόντος κανόνος διὰ ἐπιτιμίου δεκαετίας κολάζοντος τὴν τοιαύτην γυναῖκα, ἀκολούθως τῷ κά. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τοῦ νζ'. κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος οὕτω ῥητῶς, Ὁ ἀκουσίως φονεύσας, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, λέγουσί τινες, ἀκούσιον φόνον ἁμαρτάνειν τὴν φθείρασαν κατ' ἐπιτήδευσιν τὸ παρὰ ταύτης ἐγκυμονούμενον· ἐμοὶ δὲ δοκεῖ, ἑκούσιον μὲν καὶ ταύτην φόνον πλημμελεῖν, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ τέλους τοῦ η. κανόνος, καὶ εἰς τόπον μᾶλλον αὐτοφονευτοῦ καὶ αὐτὴν καθίστασθαι, ἐὰν ἐκ τοῦ τοιούτου τρόπου τελευτήσῃ· μὴ ὑποκεῖσθαι δὲ φόνου ἑκουσίου ἐπιτιμίῳ, διὰ τὸ μὴ εἶναι ἐν φύσει τὸ κυοφορούμενον, καὶ διὰ τὸ

(1) Χ. Τρ. — ἐπιπροστίθησιν 'Ε. Βευερ.



μὴ ἐκ διαθέσεως κακῆς μελετηθῆναι τὸν φόνον, ἀλλὰ καὶ διὰ φόβον οὐκ ἀγενῆ, γονέως τυχόν, ἢ δεσπότου, ἢ ἄλλου τινὸς κίνδυνον ἀπειλοῦντος. Ὅτι δὲ διαφορά ἐςι τοῦ κυοφορουμένου, καὶ τοῦ εἰς φῶς ἐξελθόντος βρέφους, δῆλόν ἐστιν ἀπὸ τῆς βίβλου τῆς Ἐξόδου. Φησὶ γὰρ ἡ τοιαύτη Μωσαϊκὴ βίβλος· Ἐὰν μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθότι ἂν ἐπιβάλλῃ ὁ ἀνὴρ τῆς γυναικός· ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς· καὶ ἀπὸ τοῦ λγ'. κανόνος, καὶ τοῦ νβ'. φασὶ γάρ, τὴν ἀμελήσασαν τοῦ κυήματος, ὡς ἐπὶ φόνῳ κρίνεσθαι· ἀλλὰ μὴν ἡ κατὰ ἀμέλειαν ἀποβαλλομένη τὸ ἔμβρυον, ὡς φονεύτρια οὐ λογισθήσεται· λοιπὸν καλῶς ἡ φθείρασα τὸ ἔμβρυον αὐτῆς, οὐχ ὑπόκειται ἐπιτιμίοις φονέων ἑκουσίων.

ΑΡΙΣΤ. Κατ' ἐπιτήδευσιν φθείρασα, ὅτε ἂν φθείροι, φονεύτρια.

Ἡ ἐγκυμονοῦσα, ὁπόταν ἂν δέξηται φάρμακον, ἐπὶ τῷ ἀνελεῖν τὸ ἐγκυμονούμενον, φονεύτρια ἐστί. Καὶ οὐκ ἀκριβολογοῦμεν, εἴ γε ἀνεξεικόνιστον ἦν τὸ ἔμβρυον, ἢ καὶ μεμορφωμένον· διότι ὡς ἐπὶ τὸ πολὺ συναποθνήσκουσι τῷ ἐμβρύῳ καὶ αἱ γυναῖκες· καὶ ὅσον κατὰ τὴν ἐπίνοιαν αὐτῶν δύο γίνονται φόνοι, εἷς μέν, ὁ τῆς τικτούσης, ἕτερος δέ, ὁ τοῦ ἐμβρύου. Ἐπὶ δέκα γοῦν ἔτεσιν αἱ τοιαῦται ἐπιτιμῶνται, δύο μὲν ἔτη προσκλαίουσαι, τρία δὲ ἔτη ἀκροωμένοις διατελοῦσαι, ἐν τέσσαρσιν ὑποπίπτουσαι, καὶ ἐν ἐνιαυτῷ συνιστάμεναι τοῖς πιστοῖς· καὶ οὕτω μετὰ τὸν δεκαετῆ χρόνον τῶν θείων ἁγιασμάτων μεθέξουσιν.

## Κανὼν Γ'.

Διάκονος μετὰ τὴν διακονίαν πορνεύσας, ἀπόβλητος μὲν τῆς διακονίας ἔσται· εἰς δὲ τὸν τῶν λαϊκῶν ἀπωσθεὶς τόπον, τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖός ἐστι κανών, τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς κολάσεως ὑποβάλλεσθαι, ἀκολουθησάντων, ὡς οἶμαι, τῶν ἐξ ἀρχῆς, τῷ νόμῳ ἐκείνῳ τῷ, Οὐκ ἐκδικήσεις

δὶς ἐπὶ τὸ αὐτό(1)· καὶ δι' ἑτέραν δὲ αἰτίαν, ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες τάγματι, ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν ἀφ' οὗ ἐξέπεσον τόπον ἀναλαμβάνονται· ὁ δὲ διάκονος ἅπαξ ἔχει διαρκῆ τὴν δίκην τῆς καθαιρέσεως· ὡς οὖν οὐκ ἀποδιδομένης αὐτῷ τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης τῆς ἐκδικήσεως. Ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων. Καθόλου δὲ ἀληθέστερόν ἐστιν ἴαμα, ἡ τῆς ἁμαρτίας ἀναχώρησις· ὥστε ὁ διὰ σαρκὸς ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ συντριμμοῦ τῆς σαρκὸς (2), καὶ πάσης δουλαγωγίας τῆς κατ' ἐγκράτειαν, ἀποστὰς τῶν ἡδονῶν, ὑφ' ὧν κατεστράφη, τελείαν ἡμῖν παρέξει τῆς ἰατρεύσεως(3) αὐτοῦ τὴν ἀπόδειξιν. Ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς δεῖ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· ἕπεσθαι δὲ ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα τῷ παραδοθέντι τύπῳ.

---

ΖΩΝΑΡ. Τοὺς διακόνους πορνεύσαντας, τῆς μὲν διακονίας ἐκβάλλεσθαι λέγει, τῆς κοινωνίας δὲ μὴ κωλύεσθαι· καὶ τὰς αἰτίας ἐπάγει· μίαν μὲν, ἣν καὶ ὁ κέ. ἀποστολικὸς κανὼν λέγει, τὸ, Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· ἑτέραν δὲ, τὸ τοὺς λαϊκοὺς ἐκπίπτοντας διὰ ἁμαρτήματα τῆς τῶν πιστῶν συστάσεως, πάλιν διὰ μετανοίας ἀποκαθίστασθαι εἰς τὸν τόπον ὅθεν ἐξέπεσον· τοὺς δὲ ἱερωμένους, μηκέτι ἐπανέρχεσθαι εἰς τὴν ἱερωσύνην, ἧς ἐκπεπτώκασιν· ὡς οὖν ἀρκοῦσαν ἔχοντες τιμωρίαν ὑπὲρ τῆς ἁμαρτίας αὐτῶν τὴν καθαίρεσιν, τῆς κοινωνίας οὐκ εἴργονται· ἀλλὰ ταῦτα, φησὶ, τὰ τῶν τύπων, ἤγουν, ἃ ἐξ ἔθους μακροῦ ἐτυπώθησαν. Καθόλου δὲ ἴαμα τοῦ σφάλματος λέγει τὴν τῆς ἁμαρτίας ἀναχώρησιν· καὶ τὸ δι' ἐγκρατείας, καὶ κακοπαθείας, δουλαγωγῆσαι τὴν σάρκα, τουτέστιν, ὑποτάξαι, δουλῶσαι. Δεῖ δὲ τοὺς τῶν ψυχῶν οἰκονόμους ἀμφότερα εἰδέναι, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· καὶ εἰ μὲν οἱ ἁμαρτήσαντες καταδέχοιντο τὰ τῆς ἀκριβείας, κατ' ἐκείνην οἰκονομεῖσθαι αὐτούς· εἰ δὲ σκλη-

---

(1) Ναούμ, Α, Θ. — (2) τῆς καρδίας Σ. Ρ. Η. — (3) ἰάσεως Σ. Ρ.

ρύνονται πρὸς τὴν ἀκρότητα, ἤτοι πρὸς τὴν ἄκραν ἀκρίβειαν, ἕπεσθαι τότε τῷ παραδοθέντι τύπῳ, τῇ συνηθείᾳ δηλονότι.

ΒΑΛΣ. Ὁ μὲν κε. ἀποστολικὸς κανὼν, καὶ ὁ παρὼν, περὶ ἐπισκόπου καὶ διακόνου φασίν· ὁ δὲ λϐʹ. κανὼν τοῦ ἁγίου Βασιλείου διορίζεται, πάντα ἱερωμένον, κἂν τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμάρτῃ, καθαιρεῖσθαι μόνον, οὐ μὴν καὶ ἀπὸ τῆς κοινωνίας τῶν πιστῶν, ἤγουν ἀπὸ τοῦ ἐκκλησιάζειν χωρίζεσθαι. Ἐνταῦθα δέ φησιν ὁ ἅγιος καὶ αἰτίας τούτου δύο, μίαν μὲν, τὸ, Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· ἑτέραν δὲ, τὸ τοὺς λαϊκοὺς ἐκπίπτοντας διὰ ἁμαρτήματα τῆς τῶν πιστῶν συστάσεως, πάλιν διὰ μετανοίας ἀποκαθίστασθαι εἰς τὸν τόπον, ὅθεν ἐξέπεσον· τοὺς ἱερωμένους δὲ μηκέτι ἐπανέρχεσθαι εἰς τὴν ἱερωσύνην, ἧς ἐκπεπτώκασιν. Ὡς οὖν ἀρκοῦσαν ἔχοντες τιμωρίαν ὑπὲρ τῆς ἁμαρτίας αὐτῶν τὴν καθαίρεσιν, τῆς κοινωνίας οὐκ εἴργονται· ἀλλὰ ταῦτα, φησὶ, τῶν τύπων, ἤγουν (1) τῶν κανονικῶν διαταγμάτων. Ἡ δὲ ἀληθὴς ἰατρεία τῆς ἁμαρτίας ἐστὶν ἡ ἐξ αὐτῆς ἀναχώρησις· κἂν γὰρ ὁ πορνεύσας καθαιρεθῇ, οὐκ ἐπιτιμᾶσθαι δοκεῖ ἐνδεχομένως, ὥστε καὶ τὴν ἀπὸ τοῦ Θεοῦ λαβεῖν συμπάθειαν, ἐὰν καὶ ἔτι ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, καὶ οὐδὲ δι' ἑτέρας συντριβῆς ἐξιλεοῦται τὸν Θεόν· ὥστε ὀφείλει ὁ ἰατρὸς τοῦ ψυχικοῦ αὐτοῦ τραύματος εἰδέναι μὲν καὶ τὴν ἀκρίβειαν, ἤγουν τὴν διὰ τῆς καθαιρέσεως κόλασιν τοῦ πορνεύοντος κληρικοῦ, μὴ ἀκολουθεῖν δὲ ταύτῃ ἐξ ἀνάγκης, καὶ τὸν μετὰ τὴν καθαίρεσιν πορνεύοντα ἀνεπιτίμητον καταλιμπάνειν, ὡς ἤδη κολασθέντα διὰ τῆς καθαιρέσεως, ἀλλὰ καὶ ἀφορίζειν ὡς εἰς τόπον ἐλθόντα λαϊκοῦ, καὶ ἄλλως ἐπιτιμᾷν κατὰ τὴν δύναμιν τοῦ ἰατρευομένου. Ἀνάγνωθι καὶ τὸν νθʹ. κανόνα τῆς παρούσης ἐπιστολῆς, ἐν ἑπτὰ ἔτεσι τὸν πόρνον κολάζοντα.

ΑΡΙΣΤ. Διάκονος πορνεύσας, καὶ εἰς τὸν τῶν λαϊκῶν μεταστὰς τόπον, ἔσται τῆς κοινωνίας ἀκώλυτος.

Ἀρκοῦσα καταδίκη τῷ διακόνῳ ἐστὶν ἡ καθαίρεσις, ὅτι περ οὐκ ἐλπίζει τὸν τόπον ἐπαναλαβεῖν πάλιν, ἀφ' οὗ περ ἐξέπεσε· καὶ διὰ τοῦτο οὐκ ἐπενεχθήσεται τούτῳ καὶ καταδίκη δευτέρα, ἀλλ' ἀκωλύτως τῆς θείας ἀξιωθήσεται κοινωνίας.

---

(1) Χ. Γρ. — ἢ τῶν, Βιεν. ʼΕ.

## Κανὼν Δ'.

Περὶ τριγάμων, καὶ πολυγάμων, τὸν αὐτὸν ὥρισαν (1) κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως· ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων· ἄλλοι δὲ, δύο ἔτη· τοὺς δὲ τριγάμους ἐν τρισὶ καὶ τέσσαρσι πολλάκις ἔτεσιν ἀφορίζουσιν. Ὀνομάζουσι δὲ τὸ τοιοῦτον οὐκ ἔτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην· διὸ καὶ ὁ Κύριος, τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ, Ὃν νῦν, φησίν, ἔχεις, οὐκ ἔστι σου ἀνὴρ (2)· ὡς οὐκ ἔτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικὸς, καλεῖσθαι προσρήματι. Συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων, πενταετίας ἀφορισμὸν, οὐκ ἀπὸ κανόνος, ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθίας(3). Δεῖ δὲ μὴ πάντῃ αὐτοὺς ἀπείργειν τῆς ἐκκλησίας, ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύο που ἔτεσιν, ἢ τρισὶ, καὶ μετὰ ταῦτα ἐπιτρέπειν συστήκειν μὲν, τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπέχεσθαι, καὶ οὕτως ἐπιδειξαμένους καρπόν τινα μετανοίας, ἀποκαθιστᾷν τῷ τόπῳ τῆς κοινωνίας.

---

ΖΩΝΑΡ. Τὴν τριγαμίαν ὁ μέγας οὗτος Πατὴρ τοὺς ἀρχαίους Πατέρας μὴ γάμον ὀνομάσαι φησὶν, ἀλλὰ πολυγαμίαν, ἢ μᾶλλον, πορνείαν κεκολασμένην, ἤγουν οὐκ ἐκκεχυμένην καὶ ἀδιάφορον, ἀλλὰ συνεσταλμένην καὶ περιγεγραμμένην μιᾷ γυναικί. Ὃν γοῦν ὥρισε κανόνα ἐπὶ τῶν διγάμων, τοῦτον λέγει ἀναλόγως ὁρίσαι καὶ ἐπὶ τῆς τριγαμίας· τὸ δὲ, ἀναλόγως, τοῦτό ἐστιν· ὅτι ἐπὶ τῆς διγαμίας ἐνιαυτὸς ὡρίσθη εἰς μετάνοιαν, ἑτέροις δὲ διετία· ἐπὶ δὲ τῆς τριγαμίας, ἐπεὶ μείζων ἐστὶν ἡ αἰτία αὕτη, ἀνάλογον καὶ τὸ ἐπιτίμιον ὥρισται, ἤγουν ἐπὶ πενταετίαν ἀφορισμός. Τοὺς γὰρ ὑπερβάντας τὴν διγαμίαν, μὴ δεῖν ὀνομάζεσθαι, φησὶ,

---

(1) Χ. Τρ. Σ. Ρ. — ὡρίσαμεν Π. Βευερ. — (2) Ἰωάνν. Δ', 18. — (3) ἤγουν τοῖς προλαβοῦσιν ἀκολουθοῦντες Πατράσι, προστίθησι τὸ Χ. Τρ.

παρὰ τῶν γυναικῶν, αἷς συμφθείρονται, ἄνδρες, μήτε τὰς γυναῖκας λέγεσθαι παρὰ τῶν τοιούτων ἀνδρῶν, γυναῖκας ἑαυτῶν· καὶ ἐκ τοῦ Εὐαγγελίου μαρτυρίαν ἐπάγει, εἰπόντος τοῦ Χριστοῦ πρὸς τὴν Σαμαρείτιδα, ὅτι ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· πέντε γὰρ ἔσχες.' Εἰ δὲ καὶ ἔφθη εἰπεῖν ὁ ἅγιος, ὅτι ἐν τρισὶ καὶ τέσσαρσιν ἔτεσιν ἀφορίζουσι τοὺς τριγάμους, ἀλλ' οὐκ ἐνέμεινε τῷ τύπῳ ἐκείνῳ· ἐπέτεινε δὲ αὐτὸς τὸν χρόνον τοῦ ἐπιτιμίου μέχρι πενταετίας, διαταξάμενος μὴ ἐξωθεῖσθαι τοὺς τοιούτους τῆς ἐκκλησίας· ὥστε οὐκ εἰς τόπον προσκλαίοντος ἵστασθαι, ἀλλ' εἰς τόπον ἀκροωμένων ἐν ἔτεσι δυσὶν ἢ τρισί· μετὰ δὲ τὸν εἰρημένον χρόνον, ἐπιτρέπειν αὐτοῖς τὴν μετὰ τῶν πιστῶν σύστασιν, τῆς δὲ κοινωνίας ἀπέχεσθαι· καὶ οὕτω καρπὸν ἐπιδειξαμένους μετανοίας, ἤγουν συντριβὴν καρδίας καὶ δάκρυα, καὶ εἴ τι τούτοις ἑπόμενον, οὕτω δέχεσθαι αὐτοὺς εἰς κοινωνίαν.

ΒΑΛΣ. Ὁ μὲν μέγας οὗτος Πατὴρ, εἰπὼν τοὺς ἀρχαίους Πατέρας μηδὲ γάμον ὀνομάσαι τὴν τριγαμίαν, ἀλλὰ πολυγαμίαν, ἢ μᾶλλον, πορνείαν κεκολασμένην, ἤγουν οὐκ ἐκκεχυμένην καὶ ἀδιάφορον, ἀλλὰ συνεσταλμένην καὶ περιγραφομένην ἐν μιᾷ γυναικὶ, καὶ ἀπὸ γραφικῶν ῥημάτων κατασκευάσας μὴ εἶναι γάμον τὴν τριγαμίαν, ἐπήγαγε, καὶ ταύτην ἐπιτιμᾶσθαι ἀναλόγως τῇ διγαμίᾳ· ὡς ἐντεῦθεν ἀναφαίνεσθαι καὶ τὴν τριγαμίαν ἐπίσης τῇ διγαμίᾳ μὴ διασπᾶσθαι, ἀλλ' ἐπιτιμᾶσθαι· πλὴν τὴν μὲν διγαμίαν, διὰ δύο ἐτῶν, τὴν δὲ τριγαμίαν, διὰ πέντε· ἵστασθαι δὲ εἰς τὸν τόπον τῶν ἀκροωμένων ἐν ἔτεσι τρισὶ, καὶ μετὰ ταῦτα συνίστασθαι τοῖς πιστοῖς μέχρις ὅλης πενταετίας τοὺς τριγάμους· καὶ ἔκτοτε καρποὺς ἀξίους ἐπιδειξαμένους τῆς μετανοίας, ἀποκαθιστᾷν εἰς τὸν τόπον τῆς κοινωνίας· καὶ ὁ μὲν ἅγιος ταῦτα. Ὁ δὲ τόμος τῆς ἑνώσεως, ὁ γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ Ῥωμανοῦ, τοῦ μὲν Κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ Ῥωμανοῦ, τῷ τοῦ βασιλεοπάτορος (1) ἐμπρέποντος ἀξιώματι ἐν ἔτει ,ςυκή.

(1) Χ. Τρ. — τῷ τοῦ βασιλέως πατρὶ, Βενετ. Ἐ.

ἰνδικτιῶνι ή. καὶ ἀναγινωσκόμενος ἐτησίως ἐπ' ἄμβωνος κατὰ τὸν Ἰούλιον μῆνα, τάδε περὶ τὸ τέλος φησί· Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει ἀπό γε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἔτος ,ςυκή. ἰνδικτιὼν ή. τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθῇ, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμείνῃ τῷ συνοικεσίῳ· τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε Πατράσι. Καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν. Ἀλλ' οὕτω μὲν ἐπὶ τοῦ τετάρτου γάμου. Ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μηδὲ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν· καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς Πατράσιν, οὔπω τότε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδὲ εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ ὅτε χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ ῥυπαίνων λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτόν· ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρεῤῥιμμένον, ἀλλ' ἐπὶ τῆς οἰκίας ἐξηπλωμένον, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν· καὶ τῇ ἀνθρωπίνῃ συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ χριστιανικῇ ζωῇ, τοῦτο ἐπὶ τῶν τρίτων γάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε, εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον.



Ὃς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι ἢ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν, ὡς δυνατὸν, ἀνακάθαρσιν. Ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα· ἐπεὶ, ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν, χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς, καὶ ἄλυπον, καὶ ἀτάραχον, καὶ ὅσα τὸ ἀνθρώπινον καταλαμβάνει ἐκ τῆς πολυσπόρου τεκνώσεως. Καὶ εἴ τις δὲ τριακονταετὴς ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως, ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ περίεισιν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται· ταῦτα μὲν καὶ περὶ τρίτου γάμου. Οὐ μὴν οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι,

ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων, καὶ πορνικῆς ἀκαθαρσίας. Εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθῃ, τοῦτον ἡ τοῦ Χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν παραδέξεται τῶν θείων μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι, εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. Ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας, πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου μέχρι συμπληρώσεως τοῦ ἑβδόμου ἔτους. Ἀλλὰ ταῦτα μὲν, ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν· νῦν δὲ τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος εὐδοκίᾳ, καὶ χάριτι, καὶ ταῖς τῆς πανάγνου καὶ Θεομήτορος, καὶ τοῦ μεγάλου Ἀρχιστρατήγου πρεσβείαις, τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας, ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Ῥωμανοῦ καὶ Κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας. Ταῦτα τοῦ κανόνος καὶ τῆς νεαρᾶς νομοθετησάντων, ἡ ἐκκλησία τέως ἐπὶ τῶν ἡμερῶν τῶν ἡμετέρων τρίτου γάμου ποίησιν οὐκ ἐπέτρεψεν.

ΑΡΙΣΤ. Ἕνα χρόνον, ἢ δύο, ἀφορίζεται ὁ δίγαμος· τρεῖς δὲ, καὶ τέσσαρας, ὁ τρίγαμος, καὶ πέντε, κατὰ τὴν ἄρτι συνήθειαν.

Οὐκ ἀπὸ κανόνος, ἀλλ' ἀπὸ συνηθείας καταλαβὼν ὁ μέγας Βασίλειος, τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφοριζομένους, δέχεται τοῦτο καὶ αὐτός· πλὴν προστάττει, μὴ παντελῶς αὐτοὺς ἐξωθεῖν τῆς ἐκκλησίας, καὶ μετὰ τῶν προσκλαιόντων συντάττειν· ἀλλ' ἐν δυσὶν ἔτεσιν, ἢ καὶ ἐν τρισὶ, τῆς τῶν θείων Γραφῶν ἀκροάσεως ἀξιοῦν. Εἶτα ἐπιτρέπει συστήκειν αὐτοὺς μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν μόνων συγκοινωνεῖν αὐτοῖς, τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπέχεσθαι· καὶ οὕτω καρπόν τινα μετανοίας ἐπιδειξαμένους, εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος ἀποκαθίστασθαι.



## Κανὼν Ε'.

**Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή· δέχεσθαι δὲ, δηλονότι οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας, εἰ ἀληθινὴν ἐπιδείκνυνται μετάνοιαν(1), καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.**

ΖΩΝΑΡ. Ἀμφέβαλλόν τινες, εἰ χρὴ τοὺς αἱρετικοὺς ἐν τέλει γενομένους τοῦ βίου, καὶ ζητοῦντας μετάνοιαν, δέχεσθαι· πρὸς ὅπερ ὁ ἅγιος ἀπεκρίθη δεῖν αὐτοὺς δέχεσθαι, οὐχ ὡς ἔτυχε δὲ, ἀλλ' ἐξετάζοντας, εἰ ἀληθῶς μετανοοῦσιν, ἤγουν, εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν διορίζεται, τοὺς αἱρετικοὺς ἐν τέλει γινομένους τοῦ βίου, καὶ ζητοῦντας μετάνοιαν, δέχεσθαι, ἐξεταζομένους πρότερον, εἰ ἀληθῶς μετανοοῦσιν, ἤγουν, εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας· ἕτεροι δὲ κανόνες, καὶ τοὺς ἐν ὑγείᾳ ὄντας αἱρετικοὺς προσερχομένους, καὶ ἐξεταζομένους, ὁμοίως δέχεσθαι παρακελεύονται.

ΑΡΙΣΤ. Αἱρετικὸς τῷ τέλει μετανοῶν, δεκτέος μετ' ἐπικρίσεως.

Τὸν ἐν τῷ τέλει τοῦ βίου ἐλθόντα αἱρετικὸν, καὶ μετανοοῦντα, οὐκ ἀκρίτως καὶ ἀβασανίστως δέχεσθαι χρὴ, ἀλλὰ δοκιμάζειν τὴν μετάνοιαν αὐτοῦ, εἰ ἀληθής ἐστι, καὶ εἰ τοὺς καρποὺς ἔχει μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ· τί γὰρ, ὅτι θριαμβεύει αὐτοῦ τὴν αἵρεσιν, τὰς ἁμαρτίας αὐτοῦ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας ἐξαγορεύει, ἐλεημοσύνας ποιεῖ, καὶ ἄλλα τοιαῦτα σωτηριώδη ἐνδείκνυται.

(1) ἐπιδείκνυνται τὴν ψῆφον τῆς μετανοίας. Χ. Γρ.

## Κανὼν ϛ'.

Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν· τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελές, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτούς.

---

ΖΩΝΑΡ. Κανονικοὺς, τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν, κληρικοὺς, καὶ μοναχοὺς, καὶ μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας κόρας, κατὰ τὸν ϛ'. καὶ μδ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Εἰ γοῦν τοιοῦτός τις πορνεύσει, οὐκ ἐαθήσεται συμφθείρεσθαι τῇ μεθ' ἧς ἥμαρτεν, ὡς τάχα γάμου τῆς ἀθέσμου μίξεως λογισθείσης· εἰκὸς γὰρ τὸν κληρικὸν τῆς ἱερωσύνης διὰ τὴν ἁμαρτίαν ἐκπεσόντα, εἰπεῖν· ὅτι ἐπεὶ τῆς ἀξίας ἤδη ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς, καὶ ἔστω μοι ἡ γυνὴ, μεθ' ἧς ἥμαρτον, εἰς συμβίωσιν γαμικήν· τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων τοὺς τοιούτους· τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ λυσιτελὲς, ἀνακοπτομένων καὶ τῶν λοιπῶν ἐκ τοῦ τοιαῦτα τολμᾶν· λογίζονται γὰρ, ὅτι οὐδὲν ἔσται ἡμῖν ὄφελος κἂν ἁμάρτωμεν, μὴ παραχωρουμένοις, κἂν τῆς τιμῆς ἐκπέσωμεν, συμβιοῦν τῇ γυναικὶ ἣ συνεφθάρημεν· καὶ οἱ αἱρετικοὶ οὐχ ἕξουσι λαβὴν καθ' ἡμῶν λέγειν, ὅτι διὰ τοῦτο παραχωροῦσι τοῖς ἁμαρτάνουσι συζῆν ταῖς γυναιξὶ, μεθ' ὧν ἥμαρτον, καὶ ὡς γαμεταῖς κεχρῆσθαι αὐταῖς διδόασιν ἄδειαν αὐτοῖς, ἵνα οὕτως ἐπισπῶνταί τινας τῶν ἐξ ἑτέρας θρησκείας, ἤγουν ὑποσύρωσιν, ἐφέλκωνται, ὡς ἐῶντες ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ μὴ λύοντες τοὺς ἀθέσμους γάμους, ὧν προηγήσατο πορνεία.

ΒΑΛΣ. Κανονικοὺς, τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν, κληρικοὺς, μοναχοὺς, μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας. Εἰ γοῦν τις ἐκ τούτων πορνεύσει, οὐ παραχωρηθήσεται καὶ ἐφεξῆς ἁμαρτάνειν· εἰκὸς γὰρ ἦν, τὸν ἡμαρτηκότα κανονικὸν τῆς ἱερωσύνης ἐκπεσόντα διὰ τὴν πορνείαν, λέγειν, ὅτι ἐπεὶ τῆς ἀξίας ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς, καὶ ἔστω μοι ἡ γυνὴ, μεθ' ἧς ἥμαρτον, εἰς συμβίωσιν γαμικήν· ὅτι καὶ ὁ νόμος φησὶν ἐν βιβλίῳ κη'. τίτλῳ δ'. κεφ. ιϛ'. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. Τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων· ὅτι τε τὰ τοῦ νόμου εἰς λαϊκοὺς χώραν ἔχουσι, καὶ ὅτι τῇ ἐκκλησίᾳ λυσιτελές ἐστιν· εἰ γὰρ αὐτοὶ τῆς ἐπιθυμίας ἀποξενωθῶσιν, οὐδὲ ἕτεροι τολμήσουσι τοιοῦτόν τι, ὡς μὴ παραχωρούμενοι ἁμαρτάνειν μετὰ τὴν ἀφαίρεσιν τῆς ἐκκλησιαστικῆς τιμῆς· ἀλλὰ καὶ τοῖς αἱρετικοῖς οὐ δοθήσεται ἀφορμὴ καθ' ἡμῶν εἰς τὸ λέγειν, ὅτι διὰ τοῦτο μετὰ τὴν πορνείαν παραχωροῦνται οἱ πορνεύοντες ἁμαρτάνειν, ἵνα καὶ οἱ ἐξ ἑτέρων θρησκειῶν διὰ τὴν ἡδονὴν τοῦ σώματος ὑποσπῶνται καὶ ὑποσύρωνται πρὸς τὰ ἡμέτερα. Καὶ τοῦτο μὲν θεματίζεται καλῶς ὅσον εἰς τοὺς κληρικούς. Εἰς δὲ τὰς μοναστρίας, καὶ τὰς παρθένους, καὶ τοὺς μοναχοὺς τοὺς μὴ ἱερωμένους, ἐπεὶ ἀφαίρεσις τιμῆς οὐκ ἐπάγεται, μᾶλλον εἴποι τις δικαιολογεῖσθαι τούτους, τὰ τοῦ καταστρωθέντος ἄνωθεν νόμου, καὶ εἰς ἐντροπὴν τοῦ λόγου αὐτῶν ὁρισθῆναι τὰ τοῦ παρόντος κανόνος. Περὶ δὲ πορνείας μοναχῶν καὶ παρθένων ἀνατεθειμένων τῷ Θεῷ, ἀνάγνωθι συνόδου ϛ'. κανόνα δ'. τοῦ ἁγίου Βασιλείου κανόνα ιη'. κ'. ξ'. καὶ βιβλίου δ'. τῶν Βασιλικῶν τίτλ. α'. κεφ. ε'. ὅπερ κατεστρώθη εἰς τὸ λ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ κεφ. οη'. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου.

ΑΡΙΣΤ. Ἡ κανονικὴ, εἴπου καὶ ζεύγνυται, διαζεύγνυται.

Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασα βίον, εἰ τὰς ὁμολογίας αὐτῆς ἀθετήσασα ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐκδῷ, καὶ νόμῳ δῆθεν γάμου ἀνδρὶ συναφθῇ, οὐ γάμος τοῦτο κριθήσεται, ἀλλὰ πορνεία· ἢ μᾶλλον, κατὰ τὸν ὀκτωκαιδέκατον κανόνα τούτου δὴ τοῦ μεγάλου Βασιλείου, μοιχεία· διὰ τοῦτο γοῦν παντὶ τρόπῳ καὶ διασπασθήσεται αὐτῶν ἡ συνάφεια.

## Κανὼν Ζ'.

Ἀῤῥενοφθόροι, καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι, τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι· ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον. Τοὺς δὲ ἐν τριάκοντα ἔτεσι μετανοήσαντας ἐπὶ τῇ ἀκαθαρσίᾳ, ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐκ ἀμφιβάλλειν ἡμᾶς προσῆκεν εἰς τὸ παραδέξασθαι· ἥ τε γὰρ ἄγνοια συγγνώμης ἀξίους αὐτοὺς ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, καὶ ἡ παράτασις ἐν τοσούτῳ χρόνῳ γενομένη· σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν· ὥστε, κέλευσον αὐτοὺς ἤδη ἀνυπερθέτως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωποῦντά σου τὴν εὐσπλαχνίαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

---

ΖΩΝΑΡ. Οἱ μὲν ἀῤῥενοφθόροι, καὶ ζωοφθόροι, καὶ μοιχοὶ, ἐπὶ πεντεκαίδεκα ἔτη ἐπιτιμῶνται· οἱ δέ γε ἑκούσιοι φονεῖς, καὶ οἱ φαρμακοὶ, ἐπὶ εἰκοσαετίαν· εἰδωλολάτρας δὲ, οὐ τοὺς εἰδώλοις θύοντας λέγει· ἢ γὰρ ἀρχῆθεν ἦσαν τὰ εἴδωλα σέβοντες, καὶ προσελθόντες τῇ πίστει καὶ βαπτισθέντες, εὐθὺς τοῖς πιστοῖς συναριθμοῦνται, καὶ τῶν ἁγιασμάτων μετέχουσιν, ἢ Χριστιανοὶ ὄντες, εἰδώλοις ἔθυσαν, καὶ διὰ βίου μετανοεῖν ὀφείλουσιν· οὐ περὶ τοιούτων οὖν εἰδωλολατρῶν ἔοικε λέγειν ὁ ἅγιος, ἀλλὰ τοὺς γόητας, καὶ τοὺς τὰ περίεργα ποιοῦντας, εἰδωλολάτρας ἐκάλεσεν, ὡς ἐπικλήσεις δαιμόνων ποιουμένους ἐν ταῖς γοητείαις, καὶ ἐξ ἐκείνων ζητοῦντας ἐπικουρίαν, κἀντεῦθεν δοκοῦντας τιμᾶν καὶ θεραπεύειν αὐτούς. Εἰπὼν δὲ, ὅτι τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι, οὐ τοῦτο λέγει, ὅτι ἰσαρίθμοις ἐπιτιμῶνται ἐνιαυτοῖς, ἀλλ' ὅτι πολυετεῖ ἐπιτιμίῳ ὑπόκεινται, ἕκαστοι δὲ κατὰ τοὺς ἰδίους ὅρους. Ὅσοι δὲ ἐπὶ τριάκοντα ἔτεσι μετενόησαν ἐφ' ᾗ ἔπραξαν ἀκαθαρσίᾳ ἐν ἀγνοίᾳ, (ἀγνοῶν γάρ τις τυχὸν, συγγενεῖ ἐμίγη, μὴ εἰδὼς τὴν συγγένειαν, ἢ γυναικί τινι, μὴ εἰδὼς ὅτι καὶ ὁ πατὴρ αὐτοῦ ἐχρήσατο ἐκείνῃ,) τοὺς τοιούτους, οὐδὲ ἀμφιβάλλειν ἐχρῆν, φησὶν, εἰς τὸ παραδέξασθαι, πολλὰ ἔχοντας δίκαια εἰς τὸ συγγνωμονηθῆναι τὴν ἄγνοιαν, τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, (ἀγνοούμενον γὰρ τὸ ἁμάρτημα, ἑκόντες ἐξωμολογήσαντο·) καὶ τὴν τοῦ χρόνου παράτασιν· σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν· διὰ ταῦτα τοίνυν δεκτοὺς ἡγεῖσθαι αὐτούς.



Οὐκ ἄκαιρον δὲ καί τι παρενεῖραι τῷ λόγῳ, καὶ λῦσαι ἀμφιβαλλόμενόν τι τισίν. Ὁ μέγας Ἀπόστολος Κορινθίοις ἐπιστέλλων, καὶ περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἰδίαν μητρυιὰν γράφων, Παράδοτε αὐτὸν, φησὶ, τῷ Σατανᾷ, ἵνα τὸ πνεῦμα σωθῇ(1)· τινὲς μὲν οὖν δαίμονι κάτοχον γενέσθαι τὸν πορνεύσαντα λέγουσι, τινὲς δὲ, νόσου μάστιγι ἐκδοθῆναι· καίτοι ἐξ αὐτῶν τῶν πρὸς Κορινθίους ἐπιστολῶν λυομένου τοῦ ἀμφιβόλου, καὶ δηλουμένου, ὅτι τὸ παραδοθῆναι τῷ Σατανᾷ ἀφορισθῆναί ἐστι, καὶ τῆς τῶν πιστῶν μερίδος ἐκκηρυχθῆναι. Ἐν μὲν γὰρ τῇ πρώτῃ, ἔνθα καὶ παραδοθῆναι τῷ Σατανᾷ τὸν ἁμαρτήσαντα κατεδίκασε, φησί· Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐξ ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας(2). Τὸ δὲ, ἐξαρθῇ ἐξ ὑμῶν, τί ἄλλο ἐςὶν ἢ ὅτι, ἵνα ἐκκοπῇ καὶ ἀλλοτριωθῇ ἀφ' ὑμῶν· ἐκκόπτεται δὲ ὁ ἀφορισθεὶς καὶ μὴ τῇ τῶν πιστῶν συνενούμενος μοίρᾳ. Ἐν δὲ τῇ δευτέρᾳ ἐπιστολῇ, φησί· Κυρώσατε εἰς αὐτὸν ἀγάπην (3). Πῶς οὖν πρὸς τὸν δαιμονιζόμενον ἔμελλον κυρῶσαι ἀγάπην· ἢ πρὸς τὸν πάθει λέπρας, ἤ τινι τοιούτῳ ταλαιπωρούμενον; ἐλεεῖσθαι γὰρ μᾶλλον ὤφειλεν ὁ οὕτω πάσχων, οὐχὶ μισεῖσθαι. Ἀλλὰ τοῦτο ἔλεγε πάντως, ὅτι, ὃν ἀπεστράφητε διὰ τὸ ἁμάρτημα, καὶ τῆς ἐκκλησίας ἠλλοτριώσατε, δέξασθε πάλιν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ· καὶ ἑρμηνεύει, ὡς γοῦν εἴρηται, αὐτὸς ἑαυτὸν ὁ Ἀπόστολος, σαφηνίζει. Εἰ δέ τις φιλονεικότερον ἀνθίσταται, πεισάτω τοῦτον ὁ σοφὸς οὗτος καὶ μέγας Πατὴρ προσχόντα, ὅπως ἐχρήσατο ἐνταῦθα τῷ, παρεδόθη τῷ Σατανᾷ, τὸν ἀφορισμὸν, καὶ τὴν ἔκπτωσιν τῆς κατὰ τῶν πιστῶν ξυναυλίας, παράδοσιν πρὸς τὸν Σατανᾶν ὀνομάσας· ὁ γὰρ ἐκκοπεὶς τῆς μοίρας τῶν πιστῶν, οὐκέτι τὴν τοῦ ἁγίου

---

(1) ά, Κορ. Έ, 1. — (2) αὐτόθι Έ, 2. — (3) 6', Κορ. Β', 8.

Πνεύματος χάριν ἔχει παρ' ἑαυτῷ, ἀλλ' ἀπογυμνοῦται ταύτης· ὁ δὲ τῆς χάριτος ταύτης ἐκπεπτωκὼς, παραδίδοται τῷ Σατανᾷ. γυμνὸν γὰρ τῆς θείας χάριτος αὐτὸν εὑρὼν ὁ ἐχθρὸς, παραλαμβάνει αὐτὸν, καὶ κυριεύει λοιπὸν αὐτοῦ· καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν Ἰωάννης, ἐξηγούμενος τὴν πρὸς Τιμόθεον ἐπιστολὴν, οὕτως ἡρμήνευσε τοῦτο.

ΒΑΛΣ. Ἕτεροι κανόνες τοῦ ἁγίου Πατρὸς διορίζονται, ὅπως καὶ ἐπὶ πόσοις ἔτεσιν ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ ἐν τῷ παρόντι κανόνι περιεχόμενοι. Ὁ δὲ παρὼν κανὼν, εἰ καί φησι τούτους τῆς αὐτῆς καταδίκης ἀξιοῦσθαι, ἀλλ' οὐ πρὸς τὰ εἴδη τῶν ἐπιτιμίων ἐξεφωνήθη· ἄλλως γὰρ καὶ ἄλλως θεραπεύονται· καὶ δῆλον ὅτι καὶ τὴν καταδίκην αὐτῶν εἰς τὸν παρακολουθήσαντα τύπον ἀνήρτησε. Τὸ δὲ τῆς αὐτῆς καταδίκης τούτους ἀξιοῦσθαι, ἐρρέθη, διὰ τὸ πάντας ὑποκεῖσθαι τοῖς τέτταρσι τόποις τῶν ἐπιτιμίων, καὶ κατὰ τοῦτο ὁμοίως κολάζεσθαι. Ἐπεὶ δὲ καί τινες ἐν ἀγνοίᾳ τολμήσαντες αἱμομιξίαν, (αὕτη γάρ ἐστιν ἡ ἐν τῷ κανόνι περιεχομένη ἀκαθαρσία, καὶ οὐχὶ τὰ λοιπὰ ἁμαρτήματα, ὡς μηδὲ πεφυκότα κατὰ ἄγνοιαν γίνεσθαι,) ἐπὶ τριάκοντα χρόνοις μετανοήσαντες, ἤθελον παραδεχθῆναι, φησὶν ὁ ἅγιος ἀπεντεῦθεν αὐτοὺς δέχεσθαι, ἐπάγων καὶ αἰτίας εὐλόγους. Εἰδωλολάτρας δὲ ὀφείλεις νοεῖν ἐνταῦθα, τοὺς γόητας· οἱ γὰρ τοῖς εἰδώλοις ἑκοντὶ θύσαντες Χριστιανοὶ, διὰ βίου μετανοεῖν ὀφείλουσιν· ἐκεῖνοι δὲ λέγονται παραδοθῆναι τῷ Σατανᾷ, οἱ χωριζόμενοι ἀπὸ τῆς κοινωνίας τῶν πιστῶν. Οἱ γοῦν ἐπὶ τοσοῦτον χρόνον ἀφορισθέντες, ὡσανεὶ τῷ Σατανᾷ παρεδόθησαν.

ΑΡΙΣΤ. Ἀῤῥενοφθόρους, καὶ ζωοφθόρους, καὶ μοιχοὺς, πεντεκαιδεκαετία, καὶ φονεῖς, καὶ φαρμακοὺς, καὶ εἰδωλολάτρας, εἰκοσαετία, κατὰ τὸν πάλαι τύπον, εἰσδέξεται. Σαφής.

## Κανὼν Η'.

Ὁ ἀξίνῃ παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεύς ἐστι. Καλῶς δέ με ὑπέμνησας, καὶ ἀξίως τῆς σεαυτοῦ συνέσεως, εἰπεῖν περὶ τούτων πλατύτερον· διότι πολλαὶ ἐν τοῖς ἑκουσίοις, καὶ τοῖς ἀκουσίοις διαφο-



ραί. Ἀκούσιον μὲν γάρ ἐστι παντελῶς καὶ πόῤῥω τοῦ κατάρξαντος, τὸ ἀκοντίζοντα(1) λίθον ἐπὶ κύνα, ἢ δένδρον, ἀνθρώπου τυχεῖν· ἡ μὲν γὰρ ὁρμὴ ἦν τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι· ὑπέβη δὲ αὐτομάτως τῇ πληγῇ κατὰ πάροδον ὁ παραπεσών(2)· ὥστε τὸ τοιοῦτον ἀκούσιον. Ἀκούσιον μέντοι, καὶ εἴ τις βουλόμενος ἐπιστρέψαι τινὰ, ἱμάντι, ἢ ῥάβδῳ μὴ σκληρᾷ(3) τύπτοι, ἀποθάνοι δὲ ὁ τυπτόμενος· ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἠβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν. Ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο ὁμοίως (4), τὸ ἀμυνόμενόν τινα ἐν μάχῃ, ξύλῳ, ἢ χειρὶ ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνεγκεῖν, ὥστε κακῶσαι αὐτὸν, οὐχ ὥστε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ· ὁ γὰρ τοιούτῳ(5) χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, ἢ ὁ μὴ πεφεισμένως τὴν πληγὴν ἐπαγαγὼν, δῆλός ἐστι διὰ τὸ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶν τοῦ ἀνθρώπου. Ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ, ἢ λίθῳ (6) μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις ἐναριθμεῖται, ἄλλο μέν τι προελόμενος, ἄλλο δέ τι ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγὴν, ὥστε ἀνελεῖν τὸν πληγέντα(7), καίτοι ἡ σπουδὴ ἦν αὐτῷ συντρίψαι τυχὸν, οὐχὶ δὲ καὶ παντελῶς θανατῶσαι. Ὁ μέν τοι ξίφει χρησάμενος, ἢ ᾡτινιοῦν τοιούτῳ (8), οὐδεμίαν ἔχει παραίτησιν, καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας· καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι, ἀλλ' ἠκόντισεν, ὥστε καὶ τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείστου φορᾷ, ὀλεθρίαν ἀναγκαίως τὴν πληγὴν γενέσθαι. Ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχον, οἷόν ἐστι τὸ τῶν λῃστῶν, καὶ τὸ τῶν

(1) τὸ ἀκοντίσαι ... καὶ ἀνθρώπου τυχεῖν Σ. Ῥ. — (2) παραπεσὼν, ἄνευ ἄρθρου Π. — (3) ἄνευ τοῦ, μὴ, Χ. Τρ., — μὴ σκληρῶς Σ. Ῥ. — (4) ὁμοίως, οὐ κεῖται ἐν Σ. Ῥ. καὶ Χ. Τρ. — (5) τοσούτῳ Σ. Ῥ. Ἑ. — (6) καὶ ὁ λίθῳ Σ. Ῥ. — (7) καὶ τὸν πληγέντα Π. Βευερ. — (8) ξίφει χρησάμενος εἰφωδητινιοῦν, Χ. Τρ.

πολεμικῶν ἐφόδων· οὗτοι μὲν γὰρ διὰ χρήματα ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἵ τε ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονίσαι, ἀλλ' ἀνελεῖν τοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι· καὶ μέντοι, κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργόν τις φάρμακον (1) ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον· οἷα ποιοῦσιν αἱ γυναῖκες πολλάκις, ἐπαοιδαῖς τισι καὶ καταδέσμοις πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαί τινας (2) πειρώμεναι, καὶ προσδιδοῦσαι αὐτοῖς φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς διανοίαις· αἱ τοιαῦται τοίνυν ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι (3), ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται. Καὶ αἱ τοίνυν τὰ ἀμβλωθρίδια διδοῦσαι φάρμακα, φονεύτριαί εἰσι καὶ αὗται, καὶ αἱ δεχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια. Ταῦτα μὲν εἰς τοσοῦτον (4).

---

ΖΩΝΑΡ. Περὶ ἑκουσίων καὶ ἀκουσίων φόνων ἠρωτήθη ὁ ἅγιος, καὶ τέως τὸν τὴν ἀξίνην ἀκοντίσαντα, καὶ πλήξαντα ταύτῃ τὴν οἰκείαν γαμετὴν, φονέα εἶναι ἑκούσιον ἀπεφήνατο, καὶ πάντα τὸν ξίφει χρώμενον οἱῳδήτινι κατά τινος. Ποιεῖται δὲ διαίρεσιν τῶν ἑκουσίων καὶ ἀκουσίων φόνων· καὶ τὸν μὲν ἐπὶ θηρίον, ἢ δένδρον, ῥίψαντα λίθον, πλήξαντα δὲ ἄνθρωπον τυχὸν παριόντα ἐκεῖ, καὶ τὸν λώρῳ, ἢ ἐλαφρᾷ ῥάβδῳ πλήξαντά τινα διὰ παίδευσιν, ἐὰν ὁ πληγεὶς ἀποθάνῃ, ἀκούσιον φονέα καλεῖ ἀναμφίβολον· τὸν δὲ ἐν φιλονεικίᾳ πλήξαντά τινα στιβαρᾷ ῥάβδῳ, ἢ τῇ χειρὶ ἀφειδῶς ἐπὶ τὰ καίρια, κἂν μὴ ἀνελεῖν ἤθελε τὸν πληγέντα, ἀλλὰ κακῶσαι καὶ ἀμύνασθαι (5), ἐγγίζειν τῷ ἑκουσίως φονεύοντι λέγει, τοῦ πληγέντος ἀποθανόντος· καὶ τὸν ξύλῳ δὲ βαρεῖ, καὶ λίθῳ μεγάλῳ χρησάμενον κατά τινος, καὶ ἀνελόντα τινὰ* (6), ἀκού-

---

(1) Χ. Τρ. — περίεργον, φαρμακόν τις Σ. Ρ. Ε.—(2) ἄνευ τοῦ, τινάς, Σ. Ρ. Χ. Τρ. — (3) προθέμεναι Χ. Τρ. — (4) Βευερ. Ε. — Ταῦτα μὲν εἰς τοσοῦτον, ἀναγινώσκεται ἐν ἀρχῇ τοῦ ἑπομένου κανόνος ἐν Σ. Ρ. Χ. Τρ. Π. — (5) καὶ ἀμύνασθαι, οὐ κεῖται ἐν Χ. Τρ. — (6) Χ. Τρ. — τινὰ, οὐ κεῖται παρὰ Βευερ.

σιον τάχα φονέα εἶναι ὁρίζεται· τὸν δὲ ξίφει χρησάμενον οἰῳδήτινι, καὶ τοὺς λῃστὰς, καὶ τοὺς ἐφόδους ποιοῦντας πολεμικὰς διὰ ἁρπαγὰς χρημάτων, ἑκουσίους φονευτὰς εἶναι ἀποφαίνεται. Ἀλλὰ μὴν καὶ τοὺς φάρμακα διδόντας τισὶ, κἂν μὴ φονεῦσαι ὁ τὸ φάρμακον κεράσας προέθετο, ἀλλὰ πρὸς φίλτρον ἐπαγαγέσθαι τινὰ ἐβούλετο, τὸ δὲ ποθὲν, ἀνεῖλε τὸν πιόντα, ἢ τὸν νοῦν τοῦ ἀνθρώπου διέφθειρε, παράφρονα ποιῆσαν τὸν ἄνθρωπον, τοῖς ἑκουσίοις φόνοις ἐναριθμεῖ· φονευτρίας δὲ λέγει καὶ τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δεχομένας αὐτὰ, καθὼς καὶ ἐν τῷ δευτέρῳ αὐτοῦ κανόνι ἤδη περὶ τούτων ὡρίσατο.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος, ἐάν ἐστι φονεὺς ὁ ἀξίνην ἀκοντίσας κατὰ τῆς οἰκείας γαμετῆς, καὶ πλήξας ταύτην, ἀπεφήνατο ἑκούσιον εἶναι φονέα αὐτόν. Εἶτα ποιεῖται διαίρεσιν τῶν ἑκουσίων καὶ ἀκουσίων φόνων, καὶ τὸν μὲν ἐπὶ θηρίον ἢ δένδρον ῥίψαντα λίθον, πλήξαντα δὲ τυχὸν ἄνθρωπον παριόντα ἐκεῖ, καὶ τὸν λώρῳ, ἢ ἐλαφρᾷ ῥάβδῳ πλήξαντά τινα διὰ παίδευσιν, ἐὰν ὁ πληγεὶς ἀποθάνῃ, ἀκούσιον φονέα καλεῖ· τὸν δὲ ἐν φιλονεικίᾳ πλήξαντά τινα μετὰ στιβαρᾶς ῥάβδου, ἢ τῇ χειρὶ ἀφειδῶς κατὰ τούτου χρησάμενον, κἂν μὴ ἀνελεῖν ἤθελε τὸν πληγέντα, ἀλλὰ κακῶσαι καὶ ἀμύνασθαι, ἐγγίζειν τῷ ἑκουσίως φονεύοντι λέγει, τοῦ πληγέντος ἀποθανόντος· καὶ τὸν ξύλῳ δὲ βαρεῖ, καὶ λίθῳ μεγάλῳ χρησάμενον κατά τινος, καὶ ἀνελόντα, μὴ ἔχοντα δὲ πρόθεσιν φόνου, ἀκούσιον φονέα ὁρίζεται· τὸν δὲ ξίφει χρησάμενον οἰῳδήτινι, κατὰ τοὺς πολεμίους, καὶ τοὺς λῃστὰς, ἑκούσιον φονευτὴν ἀποφαίνεται· ὥσπερ καὶ τοὺς φάρμακα περίεργα διδόντας, καὶ ἀμβλωθρίδια ποιοῦντας. Καὶ ὁ μὲν κανὼν ταῦτα. Σὺ δὲ ἀνάγνωθι τὸ κϛʹ. κεφ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα χάριν τῶν φονευτῶν· ὡσαύτως ἀνάγνωθι καὶ τὸν βʹ. κανόνα τοῦ ἁγίου τούτου. Ἐπεὶ δὲ περὶ φονευτῶν καὶ φαρμακῶν οὐκ ὀλίγα διαλαμβάνει ὁ λθʹ. τίτλος τοῦ ξʹ. βιβλίου, ἀνάγνωθι καὶ τοῦτον. Τοῦ δὲ βʹ. θέματος τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου διαλαμβάνοντος ταῦτα ῥητῶς, Ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ,

ἀλλὰ τραυματίσῃ, φονεύς ἐστι· καὶ ὁ μὴ θελήσας φονεῦσαι, ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς· ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου ἐλέγχεται· εἴποι τις ἐναντιοῦσθαι τῷ τοιούτῳ κεφαλαίῳ τὸν παρόντα κανόνα, διοριζόμενον, ἀκουσίου φόνου ἐγκλήματι ὑποκεῖσθαι τὸν ἀκοντίσαντα λίθον ἐπὶ κύνα, ἢ δένδρον, καὶ τυχαίως ἀνελόντα ἄνθρωπον· φαμὲν οὖν, ὡς ὁ ῥηθεὶς νόμος περὶ ἑκουσίου φονευτοῦ διδάσκων, τὸν μὴ ἐκ προαιρέσεως φονεύσαντα οὐκ ὀνομάζει ἑκούσιον φονέα· ἀκούσιος δὲ ὁ τοιοῦτος φονεύς ἐστι, καθὼς καὶ ὁ παρὼν κανὼν διορίζεται, καὶ τιμωρεῖται κατὰ τὸ προτελευταῖον θέμα τοῦ ιϛ΄. κεφαλαίου τοῦ να΄. τίτλου τοῦ ξ΄. βιβλίου, καὶ κατὰ τὸ ε΄. κεφ. τοῦ λθ΄. τίτλου τοῦ αὐτοῦ βιβλίου, διοριζόμενον, καὶ τὸν ἀπὸ τρυφῆς φονεύσαντα, ἐπὶ πενταετίαν ἐξορίζεσθαι· οὕτω συμβίβασον τὸ νομικὸν κεφάλαιον καὶ τὸν κανόνα· καὶ σημείωσαι ἀπό τε τοῦ κανόνος καὶ τοῦ νόμου, ὅτι ὁ μὲν ἀκούσιος φονευτὴς ἐκ τοῦ ἀποτελέσματος, ἤτοι τοῦ φόνου, καταδικάζεται· ὁ δὲ ἑκούσιος, ἀπὸ μόνης προθέσεως· κἂν γὰρ μὴ φονεύσῃ, τιμωρεῖται ὡς φονεὺς διὰ μόνην τὴν πρόθεσιν· ὅτι καὶ τὸ ιβ΄. κεφ. τοῦ ῥηθέντος λθ΄. τίτλου φησὶν, οὐδὲν διαφέρειν τὸ φονεῦσαι, καὶ τὸ παρασχεῖν αἰτίαν φόνου. Ἡ μέντοι ποινὴ τῶν ἑκουσίων φονέων δηλοῦται ἀπὸ τοῦ παρατελευταίου θέματος τοῦ γ΄. κεφ. τοῦ λθ΄. τίτλου λέγοντος, Ἡ ποινὴ ἡ κατὰ ἀνδροφόνων, ἐπὶ μὲν τῶν ἐντίμων, περιορισμός ἐστι καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι. Περὶ δὲ φονέων ἑκουσίων ἐξεφωνήθη νεαρὰ κατὰ τὸν Ἀπρίλιον μῆνα τῆς ιδ΄. Ἰνδικτιῶνος τοῦ θεοστέπτου, κρατίστου, καὶ ἁγίου ἡμῶν αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ ἔχε καὶ ταύτην ἐπὶ μνήμης οὕτω μετὰ τὸ προοίμιον διαλαμβάνουσαν· Παρακελεύεται οὖν ἅπασι τοῖς ἐν θέμασι διαιτηταῖς, καὶ ταῖς ἐν αὐτοῖς οὔσαις στρατιωτικαῖς δυνάμεσι, καὶ τοῖς τούτων στρατηγοῖς, ἔνθα περ ἂν ἑκούσιος φόνος γένηται, καὶ τολμηθῇ τοιοῦτόν τι παρά τινος, αὐτίκα πάντας διεγείρεσθαι εἰς τὴν τοῦ φονέως κατάσχεσιν, καὶ δέσμιον αὐτὸν ἀποστέλλειν πρὸς τὴν βασίλειον περιωπὴν, ἢ, ταύτης ἀποδημούσης, πρὸς τὸν ἔπαρχον τῆς θεοφυ-



λάκτου μεγαλουπόλεως, ὥστε εἰς δημοσίαν φυλακὴν εἰσάγεσθαι, καὶ τὰς σωματικὰς καὶ οὐσιακὰς κατά τε νόμους καὶ τὴν τῶν νεκρῶν θεσπισμάτων δύναμιν, καὶ ἑτέρας ὑποστῆναι κολάσεις· εἰδότων τούτων ἁπάντων, ὡς, εἴ τις φωραθείη δυνάμενος κατασχεῖν τὸν φονέα, καὶ μὴ τοῦτο ποιήσας, οὕτω μέλλειν κατακριθῆναι, ὡς κατὰ βασιλέως βουλευσάμενος· εἰ δ' ἴσως διαλάθοι τις, καὶ προσφύγοι τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ, μετὰ τὸ προβῆναι κατ' αὐτοῦ τὰ ἐκκλησιαστικὰ ἐπιτίμια, κατὰ τὴν νομικὴν παρατήρησιν, ἐνδημοῦντος μὲν τοῦ κρατοῦντος τῇ βασιλευούσῃ τῶν πόλεων, παρ' αὐτοῦ ἀποσταλήσεται εἰς τὸ θέμα, ὁποῖον ἂν ἐπικρίνῃ, ὥστε τὸν χρόνον τῆς ὅλης αὐτοῦ ζωῆς ἐκεῖσε διαβιβάζειν, καὶ μὴ ἐκεῖθεν ἀποδιδράσκειν, ὥστε ἐπανατρέχειν, ἔνθα τὸ τοῦ φόνου μῦσος εἰργάσατο· ἀποδημοῦντος δὲ ἴσως τοῦ βασιλέως, παρὰ τοῦ ἐπάρχου, ὡς εἴρηται, εἴς τινα τῶν πορρωτέρω χωρῶν ἐξορισθήσεται, καὶ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκεῖσε διανύσει. Ἂν δέ γε μὴ μόνον ἑκουσίως, ἀλλὰ καὶ ἐκ μελέτης τὸν φόνον ἐργάσοιτο, οὐκ ἀναγκασθήσεται κατὰ τὴν προρρηθεῖσαν βασιλικὴν διάταξιν ἀποκαρῆναι. Εἰ γὰρ τὸν ἑκουσίως τῇ ἀποκάρσει προστρέχοντα, οὐκ ἀπεντεῦθεν ἡ κανονικὴ ἀκρίβεια εἰς αὐτὴν παραδέχεται, ἀλλὰ καιρὸν αὐτῷ τὸν ἀρκοῦντα ἐπιμετρήσασα, καὶ δι' αὐτοῦ τὸ τῆς γνώμης ἐκείνου βέβαιον εἴτε καὶ ἀπαγὲς βασανίσασα, εἴπερ εὑρήσει τὸν ἄνθρωπον τῇ ἐξ ἀρχῆς προθέσει στοιχοῦντα, καὶ τῷ μοναχικῷ πολιτεύματι, καὶ τῇ νεκρώσει τοῦ σώματος ἀόκνως ἑαυτὸν παρασκευάζοντα, ἔκτοτε καὶ τὴν τοῦ ἀγαθοῦ ἔργου αὐτῷ προσεπιφέρει συμπλήρωσιν εἰς τὴν μοναχικὴν πολιτείαν τε παραδεξαμένη καὶ κατάστασιν, πῶς οὐκ ἂν εἴη ἄλογον, καὶ τοῖς πνευματικοῖς νόμοις ἀπᾷδον, ἀναγκαστικῶς ἀποκείρεσθαί τινα, καὶ ταῦτα φονέα, ὃν μέχρι τοσούτου ὁ Θεὸς ἐγκατέλιπεν, ὥστε καὶ ἀδελφικῷ χρανθῆναι τὰς χεῖρας αἵματι; δέος γάρ, μήπως ἀκουσίᾳ προαιρέσει τὸν ἀγγελικὸν βίον ὑπελθὼν, καὶ βίᾳ τοῦτον καταδεξάμενος, εἰς ἐμπαιγμὸν τῷ φρικώδει χρήσηται σχήματι· πεφύκασι γὰρ οἱ τῶν ἀνθρώπων κουφότεροι, εἰς ἀπόνοιαν ἐμπε-

σόντες, καὶ ταῖς χειρίσταις καὶ παραϐολωτέραις ἐπιτολμῶν πράξεσιν. Ἀντὶ τοίνυν τῆς ἀποκάρσεως, νομοθετεῖ ἡ βασιλεία μου, τὸν πεπλημμεληκότα φόνον μεμελετημένον ἑκούσιον, ἐν φυλακῇ παρ' ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ διάγειν, καὶ μηδέποτε ἐκεῖθεν ἐξάγεσθαι, μηδ' ἀπὸ βασιλικῆς ἴσως προστάξεως, κατὰ λήθην πορίζομένης· ἐπὶ δὲ ταῖς περιουσίαις αὐτῶν γίνεσθαι, καθὼς ὁ προμνημονευθεὶς βασιλεὺς διετάξατο. Ἐπεὶ δὲ οἱ πλείους τῶν φονέων ἐκ μελέτης καὶ διασκέψεως τοὺς φόνους κατεργαζόμενοι, ἔπειτα τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ προσελθόντες, οὐχ ὡς γέγονε παρ' αὐτῶν ὁ φόνος, ἀλλὰ πρὸς τὸ οἰκεῖον συμφέρον ποιοῦνται τὴν ἐξομολόγησιν, τὴν ἀλήθειαν παρακρύπτοντες, παρακελεύεται ἡ βασιλεία μου, γραφὴν γίνεσθαι τοῦ κατὰ καιροὺς ἁγιωτάτου πατριάρχου μετ' ἐπιτιμίου πρὸς τὸν κατὰ χώραν ἀρχιερέα, καὶ τὸν ὑπ' αὐτὸν κλῆρον, ἀλλὰ μὴν καὶ τὸν τοῦ θέματος διαιτητὴν, καὶ καθὼς ἂν μάθοι γενέσθαι τὸν φόνον ἀπὸ τῆς ἐκείνων ἀντιγραφῆς, οὕτω ποιεῖν καὶ τὴν ἐπεξέλευσιν· καὶ μὴ τὸν ἐκ μελέτης φονεύοντα, διὰ τὴν ψευδῆ αὐτοῦ ἐξαγορείαν, τὰς τοῦ κατὰ τύχην καὶ ἀπροόπτως τῷ τοιούτῳ περιπεσόντος ἐγκλήματι δέχεσθαι ποινὰς καὶ τὰ ἐπιτίμια. Εἴ τις μέντοι τῶν φονέων τῇ ἁγιωτάτῃ Μεγάλῃ προσφυγὼν Ἐκκλησίᾳ, καὶ ἢ τῇ ἀειφυγίᾳ κατακριθεὶς, ἢ δέσμιος εἶναι, καὶ ἐν φυλακαῖς ἐγκεκλεῖσθαι παρ' ὅλην αὐτοῦ τὴν ζωὴν, εὑρεθῇ ἄνετος ἐμπεριπατῶν ἔνθα τὸν φόνον εἰργάσατο, δέσμιος διὰ τοῦ κατὰ χώραν πράκτορος ἀποσταλήσεται εἰς τὴν βασιλείαν μου· καὶ ὅσα δὲ τότε παρευρεθῶσιν αὐτῷ πράγματα, εἰς κέρδος ἔσται τῷ πράκτορι, καὶ τῷ τὸν φονέα καταμηνύσαντι, ἐπίσης παρ' αὐτῶν μεριζόμενα. Μελήσει δὲ πάντως καὶ τοῖς ἐν τῇ ἁγιωτάτῃ Μεγάλῃ Ἐκκλησίᾳ τῶν τοιούτων διαιτηταῖς, μετὰ τῆς προσηκούσης κανονικῆς αὐστηρίας τὰ φονικὰ κολάζειν ἐγκλήματα, καὶ μὴ τοὺς χρόνους, ὡς ἔτυχε, συντέμνειν, καὶ μηδὲ ἐφ' οἷς οὐ χρὴ πλέον τοῦ εἰκότος φιλανθρωπεύεσθαι. Ἶσα μέντοι τοῦ παρόντος διατάγματος τῆς βασιλείας μου, ὑπογραφέντα παρὰ τῶν προϊσταμένων τῶν δικαστηρίων, ἀποσταλέντα ταῖς κατὰ χώραν ἐκκλησίαις ἀποτε-



θήσεται, ὥστε πάντας εἴδησιν ἔχειν τῶν διωρισμένων, ὡς ἂν ποιῶσι κατὰ τὴν τούτων περίληψιν. Εἴπερ μέντοι ὁ τὸν μεμελετημένον φόνον ἐργασάμενος ἑκουσίως ἕλοιτο τὴν ἀπόκαρσιν, οὐκ ἀδοκιμάστως τοῖς μοναχοῖς ἐγκαταλεγήσεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριϐείας καὶ ἐξετάσεως, τὸν ἀρκοῦντα χρόνον κατὰ τὰς κανονικὰς διατάξεις βασανιζόμενος· τῷ μέντοι μοναστηρίῳ καὶ ἄκων προσμένειν ἀναγκασθήτεται παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, μηδέποτε τούτου ἐξέρχεσθαι συγχωρούμενος· πάντως δὲ τὸ μοναστήριον ἐν ἑτέρᾳ ἔσται ἐπαρχίᾳ, καὶ οὐκ ἐν ἐκείνῃ τῇ γῇ, ἣ τὸ τοῦ θανόντος αἷμα χανοῦσα κακῶς ὑπεδέξατο.

**ΑΡΙΣΤ.** Φονεὺς, ὁ κατὰ τῆς γυναικὸς ἀξίνῃ χρησάμενος. Ἀκούσιος φονευτὴς, ὁ λίθον ἀφεὶς ἐπὶ κύνα, καὶ ἀνθρώπου τυχών· καὶ ὁ παιδεύων ἱμάντι, καὶ λύγῳ. Ὁ δὲ ἐν μάχῃ ξύλῳ, ἢ χειρὶ δοὺς ἐπὶ τὰ καίρια, καὶ ἀνελὼν, ἄγχι τοῦ ἑκουσίου. Ὁ ξίφει χρησάμενος, ἢ τοιούτῳ τινὶ, πάντως ἑκούσιος. Καὶ ὁ λῃστὴς, καὶ ὁ πολέμιος, καὶ ὁ δι' ἄλλην αἰτίαν ἐπιδοὺς φάρμακον, εἰ ἀνέλῃ, ἑκούσιος. Καὶ αἱ τὰ ἀμϐλωθρίδια διδοῦσαι, καὶ αἱ λαμϐάνουσαι.

Τῶν φόνων, οἱ μέν εἰσιν ἑκούσιοι, οἱ δὲ, ἀκούσιοι, οἱ δὲ, ἐγγὺς ἑκουσίου· ὁ μὲν γὰρ ἀκοντίσας ἀξίνην κατά τινος, καὶ φονεύσας αὐτὸν, καὶ ὁ ξίφει χρησάμενος εἰς ἀναίρεσιν, καὶ οἱ λῃσταὶ, καὶ οἱ πολέμιοι, (οἱ μὲν γὰρ διὰ χρήματα ἀναιροῦσιν, οἱ δὲ φανερῶς ἀνελεῖν ἐθέλουσι τοὺς ἐναντιουμένους,) ἑκούσιοι κρίνονται φονευταί· ὡσαύτως δὲ καὶ αἱ διδοῦσαι τὰ ἐμϐρυοκτόνα φάρμακα, καὶ αἱ λαμϐάνουσαι ταῦτα· καὶ αἱ βουλόμεναι φίλτρον τινὸς πρὸς ἑαυτὰς ἐφελκύσασθαι, καὶ συγκεράσασαι φάρμακον, καὶ ἐπιδιδοῦσαι τοῦτο αὐτῷ, σκότωσιν ἐμποιοῦν τῆς διανοίας, εἰ ἀνέλωσι τὸν δεξάμενον, ἑκουσίως φονεῦσαι λογίζονται. Ὁ δὲ λίθον ἐπὶ κύνα, ἢ δένδρον πέμπων, ἐπὶ τῷ τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι, καὶ αὐτομάτως φονεύσας ἄνθρωπον, ἢ ὁ λώρῳ, ἢ βεργίῳ τύψας τινὰ ἐπὶ τῷ βελτιῶσαι αὐτὸν ἁμαρτάνοντα, καὶ ἀνελὼν αὐτὸν, ἐν τοῖς ἀκουσίοις εἰσὶ φονευταῖς. Ὁ δὲ ἐν μάχῃ ξύλῳ, ἢ χειρὶ, πληγήν τινα ἐπενεγκὼν ἀφειδῶς ἐν καιριωτάτῳ τόπῳ, καὶ ἀνελὼν αὐτὸν, ἐγ-

γύς ἐστι τοῦ ἑκουσίου· κἂν γὰρ, ὡς ἀμυνόμενος τὸν μετ' αὐτοῦ μαχόμενον, τοῦτο ἐποίησεν, ὥστε κακῶσαι αὐτὸν, μὴ μέντοι δὲ καὶ παντελῶς ἀνελεῖν, ἀλλ' οὖν φαίνεται καὶ ὑπὸ τοῦ πάθους τοῦ θυμοῦ κατακρατηθεὶς, καὶ διὰ τοῦτο ἀφειδῶς ἐπαγαγὼν τὴν πληγὴν τῷ ἀνθρώπῳ ξύλῳ βαρεῖ· καὶ οὐκ ἔσται τὸ τοιοῦτον πάντῃ ἀκούσιον.

## Κανὼν Θ'.

Ἡ δὲ τοῦ Κυρίου ἀπόφασις, κατὰ μὲν τὴν τῆς ἐννοίας ἀκολουθίαν, ἐξ ἴσου καὶ ἀνδράσι, καὶ γυναιξὶν ἁρμόζει, περὶ τοῦ μὴ ἐξεῖναι γάμου ἐξίστασθαι παρεκτὸς λόγου πορνείας (1). Ἡ δὲ συνήθεια οὐχ οὕτως ἔχει· ἀλλ' ἐπὶ μὲν τῶν γυναικῶν, πολλὴν εὑρίσκομεν τὴν ἀκριβολογίαν, τοῦ μὲν Ἀποστόλου λέγοντος, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα ἐστί(2)· τοῦ δὲ Ἱερεμίου, ὅτι, Ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται (3)· καὶ πάλιν· Ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής (4)· ἡ δὲ συνήθεια, καὶ μοιχεύοντας ἄνδρας, καὶ ἐν πορνείαις ὄντας, κατέχεσθαι ὑπὸ τῶν γυναικῶν προστάσσει· ὥστε ἡ τῷ ἀφειμένῳ ἀνδρὶ συνοικοῦσα, οὐκ οἶδα εἰ δύναται μοιχαλὶς χρηματίζειν· τὸ γὰρ ἔγκλημα ἐνταῦθα τῆς ἀπολυσάσης τὸν ἄνδρα ἅπτεται, κατὰ ποίαν αἰτίαν ἀπέστη τοῦ γάμου· εἴτε γὰρ τυπτομένη μὴ φέρουσα τὰς πληγὰς, ὑπομένειν ἐχρῆν μᾶλλον, ἢ διαζευχθῆναι τοῦ συνοικοῦντος· εἴτε τὴν εἰς τὰ χρήματα(5) ζημίαν μὴ φέρουσα, οὐδὲ αὕτη ἡ πρόφασις ἀξιόλογος· εἰ δὲ διὰ τὸ ἐν πορνείᾳ αὐτὸν ζῆν, οὐκ ἔχομεν (6) τοῦτο ἐν τῇ συνηθείᾳ τῇ ἐκκλησιαστικῇ τὸ παρατήρημα. Ἀλλὰ καὶ ἀπίστου ἀνδρὸς χωρίζεσθαι οὐ προσετάχθη γυνὴ, ἀλλὰ παραμένειν δεῖ διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως. Τί γὰρ οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις(7); Ὥστε ἡ καταλιποῦσα,

(1) Ματθ. Ε', 32. ΙΘ', 9. —(2) α', Κορ. ς', 16. — (3) Ἱερ. Γ', 11. — (4) Παροιμ. ΙΗ', 22.—(5) τὴν εἰς χρήματα Χ. Τρ. — (6) οὐκ ἔσχομεν Σ. Ρ.—(7) α', Κορ. Ζ', 16.

μοιχαλὶς, εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα· ὁ δὲ καταλειφθεὶς, συγγνωστὸς, καὶ ἡ συνοικοῦσα (1) τῷ τοιούτῳ οὐ κατακρίνεται. Εἰ μέντοι ὁ ἀνὴρ ὁ ἀποστὰς τῆς γυναικὸς, ἐπ' ἄλλην ἦλθε, καὶ αὐτὸς μοιχὸς, διότι ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ἡ συνοικοῦσα αὐτῷ, μοιχαλὶς, διότι ἀλλότριον ἄνδρα πρὸς ἑαυτὴν μετέστησε.

---

ΖΩΝΑΡ. Μὴ λύεσθαι γάμον παρεκτὸς λόγου πορνείας, ὁ Κύριος ἀπεφήνατο. Ταύτην οὖν τὴν ἀπόφασιν ἐπίσης φησὶν ὁ μέγας οὗτος Πατὴρ ἁρμόζειν καὶ ἀνδράσι, καὶ γυναιξὶν, ὥστε μήτε ἄνδρα τὴν οἰκείαν ἀφιέναι γυναῖκα, μήτε γυναῖκα ἀφίστασθαι τοῦ ἀνδρὸς αὐτῆς. Ἀλλ' ἡ συνήθεια οὐχ ὁμοίως ἔχει ἐπὶ ἀνδρῶν ἀφιέντων τὰς γυναῖκας, καὶ ἐπὶ γυναικῶν ὁμοίως ποιουσῶν. Ἡ μὲν γὰρ γυνὴ, ἀποστᾶσα τοῦ ἀνδρὸς, καὶ συναφθεῖσα ἑτέρῳ, μοιχαλὶς κρίνεται, καὶ οὐκέτι δεχθήσεται παρὰ τοῦ ἀνδρὸς, εἰ μὴ ἐκεῖνος βούλοιτο· τὸν δὲ ἄνδρα, καὶ πορνεύοντα, καὶ μοιχεύοντα, ἡ γυνὴ ἀφεῖναι οὐ δύναται. Καὶ λοιπὸν, εἰ ὁ ἀφεθεὶς ἑτέρᾳ συνοικήσει, ἡ τούτῳ συναφθεῖσα οὐ κριθήσεται, φησὶ, μοιχαλίς· τὸ γὰρ ἁμάρτημα τῆς καταλειψάσης τὸν οἰκεῖον ἄνδρα ἐστίν· οὐ γὰρ ἐφεῖται αὐτῇ ἀφίστασθαι τοῦ ἀνδρός· ἀλλ' εἴτε πικρῶς αὐτῇ προσφέρεται, φέρειν χρὴ, εἴτε εἰς χρήματα ζημιοῦται, τὴν προῖκα δαπανωμένην ὁρῶσα· εἴτε ζηλοτυπεῖ διὰ τὸ ἑτέραις τὸν ἄνδρα συμφθείρεσθαι, καρτερεῖν δεῖ, καὶ τοῦ ἀνδρὸς μὴ χωρίζεσθαι. Εἰ γὰρ ἀπίστου τῶν συνοικούντων ὄντος θατέρου, τὸ ἕτερον πρόσωπον χωρισθῆναι αὐτοῦ ἄκοντος κεκώλυται, κατὰ τὸν μακάριον Παῦλον, πῶς ἀνεύθυνος ἔσται ὁ δι' ἑτέραν αἰτίαν λύων τὴν συζυγίαν; ὥστε εἰ ἀποστᾶσα τοῦ ἀνδρὸς ἄλλῳ συνῴκησε, μοιχαλὶς λογίζεται· ἡ δὲ τῷ καταλειφθέντι ἀνδρὶ συνευνασθεῖσα νομίμως, οὔτε ὡς μοιχαλὶς, οὔτε ὡς πορνεύσασα κατακρίνεται. Καὶ ὁ ἀνὴρ δὲ τὴν ἑαυτοῦ γυναῖκα ἀπολύσας, καὶ ἑτέραν εἰσοικισάμενος, μοιχός ἐστι, καὶ τὴν γυναῖκα μοι-

---

(1) συγγνωστός ἐστι, Π. Βευερ.

χαλίδα ποιεῖ, ἄλλῳ μιγνυμένην· καὶ ἡ τῷ τοιούτῳ δὲ ἀνδρὶ συνοικήσασα, ἐν εἰδήσει τοῦ ἀπολῦσαι αὐτὸν ἣν εἶχε γυναῖκα, μοιχαλίς ἐστ' ν· ἀλλότριον γὰρ ἄνδρα πρὸς ἑαυτὴν μετέστησεν. Ἀλλὰ ταῦτα μὲν ὁ μέγας οὗτός φησι Πατὴρ, κατὰ τὸ τηνικαῦτα κρατοῦν ἐκκλησιαστικὸν ἔθος. Ἐκ δὲ τῆς μετὰ ταῦτα περὶ λύσεως γάμων ἐκφωνηθείσης νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ, τῆς κειμένης εἰς βιβλίον τῶν βασιλικῶν κή. τιτλ: ζ'. πρὸς ταῖς ἄλλαις αἰτίαις, ταῖς δι' ἃς λύειν ταῖς γυναιξὶ τὰ συνοικέσια δίδοται, καὶ τὸ, ἐν τῇ αὐτῇ οἰκίᾳ ἢ πόλει τὸν ἄνδρα συμφθείρεσθαι γυναικὶ ἄλλῃ, καὶ ἐπιφωνούμενον παρὰ τοῦ μέρους τῆς γυναικὸς, μὴ ἀφίστασθαι τῆς πρὸς ἐκείνην ὁμιλίας, λύειν τοὺς γάμους ταῖς γυναιξὶ διὰ τὴν ζηλοτυπίαν ἐφίησι.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος, τί ὀφείλει γίνεσθαι εἰς τοὺς ὁμοζύγους, ἐὰν τις ἐξ αὐτῶν εἰς ἕτερον ἔλθῃ γάμον, ἢ καὶ πορνεύσῃ, ἐποίησε τὸν ἀπόλογον ἀπὸ διαφόρων γραφικῶν, καὶ ἐκ τῆς τότε κρατούσης συνηθείας. Ἐπεὶ δὲ τὰ ἐν τῷ τοιούτῳ κανόνι πάντα σχεδὸν μετετύπωσεν ἡ ριζ'. νεαρὰ Ἰουστινιάνειος, ἡ κειμένη ἐν τῷ ζ'. τίτλῳ τοῦ κή. βιβλίου, ἀνάγνωθι ταύτην, ὡσαύτως καὶ τὴν ριά. νεαράν· καὶ ἁπλῶς ἀπὸ τοῦ ά. κεφ. τοῦ αὐτοῦ τίτλου μέχρι καὶ τοῦ ς'. καὶ μάθῃς κατὰ πόσους τρόπους λύονται τὰ συνοικέσια, καὶ πῶς κολάζονται ὅσον τέως ἀπὸ τοῦ πολιτικοῦ νόμου, οἱ μοιχεύοντες ἐκ τῶν ὁμοζύγων, ἢ καὶ πορνεύοντες· πρὸς δὲ καὶ οἱ παραλόγως τὴν ὁμοζωΐαν καταλιμπάνοντες. Ἀνάγνωθι καὶ τὸν ϟγ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ· ὡσαύτως ἀνάγνωθι καὶ τὰ εἰς τὸ τέλος τοῦ ά. κεφ. τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος καταστρωθέντα νόμιμα· * καὶ τὰ ἔξωθεν τοῦ δ'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος καταστρωθέντα νόμιμα * (1)· ὁμοίως καὶ τὴν ἑρμηνείαν τοῦ έ. κεφ. τοῦ αὐτοῦ τίτλου, καὶ μάθῃς ἐκ πάντων πλατέως τὰ περὶ τούτου.

ΑΡΙΣΤ. Κατὰ τὸν τοῦ Κυρίου λόγον, ἴσως καταδικάζεται

(1) Χ. Τρ. — τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ 'Ε.



καὶ ἀνὴρ, καὶ γυνὴ, δίχα πορνείας ἀποζευγνύμενοι· ἡ δὲ συνήθεια, τὸν μοιχὸν καὶ τὸν πόρνον διαζεύγνυσι τῶν συμβίων. Εἰ δέ τις ἀφέτῳ ἀνδρὶ συζευχθείη, οὐκ ἔνι τυχὸν μοιχαλίς· τὸ γὰρ αἴτιον ἐπὶ τὴν ἀλόγως ἀφεῖσαν· ἢ καὶ μοιχαλὶς, εἰ πρὸς ἕτερον ζεύγνυται· ὁ δὲ ἀφεθεὶς, συγγνωστός. Ὁ δὲ τὴν γυναῖκα λιπὼν, καὶ ἐπ' ἄλλην ἰὼν, καὶ αὐτὸς μοιχὸς, καὶ αὐτὴν μεμοιχεῦσθαι ποιεῖ, καὶ ἡ αὐτῷ συνοικοῦσα γυνή.

Εἰ καὶ ὁ Κύριος, τὸν ἄνδρα τὸν διαζευχθέντα τῆς ἰδίας γυναικὸς, (παρεκτὸς λόγου πορνείας) καὶ τὴν γυναῖκα ἀνευλόγως τοῦ ἰδίου χωρισθεῖσαν ἀνδρὸς, καταδικάζει ἐπίσης, ἀλλ' ἡ συνήθεια ἡ ἐκκλησιαστικὴ ἄλλως τοῦτο προστάσσει γίνεσθαι· τὸν μὲν γὰρ ἄνδρα, καὶ πορνεύοντα, καὶ μοιχεύοντα, ὑπὸ τῆς ἰδίας γυναικὸς κελεύει κατέχεσθαι· τὴν δὲ γυναῖκα, εἰ μιανθῇ ἑτέρῳ ἀνδρὶ, ἀπολύεσθαι ἐπιτρέπει, καὶ μηκέτι παρὰ τοῦ ἰδίου ἀνδρὸς κατέχεσθαι. Λοιπὸν, ἐὰν γυνὴ τὸν ἴδιον ἄνδρα ἀφήσῃ, προφάσει τοῦ ἐν πορνείᾳ αὐτὸν συζῆν, καὶ ἐκεῖνος ἑτέραν λάβῃ γυναῖκα, ἡ αἰτίασις καὶ τὸ ἔγκλημα κατὰ τῆς γυναικός ἐστι τῆς ἀπολυσάσης τὸν ἄνδρα αὐτῆς, ὃν ὤφειλε κατέχειν καὶ μοιχεύοντα· ὁ γὰρ ἀνὴρ συγγνωστός ἐστιν ἐπ' ἄλλην ἐλθὼν γυναῖκα· ὡσαύτως καὶ ἡ συναφθεῖσα αὐτῷ ἀπολύτῳ ὄντι οὐ λεχθήσεται μοιχαλίς· ἡ δὲ καταλιποῦσα αὐτὸν, εἰ συζευχθῇ ἑτέρῳ, μοιχαλὶς ἀναμφιβόλως ἐστίν. Εἰ δὲ τοὐναντίον ὁ ἀνὴρ τῆς ἰδίας ἀποστῇ γυναικὸς, παρεκτὸς λόγου πορνείας, καὶ ἄλλην λάβῃ γυναῖκα, καὶ αὐτὸς ὡς μοιχὸς κρίνεται, διότι ποιεῖ, ἣν κατέλιπε, μοιχευθῆναι, εἴπερ ἐπ' ἄλλον ἔλθοι ἄνδρα· καὶ ἡ συνοικοῦσα αὐτῷ μοιχαλίς ἐστι, διότι ἀλλότριον προσελάβετο ἄνδρα. Καὶ ταῦτα μὲν τοῦ κανόνος, διότι καὶ ἄδεια τῷ τότε ἦν ἀπὸ νόμων τοῖς συνοικοῦσι, καὶ χωρὶς εὐλόγου αἰτίας, διὰ τυπικῶν ῥημάτων χωρίζεσθαι ἀπ' ἀλλήλων. Σήμερον δὲ οὔτε ἀνὴρ, οὔτε γυνὴ διαλύειν τὸ συνοικέσιον δύναται, εἰ μή τις αἰτία εὔλογος ὕπεστιν, ἀφ' ὧν ῥητῶς ἡ Ἰουστινιάνειος νομοθετεῖ νεαρά.

## Κανὼν Γ'.

Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, ἐξομνύμενοι, μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν. Εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν τοῖς τοιούτοις, ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ὅτι οὐκ εὐοδοῦνται οἱ παρορκήσαντες. Σκοπεῖν δὲ δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὀμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας· ὡς ἐὰν μηδεμία ᾖ μηδαμόθεν παραμυθία, χρὴ παντελῶς ἐᾷν τοὺς τοιούτους. Τὸ μέντοι κατὰ Σεῦηρον πρᾶγμα, ἤτοι τὸν ὑπὸ τούτου χειροτονηθέντα πρεσβύτερον, τοιαύτην τινά μοι δοκεῖ παραμυθίαν ἔχειν, (εἰ καί σοι συνδοκεῖ (1))· τὸν ἀγρὸν ἐκεῖνον τὸν ὑποκείμενον τῇ Μισθείᾳ, ᾧ ἐπεκηρύχθη ὁ ἄνθρωπος, κέλευσον Μασάδοις (2) ὑποτελεῖν· οὕτω γὰρ κἀκεῖνος οὐ παρορκήσει μὴ ἀναχωρῶν τοῦ τόπου, καὶ ὁ Λογγῖνος ἔχων τὸν Κυριακὸν μεθ' ἑαυτοῦ, οὐκ ἐρημώσει τὴν ἐκκλησίαν, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς ἀργίας καταδικάσει· καὶ ἡμεῖς δόξομεν μὴ παρὰ κανόνας ποιεῖν τι, συμπεριφερόμενοι τῷ Κυριακῷ, ὀμόσαντι μὲν συμπαραμένειν Μινδάνοις, καταδεξαμένῳ δὲ τὴν μετάθεσιν· ἡ γὰρ ἐπάνοδος, φυλακὴ ἔσται τοῦ ὅρκου· τὸ δὲ εἶξαι αὐτὸν τῇ οἰκονομίᾳ, εἰς ἐπιορκίαν αὐτῷ οὐ λογισθήσεται, διὰ τὸ μὴ προσκεῖσθαι τῷ ὅρκῳ, μηδὲ πρὸς βραχὺ ἀναχωρῆσαι Μινδάνων, ἀλλὰ παραμένειν εἰς τὸ ἐφεξῆς. Σευήρῳ δὲ προφασιζομένῳ τὴν λήθην, ἡμεῖς συγχωρήσομεν εἰπόντες, ὅτι ὁ τῶν κρυπτῶν γνώστης οὐ περιόψεται τὴν ἑαυτοῦ ἐκκλησίαν ὑπὸ τοιούτου λυμαινομένην, ποιοῦντος μὲν ἀκανονίστως τὸ ἐξ ἀρχῆς, ὅρκῳ δὲ καταδεσμοῦντος παρὰ τὰ Εὐαγγέλια, παρορκεῖν (3) δὲ διδάσκοντος, δι' ὧν μετετέθη, ψευδομένου δὲ νῦν δι' ὧν τὴν λήθην σχηματίζεται. Ἐπειδὴ

(1) εἰ καὶ σοὶ δοκεῖ Χ. Τρ. — (2) Π. Χ. Τρ. — Οὐκασάδοις Σ. Ῥ. Ἐ. Βιυερ. — (3) ἐπιορκεῖν Π.

δὲ οὐκ ἐσμὲν καρδιῶν κριταὶ, ἀλλ' ἐξ ὧν ἀκούομεν κρίνομεν, δῶμεν τῷ Κυρίῳ τὴν ἐκδίκησιν, αὐτοὶ δὲ ἀδιακρίτως αὐτὸν δεξώμεθα, συγγνώμην δόντες ἀνθρωπίνῳ πάθει τῇ λήθῃ.

---

ΖΩΝΑΡ. Τινὲς εἰς τὸ χειροτονηθῆναι καλούμενοι, ἐξώμνυντο μὴ καταδέξασθαι τὴν χειροτονίαν· τοὺς γοῦν τοιούτους λέγει ὁ ἅγιος(1) μὴ δεῖν ἀναγκάζεσθαι ἐπιορκεῖν· κἂν δοκῇ, φησὶν, ἐξεῖναι τοῖς ἀφ' ἑαυτῶν ὀμόσασιν, ἢ δεσμόν τινα ἑαυτοῖς ἐπιβαλοῦσιν, οἷον μὴ φαγεῖν κρέας, ἢ μὴ πιεῖν οἶνον, ἢ μὴ τόδε, ἢ τόδε ποιῆσαι, λύειν πάλιν ἀφ' ἑαυτῶν τὸν δεσμὸν, καὶ τοῦ ὅρκου ἀφίστασθαι, ἀλλ' ἐκ πείρας ἐμάθομεν, ὅτι οἱ παρορκήσαντες, ἤγουν οἱ παρὰ τοὺς ὅρκους ποιήσαντες, οὐκ εὐδοκοῦνται, ἀντὶ τοῦ, οὐ θελητοὶ τῷ Θεῷ εἰσιν, ἢ οὐκ εὐδόκιμοι αὐτῷ, οὐδ' εὐάρεστοι κρίνονται. Δεῖ δὲ, φησὶν, ἐπὶ τῶν τοιούτων καὶ τὸ εἶδος τοῦ ὅρκου σκοπεῖν, εἴτουν, εἰ Θεὸν ὠνόμασεν ὁ ὀμνύων, ἢ ἄλλο τι, καὶ τὰ ῥήματα τοῦ ὀμόσαντος, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας· εἰκὸς γάρ ἐστιν ἐκ τῆς τοῦ ὅρκου ποιότητος, καὶ ἐκ τῶν ῥημάτων, καὶ ἐκ τῆς διαθέσεως, εἰ τυχὸν ἐκ μικροψυχίας καὶ οὐκ ἐξ ἀμεταθέτου (2) γνώμης ὤμοσε, καταλαβεῖν τοὺς σκοποῦντας, μὴ κωλύεσθαι τὸν ὀμόσαντα ἀποστῆναι τοῦ ὅρκου· εἰ δὲ τούτων σκοπουμένων, οὐκ ἔστιν εὑρεῖν παραμυθίαν τινὰ εἰς τὸ ἀποστῆναι τοῦ ὅρκου, χρὴ τοὺς τοιούτους ἐᾷν, ἵνα μὴ ἐπιορκῶσι. Τὸ δὲ κατὰ Σευῆρον πρᾶγμα, ἤτοι ἡ πρᾶξις καὶ ἡ ὑπόθεσις τοιοῦτόν τι ἦν. Λογγῖνός τις εἶχεν ἀγρὸν καλούμενον Μίνδανα, τῇ ἐπισκοπῇ τῆς Μισθείας ὑποκείμενον. Σευῆρος δὲ Μασάδων ἐπίσκοπος ὢν, ἐχειροτόνησε Κυριακόν τινα εἰς τὸν ἐν τῷ ἀγρῷ ναὸν πρεσβύτερον, ὀμόσαντα παραμένειν τῷ ναῷ, ἢ μᾶλλον τῇ ἐπισκοπῇ αὐτοῦ ὑποτελεῖν. Ἀλλ' ὁ τῆς ἐνορίας ἐπίσκοπος, ᾗ ὑπέκειτο ὁ ἀγρὸς, ἐκώλυε τὸν Κυριακὸν ἱερουργεῖν ἐν ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ, παρ' ἑτέρου χειροτονηθέντα. Διὸ καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς, μετετέθη ἀλλαχοῦ, καὶ ὁ Λογγῖνος

---

(1) λέγει ὁ κανὼν Βευερ.—(2) Χ. Τρ. — ἀμέτρου Βευερ.

διὰ τοῦτο λυπούμενος, ἠπείλει ἐρημῶσαι τὴν ἐκκλησίαν. Ἐρωτηθεὶς οὖν ὁ μέγας Βασίλειος περὶ τούτου, ἀπεκρίνατο, τὸν ἀγρὸν, ᾧ ἐπεκηρύχθη ὁ Κυριακὸς, ἤγουν εἰς ὃν ὠνομάσθη πρεσβύτερος, ὑποτεθῆναι τῇ ἐπισκοπῇ τῶν Μασάδων, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν αὖθις ἐπαναστρέψαι ἐκεῖ· οὕτω γὰρ, φησὶν, οὔτε ἐκεῖνος παρὰ τὸν ὅρκον ποιήσει, οὔτε ὁ Λογγῖνος τὴν ἐκκλησίαν ἐρημώσει, ἀντὶ τοῦ, ἔρημον καταλείψει, ἢ καὶ καθελεῖ, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ταῖς ἀργίαις καταδικάσει, ἤγουν ὑποβαλεῖ, τῷ μὴ σχολάζειν εὐχαῖς καὶ τοῖς θείοις ὕμνοις, ἀλλ' ἀργεῖν ἐκ τούτων· καὶ ἡμεῖς, φησὶν, οἰκονομοῦντες τὰ κατὰ τὸν Κυριακὸν, καὶ ὑποστρέψαι αὐτὸν εἰς τὴν ἐκκλησίαν, ᾗ ὤμοσεν ἐγκαρτερεῖν, ἐπιτρέποντες, οὐ δόξομεν παρὰ κανόνας ποιεῖν, οὐδὲ ἐκεῖνος παραβαίνειν τὸν ὅρκον κριθείη· ἐπανερχόμενος γὰρ δοκεῖ φυλάσσειν τὸν ὅρκον, ὅτι οὐδὲ πρόσκειται τῷ ὅρκῳ, οὐδὲ πρὸς βραχὺ ἀναχωρήσειν τοῦ ἀγροῦ τῶν Μανδάνων. Ὅρα οὖν πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως καὶ κατασκοπήσεως ἐθήρευσεν ὁ ἅγιος νοῦν, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. Ταῦτα μὲν οὖν περὶ τοῦ Κυριακοῦ. Ὁ δὲ Σευῆρος αἰτιώμενος, ὅτι εἰς ἀγρὸν ἀλλοτρίᾳ ὑποτελοῦντα ἐνορίᾳ ἐχειροτόνησεν, ἔλεγε κατὰ λήθην τοῦτο ποιῆσαι, ἀγνοήσας ὅτι ἑτέρῳ ὁ ἀγρὸς ὑπόκειται. Ἐπεὶ οὖν, φησὶ, τὴν λήθην προβάλλεται, δεῖ αὐτῷ συγχωρηθῆναι, καὶ εἰς τὴν κρίσιν τοῦ Θεοῦ ἀναρτῆσαι αὐτόν· ὅτι γὰρ οὐκ ἐσμὲν καρδιογνῶσται, ἀλλ' ὡς ἀκούομεν κρίνομεν, δῶμεν τὴν ἐκδίκησιν τῷ Θεῷ, συγγνωμονήσαντες διὰ τὴν λήθην, ἥτις ἐστὶ πάθος ἀνθρώπινον.

ΒΑΛΣ. Τινὲς εἰς τὸ χειροτονηθῆναι μετακαλούμενοι, ἐξωμνύοντο μὴ καταδέξασθαι τὴν χειροτονίαν. Τοὺς οὖν τοιούτους λέγει ὁ ἅγιος μὴ δεῖν ἀναγκάζεσθαι ἐπιορκεῖν· κἂν γὰρ δοκῇ, φησὶν, ἐξεῖναι τοῖς ἀφ' ἑαυτῶν ὀμόσασιν, ἢ δεσμόν τινα ἑαυτοῖς ἐπιβαλοῦσιν, ὡς μὴ φαγεῖν κρέας, ἢ μὴ πιεῖν οἶνον, ἢ μὴ τόδε ποιῆσαι, λύειν πάλιν ἀφ' ἑαυτῶν τὸν δεσμὸν, καὶ τοῦ ὅρκου ἀφίστασθαι, ἀλλ' ἐκ πείρας ἐμάθομεν, ὅτι οἱ παρορκήσαντες οὐκ εὐοδοῦνται, ἀλλ' ὑπὸ τοῦ Θεοῦ παραχωροῦνται πειρασθῆναι διὰ τὴν ἐπιορκίαν. Δεῖ δὲ, φησὶν, ἐπὶ τῶν τοιούτων, καὶ τὸ εἶδος τοῦ ὅρκου σκοπεῖν, ἤγουν εἰ Θεὸν ὠνόμασεν ὁ ὀμνύων, ἢ ἄλλο τι, καὶ



τὰ ῥήματα τοῦ ὀμόσαντος, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας. Εἰκὸς γάρ ἐστιν, ἐκ τῆς τοῦ ὅρκου ποιότητος, καὶ ἐκ τῶν ῥημάτων, καὶ τῆς διαθέσεως, (εἰ τυχὸν ἐκ μικροψυχίας, καὶ οὐκ ἐξ ἀμεταθέτου γνώμης ὤμοσε) καταλαβεῖν τοὺς σκοποῦντας, μὴ κωλύεσθαι τὸν ὀμόσαντα ἀποστῆναι τοῦ ὅρκου· εἰ δὲ τούτων σκοπουμένων οὐκ ἔστιν εὑρεῖν παραμυθίαν τινὰ εἰς τὸ ἀποστῆναι τοῦ ὅρκου, χρὴ τοὺς τοιούτους ἐᾷν, ἵνα μὴ ἐπιορκῶσι. Τὸ δὲ κατὰ Σευῆρον πρᾶγμα, ἤτοι ἡ πρᾶξις καὶ ἡ ὑπόθεσις, τοιοῦτον ἦν. Λογγῖνός τις εἶχεν ἀγρὸν, Μίνδανα καλούμενον, τῇ ἐπισκοπῇ τῆς Μισθείας ὑποκείμενον. Σευῆρος δὲ, Μασάδων ἐπίσκοπος ὢν, ἐχειροτόνησε Κυριακόν τινα εἰς τὸν ἐν τῷ ναῷ ἀγρὸν πρεσβύτερον, ὀμόσαντα παραμένειν τῷ ναῷ, ἢ μᾶλλον τῇ ἐπισκοπῇ ὑποτελεῖν. Ἀλλ' ὁ τῆς ἐνορίας ἐπίσκοπος, ᾗ ὑπέκειτο ὁ ἀγρὸς, ἐκώλυσε τὸν Κυριακὸν ἱερουργεῖν ἐν ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ, παρ' ἑτέρου χειροτονηθέντα· διὸ καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς, μετετέθη ἀλλαχοῦ· καὶ ὁ Λογγῖνος διὰ τοῦτο λυπούμενος ἠπείλει ἐρημῶσαι τὴν ἐκκλησίαν. Ἐρωτηθεὶς γοῦν ὁ μέγας Βασίλειος περὶ τούτου, ἀπεκρίνατο τὸν ἀγρὸν, ᾧ ἐπεκηρύχθη ὁ Κυριακὸς, ἤγουν εἰς ὃν ὠνομάσθη πρεσβύτερος, ὑποτεθῆναι τῇ ἐπισκοπῇ τῶν Μασάδων, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν αὖθις ἐπαναστρέψαι ἐκεῖ· οὕτω γὰρ, φησὶν, οὔτε ἐκεῖνος παρὰ τὸν ὅρκον ποιήσει, οὔτε ὁ Λογγῖνος τὴν ἐκκλησίαν ἐρημώσει, ἀντὶ τοῦ, ἔρημον καταλείψει, ἢ καὶ καθελεῖ, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ταῖς ἀργίαις καταδικάσει, ἤγουν ὑποβαλεῖ, τῷ μὴ σχολάζειν εὐχαῖς καὶ τοῖς θείοις ὕμνοις, ἀλλὰ ἀργεῖν ἐκ τούτων· καὶ ἡμεῖς, φησὶν, οἰκονομοῦντες τὰ κατὰ τὸν Κυριακὸν, καὶ ἐπιστρέψαι αὐτὸν εἰς τὴν ἐκκλησίαν, ᾗ ὤμοσεν ἐγκαρτερεῖν, ἐπιτρέποντες, οὐ δόξομεν παρὰ κανόνας ποιεῖν, οὐδὲ ἐκεῖνος παραβαίνειν τὸν ὅρκον κριθείη· ἐπανερχόμενος γὰρ δοκεῖ φυλάσσειν τὸν ὅρκον, ὅτι οὐδὲ πρόσκειται τῷ ὅρκῳ, οὐδὲ πρὸς βραχὺ ἀναχωρήσειν τοῦ ἀγροῦ τῶν Μινδάνων. Ὅρα οὖν πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως καὶ κατασκοπήσεως ἐθήρευσεν ὁ ἅγιος νοῦν, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. Ταῦτα μὲν οὖν περὶ τοῦ Κυριακοῦ. Ὁ δὲ Σευῆρος αἰτιώμενος, ὅτι εἰς ἀγρὸν ἀλλοτρίᾳ ὑποτελοῦντα ἐνορίᾳ ἐχειρο-

τόνησεν, ἔλεγε κατὰ λήθην τοῦτο ποιῆσαι, ἀγνοήσας ἑτέρῳ τὸν ἀγρὸν ὑποκεῖσθαι. Ἐπεὶ οὖν, φησὶ, τὴν λήθην προβάλλεται, δεῖ αὐτὸν συγχωρηθῆναι, καὶ εἰς τὴν κρίσιν ἀναρτῆσαι αὐτὸν τοῦ Θεοῦ· ὅτι γὰρ οὐκ ἐσμὲν καρδιογνῶσται, ἀλλ', ὡς ἀκούομεν, κρίνομεν, δῶμεν τὴν ἐκδίκησιν τῷ Θεῷ, συγγνωμονήσαντες διὰ τὴν λήθην, ἥτις ἐστὶ πάθος ἀνθρώπινον· καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸ ιή. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ εἰς τὴν ἑρμηνείαν αὐτοῦ γραφέντα χάριν ἀναψηλαφήσεως ὅρκων. Ἔχε δὲ ἐπὶ μνήμης καὶ τὸ παρὰ τοῦ ἁγίου ὁρισθὲν χάριν τοῦ παρεμπεσόντος φάκτου ἐπὶ τῇ χειροτονίᾳ τοῦ Κυριακοῦ, καὶ τῇ γενομένῃ παρὰ τούτου δῆθεν ἐπιορκίᾳ, καὶ σημείωσαι, ὅτι διὰ τούτου συγγινώσκονται, ὡς ἔοικεν, οἱ κατὰ τινας πατριαρχικὰς ἐκκλησίας ἱερουργοῦντες ἐγχώριοι ἀρχιερεῖς· εἰ γὰρ μὴ τὸ τῆς ἀγνοίας πρόβλημα ἐβοήθησε τῷ Σευήρῳ, καθῃρέθη ἂν διὰ τὸ παρ' ἐνορίαν ποιῆσαι χειροτονίαν. Περὶ δὲ ἱερέων ψευδῶς μαρτυρησάντων, ἀνάγνωθι τὴν ος'. νεαρὰν τοῦ Βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διαλαμβάνουσαν, ὡς, εἰ μὲν ἔνορκον ψευδομαρτυρίαν ποιήσει ὁ ἱερεὺς, καθαιρεῖται· ὅρκου δὲ μὴ παραζευγνυμένου, ἀφορίζεται ἐπὶ τριετῆ χρόνον εἰς μοναστήριον, καὶ οὕτως εἰς τὴν ἰδίαν τάξιν ἀποκαθίσταται.

*Ἑτέρα ἑρμηνεία Βαλσαμῶνος* (1).

Εἰς τὴν ἑρμηνείαν τοῦ κή. καὶ τοῦ κθ'. κανόνος τοῦ παρόντος ἁγίου Πατρὸς ἐγράψαμεν χάριν τῶν ὅρκων πολλά. Ἐπεὶ δὲ ἤκουσά τινος λέγοντος ὀμότην εἶναι τὸν ὀμνύοντα, μὰ τὴν σωτηρίαν μου, μὰ τὰς εὐχὰς τῶν ἁγίων Πατέρων, νὰ ἴδω συγχώρησιν τῶν ἁμαρτιῶν μου, καὶ τὰ τοιαῦτα, λέγω, ὅτι ὁ μέγας ἅγιος Βασίλειος ἔγραψεν ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ, ὅτι ταῦτα οὐκ εἰσὶν ὅρκοι, ἀλλὰ εὐχαὶ, καὶ σχήματα ὅρκων, πρὸς θεραπείαν τῶν ἀκουόντων λεγόμενα, διὸ καὶ εἰσὶν ἀνέγκλητα. Καὶ ὁ Ἰωσὴφ γὰρ, φησὶν, ὤμνυε, μὰ τὴν ὑγείαν Φαραὼ(2)· καὶ ὁ Ἀπόστολος πρὸς Κορινθίους ἔγραφε, μὰ τὴν ἡμετέραν καύχησιν, καὶ πάλιν, Εὐλογητὸς ὁ Θεὸς, ἀλήθειαν λέγω καὶ οὐ ψεύδομαι (1).

(1) Ἡ δευτέρα αὕτη ἑρμηνεία ἀναγινώσκεται ἐν Χ. Τρ. οὐ κεῖται δὲ παρὰ Βευερ. καὶ Ἐ. — (2) Γεν. ΜΒ', 15, 16.



ΑΡΙΣΤ. Οὐκ ἀναγκάσεις τὸν μὴ ἂν χειροτονηθῆναι ὀμόσαντα.

Τὸν ψηφισθέντα ἐπίσκοπον, καὶ διά τινα παρεμπεσοῦσαν δυσχέρειαν ἐπομοσάμενον τὴν χειροτονίαν μὴ καταδέξασθαι, χειροτονηθῆναι οὐκ ἀναγκάσεις. Χρὴ δὲ σκοπεῖσθαι καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν ῥήμασι προσθήκας· καὶ ἐὰν ᾖ τίς ποθεν παραμυθία τοῦ ὅρκου, συγχωρεῖ αὐτῷ τὴν δοκοῦσαν ἐπιορκίαν, καὶ χειροτονεῖσθαι ἐπιτρέπει· ἐὰν δὲ μηδεμία ᾖ μηδαμόθεν καταφυγὴ, ἀλλὰ πανταχόθεν ἐπιορκῶν εὑρίσκεται, εἰ χειροτονηθῆναι συγχωρηθῇ, δεῖ παντελῶς παρεξὴν τὸν τοιοῦτον.

## Κανὼν ΙΑ'.

Ὁ δὲ τὸν ἀκούσιον ποιήσας φόνον, ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην ἐν τοῖς ἕνδεκα ἔτεσι· δῆλον γὰρ ὅτι ἐπὶ τῶν πληγέντων τὰ Μωϋσέως παρατηρήσομεν· καὶ τὸν καταπκλιθέντα μὲν ὑπὸ (2) τῶν πληγῶν ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, οὐ λογισόμεθα πεφονεῦσθαι· εἰ δὲ καὶ οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλ' οὖν τῷ μὴ προελέσθαι αὐτὸν ἀνελεῖν, ὁ τυπτήσας, φονευτὴς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν (3).

---

ΖΩΝΑΡ. Ἀκούσιόν τις ἐποίησε φόνον, καὶ ἕνδεκα διεβίβασε χρόνους ἀφωρισμένος. Ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ χρὴ λυθῆναι αὐτὸν τοῦ δεσμοῦ, καὶ ἀπεκρίνατο, ὅτι ἐν τοῖς ἕνδεκα ἔτεσιν ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην, ἤγουν τὴν τιμωρίαν· τὰ δὲ ἕνδεκα ἔτη εἶπεν, οὐχ ὡς τοσούτῳ χρόνῳ τοῦ ἀκουσίως φονεύσαντος ἐπιτιμωμένου, δεκαετίᾳ γὰρ ὁ τοιοῦτος ἐπιτιμᾶται, κατὰ τὸν νζ'. κανόνα τοῦ μεγάλου τούτου Πατρὸς, ἀλλ' ὡς οὕτω τοῦ φάκτου ἔχοντος· εἶτά φησιν, ὅτι καὶ ἐν τοῖς πληγεῖσι, καὶ ἀποθανοῦσι πα-

(1) α', Κορ. ΙΕ', 31. — Β', Κορ. ΙΑ', 31. — (2) Σ. Ρ. Π. — ἐπὶ Χ. Τρ. Βευερ. Ἐ. — (3) Ἐξόδ. ΚΑ', 18, 19.

ρατηρήσομεν, ἤτοι παραφυλάξομεν τὸν νόμον τὸν Μωσαϊκὸν, ὅστις ὥρισε, τὸν πληγέντα παρά τινος, καὶ κατακλιθέντα διὰ τὰς πληγὰς, ἐὰν μετὰ ταῦτα ἐξαναστῇ, καὶ περιπατήσῃ ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, ἤτοι κἂν μὴ τελείως ἀπαλλαγῇ τῆς ἀσθενείας, ἀλλὰ τέως βαδίσῃ ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ ἐπιστηριζόμενος, ὡς ἔτι λείψανα φέρων τῆς ἀσθενείας, εἶτα ἀποθάνῃ, μὴ δοκεῖν φονευθῆναι, μηδὲ τὸν πλήξαντα αὐτὸν φονέα λογίζεσθαι. Ταῦτα μὲν οὖν τὰ τοῦ Μωσέως. Εἶτα ἐπάγει ὁ ἅγιος, ὅτι, κἂν οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλὰ κείμενος ἐξ αὐτῶν ἐτελεύτησε, φονεὺς μὲν ὁ πλήξας αὐτὸν λογισθήσεται, ἀκούσιος δέ· οὐδὲ γὰρ σκοπὸν ἔσχεν ἀνελεῖν αὐτὸν, ἀλλὰ τυπτῆσαι.

ΒΑΛΣ. Ὁ νζ'. κανὼν τοῦ ἁγίου τούτου Πατρὸς, ἐπὶ δέκα ἔτεσι χωρίζει τοὺς ἀκούσιον φόνον ποιήσαντας τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως· ὁ δὲ παρὼν κανὼν φησὶ, τὸν μὴ μόνον ἐπὶ δέκα ἔτεσιν, ἀλλ' ἕνδεκα, μὴ μετασχόντα τῶν ἁγιασμάτων ἀκούσιον φονευτὴν, ἐκ περιουσίας δέχεσθαι. Εἶτα προστίθησι μὴ ἀπεντεῦθεν ὡς φονέα κατακρίνεσθαι τὸν πλήξαντά τινα, κἂν καιρίαν ἐπήνεγκε πληγὴν, μὴ ἐπὶ σκοπῷ μέν τοι φόνου· ἀλλὰ χρὴ, φησὶ, κατὰ τὸν Μωσαϊκὸν νόμον, προσέχειν ἐπὶ τῷ πληγέντι· καὶ εἰ μὲν μετὰ τὸ κατακλιθῆναι ἐκ τῆς πληγῆς εἰς ὑγείαν οὐ προέκοψεν, ἀλλ' ἐτελεύτησεν, ἐξ ἀνάγκης ὑποκεῖσθαι τὸν πλήξαντα τῷ τοῦ ἀκουσίου φόνου ἐγκλήματι· εἰ δὲ ἀνέστη ἐκ τῆς πληγῆς, καὶ περιεπάτησεν ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, ἤγουν μὴ τελείως ἀπηλλάγη τῆς ἀσθενείας, εἶτα ἀπέθανε, μὴ λογίζεσθαι τὸν πλήξαντα φονέα. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, καθὼς εἴπομεν καὶ ἐν τῷ ή. κανόνι, τὸν ἀκούσιον φόνον ἐκ τοῦ ἀποτελέσματος ἀναφαίνεσθαι· διὰ τοῦτο γὰρ οὐδὲ τὴν πληγὴν περιεργαζόμεθα, εἴτε μικρὰ γέγονεν, εἴτε μεγάλη, ἀλλὰ τὸν ἐκ τῆς πληγῆς θάνατον· ὥσπερ ὁ ἑκούσιος φόνος ἐκ μόνης τῆς προθέσεως κατακρίνεται, κἂν μὴ προβῇ ἀποτέλεσμα, ἤτοι θάνατος. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐπὶ τοῦ ἀκουσίου φόνου κακῶς τινες πολυπραγμονοῦσι κατὰ ποίαν ἡμέραν ἡ πληγὴ ἐπηνέχθη, καὶ μετὰ πόσας ἡμέρας ἐπηκολούθησε τῷ πληγέντι ὁ θάνατος· κἂν γὰρ πολὺς παρῆλθε μετὰ τὴν πληγὴν καιρὸς, ὅμως δὲ ἐκ τῆς τοιαύτης αἰτίας ἔθανεν ὁ τὴν πληγὴν ὑποστὰς, οὐδὲν



ἧττον γενέσθαι λέγομεν τὸν ἀκούσιον φόνον. Ἀνάγνωθι καὶ τὸν η'. κανόνα τοῦ ἁγίου τούτου Πατρὸς, καὶ τὴν ἑρμηνείαν αὐτοῦ.

ΑΡΙΣΤ. Ὁ ἀκούσιος φονευτὴς, δεκαετίαν ὑποπιπτέτω. Σαφής.

## Κανὼν ΙΒ'.

**Τοὺς διγάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.**

---

ΖΩΝΑΡ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ'. λέγει τὸν ἀποστολικὸν, οὕτω διαταττόμενον· Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΒΑΛΣ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ'. κανόνα τῶν ἁγίων Ἀποστόλων λέγει, καὶ ὑπηρεσίαν, τὴν ἐκκλησιαστικὴν κλήρωσιν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα.

ΑΡΙΣΤ. Ὁ δίγαμος, καὶ ἀκλήρωτος.

Καὶ ἄλλοι πολλοὶ τῶν κανόνων, τὸν δίγαμον τῆς ἱερωσύνης ἐκώλυσαν.

## Κανὼν ΙΓ'.

**Τοὺς ἐν πολέμοις φόνους οἱ Πατέρες ἡμῶν, ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖ, συγγνώμην διδόντες(1) τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας μόνης ἀπέχεσθαι.**

---

ΖΩΝΑΡ. Οὐ κατ' ἐπιταγὴν φησιν ὁ ἅγιος, τοὺς ἐν πολέμοις ἀναιροῦντας ἐπὶ τριετίαν ἀπέχεσθαι τῆς κοινωνίας, ἀλλὰ κατὰ συμβουλήν· πλὴν φορτικὴ ἡ τοιαύτη δοκεῖ συμβουλή· συμβαίη γὰρ ἂν ἐκ ταύτης, μηδέποτε τοὺς στρατιώτας μεταλαβεῖν τῶν θείων δώρων, καὶ μάλιστα τοὺς θάρσος ἐνδεικνυμένους, καὶ ἀριστεῖς· οὐ γὰρ ἄν ποτε σχοῖεν ἄδειαν ἐπὶ τριετίαν ἠρε-

(1) Χ. Τρ. — δόντες Ἐ. Βιυερ.

μῆσαι. Εἰ γοῦν οἱ πολέμοις ἀλλεπαλλήλοις σχολάζοντες, καὶ ἀναιροῦντες τοὺς πολεμίους, εἴργονται τῆς κοινωνίας, ἔσονται διὰ βίου στερούμενοι τῆς τοῦ ἀγαθοῦ μεταλήψεως· ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. Διὰ τί δὲ τὰς χεῖρας οὐ καθαροὶ κριθεῖεν οἱ ὑπὲρ τοῦ πολιτεύματος καὶ τῶν ἀδελφῶν ἀγωνιζόμενοι, ἵνα μὴ ληφθεῖεν τοῖς πολεμίοις, ἢ ἵνα αἰχμαλωτισθέντας ἐλευθερώσωσιν; Εἰ γὰρ φονεύειν τοὺς βαρβάρους εὐλαβηθήσονται, ὡς τὰς χεῖρας ἐντεῦθεν μιαίνοντες, οἰχήσεται ξύμπαντα, καὶ κρατήσουσιν οἱ βάρβαροι πάντων· ἃ καὶ οἱ πάλαι Πατέρες λογισάμενοι, οὐ τοῖς φονεῦσι συγκατέλεξαν τοὺς ἐν πολέμοις φονεύοντας, συγγνωμονήσαντες αὐτοῖς, ὡς οὗτος ἔφησεν ὁ ἅγιος, ὡς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις· εἰ γὰρ οἱ βάρβαροι κυριεύσουσιν, οὔτε εὐσέβεια ἔσται, οὔτε σωφροσύνη· τὴν μὲν γὰρ εὐσέβειαν ἀθετήσουσι, τὸ οἰκεῖον σέβας κρατύνοντες· τὴν δὲ σωφροσύνην οὐδεὶς μετιέναι συγχωρηθήσεται, ἀλλὰ ζῆν κατ' ἐκείνους ἅπαξ ἐκβιασθήσεται. Ὁ δὲ τὰ θεῖα πολὺς Ἀθανάσιος, ἐν τῇ πρὸς Ἀμμοῦν μονάζοντα κανονικῇ ἐπιστολῇ ταῦτα λέγει ῥητῶς· Φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, ἔννομόν τε καὶ ἐπαίνου ἄξιον. Οἶμαι γοῦν, ὡς οὔποτε ἡ τοῦ μεγάλου Βασιλείου ὑποθήκη αὕτη ἐκράτησε· τέως δὲ ἐν καιρῷ τοῖς ἀντεχομένοις τῶν ἐκκλησιαστικῶν παραδόσεων ἐλυσιτέλησε. Τοῦ γὰρ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, ὡς ἱστόρηται, ἀπαιτοῦντος τοὺς ἐν πολέμοις ἀναιρουμένους συντάττεσθαι τοῖς μάρτυσι, καὶ κατ' ἐκείνους τιμᾶσθαι καὶ ὑμνεῖσθαι, οἱ τότε ἀρχιερεῖς ἀντεπέφερον μὴ δίκαιον εἶναι τοὺς τοιούτους τιμᾶσθαι(1), καὶ μὴ πείθοντες, τελευταῖον ὡς κανόνι τούτῳ ἐχρήσαντο, φάμενοι, Πῶς ἡμεῖς τοῖς μαρτυρήσασι τοὺς ἐν πολέμοις πεσόντας συναριθμήσομεν, οὓς ὁ μέγας Βασίλειος, ὡς μὴ καθαροὺς τὰς χεῖρας, ἐπὶ τριετίαν τῶν ἁγιασμάτων ἀπεῖρξε;

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ὑποτίθησιν ὁ ἅγιος συμβουλευτικῶς, τοὺς ἐν πολέμῳ φονεύσαντας ἀπέχεσθαι τῆς κοινωνίας δι' ὅλης τριετίας, κἂν οἱ Πατέρες τοῖς τοιούτοις συγ-

(1) Βευερ.—οἱ τότε ἀρχιερεῖς πολλὰ λέγοντες μὴ χρῆναι τοῦτο γίνεσθαι, Χ. Τρ.



γνώμην δεδώκασι, καὶ μετὰ φονέων αὐτοὺς οὐκ ἐλογίσαντο, ἀγωνισαμένοις ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης τῶν μελλόντων(1) αἰχμαλωτισθῆναι πιστῶν. Οὗτος δὲ ὁ κανών, ἀξίως μὲν τῇ ἁγιοπρεπείᾳ τοῦ θείου Πατρὸς ἐξετέθη, οὐκ ἐνεργεῖ δέ, διὰ τὸ συμπίπτειν, εἰ τοῦτο δοθῇ, μηδέποτε τοὺς στρατιώτας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων, πολέμοις ἀλλεπαλλήλοις ἐνασχολουμένους, καὶ ἀναιροῦντας τοὺς πολεμίους· ὅπερ ἐστὶν ἀφόρητον. Γέγραπται δέ, ὡς τοῦ βασιλέως ἐκείνου Φωκᾶ ἀξιοῦντος μετὰ μαρτύρων συναριθμεῖσθαι τοὺς ἐν πολέμοις ἀναιρουμένους, οἱ τότε ἀρχιερεῖς τῷ κανόνι τούτῳ χρησάμενοι, τὴν βασιλικὴν ἔνστασιν κατεσίγησαν, φάμενοι, πῶς τοῖς μάρτυσι συναριθμήσομεν τοὺς ἐν πολέμοις πεσόντας, οὓς ὁ μέγας Βασίλειος, ὡς μὴ καθαροὺς τὰς χεῖρας, ἐπὶ τριετίαν ἐκώλυσε τῶν ἁγιασμάτων; Διαφόρων δὲ ἱερέων παραστάντων συνοδικῶς κατὰ βασιλικὸν ὁρισμόν, ἀλλὰ μὴν καὶ ἐπισκόπου τινός, καὶ ἐξομολογησαμένων μετὰ πολεμίων συμπλακῆναι, καὶ ἀνελεῖν πολλοὺς ἐξ αὐτῶν, ἡ μὲν θεία καὶ ἱερὰ σύνοδος, ἀκολούθως τῷ κανόνι τούτῳ καὶ τῷ μγ'. τοῦ αὐτοῦ ἁγίου, καὶ ἑτέραις θείαις διαταγαῖς, ἤθελε μηκέτι αὐτοὺς ἱερουργῆσαι· οἱ πλείους δέ, καὶ μᾶλλον οἱ στρατιωτικώτεροι, καὶ βραβείων αὐτοὺς ἀξίους εἶναι διενίσταντο. Πολλοὶ δὲ ἀνελόντες ἀνθρώπους ἐν τῷ καιρῷ τῆς μετὰ ῥάβδων παιγνικῆς συμβολῆς, μετὰ φονέων ἐλογίσθησαν ἑκουσιοακουσίων, οἷα τοῦ τοιούτου παιγνίου μὴ ὄντος ἀπὸ τῶν ἐπιγινωσκομένων τῷ νόμῳ πέντε παιγνίων, τῶν καὶ ἀγώνων λεγομένων, ἤγουν τῆς πυγμῆς, τοῦ δρόμου, τοῦ πηδήματος, τοῦ δίσκου, καὶ τῆς παλαίστρας· ὥστε οἱ ἐν τοῖς τοιούτοις παιγνίοις φονεύοντες, οὐ προκριματίζονται.

ΑΡΙΣΤ. Ὁ πολεμιστὴς τῇ εὐσεβείᾳ, εἰ καὶ ἀμύνοι, τριετίαν ἀπεχέσθω τῆς κοινωνίας.

Τοὺς ἐν πολέμοις φόνους, μὴ φόνους λογισθέντας παρὰ τῶν Πατέρων, καθὼς καὶ ὁ μέγας Ἀθανάσιος πρὸς Ἀμμοῦν μονάζοντα ἐπιστέλλει, τιμῶν μεγάλων, λέγων, ἀξιοῦσθαι τοὺς ἐν πολέμοις ἀριστεύσαντας χρή, καὶ στήλας τούτων ἐγείρεσθαι, κηρυττούσας τὰ κατορθώματα, ὡς ἀναιροῦντας τοὺς ἀντιπά-

(1) Βευερ. — μελλουσῶν Χ. Τρ. Ε.

λους, καὶ πρᾶγμα ποιοῦντας ἔννομον, καὶ ἐπαίνου ἄξιον. Οὐδὲ ὁ μέγας οὗτος ἀνὴρ τὴν κρίσιν αὐτῶν ἀποδοκιμάζει, διὰ τὸ ὑπὲρ σωφροσύνης καὶ εὐλαβείας ἀμύνεσθαι τὸν πολεμιστήν· πλὴν συμβουλεύει καλὸν εἶναι, τῆς κοινωνίας μόνης τὸν τοιοῦτον ἀπέχεσθαι, διὰ τὸ μὴ καθαρὰς ἔχειν τὰς χεῖρας.

## Κανὼν ΙΔ'.

**Ὁ τόκους λαμβάνων, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλῶσαι, καὶ τοῦ λοιποῦ τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.**

---

ΖΩΝΑΡ. Ὁ ιζ'. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, τοὺς ἐπὶ τόκοις δανείζοντας ἱερωμένους, καθαιρεῖσθαι προστάττει· ὁ δὲ μέγας οὗτος Πατὴρ, εἰ τὸ ἐκ τῶν τόκων κέρδος, φησὶν, εἰς πτωχοὺς ἀναλώσει, καὶ τοῦ λοιποῦ ἀπόσχηται τοῦ τοκίζειν, δεκτός ἐστιν εἰς ἱερωσύνην. Ἴσως οὖν τισιν ἐναντιοῦσθαι δόξει τῷ τῶν ἐν Νικαίᾳ Πατέρων κανόνι ὁ παρὼν κανών· ἀλλ' οὐκ ἔστι τοῦτο. Ἐκεῖνος μὲν γὰρ περὶ ἱερωμένων διατάττεται τοκιζόντων, οὗτος δὲ περὶ λαϊκῶν, καὶ τὸν ἀποσχόμενον τοῦ τοκίζειν λαϊκὸν, καὶ τὸ ἐκεῖθεν περιελθὸν αὐτῷ κέρδος διαδιδόντα πτωχοῖς, μὴ ἐμποδίζεσθαι λέγει προαχθῆναι εἰς ἱερωσύνην.

ΒΑΛΣ. Ὁ μὲν μδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, τοὺς τοκίζοντας ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους, παύεσθαι, ἢ καθαιρεῖσθαι διορίζεται· ὁ δὲ ιζ'. κανὼν τῆς α. συνόδου, πάντας τοὺς κανονικοὺς τοκίζοντας, καθαιρεῖσθαι παρακελεύεται· ἀνάγνωθι οὖν τὰς τῶν τοιούτων κανόνων ἑρμηνείας. Ἐπεὶ δὲ ὁ πολιτικὸς νόμος οὐ κολάζει τοὺς λαϊκοὺς τοκίζοντας, ἀλλὰ καὶ μᾶλλον ἐπιτρέπει μετὰ τόκου δανείζειν, τινὲς δὲ, ὡς ἔοικε, δανείζοντες οὕτως, ἤθελον ἀξιωθῆναι βαθμοῦ ἱερατικοῦ, καὶ οὐκ ἐδέχοντο διὰ τὴν τοῦ τόκου αἰσχροκέρδειαν, φησὶν ὁ ἅγιος καὶ τοὺς τοιούτους δέχεσθαι εἰς ἱερωσύνην, ἐὰν τὰ ἀπὸ τοῦ τόκου συναχθέντα, εἰς πτωχοὺς ἀναλώσωσι, καὶ κατάθωνται μηκέτι τοῦτο ποιῆσαι.

ΑΡΙΣΤ. Ὁ τόκους λαμβάνων, δεκτὸς εἰς ἱερωσύνην, διορθούμενος.

Διόρθωσις δὲ τούτου αὕτη ἐστὶ, τὸ ἀναλῶσαι εἰς πτωχοὺς τὸ ἐπισυναχθὲν ἐκ τῶν τόκων ἄδικον κέρδος, καὶ ὑποσχέσθαι μηκέτι τῷ τοιούτῳ τῆς φιλοχρηματίας νοσήματι ἐμπεσεῖν.

## Κανὼν ΙΕ'.

Θαυμάζω δέ σου τὴν γραμματικὴν ἀκρίβειαν ἐπὶ τῆς Γραφῆς ἀπαιτοῦντος, καὶ λογιζομένου ὅτι ἠναγκασμένη ἐστὶν ἡ λέξις τῆς ἑρμηνείας τὸ ἑαυτῆς εὔσημον ἐκδιδούσης, οὐ τὸ κυρίως ὑπὸ τῆς Ἑβραϊκῆς φωνῆς σημαινόμενον μετατιθείσης. Ἐπεὶ δὲ δεῖ μὴ ἀργῶς παρελθεῖν τὸ ὑπὸ ἀνδρὸς ζητητικοῦ κινηθὲν πρόβλημα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ ἐν τῇ κοσμοποιΐᾳ τὴν αὐτὴν ἔλαχον γένεσιν· ἐκ τῶν ὑδάτων γὰρ ἐξήχθη καὶ ἀμφότερα τὰ γένη (1)· τὸ δὲ αἴτιον, ὅτι ταὐτόν ἐστιν ἑκατέροις ἰδίωμα· τὰ μὲν γὰρ διανήχεται τὸ ὕδωρ· τὰ δὲ ἐπινήχεται τῷ ἀέρι· διὰ τοῦτο κοινῇ μὲν αὐτῶν ἐπεμνήσθη. Τὸ δὲ σχῆμα τοῦ λόγου, ὡς μὲν πρὸς τοὺς ἰχθύας ἀκαταλλήλως ἀπεδόθη, ὡς δὲ πρὸς πάντα τὰ ἐν ὕδασι διαιτώμενα, καὶ πάνυ οἰκείως· τὰ γὰρ πετεινὰ τοῦ οὐρανοῦ ὑποτέτακται τῷ ἀνθρώπῳ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλασσῶν (2). Οὐ γὰρ εἴ τι ἔνυδρον, τοῦτο καὶ ἰχθύς ἐστιν, ὡς τὰ κητώδη, φάλαιναι, καὶ ζύγαιναι, καὶ δελφῖνες, καὶ φῶκαι, καὶ προσέτι ἵπποι, καὶ κύνες, καὶ πρίονες, καὶ ξιφίαι, καὶ οἱ θαλάσσιοι βόες, εἰ δὲ βούλει, καὶ ἀκαλῆφαι, καὶ κτένες, καὶ τὰ ὀστρακόρινα (3) πάντα, ὧν οὐδέν ἐστιν ἰχθύς, καὶ πάντα (4) διαπορεύεται τρίβους θαλασσῶν, ὡς εἶναι τρία τὰ γένη (5), πετεινὰ οὐρανοῦ, ἰχθύας θαλάσσης, καὶ ὅσα τῶν ἐνύδρων τοῖς ἰχθύσιν ἀντιδιαστελλόμενα διαπορεύονται καὶ αὐτὰ τὰς τρίβους θαλασσῶν.

---

(1) Γεν. Α', 20. — (2) Ψαλμ. Η', 8. — (3) Χ. Τρ. Βιυερ. — ὀστρακόδερμα Π. — (4) Χ. Τρ. — πάντα δ, Βιυερ. Π. Ε. — (5) Ἀπ. Βασιλ. (Ἐκδ. Παρισίων.) — τῷ γένει, οἱ λοιποί.

ΖΩΝΑΡ. Τὸ μὲν ἐρώτημα σαφῶς οὐ δηλοῦται· ἔοικε δὲ ἀπὸ τῆς ἀποκρίσεως τοῦ μεγάλου Βασιλείου τοιοῦτον εἶναι· ὅτι, πῶς τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης ὁ Δαβὶδ ὁμοῦ ἐμνήσθη, καὶ αὖθις ἔφη, τὰ διαπορευόμενα τρίβους θαλασσῶν; δοκεῖ γὰρ κατὰ τὸ περισσὸν ἐπαγαγεῖν τὴν προσθήκην ταύτην. Πρὸς μὲν οὖν τὸ ὁμοῦ μνησθῆναι τῶν πετεινῶν καὶ τῶν ἰχθύων, φησίν, ὅτι καὶ ἄμφω ἐκ τῶν ὑδάτων παρήχθησαν, καὶ ἐκεῖθεν ἔσχον τὴν γένεσιν· καὶ τοῦτο δῆλον, ἐκ τοῦ τὸ αὐτὸ ἰδίωμα καὶ τοῖς πετεινοῖς, καὶ τοῖς ἰχθύσι προσεῖναι· οἱ μὲν γὰρ ἰχθύες ἐννήχονται τοῖς ὕδασι, τὰ δὲ πετεινὰ ἐπινήχονται τὸν ἀέρα· καὶ οἱ μὲν τῇ κινήσει τῶν πτερῶν νήχονται, τῷ δὲ οὐραίῳ εἰς κυβέρνησιν κέχρηνται· τὰ πετεινὰ δὲ ὁμοίως τοῖς μὲν πτεροῖς πέτονται, τῇ δὲ οὐρᾷ πρὸς τὰς περιστροφὰς χρῶνται, καὶ τὰς κινήσεις τὰς κατ' εὐθύ· πρὸς δὲ τὸ μὴ παρέργως εἰπεῖν τὸν Ψαλμῳδὸν τοὺς ἰχθύας καὶ τὰ διαπορευόμενα τρίβους θαλασσῶν, ἔφη, ὅτι οὐχ ὅσα ἔνυδρα, πάντα ἰχθύες λέγονται, οὔτε γὰρ τὰ κητώδη ἰχθύες ὀνομάζονται, οὔτε τὰ ὀστρακόδερμα, καὶ ἄλλα τινά, οἷα σηπίαι, καὶ πολύποδες, καὶ τὰ τούτοις ὁμογενῆ· ὥστε τρία εἶναι γένη, πετεινά, καὶ ἰχθύας, καὶ ὅσα ἔνυδρα μέν, τῷ γένει δὲ τῶν ἰχθύων οὐ συνηρίθμηνται.

ΑΡΙΣΤ. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, ἅμα εἶπεν ἡ Γραφή, ὅτι ἐκ θαλάσσης ἀμφοτέρων ἡ γένεσις· ἐπήγαγε δέ, τὰ διαπορευόμενα τρίβους θαλασσῶν, διὰ τὰ κητώδη, καὶ ὀστρακόδερμα, ὧν οὐδέν ἐστιν ἰχθύς.

## Κανὼν ΙϚ'.

Ὁ δὲ Νεεμάν, οὐχὶ μέγας παρὰ Κυρίῳ, ἀλλὰ παρὰ τῷ κυρίῳ αὐτοῦ· τουτέστι, τῶν παραδυναστευόντων ἦν τῷ βασιλεῖ τῶν Σύρων. Πρόσεχε οὖν ἀκριβῶς τῇ Γραφῇ, καὶ αὐτόθεν εὑρήσεις τὴν λύσιν τοῦ ζητήματος (1).

---

ΖΩΝΑΡ. Ἠρωτήθη ὁ ἅγιος, καὶ πῶς ἡ Γραφὴ λέγει τὸν Νεεμὰν μέγαν παρὰ Κυρίῳ· καὶ εἶπεν, ὡς οὐ παρὰ τῷ Θεῷ μέγας ἦν ὁ Νεεμάν, ἀλλὰ παρὰ τῷ κυρίῳ αὐτοῦ· ἤγουν τῶν ᾠκειωμένων ἐκείνῳ, καὶ πολλὰ παρ' ἐκείνῳ δυναμένων.

(1) δ', Βασιλ. Ε', 1.



ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες, ὁ ιε'. καὶ ὁ ιϛ', μὴ ποιούμενοι κανονικὴν κοινὴν οἱανδήτινα παράδοσιν, ἀλλ' ἑρμηνείαν γραφικῶν ῥημάτων, οὐκ ἐξηγήθησαν παρ' ἡμῶν, ὡς μηδὲ προθεμένων γραφικὰ ἑρμηνεύειν ῥήματα, ἀλλὰ κανονικὰ καὶ νομικὰ παραγγέλματα.

ΑΡΙΣΤ. Νεεμὰν μέγας παρὰ τῷ κυρίῳ, οὐ τῷ Θεῷ, ἀλλὰ τῷ κυρίῳ αὐτοῦ.

Ἐν τούτοις τοῖς δυσὶ κεφαλαίοις, ἤγουν τῷ ιε'. καὶ τῷ ιϛ'. ἑρμηνεία οὐκ ἔστι, διὰ τὸ εἶναι ταῦτα μᾶλλον ἑρμηνείας τῶν ἀπορηθέντων γραφικῶν ῥημάτων παρὰ τοῦ ἁγίου Ἀμφιλοχίου τῷ μεγάλῳ Βασιλείῳ· πρὸς γὰρ τὰ ζητήματα, ἃ παρ' αὐτοῦ διηπορεῖτο, ἐποιεῖτο καὶ τὴν ἀπόκρισιν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ Β'. ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ.

### Κανὼν ΙΖ'.

ΠΑΛΑΙ πρὸς τὰς παρὰ τῆς εὐλαβείας σου προτεθείσας(1) ἡμῖν ἐρωτήσεις ἀποκρινάμενος, οὐκ ἀπέστειλα τὸ γράμμα, τοῦτο μὲν ὑπὸ τῆς ἀῤῥωστίας τῆς μακρᾶς καὶ ἐπικινδύνου ἀσχοληθείς, τοῦτο δὲ ὑπὸ τῆς ἀπορίας τῶν διακονουμένων· ὀλίγοι γὰρ παρ' ἡμῖν καὶ ὁδοῦ ἔμπειροι, καὶ παρεσκευασμένοι πρὸς τὰς τοιαύτας ὑπηρεσίας· ὥστε μαθὼν τὰς αἰτίας τῆς βραδύτητος, δὸς ἡμῖν τὴν συγγνώμην. Ἐθαυμάσαμεν δέ σου τὴν φιλομάθειαν ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην, ὅτι καὶ μαθεῖν καταδέχῃ, τὴν τοῦ διδάσκειν τάξιν πεπιστευμένος, καὶ μανθάνειν παρ' ἡμῶν, οἷς οὐδὲν μέγα πρόσεστι πρὸς γνῶσιν. Ἀλλ' ὅμως, ἐπειδὴ καταδέχῃ διὰ τὸν φόβον τοῦ Θεοῦ ποιεῖν πρᾶγμα οὐ ῥᾳδίως παρ' ἑτέρου γινόμενον, χρὴ καὶ ἡμᾶς τῇ προθυμίᾳ σου, καὶ τῇ ἀγαθῇ σπουδῇ συναίρεσθαι, καὶ ὑπὲρ δύναμιν. Ἠρώτησας(2) ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δεκτός ἐστιν εἰς τὸν κλῆρον διὰ τὸν ὅρκον· ἐγὼ δὲ ἤδη τινὰ κοινὸν (3) ὅρον περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὀμωμοκότων, τοῖς κατ' Ἀντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς· ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων· τὸ αὐτὸ δὲ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Ἀντιοχείᾳ ἐστὶν ἡ ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ· ἣν, ὡς αὐτὸς ἐπέστειλας ἡμῖν, τῆς Ἀντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο. Ἔστιν οὖν δεκτὸς ἐκεῖνος ὁ ἀνὴρ, ἀπαιτούμενος παρὰ

(1) προτεθείσας, Ἀπ. Βασιλ. — (2) ἐνταῦθα ἄρχεται ὁ κανὼν ἐν Χ. Γρ. καὶ Π. — (3) Ἀπ. Βασιλ. — τινὰ καὶ κοινὸν, εἰ λοιπεί.

τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάσαι τὴν ἐνόχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

---

ΖΩΝΑΡ. Ἀσαφὴς ἐστιν ἡ ἀπόκρισις αὕτη, μὴ οὔσης δήλης τῆς ἐρωτήσεως· τέως δὲ λέγεται ἄπιστόν τινα ἐνίους τῶν ἐν Ἀντιοχείᾳ πρεσβυτέρων βιάσασθαι ἀπειλαῖς ὀμόσαι μὴ ἐνεργεῖν τὰ τῶν ἱερέων· ὧν εἷς μετῴκησεν εἰς τὸ Ἰκόνιον, περὶ οὗ καὶ τὴν ἐρώτησιν ἐποιήσατο ὁ ἅγιος Ἀμφιλόχιος. Φησὶν οὖν ὁ μέγας Βασίλειος, ὅτι κοινὸν ὅρον, ἤγουν κανόνα καὶ τύπον ἐξεθέμην περὶ πάντων τῶν ἐν Ἀντιοχείᾳ ὀμοσάντων, ἵνα οἱ τοιοῦτοι ἀπέχωνται μὲν τῶν κοινῶν συλλόγων, ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων· τῶν δὲ συλλόγων αὐτοὺς ἀπέχεσθαι ὥρισεν, ἵνα μὴ πολλοῖς σκανδάλου αἴτιοι γίνωνται, εἰδόσιν αὐτοὺς ὀμόσαντας μὴ ἱερουργεῖν, ὁρῶσι δὲ δημοσίᾳ λειτουργοῦντας αὐτούς. Τοῦτο γοῦν καὶ τῷ Βιάνορι λέγει ἄδειαν παρέχειν πρὸς τὴν ὑπηρεσίαν, ἤγουν πρὸς τὴν λειτουργίαν, καὶ μᾶλλον, ὅτι οὐδὲ ἐν Ἀντιοχείᾳ μέλλει ἱερουργεῖν, ὅπου ὤμοσεν, ἀλλ' ἐν Ἰκονίῳ, ἔνθα μετῴκησεν. Ἀπαιτηθήτω δὲ, φησὶ, μετανοεῖν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ἤτοι ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὀμόσαι, ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

ΒΑΛΣ. Ὡς ἔοικε, τινὲς Ἀντιοχεῖς ἱερεῖς, ὧν εἷς ἦν καὶ ὁ Βιάνωρ, ὤμοσαν ἀπὸ ἀπειλῆς ἀπίστου τινὸς ὅρκον ἀθέμιτον, κἀντεῦθεν ἐσκανδάλισαν τοὺς ὀρθοδόξους, ὡς μὴ ὑπενεγκόντες τὴν ὄχλησιν τοῦ ἀπίστου. Τοῦ γοῦν Βιάνορος ἐξ Ἀντιοχείας μετοικήσαντος εἰς τὸ Ἰκόνιον, καὶ τοῦ ἁγίου Ἀμφιλοχίου τοῦ ἀρχιερατεύοντος ἐν Ἰκονίῳ ἐρωτήσαντος τὸν ἅγιον, εἰ δεκτός ἐστιν εἰς κλῆρον ὁ αὐτὸς Βιάνωρ, ἀπελογήσατο ὁ ἅγιος, ὅτι κοινὸν ὅρον, ἤγουν κανόνα ἐξεθέμην περὶ τῶν ἐν Ἀντιοχείᾳ ὀμοσάντων ἱερέων, ἵνα οὗτοι τῶν μὲν δημοσίων, ἤτοι κοινῶν συλλόγων ἀπέχωνται, ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων· ὅπερ καὶ ὁ Βιάνωρ ἐπ' ἀδείας ἔχει ποιεῖν, καὶ μᾶλλον, ὅτι οὐδὲ ἐν Ἀντιοχείᾳ μέλλει ἱερουργεῖν, καὶ διὰ τοῦτο σκαν-

δαλίζειν τοὺς ὁρῶντας αὐτὸν μετὰ τὸν ὅρκον ἱερουργοῦντα, ἀλλ' ἐν Ἰκονίῳ, ἔνθα μετῴκησε, καὶ ἴσως οὐδὲ σκανδάλου αἴτιος γενήσεται, ὡς τῶν πολλῶν μηδὲ εἰδότων τὴν τοῦ ὅρκου τελετήν. Πλὴν οὖν, φησὶ, κἂν δεκτός ἐστιν εἰς τὸ ἱερουργεῖν, ἀλλὰ ἀπαιτηθήτω μετανοεῖν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ἤτοι ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὀμόσαι, ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

ΑΡΙΣΤ. Ὁ πρεσβύτερος Βιάνωρ ὀμόσας, καὶ μεταμελόμενος διὰ τὴν εὐκολίαν ἐκείνου τοῦ ὅρκου, δεκτός.

Οὗτος ὁ πρεσβύτερος ὑπό τινος ἐπηρεαζόμενος, καὶ μὴ δυνάμενος τὴν ἐκείνου ὄχλησιν ὑπενεγκεῖν, ὤμοσεν ἐξ ὀλιγωρίας, μηκέτι λειτουργῆσαι· εἶτα μεταμεληθεὶς, ἱερατεύειν ἐβούλετο· καὶ ἐρωτηθεὶς περὶ τούτου ὁ μέγας Βασίλειος, εἰ δεκτέος ἐστὶ, προστάττει, ὡς εἰ μεταμέλεται ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, δεχθῆναι αὐτόν· μὴ ἐν δημοσίαις δὲ συνάξεσι λειτουργεῖν, διὰ τὸ τῶν πολλῶν σκάνδαλον, ἀλλ' ἰδίᾳ τὰ τῶν πρεσβυτέρων ἐνεργεῖν.

## Κανὼν ΙΗ΄.

Περὶ τῶν ἐκπεσουσῶν παρθένων τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ Κυρίῳ, εἶτα διὰ τὸ ὑποπεσεῖν τοῖς πάθεσι τῆς σαρκὸς ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν Πατέρες ἡμῶν ἁπλῶς(1) καὶ πρᾴως συμπεριφερόμενοι ταῖς ἀσθενείαις τῶν κατολισθαινόντων, ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτὸν, καθ' ὁμοιότητα τῶν διγάμων διαταξάμενοι. Ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ τῇ τοῦ Χριστοῦ (2) χάριτι προϊοῦσα ἡ ἐκκλησία κραταιοτέρα γίνεται, καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων, προσέχειν ἀκριβῶς τῷ κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς Γραφῆς διανοίᾳ, ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου· χηρεία γὰρ παρθενίας ἐλάττων· οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων. Ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου(3)· Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρη-

(1) ἁπλοϊκῶς Π. — (2) Θεοῦ, Ἄπ. Βασιλ. — (3) α', Τιμόθ. Ε', 11.

νιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. Εἰ τοίνυν χήρα κρίματι ὑπόκειται βαρυτάτῳ, ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν, τί χρὴ λογίζεσθαι ἡμᾶς περὶ τῆς παρθένου, ἥτις νύμφη ἐστὶ τοῦ Χριστοῦ, καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ Δεσπότῃ; Μέγα μὲν ἁμάρτημα καὶ δούλην λαθραίοις γάμοις ἑαυτὴν ἐπιδιδοῦσαν, φθορᾶς ἀναπλῆσαι τὸν οἶκον, καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον· πολλῷ δὲ δήπου χαλεπώτερον, τὴν νύμφην μοιχαλίδα γενέσθαι, καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι. Οὐκοῦν, ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ παρθένος, τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται. Ὥσπερ οὖν τὸν ἀλλοτρίᾳ γυναικὶ συνιόντα, μοιχὸν ὀνομάζομεν, οὐ πρότερον παραδεχόμενοι(1)εἰς κοινωνίαν, πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας, οὕτω δηλονότι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα. Ἐκεῖνο δὲ νῦν προδιομολογεῖσθαι ἡμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ Κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα· τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ' οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν ἔσχεν. Οὐδὲ γὰρ τὰς παιδικὰς φωνὰς πάντως κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι προσῆκεν, ἀλλὰ τὴν ὑπὲρ τὰ δεκαὲξ, ἢ τὰ δεκαεπτὰ γενομένην ἔτη, κυρίαν οὖσαν τῶν λογισμῶν, ἀνακριθεῖσαν ἐπὶ πλεῖον, εἶτα παραμείνασαν, καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι(2), τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις, καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυροῦν, καὶ τὴν ἀθέτησιν (3) αὐτῆς ἀπαραιτήτως κολάζειν. Πολλὰς γὰρ γονεῖς προσάγουσι, καὶ ἀδελφοὶ, καὶ τῶν προσηκόντων τινὲς, πρὸ τῆς ἡλικίας, οὐκ οἴκοθεν ὁρμηθείσας πρὸς ἀγα-

(1) Χ. Τρ. — καταδεξάμενοι Π. Βευερ. παραδεξόμενοι Σ. 'Ρ. παραδεξάμενοι Ἀπ. Βασιλ. — (2) δεχθῆναι Π. — (3) Σ. 'Ρ. Βευερ. — παραίτησιν Π. Χ. Τρ.

μίαν, ἀλλά τι βιωτικὸν ἑαυτοῖς διοικούμενοι· ἃς οὐ ῥαδίως προσδέχεσθαι δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

---

ΖΩΝΑΡ. Τὰς παρθενίαν ἐπαγγειλαμένας, εἶτα ἐκπεσούσας, καὶ ἀθετησάσας τὰς ἑαυτῶν συνθήκας, ἤτοι τὰς ὑποσχέσεις, οἱ μὲν παλαιότεροι Πατέρες συγκαταβατικώτερον διατιθέμενοι, ὡς οὗτος ὁ ἅγιος λέγει, ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι διετάξαντο, καὶ μετὰ ταῦτα δέχεσθαι κατὰ τοὺς διγάμους· οὗτος δὲ τῷ τῆς μοιχείας αὐτὰς καθυπάγει ἐπιτιμίῳ, καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον ἐντεῦθεν, λέγων, ὅτι χηρεία τῆς παρθενίας ἐλάττων· χήρας δὲ τὰς σωφρονεῖν ἐπαγγειλαμένας λέγει, καὶ συναριθμηθείσας παρὰ τῇ ἐκκλησίᾳ τῷ τάγματι τῶν χηρῶν. Ἐπεὶ οὖν ἐλάττων ἡ χηρεία τῆς παρθενίας, καὶ τὸ ἁμάρτημα τῆς τοιαύτης χήρας ἔλαττον παρὰ τὸ τῆς παρθένου, ἀλλ' ὅμως, φησί, τῷ Τιμοθέῳ γράφων ὁ Παῦλος περὶ χηρῶν ἐκπεσουσῶν διὰ τὸ μὴ φυλάξαι τὴν σωφροσύνην, κρίμα ἔχειν αὐτὰς ἀπεφήνατο· τῆς δὲ χήρας κρίματι, ἤγουν καταδίκῃ ὑποκειμένης, ὡς ἀθετησάσης τὴν εἰς Χριστὸν πίστιν, μείζονι πάντως ὑποκείσεται ἡ παρθένος, ἥτις νύμφη λογίζεται τοῦ Χριστοῦ, καὶ ἀνάθημα τῷ Θεῷ, ὡς ἱερὸν σκεῦος. Οὗτος μὲν οὖν ὁ ἅγιος τὴν πίστιν τὴν εἰς Χριστὸν ἔφη ἀθετῆσαι τὴν ἐκπεσοῦσαν χήραν· καὶ ἕτεροι δὲ, πρώτην πίστιν, τὴν ἐπαγγελίαν τῆς ἁγνείας ἡρμήνευσαν. Δούλη μὲν οὖν, φησὶ, πορνεύσασα, καθυβρίζει τὸν οἶκον τοῦ δεσπότου, κἀκεῖνον· εἰ δὲ ἡ νύμφη τοῦ δεσπότου τῆς δούλης ἐκείνης ἁμάρτῃ, μοιχαλίς ἐστι, καὶ χαλεπωτέρα ὕβρις τῷ νύμφην αὐτὴν ἔχοντι δι' ἐκείνης προστρίβεται· εἰς παράδειγμα δὲ τὴν δούλην παραθεὶς καὶ τὴν νύμφην, δούλῃ μὲν ἀπεικάζει τὴν ἁμαρτήσασαν χήραν, νύμφῃ δὲ, τὴν ἐκπεσοῦσαν παρθένον· καὶ τὴν μὲν ὡς διεφθαρμένην καταδικάζει, ἤτοι ὡς πορνευθεῖσαν· τὴν δὲ παρθένον, ὡς μοιχευθεῖσαν· καὶ ὥσπερ, φησὶ, τὸν ἀλλοτρίᾳ γυναικὶ συμφθειρόμενον, μοιχὸν λογιζόμεθα, καὶ εἰ μὴ ἀποστῇ τῆς μοιχείας, οὐκ ἄν ποτε αὐτὸν παραδεξώμεθα εἰς μετάνοιαν, οὕτως οὐδὲ τὸν εἰς τὴν ἀνατεθειμένην τῷ Θεῷ παρθένον ἡμαρτηκότα. Οὕτω δὲ βαρεῖαν κατὰ τῶν ἐκπιπτουσῶν παρθένων ἐπαγαγὼν τὴν ἐπιτίμησιν, ὁρίζεται τίνες ἂν λογίζοιντο παρθένοι ἀναθεῖσαι τῷ Θεῷ ἑαυτάς· καί φησιν, ὅτι αἱ ἑαυτὰς ἑκουσίως προσαγαγοῦσαι τῷ Κυρίῳ, καὶ ἀποταξάμεναι τῷ γάμῳ, καὶ ὁμολογήσασαι ἀγαμίαν, ποιησάμεναι δὲ τὴν ὁμολογίαν ἐν ις'. ἔτει, ἢ ιζ'. τῆς ἡλικίας αὐτῶν· τὰς δὲ πρὸ τῶν χρόνων τούτων ὁμολογίας, οὐ χρὴ, φησὶ, ῥαδίως προσδέχεσθαι, ἕως ἂν προφανῶς ἐκεῖναι δείξωσι γνώμην, ὅτι αἱροῦνται τὸν ἐν ἁγνείᾳ βίον, ἀνακρινόμεναι ἐπὶ πλέον ὅτε κύριαι γένωνται λογισμοῦ· πολλὰς γὰρ, φησὶ, προσάγουσι γονεῖς, ἢ συγγενεῖς, ἀκούσας, βιωτικόν τι ἑαυτοῖς διοικούμενοι· τυχὸν μὴ εὐποροῦντες δοῦναι προῖκα ὑπὲρ αὐτῶν, ἢ καὶ δι' ἄλλας αἰτίας τινὰς βιάζονται καὶ μὴ θελούσας αὐτὰς ἐπαγγείλασθαι ἁγνείαν, καὶ ἀγαμίαν· τὰς τοιαύτας οὖν, φησὶν, οὐ χρὴ ῥαδίως προσδέχεσθαι.

ΒΑΛΣ. Διαφόρως εἴπομεν, ὅτι παρθένοι γυναῖκες καὶ χῆραι μετὰ λαϊκοῦ σχήματος ταῖς ἐκκλησίαις προσερχόμεναι, αἱ μὲν παρθενίαν ὡμολόγουν, αἱ δὲ σωφροσύνην· καὶ ὡς ἀνατεθειμέναι τῷ Θεῷ, ἠξιοῦντο παρὰ τῶν ἐπισκόπων πάσης σωματικῆς ἐπιμελείας. Ἐρωτηθεὶς οὖν ὁ ἅγιος, τί ὀφείλει γίνεσθαι εἰς τὰς πορνευούσας παρθένους, ἔφησεν, ὅτι οἱ μὲν Πατέρες διορίζονται ἐπιτιμᾶσθαι ταύτας κατὰ τοὺς διγάμους, καὶ ἀξιοῦσθαι αὐτὰς τῆς ἁγίας μεταλήψεως μετὰ ἐνιαυτόν· ἐγὼ δὲ βλέπων τὴν ἐκκλησίαν προκόπτουσαν εἰς τὸ ἀγαθὸν, καὶ τὰς ἱερὰς παρθένους πληθυνομένας, λέγω, ὀφειλόμενον εἶναι μᾶλλον αὐτὰς ὡς μοιχαλίδας κολάζεσθαι, καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον ἐντεῦθεν, λέγων, ὅτι χηρεία τῆς παρθενίας ἐλάττων· εἰ τοίνυν, κατὰ τὸν Ἀπόστολον, κρίμα ἔχουσιν, ἤγουν καταδίκην, αἱ ἀθετήσασαι χῆραι τὴν ὁμολογίαν αὐτῶν, πολλῷ πλέον αἱ παρθένοι κατακριθήσονται. Ὡσαύτως παρεικάζει τὴν μὲν χήραν, δούλῃ, τὴν δὲ παρθένον, νύμφῃ τινὸς οἰκοδεσπότου, καὶ οὕτω συνάγει ἀπὸ πάντων, καλῶς ὑποκεῖσθαι τῷ τῆς μοιχείας ἐγκλήματι τὰς ἐκπεσούσας παρθένους· εἶτα ἐπιφέρει, ὅτι περὶ ἐκείνων τῶν παρθένων διαλέγεται, τῶν ἑκουσίως ἑαυτὰς προσαγουσῶν τῷ Κυρίῳ, καὶ ἀποταξαμένων τῷ γάμῳ ἐν ἡλικίᾳ ἑκκαιδεκάτου χρόνου, ἢ ἑπτακαιδεκάτου· τὰς δὲ ἐπὶ ἥττονι χρόνῳ γινομένας ὁμολογίας, φησὶ μὴ προσδέχεσθαι· πολλὰς γὰρ, φησὶ, προσάγουσιν οἱ γονεῖς καὶ μὴ

βουλομένας, δι' ἀπορίαν, ἢ δι' ἄλλην τινὰ αἰτίαν. Ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ εἴπῃς ἐξακούεσθαι τοῦτον καὶ εἰς μοναζούσας, ἢ ἀσκητρίας· κἂν γὰρ ἐν ἥττονι πάντῃ ἡλικίᾳ τὴν κοσμικὴν ἀπόθωνται τρίχα, βεβαία ἔσται, ὡς ἐμοὶ δοκεῖ, καὶ εἰς τὸ ἑξῆς ἡ ὁμολογία αὐτῶν.

ΑΡΙΣΤ. Μετ' ἐνιαυτὸν, τὰς μετὰ τὴν ὁμολογίαν ἐκπιπτούσας παρθένους, οἱ Πατέρες ἐδέχοντο· διὰ δὲ τὸ κραταιοτέραν γενέσθαι τὴν ἐκκλησίαν, μοιχαλίδα τὴν παρθενίαν ὁμολογήσασαν ὀνομάζομεν περιπίπτουσαν, καὶ μοιχὸν τὸν τοιαύτην κατέχοντα. Ὁμολογεῖ δὲ παρθενίαν ἡ περὶ τὰ ἑπτακαίδεκα ἔτη, καὶ ἀνακρινομένη, καὶ παραμένειν ἐκλιπαροῦσα.

Ἐπειδὴ μοιχαλίδα ὀνομάζει τὴν προσαγαγοῦσαν ἑαυτὴν τῷ Κυρίῳ, καὶ ἀποταξαμένην τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασαν βίον· εἰ παραβῇ τὰς ὁμολογίας, καὶ τὴν πρὸς τὸν νυμφίον Χριστὸν ἕνωσιν ἀτιμάσει, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦσα, οὐ παραδεχθήσεται ἄλλως τῇ ἐκκλησίᾳ, εἰ μὴ παυθῇ τῆς ἁμαρτίας, καὶ διαλύσει τὸ ἄθεσμον συνοικέσιον. Τοῦτο γὰρ διασπάσασα, καὶ μεταμεληθεῖσα, τὸν χρόνον τοῦ ἐπὶ τῇ μοιχείᾳ ἁμαρτήματος ἐκπληρώσει, ὥστε ἐν δέκα καὶ πέντε ἔτεσιν ἀκοινώνητον αὐτὴν εἶναι τῶν ἁγιασμάτων· ἐν τέσσαρσιν ἔτεσιν ἐξ αὐτῶν τῶν πεντεκαίδεκα ἐτῶν προσκλαίουσαν μὲν, ἐν πέντε δὲ τοῖς ἀκροωμένοις τῶν θείων Γραφῶν συντασσομένην, ἐν τέσσαρσιν ὑποπίπτουσαν, καὶ ἐν δυσὶ, τοῖς πιστοῖς συνεστῶσαν, καὶ τῶν εὐχῶν κοινωνοῦσαν· καὶ μετὰ τὸν πεντεκαιδέκατον χρόνον, τοῦ τελείου τυχεῖν, καὶ τῆς θείας κοινωνίας ἀξιωθῆναι. Κἂν ὁ κανὼν οὗτος ὑπὲρ τὰ δεκαὲξ, ἢ καὶ δεκαεπτὰ ἔτη, ἀπαιτῇ εἶναι τὴν ἐκλιπαροῦσαν παραδεχθῆναι εἰς τὸ τῶν παρθένων τάγμα, ἵν' ὡς τηνικαῦτα κυρία οὖσα τῶν λογισμῶν, καὶ τὴν τοῦ λόγου συμπλήρωσιν ἔχουσα, εἰ ἀθετήσει τὰς συνθήκας, ἀπαραιτήτως κολασθῇ· ἀλλ' οὖν ὁ τεσσαρακοστὸς κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τὸν δέκα ἐτῶν ὄντα, μέλλοντα τὸν μοναδικὸν ζυγὸν ὑπελθεῖν, παραδέχεται, διὰ τὸ τὴν ἐκκλησίαν κραταιοτέραν γενέσθαι, καὶ τὸ τῶν πιστῶν σύστημα πρὸς τὴν τῶν ἐντολῶν τήρησιν, χάριτι θείᾳ, πάγιόν τε καὶ ἀσφαλὲς εἶναι.



## Κανὼν ΙΘ'.

Ἀνδρῶν δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, οἳ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. Πλὴν καὶ ἐπ' ἐκείνων, ἐκεῖνο ἡγοῦμαι προηγεῖσθαι προσήκειν, ἐρωτᾶσθαι αὐτοὺς, καὶ λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ· ὥστε, ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, ὑπάγειν (1) αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

ΖΩΝΑΡ. Ἐκ τοῦ κανόνος τούτου φαίνεται ὁ μέγας Βασίλειος, ἃ περὶ τῶν παρθένων διετάξατο, οὐ περὶ μοναζουσῶν παρθένων εἰπεῖν, ἀλλὰ περὶ τῶν ἑαυτὰς ἀνατιθεμένων τῷ Κυρίῳ, καὶ ἐν παρθενίᾳ ζῆν κατατιθεμένων· τοιαῦται γὰρ ἦσαν τὸ παλαιὸν, ὡς ἡ ἐν Καρθαγένῃ διέξεισι σύνοδος ἐν κανόνι ϛ'. καὶ μδ'. καὶ οὐδὲ διακόνισσαι αἱ τοιαῦται ἦσαν, ἀλλ' ἐξ ἐκείνων ἐγίνοντο διακόνισσαι· ἀναγνωστέον οὖν τὸν τῆς ῥηθείσης συνόδου ρκϛ'. κανόνα, καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα· ἐκ γὰρ τοῦ εἰπεῖν ἀνδρῶν ὁμολογίαν οὐκ ἔγνωμεν, εἰ μή τινες ἑαυτοὺς τοῖς μοναχοῖς κατηρίθμησαν, δείκνυσιν, ὅτι ἃ εἶπεν οὐ περὶ μοναζουσῶν εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων Θεῷ κατὰ τὸ πάλαι κρατοῦν· τέως δέ τις ταῦτα καὶ εἰς μοναζούσας ἐκλάβοιτο. Τοὺς δὲ μοναχούς φησι, καὶ σιωπηρῶς κατατίθεσθαι ἁγνεύειν· κἀκείνους δὲ ἐρωτᾶσθαι προσήκειν λέγει, καὶ φανερῶς ὁμολογεῖν ἀγαμίαν, ἵνα, ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύσαντες ἐπιτιμηθῶσιν. Οὐκ ἐπὶ μοναζόντων δὲ μόνον σιωπηρὰ ὁμολογία νομίζεται (2), ἀλλὰ καὶ ἐπὶ διακόνων, ἢ καὶ ὑποδιακόνων. Εἰ μὴ γὰρ προμαρτύρονται ὅτι οὐ δύνανται παρθενεύειν οἱ μέλλοντες χειροτονηθῆναι, καὶ πρὸ τῆς χειροτονίας εἰσοικίζονται ἑαυτοῖς γυναῖκας, οὐ δύνανται μετὰ τὴν χειροτονίαν γάμον ἑλέσθαι· δοκοῦσι γὰρ σιωπηρῶς ὁμολογεῖν καὶ ἐπαγγέλλεσθαι ἀγαμίαν. Ζήτει τὸν κϛ'. ἀποστολικὸν κανόνα, καὶ

(1) ὑπάγεσθαι Χ. Τρ. — (2) Χ. Τρ. = γίνεται Βιυιρ.

τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ί. καὶ τῆς λεγομένης ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ κανόνα ϛ'.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος λέγοντος, Ἀνδρῶν δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, ὅτι ἐν τῷ ιή. κανόνι, οὐ περὶ μοναζόντων εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων τῷ Θεῷ μετὰ λαϊκοῦ σχήματος. Ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ϛ'. μδ'. καὶ ρκϛ'. Τοὺς μέντοι μοναχούς φησι, κἂν καὶ δοκῶσι σιωπηρῶς κατατίθεσθαι ἁγνεύειν, ὅμως ὀφείλειν καὶ τούτους ἐρωτᾶσθαι, καὶ ὁμολογεῖν ἀγαμίαν, ἵνα, ἐὰν ψεύσωνται, ὡς πορνεύσαντες ἐπιτιμηθῶσι. Τούτων δὲ οὕτως ἐχόντων, μὴ εἴπῃς, ὡς οἱ μὴ ποιήσαντες μοναχοὶ τοιαύτην ὁμολογίαν, ἀνέγκλητοι διατηρηθήσονται· κἂν γὰρ μὴ ἀποκαρῇ τις, ἀλλὰ ῥασοφορήσῃ, οὐ δυνήσεται μετασχηματισθῆναι, καὶ εἰς γάμον ἐλθεῖν, ἀλλ' ἄκων ἀναγκασθήσεται ὑποστρέψαι εἰς τὸν μοναχικὸν βίον, ὡς πολλάκις τοῦτο εἴπομεν. Τὸ αὐτὸ δὲ ἔσται καὶ εἰς μοναχοὺς, ἀλλὰ μὴν καὶ εἰς πάντας τοὺς τοῦ βήματος κληρικούς (1)· καὶ οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ὁμολογεῖν, μὴ ἐλθεῖν εἰς γάμον μετὰ τὴν χειροτονίαν, καὶ παραβαίνοντες τὸν κανόνα καθαιροῦνται. Ζήτει τῶν ἁγίων Ἀποστόλων κανόνα κϛ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ί. καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα ϛ'.

ΑΡΙΣΤ. Καὶ ὁ ἀποτασσόμενος, περὶ ἀγαμίας ἐρωτάσθω, καὶ ἐναργῶς ὁμολογείτω, ἵνα μετατιθέμενος ἐπιτιμᾶται.

Ἐπὶ τῶν ἀνδρῶν τῶν ἀποτασσομένων τῷ γάμῳ, καὶ παρθενεύειν αἱρουμένων, προσῆκόν ἐστιν ἐρωτᾶσθαι αὐτοὺς παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου, εἰ ἀληθῶς τὸν τοιοῦτον βίον ἀσπάζονται, καὶ τὴν ὁμολογίαν αὐτῶν φανερὰν λαμβάνειν, ἵνα, εἰ μεταπέσωσιν ἔκτοτε πρὸς τὸν ἡδονικὸν καὶ φιλόσαρκον βίον, τὸ τῶν πορνευόντων ἐπιτίμιον δέξωνται.

## Κανὼν Κ'.

Ὅσαι γυναῖκες, ἐν αἱρέσει οὖσαι (2), παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι

(1) Χ. Τρ. — κληρικοὺς, οὐ κεῖται παρὰ Βευερ. — (2) ἐν αἱρέσει οὖσαι, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Ἑ.



καταδικάζεσθαι ταύτας· ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ (1)· αἱ δὲ μήπω ὑπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ Δεσπότου· ὥστε δεκταί εἰσι τῇ ἐκκλησίᾳ, μετὰ πάντων καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσαι ἐκ τῆς πίστεως τῆς εἰς Χριστόν. Καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γενόμενα εἰς εὐθύνας οὐκ ἄγεται· τούτους δὲ δηλονότι ἄνευ βαπτίσματος, ἡ ἐκκλησία οὐ παραδέχεται· ὥστε ἀναγκαιότατον (2) ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

---

ΖΩΝΑΡ. Αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενεύειν· εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν· ταύτας προσερχομένας τῇ καθολικῇ ἐκκλησίᾳ, γνώμην ὁ ἅγιος δίδωσι, μὴ καταδικάζεσθαι ὡς ψευσαμένας τὴν ὁμολογίαν· ὅσα γὰρ, φησὶν, ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· αἱ δὲ μὴ δεξάμεναι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν ἐντολὴν ἐκείνου (3) ἐπιγινώσκουσι, καὶ λοιπὸν δεκταί εἰσι τῇ ἐκκλησίᾳ, ἄφεσιν ἔχουσαι ἐκ τοῦ πιστεῦσαι τῷ Χριστῷ καὶ τοῦ τοιούτου ἁμαρτήματος. Εἶτα καθόλου δίδωσι κανόνα, ὅτι, ὅσα ἐν τῷ κατηχουμένῳ βίῳ γένωνται, οὐκ εὐθύνονται, ἀντὶ τοῦ, οὐ κολάζονται· πλὴν, φησὶ, τούτους ἄνευ βαπτίσματος ἡ ἐκκλησία οὐ παραδέχεται· ἐπεὶ οὖν βαπτίζονται, τῶν πρὸ τοῦ βαπτίσματος σφαλμάτων πάντων συγχώρησιν ἔχουσι· τοῦτο γάρ ἐστιν ὃ ἐπάγει, ὅτι ἀναγκαιότατόν ἐστιν ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως, ἤγουν, ὅτι ἀναγκαίως λοιπὸν ἕπεται βαπτιζομένοις αὐτοῖς, τὰ πρεσβεῖα τῆς γενέσεως, τὸ ἐξαίρετον δηλαδὴ τῆς ἐν τῷ βαπτίσματι γενέσεως, ἤτοι τῆς ἀναγεννήσεως, ὅ ἐστιν ἡ συγχώρησις τῶν προημαρτημένων. Αἱρετικοὺς δὲ, ἢ τοὺς μὴ ἄλλως δεχομένους εἰ μὴ βαπτισθῶσι νοητέον, ἢ τοὺς ἀπίστους· εἰσὶ γὰρ τινες αἱρετικοὶ, καὶ χωρὶς βαπτίσματος δεκτοὶ, ἁγίῳ χρίσματι μόνον χριόμενοι, ὡς ὁ ζ'. κανὼν τῆς δευτέρας συνόδου διατάττεται. Εἴποι δέ τις ἐναντιοῦσθαι τὸν μέγαν Βα-

(1) Ῥωμ. Γ΄, 19. — (2) ἀναγκαιότατα Σ. Ρ. — (3) οὐδὲ τὸν ἐκείνου νόμον Χ. Τρ.

σίλειον διὰ τοῦ παρόντος κανόνος τῷ πέμπτῳ κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, λέγοντι ταῦτα· Κατηχούμενος, ἐὰν εἰσερχόμενος εἰς τὸ Κυριακὸν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνῃ, εἰ μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω· ἀλλ' οὐκ ἔστι τοῦτο· ὁ μὲν γὰρ τῆς συνόδου κανὼν περὶ τῶν ἁμαρτανόντων φησίν· ὁ δὲ μέγας Βασίλειος, περὶ ἁμαρτανόντων καὶ ἤδη ἀποσχομένων τοῦ ἁμαρτάνειν· καὶ οὐδὲ τοῦτο λέγει, ὅτι οὐδὲ τοῦτο ὅλως ἐπιτιμηθήσονται, ἀλλ' ὅτι οὐκ εὐθυνθήσονται. Ὥσπερ γὰρ πάντα τὰ πρὸ τοῦ ἁγίου βαπτίσματος πραχθέντα ἁμαρτήματα ἀφίενται τῷ βαπτιζομένῳ, οὕτω καὶ ὅσα τις κατηχούμενος ὢν ἥμαρτε, καὶ οὐδ' ὑπὲρ τούτων εἰς εὐθύνην ἀχθήσεται. Ἀνάγνωθι καὶ τὸν ιζ'. ἀποστολικὸν κανόνα.

ΒΑΛΣ. Ὡς ἔοικεν, αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενίαν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν· προσερχόμεναι δὲ τῇ ἐκκλησίᾳ ἐπιτιμῶντο ὡς ψευσάμεναι. Φησὶ γοῦν ὁ ἅγιος μὴ καταδικάζεσθαι ταύτας χάριν ὧν πρὸ τοῦ πιστεῦσαι ἐψεύσαντο. Εἶτα καθόλου δίδωσι κανόνα, μὴ κολάζεσθαι τοὺς πιστεύσαντας καὶ βαπτισθέντας, περὶ ὧν ἥμαρτον πρὸ τοῦ βαπτίσματος. Αἱρετικοὺς δὲ νόει τοὺς μὴ ἄλλως δεχομένους εἰ μὴ βαπτισθῶσιν· εἰσὶ γάρ τινες αἱρετικοὶ καὶ χωρὶς βαπτίσματος δεκτοί, ἁγίῳ χρίσματι μόνῳ χριόμενοι· καὶ ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς δευτέρας συνόδου, καὶ κανόνα ιζ'. τῶν ἁγίων Ἀποστόλων.

ΑΡΙΣΤ. Εἰς αἵρεσιν οὖσα παρθένος, εἶτα μετανοοῦσα, καὶ λαμβάνουσα, οὐκ εὐθύνεται· ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν νόμῳ λαλεῖ.

Αἱ πισταὶ γυναῖκες παρθενεύειν ἐπαγγειλάμεναι, καὶ τὰς ὁμολογίας αὐτῶν ἀθετήσασαι, τῷ τῆς μοιχείας ἐπιτιμίῳ ὑπόκεινται· αἱ δὲ ὑπὸ αἵρεσιν οὖσαι, καὶ παρθενεύειν ὑποσχεθεῖσαι, εἰ μετὰ ταῦτα γάμον ἀνθείλοντο, καὶ τῇ ἐκκλησίᾳ προσῆλθον, οὐ καταδικάζονται, ἀλλὰ βαπτιζόμεναι ἀνεύθυνοι μένουσιν· αἱ γὰρ μήπω τὸν ζυγὸν τοῦ Χριστοῦ βαστάσασαι, οὐδὲ τὴν νομοθεσίαν αὐτοῦ ἐπιγινώσκουσι.



## Κανὼν ΚΑ'.

Ἀνὴρ (1) γυναικὶ συνοικῶν, ἐπειδὰν (2) μὴ ἀρκεσθεὶς (3) τῷ γάμῳ, εἰς πορνείαν ἐκπέσῃ (4), πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις. Οὐ μέντοι ἔχομεν κανόνα, τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται· διότι ἡ μοιχαλὶς μὲν μιαινομένη, φησί, μιανθήσεται, καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς (5)· καὶ ὁ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής (6)· ὁ μέντοι πορνεύσας, οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως. Ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται· ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἴκων ἑαυτοῦ ἀποπέμψει· τούτων (7) δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν.

---

ΖΩΝΑΡ. Ἀνήρ, φησίν, ἔχων γυναῖκα, ἐὰν εἰς ἑτέραν ἁμάρτῃ μὴ ἄνδρα ἔχουσαν, πόρνος ἐστίν, ἀλλ' οὐ μοιχός· ἐπὶ πλέον δὲ αὐτῷ τὸ ἐπιτίμιον παρατείνεται, ἤγουν βαρύτερον ἐπιτιμᾶται, παρὰ τὸν μὴ συζῶντα γυναικὶ καὶ πορνεύσαντα· τῷ μὲν γάρ, συγγνώμη τις δίδοται διὰ τὴν ἀνάγκην τῆς φύσεως· ὁ δὲ γυναῖκα ἔχων, τῆς συγγνώμης ταύτης ἐστέρηται, τῆς φυσικῆς ἀνάγκης παραμυθίαν ἔχων τὴν νόμιμον γαμετήν, ἁμαρτάνων δὲ δι' ἀκολασίαν καὶ ἀσέλγειαν· διὸ καὶ μᾶλλον ἐπιτιμᾶται, καὶ ἐπὶ πλείονα χρόνον· ἀλλ' ὅμως ἡ γυνὴ αὐτοῦ τὸν τοιοῦτον οὐ παραιτήσεται. Ἡ δὲ ἄνδρα ἔχουσα γυνή, καὶ μιγεῖσα ἑτέρῳ, μοιχαλίς ἐστι, καὶ ὁ ἀνὴρ αὐτῆς ἐξωθήσει αὐτήν, καὶ οὐκ ἀναγκασθήσεται προσλαβέσθαι ἔτι αὐτήν, εἰ μὴ βούλεται· οὕτω γάρ, φησί, κεκράτηκεν ἡ συνήθεια κρίνεσθαι ταῦτα· ὁ δὲ λόγος καὶ ἡ αἰτία, δι' ἣν οὕτω νενόμισται γίνεσθαι, οὐκ εὔκολός ἐστι, φησί, νοηθῆναι.

(1) Χ. Τρ. — Εἰ ἀνὴρ Σ. Ρ. ἐὰν ἀνήρ, οἱ λοιποί. — (2) ἔπειτα Π. — (3) ἀρεσθεὶς Βευερ. 'Ε. — (4) Χ. Τρ. Π. — ἐμπέσῃ Σ. Ρ. Βευερ. 'Η. — (5) Ἱερ. Γ', 1. — (6) Παροιμ. ΙΗ', 22. — (7) Χ. Τρ. — καὶ τούτων, οἱ λοιποί.

ΒΑΛΣ. Περὶ πορνείας καὶ μοιχείας, ἀνάγνωθι τὸ ε΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας καὶ νόμους. Ἐνταῦθα δὲ ὁ ἅγιος, τὸν μὲν ἔχοντα γυναῖκα, καὶ μεθ᾽ ἑτέρας ἐλευθέρας (1) γυναικὸς ἀσελγήσαντα, πόρνον εἶναι λέγει, οὐ μοιχόν· τὴν δὲ ὕπανδρον γυναῖκα, μετὰ οἱουδήτινος ἑτέρου ἀνδρὸς μιγεῖσαν, μοιχαλίδα ἀποκαλεῖ· προστιθέμενος, ὡς ταύτην μὲν ἄκων οὐκ ἀναγκασθήσεται ὁ ἀνὴρ ὑποδέξασθαι εἰς τὸν οἶκον αὐτοῦ, ἀλλ᾽ ἀπεντεῦθεν διαζευχθήσεται αὐτῆς· τὸν δὲ ἄνδρα τὸν πορνεύσαντα, ἀπὸ τῆς νομίμου γυναικὸς ἡ πορνεία οὐ διαζεύγνυσι· δι᾽ ἣν δὲ αἰτίαν οὕτω ταῦτα νενομοθέτηται, οὐκ εὔκολόν ἐστι, φησί, νοηθῆναι. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐκ ἔστι μονοειδὴς ἡ πορνεία, οὐδὲ τοῖς αὐτοῖς ἐπιτιμίοις θεραπεύεται· πλέον γὰρ λέγει ὀφείλειν ἐπιτιμᾶσθαι τὸν ἔχοντα νόμιμον γυναῖκα καὶ πορνεύσαντα, παρὰ τὸν μὴ ἔχοντα γυναῖκα καὶ πορνεύσαντα· τὸ δὲ πλέον τοῦ ἐπιτιμίου εἰς τὴν διάκρισιν τοῦ ψυχικοῦ ἰατροῦ ἀνετέθη.

ΑΡΙΣΤ. Ἄνδρα πεπορνευκότα ἡ ἰδία παραλήψεται· μιανθεῖσαν δὲ γυναῖκα ὁ ἀνὴρ ἀποπέμπεται· πόρνος γὰρ οὐ μοιχός ἐστιν, ὁ εἰς ἐλευθέραν ἐκπεσὼν ὑπογύναιος.

Οὐχ ὡς μοιχὸς ὁ ἀνὴρ κριθήσεται ὁ συνοικῶν γυναικί, καὶ πρὸς ἑτέραν ἐλευθέραν γάμου ἁμαρτήσας, ἀλλ᾽ ὡς πόρνος· καὶ διὰ τοῦτο οὐδὲ τοῖς μοιχείας ἐπιτιμίοις ὑποϐληθήσεται· πλέον δὲ πόρνου ἐπιτιμηθήσεται. Τοῦτο δὲ διὰ τὴν κρατήσασαν συνήθειαν· τὴν μὲν γὰρ γυναῖκα ἑτέρῳ ἀνδρὶ μιανθεῖσαν, παρὰ τοῦ ἰδίου ἀνδρὸς αὐτῆς προστάττει ἀποδιώκεσθαι· τὸν δὲ ἄνδρα πορνεύοντα, ὑπὸ τῆς ἰδίας γυναικὸς κελεύει μὴ ἀπολύεσθαι, ἀλλὰ παραδέχεσθαι αὐτόν.

## Κανὼν ΚΒ΄.

Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προμεμνηστευμένας εἶεν ἀφῃρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρὶν ἢ ἀφελέσθαι (2) αὐτῶν, καὶ ἐπ᾽ ἐξουσίᾳ (3) τῶν ἐξ ἀρχῆς μεμνηστευμένων ποιῆσαι, εἴτε βούλοιν-

(1) ἐλευθέρας, οὐ κεῖται ἐν Χ. Τρ. — (2) αὐτὰς αὐτῶν Σ. Ῥ. — (3) ἐπ᾽ ἐξουσίαν Χ. Τρ. Π.



το λαϐεῖν αὐτάς, εἴτε ἀποστῆναι. Εἰ δὲ σχολάζουσάν τις λάϐοι, ἀφαιρεῖσθαι μὲν δεῖ, καὶ τοῖς οἰκείοις ἀποκαθιστᾷν· ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοί, εἴτε οἱτινεσοῦν προεστῶτες τῆς κόρης· κἂν μὲν ἕλωνται αὐτῷ παραδοῦναι, ἵστασθαι τὸ συνοικέσιον· ἐὰν δὲ ἀνανεύσωσι, μὴ βιάζεσθαι· τὸν μέντοι ἐκ διαφθορᾶς εἴτε λαθραίας, εἴτε βιαιοτέρας, γυναῖκα ἔχοντα, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον. Ἔστι δὲ ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη τοῖς πορνεύουσιν ἡ ἐπιτίμησις· χρὴ τῷ πρώτῳ ἐκϐάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ εἰς μετάνοιαν· τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς· εἶτα αὐτοῖς (1) ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἀγαθοῦ.

---

ΖΩΝΑΡ. Οἱ ἁρπάσαντες, φησί, γυναῖκας, καὶ ἔχοντες ταύτας, ἐὰν ἑτέροις ἐκεῖναι προεμνηστεύθησαν, οὐκ ἄλλως δεχθήσονται εἰς μετάνοιαν, εἰ μὴ πρότερον ἀφαιρεθεῖεν τὰς ἁρπαγείσας, ὥστε εἰς ἐξουσίαν κεῖσθαι τῶν προμνηστευσαμένων αὐτάς, εἰ βούλοιντο λαϐεῖν αὐτάς. Εἰ δὲ μήπω τινὶ μνηστευθεῖσα ἡ ἁρπαγεῖσά ἐστι, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι διακελεύεται ἀπὸ τοῦ ἅρπαγος ὁ κανών, καὶ παραδίδοσθαι τοῖς γονεῦσιν, ἢ τοῖς ἄλλοις οἰκείοις, ἤτοι συγγενέσιν, ἢ ἄλλοις, οἷς μέλει τῆς γυναικός, ὥστε, εἰ μὲν βούλοιντο ἐκεῖνοι εἰς γυναῖκα συζεῦξαι αὐτὴν τῷ ἅρπαγι, στῆναι γάμον, δηλονότι, εἰ καὶ ἡ γυνὴ συναινεῖ· ἡ δὲ συναίνεσις αὐτῆς ἐπὶ τῶν ἄλλων ἐστὶν ἀναγκαία, οὐ μὴν καὶ ἐπὶ πατρὸς τοῦ ἔχοντος ὑπεξουσίαν αὐτήν· τῷ γὰρ πατρὶ ἀντιλέγειν οὐ δύναται, εἰ μήπου αἰσχρὸν * τοῖς τρόποις (2), ἢ ἀνάξιον αὐτῇ μνηστεύεται, κατὰ τοὺς πολιτικοὺς νόμους· εἰ δὲ οὐ βούλεται ἡ γυνή, κἂν βούλωνται οἱ οἰκεῖοι αὐτῆς, οὐ στήσεται ὁ γάμος· εἰ δὲ καὶ ἡ γυνὴ θελήσει, καὶ οἱ ταύτῃ προσήκοντες, συστῆσαι συνοικέσιον μετὰ τοῦ φθείραντος αὐτὴν εἴτε λάθρα, εἴτε βιαίως, τῷ τῶν

(1) Χ. Τρ. Π. Βευερ. Ἑ. — αὐτοὺς Σ. Ῥ. Ἀπ. Βασιλ. — (2) Χ. Τρ. — ἢ μήπου τοῖς τρόποις Βευερ.

πορνευόντων ἐπιτιμίῳ ὁ φθορεὺς ὑποκείσεται, ὅπερ τετραετίαν εἶναι ὁ κανὼν ὁρίζει, καὶ ἑξῆς καταλέγει ὅπως ἐν τῇ τετραετίᾳ ὁ ἁμαρτήσας οἰκονομηθήσεται. Ταῦτα μὲν οὖν ὁ κανών. Ὁ δὲ πολιτικὸς νόμος σφοδρότατα κολάζων τὸν ἁρπάσαντα γυναῖκα, οὐδὲ συζεύγνυσθαι αὐτῷ τὴν ἁρπαγεῖσαν παραχωρεῖ, κἂν οἱ αὐτῇ προσήκοντες τοῦτο βούλωνται. Λέγει γὰρ βιβλίον ξ'. τίτλ. νη'. κεφ. δ'. Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, αὐτήν· περιορίζονται.

ΒΑΛΣ. Ὁ μὲν κζ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, ὅστις καὶ ἀπαράλλακτος ϟβ'. κανών ἐστι τῆς ϛ'. συνόδου, διορίζεται τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου. Ὁ δὲ παρὼν κανὼν παρακελεύεται, τοὺς μὲν ἁρπάζοντας γυναῖκας ἑτέροις μνηστευσαμένας, μὴ ἄλλως εἰς μετάνοιαν δέχεσθαι, εἰ μὴ πρότερον δώσουσι τὰς ἁρπαγείσας, ἐφ' ᾧ τοὺς μνήστορας τούτων λαβεῖν αὐτάς, ἐὰν θελήσωσιν· εἰ δὲ μή, εἶναι παρὰ τοῖς συγγενέσιν αὐτῶν. Τοὺς δὲ ἁρπάσαντας γυναῖκα ἐλευθέραν, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι, καὶ παραδίδοσθαι τοῖς γονεῦσιν, ἢ τοῖς ἄλλως προσήκουσιν αὐτῇ· ὥστε, εἰ μὲν βούλονται οὗτοι, συζεῦξαι αὐτὴν τῷ ἅρπαγι μετὰ καὶ συναινέσεως ταύτης· εἰ δὲ ἀπαρέσκονται, μὴ γενέσθαι τοῦτο. Ὡς ἂν δὲ τὰ τοῦ πράγματος ἔχωσιν, ἤγουν, κἂν συζευχθῇ * τῇ ἁρπαγείσῃ ὁ ἅρπαξ, κἂν μὴ συζευχθῇ * (1), τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποπεσεῖται· καὶ οὐ μόνον ὁ ἅρπαξ οὕτω κολασθήσεται, ἀλλὰ καὶ ὁ λάθρα μετὰ κόρης συμφθαρείς· ὁρίζεται δὲ καὶ εἰς τετραετίαν τὰ τῶν πορνευόντων ἐπιτίμια. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ὁ δὲ πολιτικὸς νόμος ἀλλοτρόπως κολάζει τοὺς ἅρπαγας, καὶ οὐδὲ παραχωρεῖ ὁπωσδήποτε τὸν ἁρπάσαντα συζευχθῆναι τῇ ἁρπαγείσῃ· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κζ'. κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τὸν ϟβ'. τῆς ϛ', καὶ κανόνα ξζ'. τῶν ἁγίων Ἀποστόλων, καὶ κεφ. λ'. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτοῖς. Ἀκούων δὲ τοῦ παρόντος κανόνος λέγοντος, κατὰ συναίνεσιν τῶν γονέων,

(1) τὰ μεταξὺ τῶν * ἀναγινώσκεται μόνον ἐν Χ. Τρ. καὶ λατινιστὶ παρὰ 'Ε.



ἢ τῶν συγγενῶν τῆς κόρης, δίδοσθαι ταύτην πρὸς γάμον τῷ ἁρπάσαντι, μὴ εἴπῃς ἀρκεῖν τὴν τῶν γονέων συναίνεσιν καὶ μόνην· ὁσάκις γὰρ γάμος ἔννομος γίνεται, ἀναγκαία ἐστὶ καὶ ἡ συναίνεσις τῶν μελλόντων συζευχθῆναι, κἂν ὑπεξούσιοι ὦσι, κἂν αὐτεξούσιοι. Φησὶ γὰρ τὸ δεύτερον κεφ. τοῦ δ'. τίτλου τοῦ κη'. βιβλίου ταῦτα ῥητῶς· Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσωσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους· ἐὰν δὲ χρεία κατὰ τὸν νόμον τοῦτον ἐν τοῖς γάμοις καὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων, πολλῷ πλέον οὐ γενήσεται γάμος αὐτεξουσίων, εἰ μὴ καὶ αὐτοὶ συναινέσουσιν.

ΑΡΙΣΤ. Ὁ μνηστευθεῖσαν ἁρπάζων, ἀποκαταστήσει τῷ μνηστευσαμένῳ· εἰ δὲ ἀμνήστευτον, τοῖς οἰκείοις ἐγκαταστήσει· καὶ κατὰ τὴν ἐκείνων γνώμην προβήσεται τὰ συνοικέσια, εἴγε βούλοιντο· ὁ δὲ, τὸ τῆς πορνείας ἐπιτίμιον εἴσεται.

Ὁ μὲν παρὼν κανὼν ἀπαιτεῖ, τὴν μήπω μνηστευθεῖσαν γυναῖκα, καὶ παρά τινος ἁρπαγεῖσαν, τοῖς οἰκείοις ταύτην ἀποκαθιστᾷν, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοί, εἴτε ἄλλως διὰ τὴν ὀρφανίαν αὐτῆς κηδεμόνες. Δίδωσι δὲ αὐτοῖς ἄδειαν ἔκτοτε, εἰ βούλοιντο, μετὰ τοῦ ἁρπάσαντος αὐτὴν γάμον συναλλάττειν. Ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ἑξηκοστοῦ βιβλίου τῶν βασιλικῶν οὐ συγχωρεῖ τοῦτο γίνεσθαι, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνή, κἂν οἱ γονεῖς αὐτῆς, τῷ ἁρπάσαντι συναφθῆναι πρὸς γάμον, ἀλλὰ καὶ προστάττει περιορίζεσθαι τοὺς γονεῖς τῷ τοιούτῳ συναινοῦντας συνοικεσίῳ. Ὁ δὲ ϟβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἀναθέματι τὸν λαϊκὸν ὑποβάλλει, γυναῖκα ἁρπάζοντα ἐπὶ ὀνόματι συνοικεσίου. Καὶ χρὴ νοεῖσθαι τὸν κανόνα ἐκεῖνον, κατὰ τὴν δύναμιν τοῦ παρόντος κανόνος· προστάττει γὰρ καὶ οὗτος μὴ πρότερον τῇ ἐκκλησίᾳ παραδέχεσθαι τὸν ἐξ ἁρπαγῆς γυναῖκα κατέχοντα, πρὶν ἢ αὐτὴν μεμνηστευμένην οὖσαν, τῷ οἰκείῳ μνηστῆρι ἀποκαταστήσῃ, ἀμνήστευτον δὲ, τοῖς οἰκείοις αὐτῆς γονεῦσιν, ἢ ἀδελφοῖς, ἢ ἄλλοις προεστῶσι· μετὰ γὰρ τὸ ἀποκαταστῆσαι αὐτήν, ὁ ἀναθεματισμὸς χώραν οὐχ ἕξει. Τὸν μέν τοι πρὸ τοῦ γάμου λαθραίως, ἢ βίᾳ διαφθείραντα γυναῖκα, εἶτα νομίμως συναφθέντα αὐτῇ, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον, ἐν τέσσαρσιν ἐνιαυτοῖς· ἐν ἑνὶ μὲν τῇ θύρᾳ τῆς ἐκκλησίας προσκλαίοντα, ἐν τῷ

δευτέρῳ μετὰ τῶν ἀκροωμένων, ἐν τῷ τρίτῳ μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν τῷ τετάρτῳ συνιστάμενον μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν αὐτοῖς κοινωνοῦντα, καὶ οὕτω μετὰ τὴν τετραετίαν, τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιούμενον.

## Κανὼν ΚΓ'.

Περὶ δὲ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ ἀντίγραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ. Ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν, οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι αὐτῆς (1).

---

ΖΩΝΑΡ. Τὸ ἐπιστολίδιον, ὃ λέγει ὁ ἅγιος, πρὸς Διόδωρον ἀπεστάλη, ἀπαγορεῦον τὸ τελευτησάσης τῆς γυναικός τινι τὴν ἀδελφὴν ἐκείνης εἰς γάμου κοινωνίαν αὐτὸν ἄγεσθαι, καὶ ἐκ πολλῶν καὶ γενναίων λογισμῶν τοῦτο κατασκευάζον, ὅπερ ἐν τῷ οἰκείῳ τόπῳ ἐξηγηθήσεται. Ὃς δὲ τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἔλαβεν, ἐκείνου δηλαδὴ τελευτήσαντος, οὐ δεχθήσεται ὡς μετανοῶν, εἰ μὴ αὐτὴν ἀποπέμψεται, καὶ λύσει τὸν ἄθεσμον γάμον.

ΒΑΛΣ. Καὶ τὸ τῆς αἱμομιξίας ἁμάρτημα, μετὰ ἀπόστασιν τοῦ κακοῦ, ὑπὸ τῆς ἐκκλησιαστικῆς ἰατρείας θεραπεύεται, ὥσπερ καὶ τὰ ἄλλα ἁμαρτήματα. Ἐρωτηθεὶς οὖν ὁ ἅγιος, τί χρὴ γίνεσθαι εἰς τοὺς συμφθαρέντας δυσὶν ἀδελφαῖς, καὶ τὸ ἀνάπαλιν, εἶπεν, ὡς περὶ τῶν τοιούτων ἔγραψα ἐπιστολίδιον. Ἔστι δὲ τοῦτο, τὸ πρὸς Διόδωρον, καὶ ἐκεῖθεν δηλοῦται τὸ ποιητέον· τέως δὲ ὀφείλουσιν οἱ τοιοῦτον γάμον ἀθέμιτον συναλλάξαντες, ἀποστῆναι τοῦ κακοῦ, καὶ οὕτως ἐρωτᾷν τὰ περὶ τῆς θεραπείας. Ἀνάγνωθι οὖν τὴν πρὸς Διόδωρον ἐπιστολὴν, καὶ τὰ ἐν αὐτῇ, καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλ. τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ἀδελφὸν ἀδελφοῦ γυναῖκα ἔχειν, ἀδύνατον. Σαφής.

## Κανὼν ΚΔ'.

Χήραν, τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι, τὴν διακονουμένην ὑπὸ τῆς ἐκκλησίας, ἔκρινεν ὁ Ἀπόστολος, γαμουμένην παρορᾶσθαι. Ἀνδρὶ δὲ χηρεύσαντι οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν διγάμων ἐπιτίμιον. Ἡ μέν τοι χήρα ἑξηκονταετὴς γεγονυῖα, ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐ καταξιωθήσεται τῆς τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται. Ἐὰν μέν τοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

(1) Χ. Τρ. αὐτῆς, οὐ κεῖται παρὰ Βευηρ. καὶ Ἑ.



---

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος Τιμοθέῳ ἐπιστέλλων, φησί· Τίμα χήρας, τὰς ὄντως χήρας(1)· καὶ μετ' ὀλίγον· Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς(2)· καὶ πάλιν μετά τινα· Εἴ τις πιστὸς, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ· καὶ αὖθις· Νεωτέρας δὲ χήρας παραιτοῦ (3). Κατὰ γοῦν τὴν τοῦ Ἀποστόλου διαταγὴν, κατετάττοντο αἱ ὄντως χῆραι ἐν ταῖς ἐκκλησίαις, καὶ ἐκεῖθεν ἐτρέφοντο· διὰ ταῦτα γοῦν φησιν ὁ μέγας Βασίλειος, ὅτι, ἐὰν χήρα συνταχθεῖσα ταῖς χήραις ταῖς διακονουμέναις, ἤγουν ταῖς τρεφομέναις καὶ διοικουμέναις ὑπὸ τῆς ἐκκλησίας, εἰς γάμον ἀποκλίνῃ, παροραθήσεται, καὶ οὐκέτι ἐκ τῆς ἐκκλησίας ἕξει τὰ πρὸς διοίκησιν. Τοῖς δὲ χηρεύουσιν ἀνδράσιν, οὐδεὶς ἐπίκειται νόμος, ἀντὶ τοῦ, οὐδεὶς κολάζει νόμος πνευματικὸς τοὺς ἄνδρας δευτέροις ὁμιλοῦντας γάμοις· ἔχουσι γὰρ ἀρκοῦν τὸ τῶν διγάμων ἐπιτίμιον, ὅπερ ἀφορισμός ἐστιν ἐφ' ἕνα ἐνιαυτόν. Ἡ δὲ χήρα ἑξήκοντα ἐτῶν γενομένη, καὶ οὕτω καταταγεῖσα ταῖς χήραις τῆς ἐκκλησίας, ἐὰν γάμον αἱρετίσηται, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν ἀπόσχηται τοῦ ἀνδρός· ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὴν ἐν γήρᾳ μίξιν. Ἐὰν δὲ πρὸ τῶν ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν, φησὶν, αὐτὴν ταῖς χήραις τῆς ἐκκλησίας, καὶ ἐκπέσῃ ἀνδρὶ μιγεῖσα, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου·

(1) α', Τιμόθ. Ε', 3, 5. — (2) α', Τιμόθ. Ε', 16. — (3) Αὐτόθι, 11.

ἡμᾶς γάρ, φησὶν, αἰτιᾶσθαι δίκαιον, ὡς παραβάντας τὴν τοῦ Ἀποστόλου διαταγὴν, λέγοντος· Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα· ἡ δὲ, συγγνώμης ἀξία, ὡς μήπω εἰς γῆρας ἐλθοῦσα.

ΒΑΛΣ. Ὥσπερ ἐτάττοντο γυναῖκες παρθένοι ἐν ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος, καὶ διῳκοῦντο ἀπὸ τῶν εἰσόδων τῆς ἐκκλησίας, οὕτω καὶ χῆραι μετὰ τοῦ αὐτοῦ σχήματος κατετάττοντο. Φησὶ γοῦν ὁ ἅγιος, ὡς ὁ μέγας Παῦλος, τὴν τοιαύτην χήραν, ἤγουν τὴν μετὰ τὸ καταταγῆναι εἰς ἐκκλησίαν δευτερογαμήσασαν, ἔκρινεν, ἤγουν ὥρισε παροράσθαι, τουτέστιν ἐξωθεῖσθαι ἀπὸ τῆς ἐκκλησίας. Καὶ εἰ μὲν πρὸ τοῦ ἑξηκονταετοῦς χρόνου αὕτη δευτερογαμήσει, ταύτην καὶ μόνην τὴν κόλασιν ὑποστήσεται· συγγνώμης γάρ ἐςιν ἀξία, ὑπὸ τῆς νεαρωτέρας(1) ἡλικίας καταναγκασθεῖσα δευτερογαμῆσαι, καὶ μᾶλλον οἱ κατατάξαντες αὐτὴν πρὸ τοῦ πληρῶσαι τὸν ἑξηκονταετῆ χρόνον ὀφείλουσιν αἰτιᾶσθαι, ὡς παραβάντες τὴν τοῦ Ἀποστόλου διαταγὴν, τὴν λέγουσαν· Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα(2). Ἡ δὲ μετὰ τὸν ἑξηκονταετῆ χρόνον ἀθετήσασα τὴν σωφροσύνην καὶ δευτερογαμήσασα, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν ἀπόσχηται τῆς πρὸς τὸν ἄνδρα ἀκαθαρσίας· ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὸν ἐν τοιούτῳ γήρᾳ γάμον. Τὸν μέν τοι ἄνδρα, φησὶ, δευτερογαμοῦντα, ὁ νόμος ἄλλως πως οὐ κολάζει, ἀλλὰ δι' ἐπιτιμίου διγάμων, ὅπερ ἐστὶν ἀφορισμὸς ἐφ' ἕνα ἐνιαυτόν. Ἐπεὶ δὲ ἀποστολικῆς παραγγελίας ἐμνήσθη ὁ ἅγιος, ὀφείλεις εἰδέναι, ὅτι ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησί· Χήρας τίμα, τὰς ὄντως χήρας· καὶ μετ' ὀλίγα· Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη, ἤλπισεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς· καὶ πάλιν μετά τινα· Εἴ τις πιστὸς, ἢ πιςὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ· καὶ αὖθις· Νεωτέρας δὲ χήρας παραιτοῦ. Καὶ ταῦτα μὲν χάριν τῶν χηρῶν γυναικῶν τῶν καταλεγεισῶν εἰς τὴν ἐκκλησίαν· αἱ γὰρ μὴ τοιαῦται χῆραι, ὁτεδήποτε δευτερογαμοῦσαι, τῷ τῶν διγάμων ἐπιτιμίῳ ὑποπέσωσιν

(1) Χ. Τρ. — νεωτέρας Βευρ. Ἐ. — (2) α', Τιμόθ. Ἐ, 9.



ἐπίσης τοῖς ἀνδράσιν· ἀνάγνωθι καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος. Μὴ θαυμάσῃς δὲ πῶς οὐ διωρίσαντο οἱ κανόνες καταλέγεσθαι ταῖς ἐκκλησίαις μετὰ τοῦ λαϊκοῦ σχήματος καὶ ἄνδρας χηρεύσαντας· πλείων γὰρ φροντὶς ἐγένετο τοῖς πατράσι τῶν γυναικῶν παρὰ τῶν ἀνδρῶν· αἱ μὲν γὰρ γυναῖκες μὴ ἔχουσαι τρόπους τῶν πρὸς ζωάρκειαν εἰσόδων, εἰς δευτέρους ἴσως ἐξ ἀνάγκης ἀποκλίνουσι γάμους, θέλουσαι καὶ ταῦτα σωφρονεῖν· καὶ διὰ τοῦτο βοηθεῖ αὐταῖς ἡ ἐκκλησία εἰς τὸ μὴ δευτερογαμῆσαι προφάσει πενίας· οἱ δὲ ἄνδρες πολυτρόπως τὰ πρὸς ζωάρκειαν ποριζόμενοι, οὐκ ἔχουσι προβαλέσθαι τὴν πενίαν εἰς ἀποτροπὴν τοῦ αἰτιάματος τῆς δευτερογαμίας, καὶ διὰ τοῦτο οὐδὲ παρὰ τῶν ἐκκλησιῶν δέχονται καὶ ἀποτρέφονται. Ἀκολούθως δὲ τῷ τοιούτῳ λογισμῷ, μὴ εἴπῃς ἀνεπιτιμήτους ὀφείλειν συντηρεῖσθαι τὰς γυναῖκας δευτερογαμούσας, καθά τινες λέγουσιν, ἀλλὰ καὶ αὗται τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑποπέσωσι· μαθήσῃ γὰρ ἀπὸ τοῦ ιδ'. τίτλου τοῦ κή. βιβλίου, ὅτι πλειόνως αἱ γυναῖκες δευτερογαμοῦσαι κολάζονται, παρὰ τοὺς δευτερογαμοῦντας ἄνδρας.

ΑΡΙΣΤ. Εἰ γήμει διακονουμένη χήρα, παροράται. Ὁ δὲ χηρεύων γήμας, μόνον τὸ τῶν διγάμων ἐπιτίμιον γνοίη. Ἡ δὲ μετὰ ἑξήκοντα ἔτη λαμβάνουσα χήρα, ἀκοινώνητος, ἕως ἀποστῇ τῆς ἀκαθαρσίας. Εἰ δέ τις πρὸ τῶν ἑξήκοντα χρόνων ἐγκαταλέξεται, ἐκείνης τὸ ἔγκλημα ἅψεται.

Αἱ ἐγκαταλεγόμεναι χῆραι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, καὶ ὑπὸ τῆς ἐκκλησίας διατρεφόμεναι, ἐὰν πρὸς γάμον ἔλθωσιν, οὐκέτι προνοίας τινὸς ἀξιοῦνται παρὰ τῆς ἐκκλησίας, ἀλλὰ παρορῶνται. Διὰ τοῦτο γοῦν τὰς μήπω οὔσας ἑξήκοντα χρόνων, οὐ δεῖ εἰς τὸ τάγμα τῶν χηρῶν ἐγκαταλέγειν. Ἐὰν δὲ ἑξήκοντα ἐτῶν οὖσα χήρα, συνοικῆσαι ἀνδρὶ πάλιν ἔλθηται, μέχρις ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται, τῆς τοῦ ἀγαθοῦ κοινωνίας οὐκ ἀξιωθήσεται.

## Κανὼν ΚΕ'.

Ὁ τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ

μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

---

ΖΩΝΑΡ. Ἐάν τις παρθένον ἀμνήστευτον φθείρῃ, καὶ μετὰ τὴν φθορὰν ὡς συζύγῳ αὐτῇ χρῆται, τῷ μὲν τῆς φθορᾶς ἐπιτιμίῳ ὑποκείσεται, τὴν δὲ γυναῖκα οὐκ ἀφαιρεθήσεται· δηλονότι ἐὰν οἱ γονεῖς αὐτῆς, οἷς ὑπεξουσία ἐστὶ, καταδέχωνται τὴν μετ' ἐκείνου συνοίκησιν τοῦ γυναίου· εἰ γὰρ ἐκεῖνοι οὐ βούλονται, καὶ κολασθήσεται κατὰ τὸν πολιτικὸν νόμον, εἰ παρθένος ἦν ἡ φθαρεῖσα.

ΒΑΛΣ. Κυρίως φθορὰ, ἐπὶ τῆς παρθένου λέγεται, καὶ ἐπὶ τῆς ἀνήβου. Φησὶ γοῦν ὁ ἅγιος, ὅτι ὁ παρθένον φθείρας μήπω κατεγγυηθεῖσαν αὐτῷ εἰς νόμιμον γάμον, κἂν θελήσῃ μετὰ τὴν φθορὰν εἰς γυναῖκα ἔχειν ταύτην, οὐκ ὠφεληθήσεται εἰς τὸ ἐκφυγεῖν τὸ ἐπιτίμιον τῆς φθορᾶς· ὤφειλε γὰρ πρότερον νομίμως μνηστεύσασθαι ταύτην, καὶ οὕτω μιγῆναι αὐτῇ· μὴ ποιήσας δὲ τοῦτο, τῷ μὲν ἐπιτιμίῳ τῆς φθορᾶς ὑποπεσεῖται, παραχωρηθήσεται δὲ ἔχειν ταύτην εἰς γυναῖκα νόμιμον· τοῦτο δὲ γενήσεται, ἐὰν καὶ οἱ γονεῖς αὐτῆς συναινῶσι. Τὸ μέν τοι ἐπιτίμιον τῆς φθορᾶς, τριετία ἐστὶ, δι' ἧς κολάζονται ὁμοίως καὶ ὁ φθείρων καὶ ἡ φθαρεῖσα· καὶ ἀνάγνωθι τὸν λη'. κανόνα τοῦ παρόντος ἁγίου. Ταῦτα δὲ ἐπὶ ὑπεξουσίων χώραν ἔχουσιν. Οἱ γὰρ αὐτεξούσιοι, τῷ μὲν ἐπιτιμίῳ ὑπόκεινται, κατὰ νόμους δὲ συζεύγνυνται συναινοῦντες. Εἰ δὲ ὁ ἀνὴρ οὐ θέλει τὴν ὑπ' αὐτοῦ φθαρεῖσαν λαβεῖν εἰς γυναῖκα, γενήσεται κατὰ τὸ γ'. κεφάλαιον τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, τὸ λέγον οὕτως· Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος, καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, ἢ τοῦτο παραιτούμενος, ἀσέλγειαν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν, δηλονότι, ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησε. Ζήτει καὶ βιβλίου κη'. τίτ. δ'. κεφ. ιβ'. ιγ'. καὶ βιβλίου ξ'. τίτλου λζ'. κεφάλαιον μζ'.

ΑΡΙΣΤ. Ὃς ἔχει τὴν, ἣν ἔφθειρε, συγχωρούμενος ἔχειν, τὸ ἐπιτίμιον γνώσεται.

Ὅστις βούλεται γυναῖκα ἔχειν, ἣν πρὸ τοῦ γάμου διέφθειρε, συγχωρηθήσεται κατέχειν αὐτήν· τὸ δὲ ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον εἴσεται, ἐν τέσσαρσιν ἐνιαυτοῖς, καθὼς ἐν τῷ εἰκοστῷ δευτέρῳ κανόνι ἐγράφη.



## Κανὼν Κϛ'.

Ἡ πορνεία γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή· ὥστε, ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον. Ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ, ἵνα μὴ χεῖρόν τι γένηται.

---

ΖΩΝΑΡ. Τὸ λάθρα τινὰ συμφθαρῆναι γυναίῳ, οὔτε γάμος λογισθήσεται, οὔτε γάμου ἀφορμή· ὥστε λέγειν τινὰς, ὅτι, ἐπεὶ συνεφθάρη αὐτῇ, δεῖ ἐκδοθῆναι ταύτην αὐτῷ εἰς γυναῖκα· ἀλλ' ἄριστον μέν ἐστι χωρίζεσθαι αὐτοὺς, ὅτι σαθρός ἐστι καὶ ἔκθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος. Εἰ δὲ στέργουσι καὶ ἄμφω τὴν μετ' ἀλλήλων συμβίωσιν ἐκ παντὸς, ἀντὶ τοῦ, ἀπαραιτήτως, μὴ ἀνεχόμενοι τῆς ἀπ' ἀλλήλων διαζυγῆς, ἐπιτιμάσθωσαν μὲν ὡς πορνεύσαντες, παραχωρείσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται, ἵνα μὴ καὶ διαζυγέντες πάλιν λάθρα μίγνυνται καὶ πορνεύωσιν, ἢ ἵνα μὴ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, φιλοῦσα δὲ τὸν φθείραντα αὐτὴν, εἰς μοιχείαν ἐκκυλισθῇ, ἢ ἵνα μὴ στέργοντες ἀλλήλους, καὶ κωλυόμενοι συνοικεῖν, διαχειρίσωνται ἑαυτοὺς, διὰ τὸ τοῦ ἔρωτος διακαὲς, καὶ τὴν ἀπ' ἀλλήλων διάζευξιν.

ΒΑΛΣ. Εἰπὼν ὁ ἅγιος τί ὀφείλει γίνεσθαι εἰς τὸν φθείραντα παρθένον, ἀρτίως ὑποτυποῖ καὶ τὰ περὶ τῶν συνελθόντων πορνικῶς· καὶ φησιν, ὅτι ἡ πορνεία οὔτε γάμος λογίζεται, οὔτε γάμου ἀφορμὴ, ὥστε ἀναγκάζεσθαι θάτερον τῷ ἑτέρῳ συνάπτεσθαι γαμικῶς· ἀλλὰ ἄριστον μέν ἐστι χωρίζεσθαι αὐτοὺς, ἤγουν μὴ παραχωρεῖσθαι τὴν μέσον αὐτῶν γαμικὴν συνάφειαν, ὅτι ἔκθεσμος καὶ κατάκριτός ἐστιν ὁ τοῦ τοιούτου γάμου θεμέλιος. Εἰ δὲ στέργουσιν ἀπαραιτήτως καὶ ἄμφω τὴν συμβίωσιν, μὴ ἀνεχόμενοι τοῦ ἀπ' ἀλλήλων χωρισμοῦ, ἐπιτιμάσθωσαν μὲν

ὡς πορνεύσαντες, παραχωρείσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται, ἤγουν, ἵνα μὴ διαζυγέντες, πάλιν λάθρα πορνεύσωσι, τουτέστιν, ἵνα μὴ ἑτέροις συναφθέντες προσώποις, οὐκ ἐπιμείνωσι τῷ νομίμῳ γάμῳ, ἀλλὰ μοιχείαν ἐργάσωνται, ἢ ἵνα μὴ κωλυόμενοι διαχειρίσωνται ἑαυτοὺς διὰ τὸ τοῦ ἔρωτος διακαές. Ταῦτα δὲ χώραν εἶχον, ὡς ἐμοὶ δοκεῖ, ὅταν συναινέσει μόνῃ ὁ γάμος συνίστατο, οὐ μὴν καὶ σήμερον, ὅταν δι᾽ ἱερολογίας καὶ θείας μεταλήψεως τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ὁ γάμος συνίσταται. Πῶς γὰρ οἱ ἐπιτιμηθέντες διὰ τὴν πορνείαν, καὶ τῶν ἁγιασμάτων μὴ μεταλαμβάνοντες, γαμικῶς ἀλλήλοις συνέλθωσιν; Εἰ δὲ εἴπῃς(1), μετὰ τὸ ἐπιτιμηθῆναι τοὺς πορνεύσαντας ἐπὶ ὅλῃ τριετίᾳ, μὴ πορνεῦσαι, οὐκ ἐμποδισθήσῃ παραχωρῆσαι τούτοις νομίμως συναφθῆναι μετὰ τὴν τριετίαν. Ἐρωτήσει δέ τις, διὰ τί τὴν μὲν παρθένον μετὰ τὴν φθορὰν διορίζεται ὁ ἅγιος νομίμως συνάπτεσθαι τῷ φθορεῖ, τοὺς δὲ πορνεύσαντας εὐκόλως(2) μίγνυσθαι γαμικῶς οὐ παραχωρεῖ, ἀλλὰ μετὰ διαστίξεως. Λύσις. Τὴν μὲν παρθένον ἴσως μετὰ τὴν φθορὰν οὐδεὶς αἱρετίσεται πρὸς γάμον λαβεῖν· καὶ εἰ μὴ παραχωρηθῇ τῷ φθορεῖ γαμηθῆναι, περιλειφθήσεται ἄτιμος καὶ ἐλέους ἀξία· ἡ δὲ πορνευθεῖσα οὐ ζημιοῦται τοσοῦτον, ἐὰν μὴ γαμηθῇ τῷ πορνεύσαντι μετ᾽ αὐτῆς, παρ᾽ ἑτέρου γὰρ διεκορήθη. Εἰ γοῦν μὴ πρόκειταί τι κακὸν μέγα ἐκ τῆς διαστάσεως τῶν πορνευσάντων, καὶ οὐδὲ ὁλοψύχως οἱ πορνεύσαντες τοῦ γάμου ἐξέχονται, προτιμηθήσεται ἡ διάστασις, καὶ ἡ διὰ ταύτην ἀποχὴ τοῦ κακοῦ. Ἔτι ἐρωτήσει τις, ὡς τοῦ γ᾽. κεφ. τοῦ λζ᾽. τίτλου τοῦ ξ᾽. βιβλίου διοριζομένου τὸν παλλακευόμενον μετὰ σώφρονος γυναικὸς ἀναγκάζεσθαι ταύτην εἰς γάμον λαβεῖν, πῶς ὁ παρὼν κανὼν διορίζεται τοὺς πορνεύσαντας χωρίζεσθαι; Λύσις. Διαφορά ἐστι παλλακῆς καὶ πόρνης· ἡ μὲν γάρ, ἤγουν ἡ παλλακή, εἰς μόνον τὸν παλλακευόμενον ἁμαρτάνουσα, ἐπιγινώσκεται καὶ τῷ νόμῳ· ἡ δὲ μετὰ διαφόρων πορνεύσασα, οὔτε τῷ νόμῳ ἐπιγινώσκεται, ἀλλὰ καὶ τῆς τοῦ πορνεύοντος κατοικίας ἐξωθεῖται, καθὼς τὸ διαληφθέν φησι κεφάλαιον· ὁ γοῦν

(1) εἰ δὲ μὴ εἴπῃς, Ε. (2) — εὐκόλως, οὐ κεῖται ἐν Χ. Τρ.



παρὼν κανὼν περὶ πόρνης διαλεγόμενος, καλῶς καὶ ἀκολούθως τῷ νόμῳ διορίζεται μετὰ διαστίξεως, τοὺς πορνεύσαντας νομίμως συνάπτεσθαι.

ΑΡΙΣΤ. Εἰ ὁ συζυγεὶς κατὰ πορνείαν διαζεύγνυται, κάλλιον· εἰ δὲ ἀδιασπάστως συνέζευκται, συγχωρείσθω, δεχόμενος τὸ ἐπιτίμιον.

Ὁ γάμος ἐν τούτῳ ἔχει τὸ σεμνόν, καὶ τὸ τίμιον, ἐν τῷ καθαρεύειν πορνείας· καὶ διὰ τοῦτο ἡ πορνεία οὔτε γάμος ἐστίν, οὔτε γάμου ἀρχή, ἀλλὰ ἁμαρτία, καὶ θείου νόμου παράβασις. Ὥςε, ἐὰν κατὰ πορνείαν τις συμφθείρηται μετὰ γυναικός, ἀποστῆναι αὐτῆς, ἐάν ἐστι δυνατόν, κράτιστον ἐστίν· ἐὰν δὲ ἐκ παντὸς τρόπου ἀδιασπάστως ἔχωσι πρὸς ἀλλήλους, καὶ βούλωνται γαμικῇ συνοικεῖν ἔκτοτε διαθέσει, τὸ μὲν τῆς πορνείας δεχέσθωσαν ἐπιτίμιον, ἀφιέσθωσαν δὲ οὕτως ἔχειν, ἵνα μὴ χεῖρόν τι γένηται.

## Κανὼν ΚΖ᾽.

**Περὶ τοῦ πρεσβυτέρου τοῦ κατ᾽ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος, ὥρισα ἃ ἐχρῆν· καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. Εὐλογεῖν δὲ ἕτερον, τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον· εὐλογία γάρ, ἁγιασμοῦ μετάδοσις ἐςίν· ὁ δὲ τοῦτο μὴ ἔχων, διὰ τὸ ἐκ(1) τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; Μήτε τοίνυν δημοσίᾳ, μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω, ἀλλὰ ἀρκούμενος τῇ προεδρίᾳ προσκλαιέτω ἑτέροις (2) καὶ τῷ Κυρίῳ, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἁμάρτημα (3).**

---

ΖΩΝΑΡ. Ἱερέα, τὸν ἀθέσμῳ περιπαρέντα γάμῳ ἐν ἀγνοίᾳ, καθέδρας μόνης μετέχειν ὁ ἅγιος ἔκρινε, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἤγουν συγκαθῆσθαι τοῖς πρεσβυτέροις, καὶ

(1) ἄνευ τῆς, ἐκ, Π. Βενετ. Ε. — (2) ἑτέροις καί, οὐ κεῖται ἐν Σ. Ρ. καὶ Ἀπ. Βασιλ. — (3) ἀνέμνημα Απ. Βασιλ, Σ. Ρ.

οὕτω συντιμᾶσθαι αὐτοῖς, ἄλλο δέ τι ἱερατικὸν μὴ ποιεῖν· ἀρκεῖ γὰρ αὐτῷ, φησὶν, ὅτι συγγνωμονεῖται διὰ τὴν ἄγνοιαν· εὐλογεῖν δὲ ἕτερον τὸν τοιοῦτον οὐ δεῖ· ἡ γὰρ εὐλογία, μετάδοσις ἁγιασμοῦ ἐστίν· ὁ δὲ μὴ ἔχων ἁγιασμὸν διὰ τὸ ἁμάρτημα, κἂν κατὰ ἄγνοιαν ἦν, πῶς τούτου μεταδώσει ἑτέρῳ; Καὶ οὐδὲ δημοσίᾳ ἔξεστιν αὐτῷ εὐλογεῖν, ἐν ἐκκλησίᾳ δηλαδὴ, οὐδὲ ἰδίᾳ, ἐν οἰκίᾳ τυχὸν, οὔτε τῶν ἁγίων δώρων ἑτέροις μεταδιδόναι, οὔτε τι ἄλλο ποιεῖν ἱερατικόν· ἀλλὰ ἀρκούμενος, φησὶ, τῇ τιμῇ τῆς προεδρίας, προσκλαιέτω ἑτέροις τε καὶ τῷ Κυρίῳ· τῷ μὲν Κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτίας· ἑτέροις δὲ, ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τοῦ Κυρίου, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. Ταῦτα δὲ, εἰ τοῦ τοιούτου ἀποσταίη γάμου. Ἄθεσμον δὲ γάμον νοητέον, ἢ τὴν μετὰ συγγενοῦς κοινωνίαν, ἢ τὴν μετὰ μοναστρίας ἀρνησαμένης τὸ σχῆμα, μὴ εἰδότος τοῦτο τοῦ ταύτην εἰσοικισαμένου, καὶ ἕτερα ὅμοια.

ΒΑΛΣ. Εἰς τρία διαιροῦνται οἱ κεκωλυμένοι γάμοι, εἰς νεφάριον, τὸν λεγόμενον παράνομον, ὡς ὅτε λάβῃ τις εἰς γάμον τὴν ἐπιτροπευθεῖσαν παρὰ τούτου, ἢ τοῦ πατρὸς αὐτοῦ, ἢ τὴν οὖσαν ὑπὸ τὴν πρακτορικὴν ἐξουσίαν τούτου, ἢ τοῦ πατρὸς αὐτοῦ· εἰς δαμνάτον, τὸν λεγόμενον κατάκριτον, ὅς ἐστιν ὁ μετὰ μοναχῆς, ἢ ἑτέρας ἀνατεθειμένης τῷ Θεῷ γάμος· καὶ εἰς τὸν ἴγκεστον, τὸν καὶ ἀθέμιτον λεγόμενον, δηλονότι τὸν μετὰ συγγενικοῦ προσώπου κεκωλυμένου προβάντα. Τινὸς γοῦν ἱερέως ἐν ἀγνοίᾳ γάμον ἀθέμιτον συναλλάξαντος, καὶ διὰ τοῦτο διαζυγέντος, καὶ καθαιρέσει ὑποπεσόντος, ἠρώτησέ τις τὸν ἅγιον, εἰ ὀφείλει ὁ τοιοῦτος ἱερεὺς μετὰ τὴν καθαίρεσιν ἱερατικόν τι ἐνεργεῖν. Ἔλεγον γάρ τινες, ὡς, ἐπεὶ ἐν ἀγνοίᾳ ὠλίσθησεν ὁ ἱερεὺς, οὐχ ὑποπεσεῖται καθαιρέσει· εἰ δὲ καθαιρεθῇ, τῶν μὲν ἐντὸς τοῦ βήματος ἐνεργειῶν κωλυθήσεται, τῶν δὲ ἐκτὸς οὐκ ἐμποδισθήσεται. Φησὶ τοίνυν ὁ ἅγιος ὀφείλειν τοῦτον καθαιρεῖσθαι, καὶ μετὰ τὴν καθαίρεσιν, τιμῆς μὲν μόνης μετέχειν, ἤτοι συγκαθῆσθαι μετὰ τῶν πρεσβυτέρων, τῶν δὲ λοιπῶν ἱερατικῶν ἐνεργειῶν ἀπέχεσθαι, ἤγουν μήτε εὐχὴν λέγειν δημοσίᾳ, τουτέστιν ἐν ἐκκλησίᾳ, μήτε ἰδίᾳ, τουτέστιν ἐκτὸς τῆς



ἐκκλησίας, ἀλλὰ μηδὲ τὰ ἅγια μεταχειρίζεσθαι, καὶ ἑτέροις μεταδιδόναι αὐτῶν, μήτ' ἄλλο τι ἱερατικὸν ἐνεργεῖν· ἀρκεῖσθαι δὲ τῇ τιμῇ τῆς προεδρίας(1), τῇ φιλοτιμηθείσῃ αὐτῷ διὰ τὴν ἄγνοιαν. Εὐλογεῖν μέντοι ἑτέρους τὸν τοιοῦτον οὐ δεῖ· ἡ γὰρ εὐλογία, μετάδοσις ἁγιασμοῦ ἐστίν· ὁ δὲ μὴ ἔχων ἁγιασμὸν, κἂν δι' ἄγνοιαν καθῃρέθη, πῶς τούτου μεταδώσει ἑτέρῳ; Συγγνώμη δὲ δίδοται αὐτῷ, οὐ μόνον διὰ τοῦ συγκαθῆσθαι μετὰ τῶν ἱερέων, ἀλλὰ καὶ διὰ τοῦ μὴ τιμωρεῖσθαι ἀλλοτρόπως· εἰ γὰρ ἐν εἰδήσει ἔλαβεν εἰς γυναῖκα τὴν ἀφιερωθεῖσαν τῷ Θεῷ, ἢ τὴν συγγενῆ(2) αὐτοῦ, καὶ ἀλλοτρόπως, χρηματικῶς δηλονότι καὶ ἐγκληματικῶς ἵνα ἐκολάσθη, ἅτινα οὐκ ἐπάγονται αὐτῷ διὰ τὴν ἄγνοιαν· καὶ ἀνάγνωθι τὸν ις'. τίτλον τοῦ κή. βιβλίου. Μετὰ μέντοι τὸ ἀπαγορεῦσαι αὐτῷ πᾶσαν ἱερατικὴν ἐνέργειαν, φησὶν ὁ ἅγιος, προσκλαιέτω ἑτέροις καὶ τῷ Κυρίῳ· τῷ μὲν Κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτήματα, τοῖς δὲ ἑτέροις, ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τῷ Κυρίῳ συγχωρηθῆναι τούτῳ τὸ ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. Ἐρωτήσει δέ τις, ὡς ἐκ τριῶν τρόπων κολαζομένων τῶν ἀθέσμων γάμων, καθαιρεθήσεται καὶ ὁ ποιήσας παράνομον γάμον, ἤγουν καὶ ὁ τὴν ποτὲ παρ' αὐτοῦ ἐπιτροπευθεῖσαν, ἢ τοῦ πατρὸς αὐτοῦ, εἰς γάμον ἀγόμενος; Λύσις. Ἐπεὶ ὡς παράνομος καὶ ὁ τοιοῦτος γάμος διασπᾶται, ἐξ ἀνάγκης μετὰ τὸ διαζύγιον καὶ οὗτος ὡς πορνεύσας καθαιρεθήσεται· καὶ εἰ μὲν παρ' αὐτοῦ ἔφθασεν ἐπιτροπευθῆναι ἡ παρανόμως συναφθεῖσα αὐτῷ, οὐδὲ καθέδρας ἀξιωθήσεται, ὡς μὴ δυνάμενος προβαλέσθαι ἄγνοιαν· εἰ δὲ παρὰ τοῦ πατρὸς τούτου, καὶ βοηθήσει αὐτῷ ἴσως λόγος ἀγνοίας, συγγνωσθήσεται, καὶ καθέδρας ἀξιωθήσεται κατὰ τὸν παρόντα κανόνα. Ἀνάγνωθι καὶ τὸ κζ'. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν θ'. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τὰ ἐν αὐτῷ· καὶ τὸν κά. καὶ κς'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Ἐπεὶ δὲ φαίνεται ἀνακύπτουσα(3) ἐν τούτοις ἐναντιότης, οἱ μὲν γὰρ τῶν κανόνων τούτων λέγουσι τοὺς

(1) προσεδρίας Χ. Τρ. — (2) προσγενῆ Χ. Τρ. Ἐ. — (3) Χ. Τρ. — ἀναπίπτουσα Ἐ. Βευερ.

καθαιρουμένους εἰς τόπον ἐξωθεῖσθαι λαϊκῶν, οἱ δὲ ἐνεργεῖν αὐτοὺς τὰ ἐκτὸς τοῦ βήματος καὶ μόνα, οἱ δὲ καθέδρας μόνης μετέχειν, διάστιξον, καὶ εἰπὲ, ὅτι ἄλλως κολάζονται οἱ ἐν εἰδήσει ἁμαρτάνοντες, καὶ μετὰ ἔλεγχον καθαιρούμενοι, ἄλλως οἱ ἐν εἰδήσει μὲν ἁμαρτάνοντες, ἑκοντὶ δὲ τοῦ κακοῦ ἀφιστάμενοι, ἄλλως οἱ ἐν ἀγνοίᾳ ὀλισθήσαντες καὶ ἐξομολογησάμενοι, καὶ ἄλλως οἱ ἀγνοήσαντες μὲν τὸ ἁμάρτημα, μὴ ἀφιστάμενοι δὲ αὐτοῦ, ἀλλὰ καταδικαζόμενοι. Ἔχε δὲ καὶ διαφορὰν τῶν ἁμαρτημάτων καὶ τῶν προσώπων, καὶ λέγε, κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν ποτὲ μὲν συγγνωμονεῖσθαι τοὺς καθαιρουμένους, ποτὲ δὲ μὴ συγγνωμονεῖσθαι, καὶ οὕτω τὴν δοκοῦσαν ἐν τοῖς κανόσιν ἐναντιότητα διευλυτοῦσθαι.

ΑΡΙΣΤ. Ἀθέσμῳ περιπαρεὶς γάμῳ ἐν ἀγνοίᾳ πρεσβύτερος, μόνης ἀπολαυέτω τῆς προεδρίας, τῆς ἐνεργείας στερούμενος.

Ἐάν τις πρὸ τῆς ἱερωσύνης γυναῖκα ἔλαβεν, ἀγνοῶν ὅτι χήρα ἐστὶν, ἡ μαινὰς, ἢ τῶν ἐπὶ σκηνῆς, ἢ ἄλλη τις τῶν ἀπηγορευμένων τοῖς ἱερωμένοις, εἶτα εἰς ἱερωσύνης προέβη βαθμὸν, καὶ ἐπιγνωσθῇ τὸ τοῦ γάμου ἄθεσμον, τῆς μὲν τιμῆς μόνης καὶ προεδρίας τῶν ἱερέων μεθέξει, τῆς δὲ λειτουργίας παντάπασι κωλυθήσεται· ἀρκετὸν γὰρ αὐτῷ ἡ συγγνώμη διὰ τὴν ἄγνοιαν. Τὸ δὲ καὶ ἑτέρους εὐλογεῖν, τὸν ὀφείλοντα τῶν οἰκείων τραυμάτων τίθεσθαι πρόνοιαν, ἀνακόλουθον· εὐλογία γὰρ, μετάδοσίς ἐστιν ἁγιασμοῦ, ὁ δὲ τοῦτον μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέροις μεταδώσει;.

## Κανὼν ΚΗ'.

Ἐκεῖνό γε μὴν γελοῖόν μοι κατεφάνη, τὸ εὔξασθαί τινα ὑείων ἀπέχεσθαι κρεῶν. Ὥστε καταξίωσον διδάσκειν αὐτοὺς, τῶν ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι· τὴν μέν τοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον· οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ᾽ εὐχαριστίας λαμβανόμενον(1)· ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

(1) α', Τιμόθ. Δ', 4.



ΖΩΝΑΡ. Ηὔξατό τις μὴ φαγεῖν χοίρεια κρέα· εὔξασθαι γὰρ, τὸ ἐπαγγείλασθαι καὶ ὑποσχέσθαι ἐστὶν, ὡς τὸ, Εὔξασθε καὶ ἀπόδοτε. Ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ ἔξεστι παραβῆναι τὴν τοιαύτην εὐχὴν τὸν ταύτην εὐξάμενον, καὶ ἀπεκρίθη, γέλωτος ἄξιον αὐτῷ δοκεῖν τὸ πρᾶγμα· ὥστε, φησὶ, χρῆσθαι μὲν, ἤτοι ἐσθίειν τὰ ὕεια κρέα, ἐπίτρεψον τῷ εὐξαμένῳ τὴν αὐτῶν ἀποχὴν, δίδαξον δὲ ἀπέχεσθαι τῶν ἀπαιδεύτων προσευχῶν, ἤτοι τῶν ἀλογίστων ἐπαγγελιῶν, καὶ μὴ προχείρους εἶναι εἰς τοιαύτας εὐχάς· οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ᾽ εὐχαριστίας λαμβανόμενον· καὶ ἐπεὶ, φησὶ, τοῦτο οὕτως ἔχει, ἡ εὐχὴ καταγέλαστος· τοιαύτης δὲ τῆς εὐχῆς οὔσης, οὐκ ἀναγκαία ἡ τῶν ὑείων κρεῶν ἀποχή.

ΑΡΙΣΤ. Ὁ κρεῶν ἀποχὴν ὑείων ἐπευξάμενος, γελοῖος· δεκτέος δὲ (1), εἰ μεταλήψοιτο.

Ηὔξατό τις ἀπέχεσθαι χοιρείων κρεῶν· γελοῖος οὗτος, ὡς ἀπαίδευτα προσευχόμενος καὶ ἐπαγγελλόμενος· οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ᾽ εὐχαριστίας μεταλαμβανόμενον. Δεῖ γοῦν συγχωρηθῆναι αὐτῷ τὴν μετάληψιν τῶν κρεῶν, ὧν ἀπέχειν ἐπηύξατο, διδαχθῆναι δὲ μὴ ἀπαιδεύτους πρὸς Θεὸν ἐπαγγελίας ποιεῖσθαι.

## Κανὼν ΚΘ'.

Ἄρχοντας μέν τοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρχομένους, καὶ πάνυ θεραπεύεσθαι προσῆκε(2). Θεραπεία δὲ τούτων διττή· μία μὲν, μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως· ἑτέρα δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πονηραῖς κρίσεσιν. Ὥστε ὅρκῳ προληφθείς τις εἰς κακοποιίαν ἑτέρου, τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω, μὴ μέν τοι προσχήματι εὐλαβείας τὴν πονηρίαν ἑαυτοῦ βεβαιούτω. Οὐδὲ γὰρ Ἡρώδῃ συνήνεγκεν εὐορκήσαντι, ὃς, ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ Προφήτου. Ἅπαξ(3) μὲν ὁ ὅρκος ἀπηγόρευται· πολλῷ δὲ δήπου εἰκὸς τὸν ἐπὶ κακῷ γινόμενον κατακεκρίσθαι(4). Ὥστε μεταφρο-

(1) Ἰουστέλλ. — οὐ δεκτέος δὲ, Βευερ. — (2) Χ. Τρ. Ἀπ. Βασιλ. — προσήκει, αἱ λοιπαί. — (3) καθάπαξ Η. — (4) Χ. Τρ. Ἀπ. Βασιλ., — κατακρίνεσθαι, αἱ λοιπαί.

νεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν ἑαυτοῦ τὸ ἀνόσιον. Ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν. Εἴ τις ὀμόσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τό τοιοῦτον εἰς ἔργον ἀγαγεῖν αὐτῷ; εἴ τις φονεύσειν; εἴ τις ὅλως δι' ὅρκου ἐντολήν τινα παραβήσεσθαι. Ὤμοσα γὰρ καὶ ἔστησα, οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου(1). Ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσῆκε βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως καθήκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

ΖΩΝΑΡ. Ἐὰν ἄρχων, φησὶν, ὀμόσῃ κακῶσαι τοὺς ὑπὸ χεῖρα, δεῖ τὸν τοιοῦτον πρῶτον μὲν διδάσκεσθαι μὴ ἕτοιμον εἶναι πρὸς ὅρκους· εἰ δὲ ἀπροσέκτως ὀμόσει, μὴ φυλάξαι τὸν ὅρκον ἐπὶ κακοποιΐᾳ ἑτέρων, ἀλλὰ μετάνοιαν ἐπιδείκνυσθαι διὰ τὴν προπέτειαν τοῦ ὅρκου· μὴ σχηματίζεσθαι δὲ καὶ ὑποκρίνεσθαι, ὅτι εὐλαβεῖται τὸν ὅρκον, ἀντὶ τοῦ, δειλιᾷ, καὶ φοβεῖται τὴν ἐπιορκίαν, καὶ βεβαιοῦν τὴν ἑαυτοῦ κακίαν, ἤγουν δι' ἀπήνειαν κολάζειν ἄλλους, ἵνα μὴ δοκῇ παραβῆναι τὸν ὅρκον. Καὶ ἐπὶ τούτοις ἄγει πρὸς παράδειγμα τὸν τετράρχην Ἡρώδην, λέγων, ὅτι συνέφερε τῷ Ἡρώδῃ μὴ εὐορκῆσαι, ἀντὶ τοῦ, μὴ εὖ διατεθῆναι πρὸς τὸν ὅρκον καὶ φυλάξαι αὐτὸν, καὶ φονεῦσαι τὸν βαπτιστήν. Καὶ πᾶς μὲν, φησὶν, ὅρκος καθάπαξ, ἤγουν ἀπαραιτήτως, τελείως ἀπηγόρευται· πλέον δὲ ἐνδέχεται ἀπηγορευμένον εἶναι καὶ κατακεκριμένον τὸν ἐπὶ κακῷ ὀμνυόμενον. Ὥστε τὸν τοιοῦτον ὅρκον ὀμόσαντα μεταφρονεῖν δεῖ, ἀντὶ τοῦ, μεταβουλεύεσθαι καὶ τἀναντία φρονεῖν, ἢ μετανοεῖν. Ὤμοσε γάρ τις ἀποκτεῖναι· δεῖ οὖν μεταφρονῆσαι, ἤγουν ἕτερα φρονῆσαι καὶ μεταγνῶναι, δηλαδὴ μὴ φονεῦσαι· ἀλλ' οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι δεῖ τὸ ἀνόσιον. Εἰ γάρ τις, φησὶν, ὤμοσεν ἐξορύξαι τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, ἐξεταστέον τί ἄρα βέλτιον, παριδεῖν τὸν ὅρκον, ἢ εἰς ἔργον τὸ κακὸν ἀγαγεῖν. Καὶ εἰ ὤμοσέ τις ἐντολὴν παραβῆναι, τί κρεῖσσον παραβῆναι, τὸν ὅρκον, ἢ τὴν ἐντολήν. Ὤμοσα γὰρ, φησὶ Δαβὶδ, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου, οὐχὶ τὴν ἁμαρτίαν.

(1) τὰ δικαιώματά σου Χ. Τρ. — Ψαλμ. ΡΙΗ, 106.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες παρακελεύονται ἀθετεῖσθαι τοὺς γενομένους ὅρκους παρά τινων χάριν τοῦ γενέσθαι κακόν τι, ἢ καὶ γέλωτος ἄξιον· φασὶ γὰρ τὸν εὐξάμενον, ἤτοι ὀμόσαντα μὴ φαγεῖν κρέας χοίρεον, ἢ κακοποιῆσαι τοὺς ὑπ' αὐτὸν, διδάσκεσθαι τῶν ἀλογίστων τοιούτων καὶ ἀπαιδεύτων ὅρκων ἀπέχεσθαι· καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπηγορευμένον ἐστίν· ἐκχωρεῖσθαι δὲ τὸ χοίρεον κρέας ἐσθίειν, καὶ παραβαίνειν τὸν ὅρκον, καὶ μὴ ποιεῖν τὸ κακὸν προφάσει τοῦ μὴ ἐπιορκῆσαι. Ἐχρήσατο δὲ καὶ παραδείγματι τῷ Ἡρώδῃ, τῷ ὀμόσαντι φονεῦσαι τὸν Βαπτιστὴν, καὶ διὰ τὸ μὴ ἐπιορκῆσαι, ποιήσαντι φόνον. Ἔδει γὰρ, φησὶν, αὐτὸν μεταφρονῆσαι, ἤγουν μεταγνῶναι, καὶ καταφρονῆσαι τοῦ ἀδίκου ὅρκου, ἀλλ' οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι τὸ ἀνόσιον. Ἀνάγνωθι τὸ ιη. κεφάλαιον τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. Τοῦ δὲ ι. κανόνος τοῦ ἁγίου Βασιλείου, τοῦ ξδ'. καὶ τοῦ πβ'. κολαζόντων τοὺς ἐπιόρκους, ἑτέρων δὲ κανόνων περιεχομένων τῷ διεληφθέντι ιη. κεφ. διοριζομένων τοὺς ἐπιορκήσαντας μὴ τιμωρεῖσθαι, καθὼς τοῦτο καὶ οἱ προκείμενοι κανόνες παρακελεύονται, εἴποι τις ἐναντιοῦσθαι ἀλλήλοις τοὺς κανόνας· ἐμοὶ δὲ οὐ δοκεῖ· ἀλλ' ὅταν μὲν ἀθετήσῃ τις ἔννομον ὅρκον χωρὶς ἀνάγκης τινὸς, ἢ ψευδῶς ὀμόσῃ, τιμωρηθήσεται πλέον· ὅταν δὲ κατὰ βίαν ποιήσῃ τοῦτο, κουφότερον κολασθήσεται κατὰ τὸν πβ'. κανόνα τοῦ παρόντος ἁγίου Πατρός· εἰ δὲ οὐκ ἔστιν ἔννομος ὁ ὅρκος, ἀλλὰ διὰ τὸ γενέσθαι τι ἄτοπον προέβη, ἢ μὴ γενέσθαι ἀγαθόν τι, ἢ ὤμοσέ τις πρᾶγμα μὴ ὂν ἄξιον εἰς ὅρκον κατάγεσθαι(1), τότε ἡ ἀθέτησις τούτου ἀκόλαστος ἐστί. Πλὴν ἀκούων τοῦ ἁγίου λέγοντος, ὀφείλειν καὶ τοὺς τοιούτους ἀναδιδάσκεσθαι μὴ εἶναι προχείρους εἰς τὸ ὀμνύειν, καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπηγόρευται, λέγω, ὅτι καὶ οἱ τοὺς τοιούτους ὅρκους ποιοῦντες, κἂν ἀκινδύνως ἐπιορκῶσιν, ἀλλὰ παντελῶς οὐκ ἔσονται ἀτιμώρητοι, μετρίως δὲ κατὰ τὸ δοκοῦν τῷ ἐπισκόπῳ ἐπιτιμηθήσονται. Ἐπεὶ δὲ ἐκ τοῦ διορίζεσθαι τοὺς κανόνας κολάζεσθαι τοὺς ἐπιόρκους, ἀναφαίνεται μὴ τιμωρεῖσθαι τοὺς μὴ παραβαίνοντας αὐτοὺς, κἀντεῦθεν συναναδείκνυται καὶ

(1) Κ. Τρ. — καταλέγεσθαι 'Ε. Βευερ.

τὸ ἐπιτρέπεσθαι τὴν τῶν ἐννόμων ὅρκων τελεσιουργίαν, μὴ εἴπῃς ταῦτα διορισθῆναι ὑπεναντίως τῇ εὐαγγελικῇ ἐντολῇ, τῇ λεγούσῃ, Μὴ ὀμνύειν ἡμᾶς, μήτε ἐν τῷ οὐρανῷ, μήτε ἐν τῇ γῇ, ὅτι ὁ οὐρανὸς θρόνος ἐςὶ τοῦ Θεοῦ, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, εἶναι δὲ ἡμῖν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ (1)· τοῦτο μὲν γάρ ἐστι τῶν ἄγαν τελείων· ἐκεῖνο δὲ δεύτερον καὶ οὐκ ἀπόβλητον, ὡς ἔννομον· οἷόν ἐστι καὶ τὸ, Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς (2), καὶ ἀκολούθει μοι· εἰ γὰρ πάντες ἀναγκάζονται τοῦτο ποιῆσαι, ποῖος ἀγοράσει αὐτά; Ἄλλως τε, εἰ ἅπας ὅρκος ἐκωλύετο, οὐδὲ ὁ Προφήτης εἶπεν ἂν, Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰς ἐντολάς σου· οὐδὲ οἱ τοὺς νόμους συνθέμενοι ὀρθόδοξοι βασιλεῖς ἵνα ἐξέθεντο νόμους ἐπιτρέποντας ὅρκων τελεσιουργίας· ὥςε, οὐχὶ πᾶς ὅρκος ἔννομός τε καὶ παράνομος κεκωλυμένος ἐστὶν, ἀλλ' ὁ παράνομος καὶ ἀπαίδευτος. Τινὸς δὲ εὐγενοῦς ἐν ἡμέρᾳ τρίτῃ μιᾶς ἑβδομάδος εἰπόντος πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα μὴ ὀφείλειν κρεωφαγῆσαι, τελουμένης καὶ ταῦτα τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ ἐπομόσασθαι νηστεύειν τὰς τρίτας ἡμέρας τῶν ὅλων ἑβδομάδων τοῦ χρόνου, εἰς τιμὴν τοῦ τιμίου Προδρόμου, ὥρισεν ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ συνοδικῶς ἐρωτηθῆναι, εἰ κανονικόν ἐστι τὸν ὅρκον τοῦτον φυλαχθῆναι, καὶ τὴν ἑορτὴν πασχάλιον οὖσαν ἀπανηγύριστον ἐαθῆναι. Καὶ γενομένης τῆς ἐρωτήσεως, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς μετὰ τῆς παρατυχούσης (3) συνόδου εἰπὼν ἀγαθὸν εἶναι καὶ τὸ νηςεύειν ἐν παντὶ καιρῷ, ἐπήγαγεν, ὡς οὐ χρὴ τὸν τοιοῦτον ὅρκον προτιμηθῆναι τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν. Εἰ γὰρ οἱ ἀποστολικοὶ κανόνες κολάζουσι τὸν ἐν τῷ τυχόντι σαββάτῳ, ἢ τῇ Κυριακῇ γονυκλιτοῦντα, ἢ νηστεύοντα, πολλῷ πλέον κολασθήσεται ὁ νηστεύων κατὰ τὴν πασχάλιον τοῦ Χριστοῦ ἑορτὴν, διὰ τὸ μὴ παροραθῆναι τὸν αὐθαίρετον ὅρκον αὐτοῦ, καὶ ἐξεχώρησε τῷ εὐγενεῖ κρεωφαγῆσαι. Ὁ αὐτὸς δὲ πατριάρχης καὶ τὸν Τζίταν τὸν εὐνοῦχον ὀμόσαντα εἰς προσκύνησιν ἀπελθεῖν τῶν ἐν Ἱεροσολύμοις ἁγίων τόπων, καὶ μὴ ἀπελθόντα, ὡς μεταμεληθέντα, συνοδικῶς ἐκ τῆς ἐπιορκίας

(1) Ματθ. Ε, 34, 35. Ἰακώβ. Ε, 12. — (2) Λουκ. ΙΒ', 33. — (3) παρούσης Χ. Τρ.



ἀπέλυσε, διὰ μετρίου ἐπιτιμίου θεραπεύσας αὐτόν. Ἀπὸ μέν τοι τῶν ῥημάτων τοῦ κανόνος τῶν οὕτως ἐχόντων, Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον, μὴ εἴπῃς, ὡς ἐνεδόθη πάντα τὰ κτήνη ἐσθίειν ἡμᾶς, ἀλλὰ λέγε περὶ ἐκείνων διαλέγεσθαι τὸν κανόνα, τῶν ἐσθιομένων παρὰ τῶν ὀρθοδόξων ἀπὸ συνηθείας καὶ παραδόσεως ἐκκλησιαστικῆς.

ΑΡΙΣΤ. Εἰ ἀπηγόρευται τὸ ὀμνύειν, τὸ ἐπὶ τῷ κακῶσαι μᾶλλον· ὥςε μὴ μόνον τὸ ἔργον κωλύσῃς, ἀλλὰ καὶ αὐτὸν ὃν ἀπερεύγεται ὅρκον. Θεραπεία δὲ τούτου διττὴ, νουθεσία τοῦ μὴ ὀμνύειν, καὶ κώλυσις τοῦ προσχήματι ὅρκου· πράττειν τὸ ὀμοθὲν, ἄτοπον.

Μὴ πρόφασιν τοῦ κακοποιεῖν τοὺς ἀρχομένους εὑρισκέτωσαν τὸν ὅρκον οἱ ἄρχοντες. Τί γάρ; Ὤμοσέ τις κακῶσαί τινα τῶν ὑπὸ χεῖρα, καὶ προσχήματι εὐλαβείας τὴν πονηρίαν αὐτοῦ βούλεται βεβαιῶσαι. Θεράπευσον γοῦν τὸν τοιοῦτον διττῶς· καθ' ἕνα μὲν τρόπον, δίδαξον αὐτὸν μὴ ὀμνύειν προχείρως· καθ' ἕτερον δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πρὸς τὸ κακὸν εὐορκίαις· ὅτι μηδὲ Ἡρώδῃ συνέφερεν εὐορκήσαντι· διὰ γὰρ τὸ μὴ ἐπιορκῆσαι, φονεὺς ἐγένετο τοῦ Προφήτου. Ἐκεῖνον γάρ τις τὸν ὅρκον ὀφείλει ἀμετάτρεπτον φυλάττειν, ὃν ὤμοσεν ἐπὶ τῷ φυλάξαι τὰ κρίματα τῆς τοῦ Θεοῦ δικαιοσύνης· τὸν δὲ ἐπὶ τῇ ἁμαρτίᾳ προβάντα, καὶ κακώσει τινὸς, παντοίως ἀκυροῦσθαι προσήκει, καὶ ἀφορίζεσθαι.

## Κανὼν Λ'.

Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα, τρία ἔτη, καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς, ἔξω τῶν εὐχῶν γίνεσθαι. Τὸ δὲ μὴ βιαίως γινόμενον, ἀνεύθυνόν ἐστιν, ὅταν μὴ φθορὰ ᾖ, μηδὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος, αὐτεξουσία δὲ ἡ χήρα, καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι· ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

---

ΖΩΝΑΡ. Τοὺς ἁρπάζοντας γυναῖκας, καὶ τοὺς συνεργοῦντας αὐτοῖς, ἐπὶ τριετίαν ὁ ἅγιος οὗτος ὥρισεν ἔξω τῶν εὐχῶν γίνεσθαι, ἤγουν ἐν τῷ προνάῳ ἵστασθαι μετὰ τῶν ἐν ἀκροάσει.

Εἰ δὲ ἑκοῦσα γυνὴ ἐπιδῷ ἑαυτὴν, μὴ προηγησαμένης φθορᾶς, μηδὲ κλοπῆς, ἀντὶ τοῦ, λαθραίας μίξεως, ἀνεύθυνός ἐστιν ὁ ταύτην λαβὼν, οἷα μηδὲ βίας μεσολαβησάσης, εἰ τέως αὐτεξουσία ἦν ἡ γυνή· εἰ γὰρ ὑπεξουσία ἦν, ἄνευ τοῦ ἔχοντος αὐτὴν ὑπεξουσίαν ἐπιδοῦσα ἑαυτὴν ἀνδρὶ, οὐ λογίζεται γάμον συναλλάσσειν· εἰ γὰρ βούλεται ὁ ἔχων ὑπεξουσίαν αὐτὴν, διασπάσει τὸ συνοικέσιον, ὡς ὁ λή. κανὼν περιέχει, καὶ ὁ μά. καὶ ὁ μβ'. Ὅθεν φησὶν, ὅτι, ἐὰν αὐτεξουσία χήρα ᾖ, καὶ ἐπ' αὐτῇ κεῖται, ἤγουν ἐπὶ τῇ θελήσει αὐτῆς, τὸ ἀκολουθῆσαι ἀνδρὶ, ὁ ταύτην λαβὼν οὐκ εὐθύνεται. Τὸ δὲ, τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον, τοιαύτην δίδωσιν ἔννοιαν(1), ὅτι ἴδιόν τι σχῆμα στολῆς, ὡς ἔοικεν, εἶχον αἱ χῆραι τότε, πενθῆρες τυχὸν, ἢ ἀλλοῖόν τι παραλλάττον πρὸς τὴν τῶν ὑπάνδρων στολήν. Εἴποι δέ τις τοῦτο καὶ ἄλλως, ὅτι, ὥσπερ νῦν οἱ πρὸς τὸν μοναχικὸν μεταταττόμενοι βίον οὐκ εὐθὺς ἀποκείρονται, ἀλλὰ πρότερον μετασχηματίζονται, καὶ οὕτω μετὰ χρόνον τινὰ κείρονται, οὕτω καὶ τότε ἐγίνετο ἐπὶ ταῖς χήραις ταῖς καταλεγῆναι μελλούσαις εἰς τὸ τῶν χηρῶν τάγμα τῶν διοικουμένων παρὰ τῆς ἐκκλησίας, μετεσχηματίζοντο πρότερον, καὶ οὕτω μετὰ καιρὸν συνηριθμοῦντο τῷ τάγματι. Εἰ οὖν μετασχηματισθεῖσα χήρα ἄνδρα λάβῃ μήπω καταλεγεῖσα ταῖς χήραις τῆς ἐκκλησίας, τοῦ σχήματος, φησὶν, οὐ φροντίζομεν, οὐδ' ἐπιτιμηθήσεται διὰ τὸν σχηματισμὸν, ὅπερ καὶ ἐπὶ τῶν μοναχῶν ἄρτι γίνεται. Κἂν γὰρ μεταμφιάσηταί τις, μήπω δὲ καρῇ, καὶ δώσῃ συνθήκας πρὸς τὸν Θεὸν, ὀκλάσῃ δὲ πρὸς τὸ τῆς μοναχικῆς διαγωγῆς μοχθηρὸν, καὶ ἀποστῇ, οὐκ ἐπιτιμᾶται αὐτός. Οὕτως ὁ μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ διατάγμασι περὶ παίδων προσλαμβανομένων ἐν ἀδελφότητι δοὺς γνώμην, παιδεύεσθαι μὲν τούτους, καὶ διδάσκεσθαι τέχνας διατάττεται, καὶ πρὸς πᾶσαν ἐνάρετον ἐθίζεσθαι ἄσκησιν· τοῦ λόγου δὲ προσγενομένου, καὶ τῆς διακριτικῆς ἕξεως προελθούσης, τότε τὴν ὁμολογίαν τῆς παρθενίας προσίεσθαι μετὰ τὴν τοῦ λόγου συμπλήρω-

(1) Βευερ. — τοιαύτην δίδωσιν ἔννοιαν, ἕως τοῦ, οἶμαι δὲ κρεῖσσον εἶναι οὕτω νοεῖσθαι τὸ, τῶν σχημάτων οὐ φροντιστέον, οὐ κεῖται ἐν Χ. Τρ, Ἀλλ' οὕτω· τὸ δὲ, τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον, τοῦτο ἐστίν· ὅτι, εἰ γυνὴ αἰδουμένη κτλ.



σιν· ὁ δὲ μὴ καταδεχόμενος, φησὶ, τὸν ἐν παρθενίᾳ βίον, ὡς οὐ δυνάμενος μεριμνᾷν τὰ τοῦ Κυρίου, ἐπὶ μαρτύρων ἀπολυέσθω. Οἶμαι δὲ κρεῖσσον εἶναι οὕτω νοεῖσθαι τὸ, τῶν σχημάτων οὐ φροντιστέον, ὅτι, εἰ ἡ γυνὴ αἰδουμένη ἴσως ἐπιδοῦναι ἑαυτὴν τῷ ἐραστῇ, ἢ τῷ ἐρωμένῳ, χαμερπεῖ ὄντι, ἐσχηματίσατο τὸ ἁρπαγῆναι, πρὸς ἀλήθειαν δὲ ἑκουσίως αὐτῷ ἠκολούθησεν, οὐ φροντίζομεν τοῦ σχηματισμοῦ, ἤτοι τῆς ὑποκρίσεως, ἀλλὰ τῇ ἀληθείᾳ προσέχομεν. Ἀναγνωστέον καὶ τὸν νγ'. κανόνα τοῦ ἁγίου τούτου.

ΒΑΛΣ. Εἰς τὸν ξζ'. ἀποστολικὸν κανόνα, εἰς τὸν κζ'. τῆς ἐν Χαλκηδόνι, εἰς τὸν ϟβ'. τῆς ἐν τῷ Τρούλλῳ, καὶ εἰς τὸν κβ'. τοῦ παρόντος ἁγίου, διάφορα ἐγράψαμεν περὶ τῶν ἁρπαζόντων γυναῖκας, καὶ περὶ τῶν συναιρομένων αὐτοῖς, καὶ ἀνάγνωθι ταῦτα, καὶ τὸ λ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος. Ὁ δὲ παρὼν κανὼν διορίζεται ἐπὶ τριετίαν τοὺς ἅρπαγας καὶ τοὺς συναιρομένους αὐτοῖς γίνεσθαι ἔξω τῶν εὐχῶν, ἤγουν ἵστασθαι μετὰ τῶν ἀκροωμένων· εἰ δὲ ἑκοῦσα γυνὴ, φησὶν, ἐπιδῷ (1) ἑαυτὴν, μὴ προηγησαμένης φθορᾶς, μηδὲ κλοπῆς, ἤγουν λαθραίας μίξεως, ἀνεύθυνός ἐστιν ὁ ταύτην λαβών· ὡσαύτως ἀνεύθυνός ἐστι καὶ ὁ χήραν αὐτεξουσίαν τοιουτοτρόπως ἀναλαβόμενος. Τὸ δὲ, τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον, τοιοῦτόν τι ἐστίν. Ἐὰν γυνὴ, φησὶν, ἴσως αἰδουμένη ἐπιδοῦναι ἑαυτὴν τῷ ἐραστῇ, ἢ τῷ ἐρωμένῳ, χαμερπεῖ ὄντι, ἐσχηματίσατο ἁρπαγῆναι, πρὸς ἀλήθειαν δὲ ἑκουσίως αὐτῷ ἠκολούθησεν, οὐ φροντίζομεν τοῦ σχηματισμοῦ, ἤγουν τῆς ὑποκρίσεως, ἀλλὰ τῇ ἀληθείᾳ προσέχομεν· καὶ ἀνάγνωθι τὸν νγ'. κανόνα, συντρέχοντα τῇ τοιαύτῃ ἑρμηνείᾳ. Τὸ μέντοι ἀνεύθυνον εἶναι τὸν ἁρπάσαντα γυναῖκα κατὰ θέλησιν αὐτῆς, εἰς τὸ μὴ ἐπιτιμηθῆναι τοῦτον ἐκλαβοῦ· ὁ γὰρ ἁρπαγὴν αὐτεξουσίας, ἢ ὑπεξουσίας γυναικὸς ποιησάμενος, εἴτε κατὰ θέλησιν αὐτῆς, ἢ καὶ κατὰ μόνην οἰκείαν βούλησιν, τῷ περὶ ἁρπαγῆς νόμῳ ἐνέχεται, εἰς ἐκδίκησιν τῆς ἀταξίας τῶν πολλῶν, καὶ ἀναστολὴν τῶν λοιπῶν, καθὼς τοῦτό φησι τὸ ά. κεφ. τοῦ νή. τίτλου τοῦ ξ'. βιβλίου περὶ

(1) Χ. Τρ. — ἐπιδῷ ἐπιδοῦσα Βευερ. Ἐ.

τὸ τέλος οὕτω λέγον· Αἱ δὲ τιμωρίαι τῆς διατάξεως πᾶσαι ἔστωσαν κατ' αὐτῶν τῶν ἁρπασάντων καὶ βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ· οἱ μέντοι συνειδότες, καὶ ὑπηρετήσαντες, καὶ ὑποδεξάμενοι, ἢ οἱανδήτινα σπουδὴν αὐτοῖς συνενεγκόντες, τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν, εἴτε βουλομένων τῶν γυναικῶν, εἴτε καὶ μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονε. Τοῦτο δὲ ἐκρίθη οὕτω καὶ εἰς τὸ βασιλικὸν βῆμα ἐπὶ τῇ ὑποθέσει τοῦ ΣὴΘ τοῦ ἁρπάσαντος τὴν θυγατέρα τοῦ νεοφωτίστου. Εἰ δὲ θέλεις εἰπεῖν, μὴ γενέσθαι εἰς τὴν γυναῖκα τῇ ἀληθείᾳ ἁρπαγὴν, ἀλλὰ κατὰ προσποίησιν, καθὼς ἄνωθεν εἴπομεν, οὔτε τὰ ἐπιτίμια ἕξουσι χώραν, οὔτε οἱ νόμοι οἱ κολάζοντες τοὺς ἅρπαγας· μόνῃ δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ ἔνοχοι ἔσονται τοῖς πατράσιν οἱ λαβόντες τὰς ὑπεξουσίας, τοσοῦτον, ὅτι καὶ ὁ γενόμενος γάμος μέσον τούτων παρὰ γνώμην τῶν ἐχόντων αὐτὰς ὑπεξουσίας διασπασθήσεται· καὶ ἀνάγνωθι τὸν λή. κανόνα τοῦ ἁγίου τούτου, τὸν μά. καὶ τὸν μϐ'. Καλῶς δὲ ἐμνήσθη ὁ ἅγιος φθορᾶς καὶ κλοπῆς· ἡ μὲν γὰρ φθορὰ κυρίως γίνεται εἰς παρθένον, ἡ δὲ κλεψιγαμία, εἰς μὴ τοιαύτην ἐλευθέραν· ἐμνήσθη δὲ τῶν δύο, ὅτι καὶ δίχα τοῦ γενέσθαι ἁρπαγὴν, καὶ ὁ φθορεὺς, καὶ ὁ πόρνος ἐπιτιμῶνται.

ΑΡΙΣΤ. Ὁ ἁρπάζων, τριετίαν ὑποπιπτέτω· εἰ δὲ ἡ χήρα συνακολουθήσει, ἀνεύθυνον τὸ κακόν.

Τίσι μὲν ἔνοχός ἐστιν ὁ ἁρπάζων γυναῖκα, ἐγράφη ἐν τῷ εἰκοστῷ δευτέρῳ κανόνι τῆς παρούσης ἐπιστολῆς, καὶ ἐν τῷ ϟδ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου. Ὁ δὲ παρὼν κανὼν ἐπάγει καὶ τοῦτο, τόν τε ἁρπάσαντα, καὶ τοὺς βοηθήσαντας αὐτῷ εἰς τὴν ἁρπαγὴν, τρία ἔτη ἔξω τῶν εὐχῶν γίνεσθαι, καὶ μετὰ τῶν ὑποπιπτόντων συντάττεσθαι. Τοῦτο δὲ πάντως ἐπιγνώσονται τὸ ἐπιτίμιον μετὰ τὸ ἀποκαταστῆσαι τὴν ἁρπαγεῖσαν τοῖς οἰκείοις· ἄλλως γὰρ οὐ παραδεχθήσονται τῇ ἐκκλησίᾳ. Καὶ ταῦτα μὲν περὶ τῆς ἁρπαγείσης. Ἐὰν δὲ χήρα, χωρὶς φθορᾶς, ἢ βίας, συνακολουθήσῃ ἀνδρὶ, ἀνεύθυνον τὸ γινόμενον.



## Κανὼν ΛΑ'.

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς, καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ συνοικήσασα, μοιχᾶται.

---

ΖΩΝΑΡ. Ἐὰν ἀνὴρ ἀποδημήσας ἀφανὴς γένηται, ἤγουν ἐπὶ μακρὸν οὐχ ὑποστρέψῃ, ἀγνοεῖται δὲ εἴτε ζῇ, εἴτε ἀπέθανε, καὶ ἡ ἐκείνου γυνὴ, πρὸ τοῦ πληροφορηθῆναι βεβαίως τὸν θάνατον τοῦ ἀνδρὸς, ἑτέρῳ συνοικήσῃ ἀνδρὶ, μοιχαλὶς κρίνεται· τὴν τοιαύτην καὶ οἱ νόμοι τῆς πόλεως βαρέως κολάζουσι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ῥητῶς κατεστρώθη εἰς τὸν ϟγ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐπεὶ ἐκεῖσε ἡρμηνεύθη, ἀνάγνωθι τὰ ἐν ἐκείνῳ.

ΑΡΙΣΤ. Ἡ πρὸ τοῦ πληροφορηθῆναι θανεῖν τὸν ἄνδρα ἄλλῳ γαμουμένη, μοιχᾶται. Σαφής.

## Κανὼν ΛΒ'.

Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ, τοῦ βαθμοῦ μὲν κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό (1).

---

ΖΩΝΑΡ. Ὁ μέγας Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ἰωάννης, ἐν τῇ πρώτῃ τῶν καθολικῶν ἐπιστολῶν αὐτοῦ, φησίν· Ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον(2). Πρὸς θάνατον μὲν οὖν ἁμαρτία λέγεται εἶναι, ἡ μέχρι πράξεως προχωρήσασα· ἡ δὲ μέχρι τοῦ βουληθῆναι καὶ συγκαταθέσθαι, οὐ πρὸς θάνατον, δηλονότι τὸν ψυχικόν· οὐ γὰρ πόρνος ἂν κριθείη ὁ πορνεῦσαι συγκαταθέμενος, τῆς δὲ πράξεως ἀποσχόμενος. Φησὶ γὰρ ὁ τέταρτος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου· Ἐὰν πρόθηταί τις ἐπιθυμήσας γυναικὸς συγκαθευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον

---

(1) Ναούμ. Α', 9. — (2) α', Ἰω. Ε. 16, 17.

αὐτῷ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐῤῥύσθη. Καὶ οὐκ ἀνεπιτίμητος μὲν ἡ συγκατάθεσις, ἀλλ' οὐδὲ καθαιρέσεως ἄξιος ἂν κριθείη συγκαταθέμενος. Οὐδὲ μὴν ὁ φονεῦσαί τινα βουλευσάμενος, καὶ ἐπιμείνας μέχρι τινὸς τῷ βουλεύματι, εἶτ' ἀποστὰς αὐτοῦ καὶ πράξει μὴ ἐγχειρήσας, λογισθείη φονεύς. Καὶ πειθέτω ἡμᾶς περὶ τούτου ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, λέγων· Εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνου τοῦ βούλεσθαι, καὶ τὰ ἑξῆς. Οὕτω δὲ καὶ ὁ μέγας Βασίλειος, ὥσπερ εἴρηται ἐκλαβόμενος, φησί· Τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντας κληρικοὺς, ἐκπίπτειν μὲν τοῦ βαθμοῦ τῆς ἱερωσύνης, τῆς δὲ κοινωνίας τῶν λαϊκῶν μὴ κωλύεσθαι, ἤγουν τοῦ συνεύχεσθαι· οὐ γὰρ στήσονται οὔτε ἐν ἀκροωμένου τόπῳ, οὔτε ἐν ὑποπίπτοντι· ὅτι, Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΒΑΛΣ. Τοὺς κληρικοὺς τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντας, καθαιρεῖσθαι μὲν ὁ ἅγιος διορίζεται, τῆς δὲ μετὰ τῶν πιστῶν κοινωνίας οὐκ ἀποστερεῖ, ἤτοι οὐκ ἀφορίζει· Οὐ γὰρ ἐκδικήσεις, φησὶ, δὶς ἐπὶ τὸ αὐτό. Πρὸς θάνατον δὲ ἁμαρτίαν φασί τινες εἶναι τὴν πρᾶξιν, διαστέλλοντες ταύτην ἀπὸ τῆς βουλήσεως καὶ τῆς συγκαταθέσεως· ταῦτα γὰρ λέγουσι μηδὲ εἶναι ἁμαρτίαν. Ἐμοὶ δὲ δοκεῖ ἁμαρτίαν πρὸς θάνατον εἶναι ἅπαν ἁμάρτημα ἐπάγον κεφαλικὴν τιμωρίαν, ἤτοι θάνατον τῷ ἁμαρτάνοντι, καὶ διορίζεσθαι τὸν ἅγιον, ὡς, εἴ τις κληρικὸς ἐφ' οἱῳδήτινι ἁμαρτήματι καταδικασθῇ, κἂν οὐκ ἐλαφρὰν τιμωρίαν διὰ τοῦτο ὑφίσταται, ἀλλὰ μέχρι θανάτου ἐσχάτην, τὴν καὶ λεγομένην κεφαλικὴν, ὡς ἐπάγουσαν θάνατον, ἢ ἕτερον τι θανάτου ἴσον, καθαιρεθήσεται μόνον, εἰς πλέον δέ τι οὐ κολασθήσεται παρὰ τῆς ἐκκλησίας. Ἔλεγον γάρ τινες, ὡς ἔοικεν, ὅτι ἀπὸ μὲν πορνείας, ἢ κλοπῆς, καί τινων τοιούτων ἐλαφρῶν ἁμαρτημάτων, καθαιρεθήσεται μόνον ὁ κληρικός· ἀπὸ δὲ φόνου, καί τινος μείζονος ἁμαρτήματος οὐ μόνον καθαιρέσει ὑποπεσεῖται, ἀλλὰ καὶ ἀφορισθήσεται, ὅπερ οὐ παρεδέξατο ὁ ἅγιος, καὶ διὰ τοῦτο διωρίσατο μὴ ἀφορίζεσθαι τὸν καθαιρεθέντα, κἂν διὰ τὴν ἐσχάτην ἁμαρτίαν, ἤγουν τὴν πρὸς θάνατον κατεδικάσθη· ἀρκοῦσα γὰρ τιμωρία ἐστὶν ἡ καθαίρεσις. Ὅτι δὲ καὶ ἀπὸ μόνης βουλῆς καὶ συγκαταθέσεως κολάζονταί τινες ἐσχάτως, δῆλόν



ἐστιν ἀπὸ τοῦ λϛ'. τίτλου τοῦ ξ'. βιβλίου, διδάσκοντος περὶ ἐπιβούλων, καὶ διοριζομένου, τῷ περὶ καθοσιώσεως νόμῳ ἐνόχους εἶναι τοὺς κατὰ βασιλέως, ἢ πόλεως, ἢ ἄρχοντος ἐπιβουλευσαμένους, κἂν μὴ πράξωσιν ἔργον. Εὑρίσκων δὲ τὸν κή. ἀποστολικὸν κανόνα, καὶ τὸν κθ'. τὸν λ'. καὶ τὸν ξέ. κατὰ ταυτὸν καθαιροῦντας καὶ ἀφορίζοντάς τινας, ποτὲ δὲ καὶ τῆς κοινωνίας, ἢ καὶ τῆς ἐκκλησίας ἐκκόπτοντας, μὴ εἴπῃς ἐναντιοῦσθαι τούτοις τὸν παρόντα κανόνα· εἰδικοὶ γάρ εἰσι, καὶ τὰ εἰδικὰ οὐχ ἕλκονται πρὸς ὑπόδειγμα· ἀλλ' ἐκείνους μὲν λέγε κρατεῖν ἔνθα δὴ καὶ ἐξεφωνήθησαν, εἰς δὲ τὰ λοιπὰ, κρατεῖν τὸν παρόντα κανόνα. Ὑπέξελέ μοι τοὺς διὰ δογματικὰς ὑποθέσεις κατακρινομένους· ἐπ' ἐκείνοις γὰρ τὸ συνοδικῶς διορισθησόμενον ὀφείλει γίνεσθαι· ὅτι μηδὲ εἰς ἁμάρτημα ἢ ἔγκλημα τὰ τῶν αἱρέσεων ἀνάγονται ἀτοπήματα, ἀλλ' εἰσὶ μείζονος ἐκδικήσεως ἄξια.

ΑΡΙΣΤ. Τὴν πρὸς θάνατον ἁμαρτήσας κληρικὸς, μετὰ τοῦ λαοῦ κοινωνεῖ, τοῦ βαθμοῦ καταγόμενος· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

Πρὸς θάνατόν ἐστι κατάγουσα ἁμαρτία, ἡ τῆς σαρκὸς ἡδονή. Εἴ τις γοῦν κληρικὸς πορνεύσει, τοῦ μὲν βαθμοῦ τῆς ἱερωσύνης κατάγεται, τῆς δὲ θείας κοινωνίας οὐ κωλύεται, ἀλλὰ μετὰ τῶν λαϊκῶν κοινωνεῖ.

## Κανὼν ΛΓ'.

Ἡ γυνὴ, ἡ διὰ τῆς ὁδοῦ κυήσασα, καὶ ἀμελήσασα τοῦ κυήματος, τῷ τοῦ φόνου ἐγκλήματι ὑποκείσθω.

---

ΖΩΝΑΡ. Ἐὰν γυνὴ ἔγκυος ὁδεύουσα ὠδινήσῃ, καὶ τέκῃ ἐν τῇ ὁδῷ, καὶ δυναμένη ζωογονῆσαι καὶ περισῶσαι τὸ τεχθὲν(1) καταφρονήσῃ αὐτοῦ, καὶ ἀφήσῃ ἀνεπιμέλητον, ὡς φονεύσασα αὐτὸ κρίνεται, κἂν ἴσως τὸ βρέφος ἕτερός τις εὑρὼν ἀνέληται, καὶ ἐπιμελησάμενος ζωογονήσῃ. Εἰ δὲ ἀδύνατόν ἐστι περιποιήσασθαι τοῦτο, τυχὸν γὰρ αἰχμάλωτος ἤγετο, καὶ ἐν τῇ ὁδῷ ἔτεκεν,

(1) Χ. Τρ. — τὸ γεννηθὲν Βευερ.

ἢ πολεμίους ἔφευγε, καὶ φεύγουσα ἀπεκύησε, καὶ οὐκ ἠδύνατο καὶ ἑαυτὴν περισῶσαι καὶ τὸ τεχθὲν, κρυβεῖσα γὰρ ἴσως κατεμηνύθη ἂν ὑπὸ τοῦ βρέφους κλαυθμυριζομένου, συγγνωσθήσεται.

ΒΑΛΣ. Γυνή τις ἔγκυος ὁδεύουσα ἔτεκεν ἐν τῇ ὁδῷ, καὶ δυναμένη ζωογονῆσαι τὸ κυηθὲν, κατεφρόνησεν αὐτοῦ· φησὶν ὁ ἅγιος, τῷ τοῦ φονέως ἐγκλήματι ταύτην ὑποκεῖσθαι πάντως, κἂν μὴ τελευτήσῃ τὸ βρέφος, ἀλλὰ παρ' ἑτέρου ζωογονηθῇ· τὸ γὰρ ὑποκεῖσθαι αὐτὴν τῷ ἐγκλήματι τοῦ βρέφους τελευτήσαντος, ἀζήτητόν ἐστι καὶ ἀναμφίβολον. Ἐὰν δὲ οὐκ εἶχε πρὸς ἰσχύος ζωογονῆσαι τὸ βρέφος, διὰ τὸ ἕλκεσθαι τυχὸν ὑπὸ πολεμίων ὡς αἰχμάλωτος, οὐδόλως κολασθήσεται· καὶ ἀνάγνωθι τὸν νβ'. κανόνα τοῦ ἁγίου τούτου, ἑρμηνεύοντα καὶ τὸν παρόντα κανόνα. Περὶ μέν τοι τοῦ κολάζεσθαι, εἴτε καὶ μὴ, τὰς ἐκτιθεμένας τὰ οἰκεῖα βρέφη εἰς τὰς εἰσόδους τῶν θείων ναῶν, λόγος ἐγένετο διαφόρως ἐπὶ συνελεύσει συνοδικῇ, καὶ ἤρεσεν, ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν παρά τινων τὰ βρέφη ζωογονηθῶσιν. Ἀνάγνωθι καὶ κεφ. δ'. τοῦ ς'. τίτλου τοῦ λά. βιβλίου οὕτω λέγον· Φονεύει τὸ τικτόμενον οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔσχεν. Ἀνάγνωθι καὶ τὸν β'. ὅλον τίτλον τοῦ λγ'. βιβλίου, διοριζόμενον, τοὺς ἐκτιθεμένους, κἂν δοῦλοι ὦσιν, ἀπεντεῦθεν ἐλευθεροῦσθαι. Κολάζεσθαι μέντοι ὀφείλει ἡ τοιαύτη γυνὴ ἀπὸ μεγάλης ἀμελείας ἐοικυίας δόλῳ, τῆς καὶ λεγομένης παρὰ τῶν νομομαθῶν, λάτα κούλπα (1)· τυχὸν γὰρ οὖσα ἐπιμελὴς περὶ τὰ οἰκεῖα, περὶ τὴν τοῦ βρέφους ζωογόνησιν διετέθη καταφρονητικῶς· ἐπεί τοι γε ἐὰν περὶ τὰ οἰκεῖα τοιαύτη ἦν ἀμελὴς, ἢ ὡς οὖσα εὐγενὴς καὶ μὴ εἰδυῖα τὴν βρεφικὴν ἐπιμέλειαν, ἢ ὡς κατὰ φύσιν ἀνεπιτηδεία οὖσα, καὶ συνέβη τοιουτοτρόπως τὸ βρέφος μὴ ζωογονηθῆναι, οὐ κολασθήσεται, ὡς οἴομαι.

ΑΡΙΣΤ. Ἡ κυήσασα ἐν ὁδῷ, καὶ τοῦ τεχθέντος ἀμελήσασα, φονεύτρια. Σαφής.

---

(1) Χ. Τρ. — λάτης κούλπης θευερ. Ἐ.



## Κανὼν ΛΔ'.

Τὰς μοιχευθείσας γυναῖκας(1) καὶ ἐξαγορευούσας δι' εὐλάβειαν, ἢ ὁπωσοῦν ἐλεγχομένας, δημοσιεύειν μὲν ἐκώλυσαν οἱ Πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις· ἵστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

---

ΖΩΝΑΡ. Ἐὰν γυνὴ, φησὶ, μοιχευθῇ, καὶ ἐξομολογήσηται τὸ ἁμάρτημα εὐλαβουμένη, ἀντὶ τοῦ, δειλιῶσα τὴν μέλλουσαν κρίσιν, ἢ ἐλεγχθῇ ἄλλως, οἷον ἐξ ὄγκου τῆς γαστρὸς, ἢ ἐκ τοκετοῦ γενομένου ἐν ἀποδημίᾳ μακρᾷ τοῦ ἀνδρὸς αὐτῆς, οὐ χρὴ δημοσιεύειν αὐτὴν, ἤγουν οὐ χρὴ ἱστᾷν αὐτὴν εἰς τοὺς τόπους τῶν ἐπιτιμίων, τὸν τοῦ προσκλαίοντος δηλονότι, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος· τοῦτο γὰρ δημοσιεύειν ἐστὶ τὸ ἁμάρτημα· ὁ γὰρ ὁρῶν αὐτὴν ἔξω τῶν περιβόλων τῆς ἐκκλησίας, ἢ ἐν τῷ προνάῳ, ἢ μετὰ τῶν κατηχουμένων ἐξιοῦσαν, γνώσεται πάντως ἁμαρτῆσαι αὐτήν· καὶ πρὸ τῶν ἄλλων ἁμαρτημάτων, τὸ τῆς μοιχείας αὐτῇ προσαφθήσεται, καὶ γενήσεται ἡ ἐπιτίμησις αὐτῇ αἰτία θανάτου· εἰ γὰρ γνῷ τοῦτο ὁ ἀνὴρ αὐτῆς, ἴσως ἀποκτενεῖ αὐτήν· κατὰ γὰρ τὸν Σολομῶντα, Μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς(2). Διὰ τοῦτο παραχωρεῖται μὲν συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων κωλύεται, μέχρις ἂν ὁ χρόνος τῆς μετανοίας ἐκμετρηθῇ.

ΒΑΛΣ. Οἱ μοιχοὶ κατὰ τὸν νή. κανόνα, ἐν τέσσαρσιν ἔτεσι μετὰ τῶν προσκλαιόντων ἵστανται, ἐν πέντε μετὰ τῶν ἀκροωμένων, ἐν τέσσαρσι μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν δυσὶ μετὰ τῶν συνεστώτων χωρὶς κοινωνίας. Φησὶ γοῦν ὁ ἅγιος· Ἐὰν γυνή τις μοιχευθεῖσα ἐξομολογήσηται τὸ ἁμάρτημα, ἢ ὁπωσοῦν ἐλεγχθῇ, οὐ χρὴ δημοσιεύειν αὐτὴν, ἤγουν ἱστᾷν εἰς τοὺς τόπους τῶν ῥηθέντων ἐπιτιμίων· ὁ γὰρ ὁρῶν αὐτὴν ἔξω τῶν θείων περιβόλων τῆς ἐκκλησίας ἱσταμένην, ἢ καὶ μετὰ τῶν κα-

---

(1) γυναῖκας, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Σ. Ῥ. — (2) Παροιμ. ς', 34.

τηχουμένων ἐξιοῦσαν, κατανοήσει πάντως κατὰ πρώτην ὄψιν διὰ μοιχείας ἔγκλημα ἐπιτιμηθῆναι αὐτὴν, καὶ γενήσεται ἡ ἐπιτίμησις αἰτία θανάτου, ὡς καὶ τοῦ ἀνδρὸς αὐτῆς μετὰ τὴν ἴσως γενομένην τούτου ἐπάνοδον οὕτως ἔχειν τὰ τοῦ πράγματος κατανοήσαντος. Παραχωρεῖται γοῦν συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων κωλύεται, μέχρις ἂν ὁ χρόνος τῆς μετανοίας ἐκμετρηθῇ. Τὴν τοιαύτην δὲ φιλανθρωπίαν, εἰς τὰς γυναῖκας διωρίσατο ὁ ἅγιος γίνεσθαι, δι' ὃν εἰρήκαμεν λογισμόν· οἱ γὰρ ἄνδρες ἐξομολογούμενοι μοιχείαν, ἀσυμπαθῶς ὑπόκεινται τοῖς διαληφθεῖσιν ἐπιτιμίοις, ὅτι οὐδὲ ὕπεστι φόβος τοιοῦτος ἐν αὐτοῖς, οἷος εἰς τὰς γυναῖκας ἐρρέθη, κατὰ πρόληψιν οὖσι καὶ ἑτέροις ἐγκλήμασιν ἴσως ἐνόχοις, καὶ ἀξίως ἐπιτιμωμένοις. Τὸ μέν τοι ὁπωσοῦν ἐλέγχεσθαι τὰς γυναῖκας, οὐκ ὀφείλεις ἐκλαβέσθαι εἰς πασίγνωστον ἔλεγχον, ἀλλ' εἰς ἔλεγχον τοῦ συνειδότος τῆς γυναικὸς, τουτέστιν, εἴτε κατὰ μόνην οἰκείαν προαίρεσιν ἡ γυνὴ ἐξομολογήσεται, εἴτε καὶ ὡς ἀναγκαζομένη ὑπὸ κινδύνου τοῦ ἐκ τοῦ τεκεῖν, ἢ καὶ ἄλλως πως κρυφίως καὶ μὴ δημοσίᾳ καταγινώσκουσα ἑαυτῆς ἐξαγορεύσεται. Εἰ γὰρ τὸν ἔλεγχον εἴπῃς δημοσίᾳ γενέσθαι, καὶ θριαμβευθῆναι τὴν μοιχείαν, καλῶς πάντα τὰ ἐπιτίμια αὐτῇ ἐπιφορτισθήσονται· οὐδὲ γὰρ ἔχουσι χώραν τὰ τοῦ κανόνος εἰς ταύτην, διὰ τὸ ἅπαξ δημοσιευθῆναι, καὶ ἐκ τῆς ἐπανόδου τοῦ ἀνδρὸς θάνατον μὴ ὑποπτεύεσθαι ἀπὸ τῆς τῶν ἐπιτιμίων προσαγγελίας. Ἐκ τοῦ λέγειν δὲ τὸν ἅγιον, ἵνα μὴ δώσωμεν αἰτίαν θανάτου κατὰ τῶν γυναικῶν ἐλεγχθεισῶν, ἤτοι θριαμβευθεισῶν διὰ τῶν ἐπιτιμίων, μὴ εἴπῃς ἐνδοθῆναι τοῖς ἀνδράσι φονεύειν τὰς μοιχευθείσας γυναῖκας αὐτῶν· ἐν μόνῳ γὰρ τῷ ἰδίῳ οἴκῳ ἐπ' αὐτοφώρῳ δύναται φονεύειν τὸν μοιχὸν ὁ ἀνὴρ, καὶ τοῦτον σκηνικὸν, ἢ ἕτερον ἄτιμον ὄντα· καὶ ἀνάγνωθι τὸ κϛ'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, τὸ κζ'. τὸ μθ'. καὶ ἕτερα κεφάλαια· ἀλλ' ἐκλαβοῦ τὸ ῥῆμα τοῦ ἁγίου, εἰς τὸ μὴ γενέσθαι τὰ ἐπιτίμια αἴτια μεγάλου σκανδάλου μέσον τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἴσως δὲ προβῆναι καὶ φόνον ἄδικον κατ' αὐτῆς.

ΑΡΙΣΤ. Ἀδημοσιεύτους μὲν τὰς μοιχευθείσας, καὶ ἐλεγχομένας ἐγνώκαμεν· ἀκοινωνήτους δὲ ἱστῶμεν, ἕως τὸ ἐπιτίμιον ἀποπληρώσωσι.

Γυνὴ μοιχευθεῖσα, καὶ τὴν ἁμαρτίαν αὐτῆς ἐξαγορεύσασα δι' εὐλάβειαν, ἢ ἄλλως πως παρὰ τῷ πατρὶ αὐτῆς τῷ πνευματικῷ ἐλεγχθεῖσα, οὐκ ἐνδέχεται δημοσιεύεσθαι, καὶ ὡς μοιχαλὶς τῷ ἰδίῳ ἀνδρὶ γνωρίζεσθαι, ἵνα μὴ θανάτου αἴτιον τοῦτο γένηται. Ἀκοινώνητον δὲ αὐτὴν μένειν προστάττουσιν οἱ Πατέρες, μετὰ τῶν πιστῶν γυναικῶν ἱσταμένην, μέχρι συμπληρώσεως τῶν χρόνων τοῦ ἐπὶ τῇ μοιχείᾳ ἁμαρτήσαντος· εἰ γὰρ μετὰ τῶν προσκλαιόντων καὶ τῶν ἀκροωμένων ταχθήσεται, ὑποπτευθήσεται τῷ ἀνδρὶ αὐτῆς, καὶ ἴσως φονευθήσεται.



## Κανὼν ΛΕ'.

**Ἐπὶ δὲ τοῦ καταλειφθέντος ἀνδρὸς ὑπὸ τῆς γυναικὸς, τὴν αἰτίαν χρὴ σκοπεῖν τῆς ἐγκαταλείψεως· κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται.**

---

ΖΩΝΑΡ. Ἡ τὸν οἰκεῖον καταλείψασα ἄνδρα, ἐὰν χωρὶς εὐλόγου αἰτίας ἀναχωρήσῃ, ἐπιτιμᾶται· ὁ δὲ ἀνὴρ συγγινώσκεται, οὐχ ὥστε ἑτέρᾳ κεχρῆσθαι, ἀλλ' ὥστε τῆς ἐκκλησίας μὴ χωρισθῆναι. Ἐν δὲ τῷ θ'. κεφαλαίῳ ὁ ἅγιος οὗτος, οὔτε τὸ τύπτεσθαι παρὰ τοῦ ἀνδρὸς, οὔτε τὸ εἰς χρήματα ζημιοῦσθαι, ἀλλ' οὐδὲ τὸ πορνεύειν ἴσως τὸν ἄνδρα, εὐλόγους αἰτίας ἔκρινεν εἰς τὸ ἀποστῆναι τὴν γυναῖκα τοῦ γάμου, οὐδὲ μὴν τὸ ἄπιστον αὐτὸν εἶναι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν σαφηνίζεται διὰ τῆς γενομένης παρ' ἡμῶν ἑρμηνείας ἐν τῷ πζ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ ἀνάγνωθι ταύτην, καὶ τὸν θ'. κανόνα τοῦ ἁγίου Πατρὸς, καὶ τὸν ϞΑ.

ΑΡΙΣΤ. Ἐὰν ἀλόγως ἀνεχώρησεν ἡ γυνὴ, αὐτὴ μὲν οὐκ ἀνεύθυνος.

Ἡ καταλιποῦσα τὸν ἴδιον ἄνδρα, καὶ ἐξ ἐκείνου ἀλόγως ἀναχωρήσασα, ἐν ἐπιτιμίοις ἔσται· καὶ μᾶλλον, εἰ ἐπ' ἄλλον

ἦλθεν ἄνδρα· τότε γὰρ ὡς μοιχαλὶς κατακρίνεται, κατὰ τὸν θ'. κανόνα. Ὁ δὲ ἀνὴρ ὁ καταλειφθεὶς ὑπ' αὐτῆς, συγγνώμης ἐστὶν ἄξιος, καὶ διὰ τοῦτο, εἰ ἄλλην λάβῃ γυναῖκα, καὶ ἀνεπιτίμητος.

## Κανὼν ΛϚ'.

**Στρατιώτιδες, αἱ τῶν ἀνδρῶν αὐτῶν (1) ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧπερ (2) καὶ αἱ διὰ τὴν ἀποδημίαν τῶν ἀνδρῶν, μὴ ἀναμείνασαι τὴν ἐπάνοδον. Πλὴν, ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν.**

---

ΖΩΝΑΡ. Καὶ αἱ τῶν στρατιωτῶν γυναῖκες, ἐπὶ πολὺ τῶν οἰκείων ἀνδρῶν μὴ φαινομένων, ἐὰν ἑτέροις συναφθῶσιν, ὁμοίως ἐπιτιμῶνται ταῖς λοιπαῖς γυναιξὶ, ταῖς ἀποδημησάντων ἐπὶ μακρὸν τῶν ἀνδρῶν αὐτῶν γαμηθείσαις ἄλλοις. Ἔχουσι δέ τινα, φησὶ, συγγνώμην αἱ στρατιώτιδες, διὰ τὸ μᾶλλον ὑπονοεῖσθαι θανεῖν τοὺς στρατιώτας, ἐκ τοῦ περὶ πολέμους, καὶ σφαγὰς, καὶ κινδύνους ἀναστρέφεσθαι. Ἡ δὲ συγγνώμη εἴη ἂν, τὸ τὸν χρόνον τοῦ ἐπιτιμίου ἴσως ἐλαττοῦσθαι αὐταῖς.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ῥητῶς ἀναταττόμενος ἐν τῷ ἐνενηκοστῷ τρίτῳ κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἑρμηνεύθη ἐκεῖσε.

ΑΡΙΣΤ. Αἱ στρατιώτιδες αἱ διὰ τὴν τῶν ἀνδρῶν ἀφάνειαν ἄλλοις ζευγνύμεναι, συγγνωστότεραι τῶν ἄλλων, αἳ διὰ τὰς ἀποδημίας οὐ περιμένουσι.

Τῷ αὐτῷ τῆς μοιχείας ἐπιτιμίῳ ὑπόκεινται καὶ ἀμφότεραι αἱ γυναῖκες, ἥ τε τοῦ ἀστρατεύτου καὶ ἀποδήμου ὄντος καὶ πρὸ τοῦ πληροφορηθῆναι τὸν θάνατον αὐτοῦ ἑτέρῳ γαμηθεῖσα, καὶ ἡ τοῦ στρατιώτου, ἐὰν καὶ αὐτὴ, πρὸ τοῦ μαθεῖν ἀκριβῶς τὰ περὶ τῆς θανῆς τοῦ ἀνδρὸς αὐτῆς, ἑτέρῳ συναφθῇ. Ὅπως δὲ αἱ στρατιώτιδες, μαθοῦσαι τοὺς ἰδίους ἄνδρας τετελευτηκέναι, ὀφείλουσιν ἐρευνᾷν περὶ τοῦ θανάτου αὐτῶν, ἡ Ἰουστινιάνειος ἑκατοστὴ ἑπτακαιδεκάτη νεαρὰ διαλαμβάνει, ἡ ἐν τῷ ἑβδόμῳ τίτλῳ τοῦ εἰκοστοῦ ὀγδόου βιβλίου τῶν βασιλικῶν κειμένη, ἧς ἡ δύναμις καὶ ἐν τῷ ἐννενηκοστῷ πρώτῳ κανόνι ἐγράφη τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου. Ὁ δὲ παρὼν κανὼν συγγνώμης τινὸς ἀξιοῖ τὰς τῶν στρατιωτῶν γυναῖκας, παρὰ τὰς γυναῖκας τῶν ἄλλως ἀποδημούντων, εἴπερ πρὸς δεύτερον γάμον ἔλθοιεν τῶν ἀνδρῶν αὐτῶν ἀφαντωθέντων, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι αὐτοὺς, καὶ μεγάλην διδόναι ὑπόνοιαν τὴν ἀφάνειαν, ὡς τεθνήκασιν, ἢ ἀνῃρέθησαν.

(1) αὐτῶν, οὐ κεῖται ἐν Σ. Ρ. καὶ ἄπ. Βασιλ. — (2) ὥσπερ Π. — ᾧπερ ἂν Ἄπ. Βασιλ.



## Κανὼν ΛΖ'.

**Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ, μοιχείας (1) ἐγκληθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνεύθυνος (2) ἔσται.**

---

ΖΩΝΑΡ. Ἐάν τις μνηστήν τινος, ἢ γυναῖκα λαβὼν εἶχεν, εἶτα ἀφῃρέθη αὐτὴν, καὶ ἀφαιρεθεὶς ἐκείνην ἑτέρᾳ συνῴκησε γαμετῇ, διὰ μὲν τὴν εἰς ἐκείνην πλημμέλειαν ὡς μοιχὸς ἐπιτιμηθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ γαμετῇ, ἐλευθέρᾳ οὔσῃ ἀνδρὸς, οὐκ ἔσται ὑπεύθυνος.

ΒΑΛΣ. Ἀλλοτρίαν ἐνταῦθα λέγει ὁ κανὼν τὴν νομίμως γαμηθεῖσαν, ἢ καὶ μνηστευθεῖσαν τινί. Εἴ τις γοῦν μοιχεύσει, ἰδιωσάμενος τὴν ἀλλοτρίαν κατὰ νόμον δῆθεν γάμου, καὶ αὐτὴν μὲν ἀφαιρεθῇ μετὰ καταδίκης νομίμου, ἑτέρᾳ δὲ συζευχθῇ, χάριν μὲν τῆς μοιχείας κατὰ τοὺς κανόνας ἐπιτιμηθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ γαμετῇ, ἐλευθέρᾳ οὔσῃ ἀνδρὸς, οὐκ ἔσται ὑπεύθυνος. Ὡρίσθησαν δὲ ταῦτα παρὰ τοῦ ἁγίου διὰ τοὺς λέγοντας μὴ ὀφείλειν τὸν μοιχὸν δευτέρᾳ συνάπτεσθαι γυναικὶ, ὡς κεφαλικῇ καταδίκῃ ὑποπίπτοντα, καὶ μὴ δυνάμενον συναλλάττειν κατὰ τὸν παλαιὸν νόμον τὸν κρατοῦντα ἐν ταῖς ἡμέραις τοῦ ἁγίου Βασιλείου, δηλονότι πρὸ τῆς ἀνακαθάρσεως. Κἂν γὰρ κεφαλικῇ τιμωρίᾳ ὑπόκειταί τις διὰ τὴν μοιχείαν, ἀλλὰ γάμον συναλλάττειν οὐ κεκώλυται, καὶ διὰ τοῦτο οὐκ ἐπιτιμηθήσεται

(1) μοιχείαν Ἄπ. Βασιλ. Χ. Τρ. — (2) ἀνέγκλητος Χ. Τρ. Π.

χάριν τούτου· πολλῷ δὲ πλέον οὐ κολασθήσεται σήμερον ὁ τοιοῦτος, ὅτε ἡ κεφαλικὴ τιμωρία περιῃρέθη, καὶ κολάζεται ὁ μοιχὸς μόνῃ ῥινῶν ἐκτομῇ, καὶ πραγμάτων ἀφαιρέσει. Καὶ ἀνάγνωθι τὸ πβ'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, καὶ τὴν λβ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου. Ταῦτα δὲ χώραν εἶχον, ὡς ἐμοὶ δοκεῖ, ὅτε μόνῃ διαθέσει συνίστατο ὁ γάμος. Ἀρτίως γὰρ, ἐπεὶ μετὰ ἱερολογίας οἱ γάμοι καὶ αἱ μνηστεῖαι προβαίνουσιν, ἄλλως γυναικὶ ὁ μοιχὸς οὐ συζευχθήσεται, εἰ μὴ ἀπὸ τῶν ἐπιτιμίων τῆς μοιχείας ἀπολυθῇ, τῶν δηλουμένων εἰς τὸν νη'. κανόνα τοῦ παρόντος ἁγίου.

ΑΡΙΣΤ. Ὁ τὴν ἀλλοτρίαν ἀφεὶς, καὶ λαβὼν ἐλευθέραν, ἐπιτιμητέος μὲν διὰ τὴν πρώτην, ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνεύθυνος.

Εἴ τις γυναῖκα λάβῃ παρ' ἄλλου ἀπολυθεῖσαν, εἶτα ταύτην ἀφεὶς, ἑτέρᾳ ἐλευθέρᾳ νομίμως συζευχθῇ, ἐπὶ μὲν τῇ πρώτῃ, τῷ τῆς μοιχείας ἐπιτιμίῳ ἐστὶν ὑπεύθυνος, διότι καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνεύθυνος ἐστίν.

## Κανὼν ΛΗ'.

**Αἱ κόραι, αἱ παρὰ γνώμην τοῦ (1) πατρὸς ἀκολουθήσασαι, πορνεύουσι· διαλλαγέντων δὲ τῶν γονέων, δοκεῖ θεραπείαν λαμβάνειν τὸ πρᾶγμα (2). Οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσονται τρία ἔτη.**

---

ΖΩΝΑΡ. Ὅσαι, φησὶ, κόραι ἀκολουθήσουσί τισιν ἐρασταῖς αὐτῶν, ἀντὶ τοῦ, ἐκδῶσιν ἑαυτὰς ἑκοῦσαι, παρὰ γνώμην τῶν πατέρων αὐτῶν, οἷς εἰσιν ὑπεξούσιαι, πορνεύουσιν. Ἐὰν δὲ καταλλαγῶσιν αὐταῖς οἱ γονεῖς αὐτῶν, καὶ θελήσωσι συνοικεῖν αὐτὰς τοῖς ἐρασταῖς καὶ φθορεῦσιν αὐτῶν, δοκεῖ θεραπεύεσθαι τὸ γινόμενον. Τὸ δὲ ἐξ ἀρχῆς κακῶς γενόμενον, ἡ μετὰ ταῦτα συναίνεσις τῶν γονέων δοκεῖ θεραπεύειν, ὥστε τὴν πόρνην εἰς γάμον μετάγεσθαι· πλὴν οὐκ εὐθὺς δεκτὴ ἔσται ἡ τοιαύτη εἰς κοινωνίαν, ἀλλὰ μετὰ τρία ἔτη.

ΒΑΛΣ. Κόρας ἐνταῦθα ὁ ἅγιος τὰς ὑπεξουσίας ὀνομάζει. Φησὶ

(1) αἱ παρὰ γνώμην πατρὸς Ἀπ. Βασιλ. Σ. Ῥ. — (2) τὸ γεγονός. Ἀπ. Βασιλ.



γοῦν, ὡς, ἐάν τινες κόραι ἐκδώσωσιν ἑαυτὰς τοῖς ἐρασταῖς τούτων παρὰ γνώμην τῶν πατέρων αὐτῶν, καὶ φθαρῶσιν ὑπ' ἐκείνων, κἂν γαμικῶς δόξωσι συναφθῆναι, πορνεύουσι, διὰ τὸ εἶναι ἀνυπόστατον τὸν γενόμενον γάμον τῆς ὑπεξουσίας δίχα γνώμης τοῦ πατρὸς αὐτῆς. Ἐὰν δὲ καταλλαγῶσι ταύταις οἱ γονεῖς αὐτῶν, καὶ θελήσωσι συνοικεῖν ταύτας τοῖς ἐρασταῖς, δοκεῖ θεραπεύεσθαι τὸ πρᾶγμα· τὸ γὰρ ἐξ ἀρχῆς κακῶς γεγονὸς, ἡ μετὰ ταῦτα συναίνεσις τῶν γονέων δοκεῖ θεραπεύειν, ὥστε τὴν πορνείαν εἰς γάμον μετάγεσθαι. Πλὴν οὐκ εὐθὺς δεκτή ἐστιν ἡ τοιαύτη εἰς κοινωνίαν, ἀλλὰ μετὰ τρία ἔτη. Ἐνταῦθα δὲ μὴ θεματίσῃς ἁρπαγὴν γενέσθαι ἐπὶ τῇ κόρῃ· ἔμαθες γὰρ ἀπὸ τοῦ λ'. κανόνος καὶ ἐξ ἑτέρων, ὅτι ἁρπαγῆς γενομένης εἴτε μετὰ γνώμης τῆς γυναικὸς, εἴτε καὶ χωρὶς γνώμης ἐκείνης, γάμος οὐ συνίσταται, κἂν οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους συναινῶσιν· ἀλλὰ θεμάτισον δίχα ἁρπαγῆς ἀκολουθῆσαι τὴν ὑπεξουσίαν τῷ φθορεῖ· διὰ γὰρ τοῦτο καὶ ἡ μετὰ ταῦτα συναίνεσις ποιεῖ ἀνεύθυνον τὸν γάμον. Ταῦτα δὲ, ὡς ἐμοὶ δοκεῖ, χώραν εἶχον, ὅταν συναινέσει μόνῃ συνίστατο ὁ γάμος. Σήμερον γὰρ, ἐπεὶ μετὰ ἱερολογίας γίνεται, κἂν συναινέσωσιν οἱ γονεῖς, γάμος μετὰ ἱερολογίας οὐ γενήσεται, εἰ μὴ πληρωθῶσι τὰ τοῦ ἐπιτιμίου τρία ἔτη, ἢ παρὰ τοῦ ἐπισκόπου κατὰ τὴν οἰκείαν ἐπίκρισιν στενοχωρηθῶσιν. Ἱερολογίας δὲ ἀνυποστάτως γενομένης ἐπὶ ἀνήβῳ κόρῃ, καὶ μετὰ ταῦτα τῶν γαμικῶς ἱερολογηθέντων στοιχούντων τῷ γάμῳ, συνεζητήθη, εἰ τὰ τικτόμενα ἐξ αὐτῶν γνήσιά εἰσι καὶ νόμιμα. Ἔλεγον γάρ τινες, ὡς, ἐπεὶ ἀρχῆθεν ἀνυπόστατος ἦν ὁ γάμος διὰ τὴν ἀνηβότητα τῆς κόρης, τὰ δὲ ἐξ ἀρχῆς ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων οὐ βεβαιοῦται, καθὼς ὁ νόμος φησὶν, ἐξ ἀνάγκης, εἰ μὴ γένηται δευτέρα ἱερολογία, οὐδὲ νομίμως τούτους συνάπτεσθαι εἴποι τις. Τὸ αὐτὸ δὲ ἔλεγον ὀφείλειν γίνεσθαι καὶ εἰς τὴν ὑπεξουσίαν τὴν παρὰ γνώμην τοῦ πατρὸς ἱερολογηθεῖσαν, διενιστάμενοι, ὡς, κἂν μετὰ ταῦτα συναινέσῃ ὁ ἔχων αὐτὴν ὑπεξουσίαν, γάμος οὐ συσταίη, εἰ μὴ καὶ ἡ ἱερολογία γένηται. Ὁ δὲ μακαρίτης κύριος Κωνσταντῖνος ὁ Νικαεὺς, ἐπὶ μὲν τῆς ὑπεξουσίας ἔλεγε μὴ δεῖσθαι δευτέρας ἱερολογίας διὰ τὸ καταφρόνησιν μόνην προσώπου, ἤτοι τοῦ πατρὸς, γενέσθαι, καὶ ταύτην διὰ τῆς

συναινέσεως περιαιρεθῆναι· ἐπὶ δὲ τῆς ἀνήβου, ἤθελε δευτέραν γενέσθαι ἱερολογίαν, διὰ τὸ ἀθετηθῆναι κοινὸν νόμιμον, καὶ μὴ ἄλλως θεραπεύεσθαι, εἰ μὴ μετὰ διόρθωσιν· ὅπερ ἐμοὶ οὐ δοκεῖ, διὰ τὸ σέβας τὸ πρὸς τὴν ἱερολογίαν.

ΑΡΙΣΤ. Παρὰ γνώμην πατρὸς ἡ ἀκολουθήσασα, πόρνη κρίνεται. Εἰ δὲ καὶ οἱ γονεῖς διαλλαγεῖεν, καὶ τὸ γεγονὸς θεραπείαν ἔχειν δοκεῖ, ὅμως τριετίαν ὑποπιπτέτω.

Οἱ ὑπεξούσιοι παρὰ γνώμην τῶν ἐχόντων αὐτοὺς ὑπεξουσίους συναλλάττειν γάμον οὐ δύνανται· εἰ δὲ καὶ συναλλάξουσιν, οὐδὲν ἔπραξαν, ἀλλ' ἀνίσχυρόν ἐστι τὸ συνάλλαγμα. Ὑπόκεινται δὲ καὶ τῷ τῆς πορνείας ἐπιτιμίῳ αἱ παρὰ γνώμην τῶν πατέρων αὐτῶν ἀκολουθήσασαι τισιν ἀνδράσι κόραι. Εἰ δὲ καὶ μετὰ ταῦτα οἱ γονεῖς τὸ παρὰ γνώμην αὐτῶν γενόμενον συνοικέσιον δέξονται, καὶ θελήσουσι μένειν ἄλυτον, ὅμως διὰ τὸ ἐξ ἀρχῆς μὴ κατὰ γνώμην αὐτῶν γενέσθαι, οὐκ εὐθὺς εἰς κοινωνίαν παραδεχθήσονται, ἀλλ' ἐπὶ τριετίαν ἐπιτιμηθήσονται.

## Κανὼν ΛΘ΄.

Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

---

ΖΩΝΑΡ. Εἰ μή τις ἀποσταίη τῆς ἁμαρτίας, μετανοεῖν οὐ πιστεύεται, οὔτε δέχεται εἰς μετάνοιαν· μετάνοια γάρ ἐστι τὸ μεταμέλεσθαι τὸν ἁμαρτήσαντα ἐφ' οἷς ἥμαρτε, καὶ δάκνεσθαι ἐπ' αὐτοῖς· ὁ δὲ ἐπιμένων τῇ ἁμαρτίᾳ, οὔτε μεταμέλεσθαι, οὔτε δάκνεσθαι πιστεύεται, ἀλλὰ ἥδεσθαι ταύτῃ. Ἡ γοῦν τῷ μοιχῷ ἀκολουθήσασα, καὶ συμβιοῦσα αὐτῷ, πάντα τὸν χρόνον τῆς συμβιώσεως μοιχαλίς ἐστιν, ἔτι πράττουσα τὸ κακόν, καὶ εἰς μετάνοιαν οὐ δεχθήσεται.

ΒΑΛΣ. Γυνή τις μοιχεύσασα καὶ συζῶσα τῷ μοιχῷ ἐπετιμήθη· τοῦ ἀνδρὸς δὲ αὐτῆς τελευτήσαντος, ἤθελε συζευχθῆναι τῷ μοιχῷ. Φησὶν οὖν ὁ ἅγιος, ὡς οὔτε τοῦτο γενήσεται· ἀλλὰ καὶ μέχρις ἂν συζῇ τῷ μοιχῷ, ἐπιτετιμημένη ὀφείλει εἶναι, κἂν τὰ ιέ. ἔτη τῶν ἐπιτιμίων τῆς μοιχείας ἐπεραιώθησαν· ἐκεῖνοι γὰρ τὰ ἐπὶ τῇ μετανοίᾳ διδόμενα ἐπιτίμια δοκοῦσι δουλεύειν, καὶ

λαμβάνειν συγχώρησιν, οἱ ἀφιστάμενοι τοῦ κακοῦ· οἱ δὲ ἐπιμένοντες τῷ κακῷ, ὑπὸ τὸ αὐτό εἰσιν ἐπιτίμιον, κἂν μυριάκις τοῦτο (1) δουλεύσωσιν. Οὕτω θεμάτισον τὸν κανόνα, καὶ μὴ εἴπῃς πᾶσαν γυναῖκα συζῶσαν τῷ μοιχῷ μοιχαλίδα εἶναι· ἡ γὰρ νόμιμος γυνὴ αὐτοῦ ἀνεύθυνός ἐστι τούτῳ συνδιάγουσα, καὶ ἄλλη πᾶσα χωρὶς τῆς μοιχαλίδος. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος ταῦτα δορίζεται· ὁ δὲ πολιτικὸς οὐ παραχωρεῖ τὴν μοιχαλίδα ὁπωσδήποτε συζευχθῆναι τῷ μοιχῷ. Φησὶ γὰρ τὸ ξς'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου· Ἡ ἅπαξ ἁμαρτήσασα μοιχείαν, ἐὰν μετὰ ταῦτα γένηται γαμετὴ τοῦ μοιχεύσαντος αὐτὴν, οὐ σβέννυται τῷ προσχήματι τοῦ γάμου τοῦ μετὰ τὴν μοιχείαν γενομένου. Καὶ τὸ ιγ'. κεφ. τοῦ μβ'. τίτλου· Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ καταδικασθῇ, οὔτε ὁ γάμος ἔῤῥωται· ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἢ ἐμὲ αὐτὴ, δημεύεται ἡ κληρονομία. Οὐδὲ στρατιωτικῶς τις διαθέμενος δύναται κληρονόμον γράψαι τὴν ἀπὸ φθορᾶς γαμηθεῖσαν, καὶ σύγκοιτον αὐτοῦ γενομένην· ἀλλὰ τοιούτου τινὸς συμβαίνοντος, χώρα τῷ δημοσίῳ, κατὰ τὸ γ'. θέμα τοῦ ι'. κεφαλαίου τοῦ ε'. τίτλου τοῦ κη'. βιβλίου· Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς, οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι.

ΑΡΙΣΤ. Ἡ συζῶσα μοιχῷ, διὰ βίου μοιχεύεται.

Διὰ τοῦτο γοῦν καὶ ἀπρόσδεκτός ἐστιν ἡ τοιαύτη τῇ ἐκκλησίᾳ· μετὰ γὰρ τὸ παυθῆναι τῆς ἁμαρτίας, τότε γίνεται ἐν ἐπιτιμίοις, καὶ διορθοῦται τὸ πταῖσμα αὐτῆς. Ἐὰν δὲ ἐπιμένῃ τῇ μοιχείᾳ, ἀδιόρθωτός ἐστι, καὶ ἀπρόσδεκτος.

## Κανὼν Μ'.

Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδοῦσα, ἐπόρνευσεν· ἡ δὲ μετὰ ταῦτα πεπαῤῥησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο· ὥστε, ἐκεῖνο μὲν, πορνεία, τοῦτο δὲ, γάμος· αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον.

---

(1) Χ. Τρ. — τούτῳ Βευερ. Ἐ.

ΖΩΝΑΡ. Ἐὰν δούλη ἐκδῷ ἑαυτὴν ἀνδρὶ παρὰ τὸ θέλημα τοῦ δεσπότου αὐτῆς, πορνεύει· ὑφ᾽ ἑτέρου γὰρ οὖσα ἐξουσίαν οὐ δύναται συνθήκας, ἤγουν συμφωνίας ποιεῖν· ἀβέβαιοι γάρ εἰσι καὶ ἀνίσχυροι. Εἰ δὲ μετὰ ταῦτα, μετὰ τὸ πορνεῦσαι δηλαδὴ, ἢ ἐλευθερωθεῖσα, ἢ παραχωρήσαντος τοῦ κυρίου αὐτῆς, πεπαρρησιασμένῳ, ἀντὶ τοῦ, φανερῷ χρήσεται γάμῳ, ὡς γημαμένη λογισθήσεται τότε, καὶ οὐχὶ πόρνη.

ΒΑΛΣ. Δούλη συνήφθη γαμικῶς ἀνδρί τινι ἐλευθέρῳ παρὰ γνώμην τοῦ οἰκείου δεσπότου. Καιροῦ δέ τινος παρελθόντος, ἢ ἐλευθερίας ἀξιωθεῖσα, τὸν μετὰ τοῦ προτέρου ἀνδρὸς γάμον πεπαρρησιασμένον ἐποιήσατο, ἢ καὶ ὁ κύριος αὐτῆς ἐπὶ τῷ γενομένῳ πρότερον ἀνυποστάτῳ γάμῳ συνήνεσεν. Ἠρωτήθη γοῦν ὁ ἅγιος, εἰ ἀκόλαστόν ἐστι τὸ γεγονὸς συνοικέσιον, καὶ εἶπεν, ὡς, ἐπεὶ αἱ συναιγέσεις τῶν ὑπεξουσίων ἀβέβαιοι καὶ ἀνυπόςατοί εἰσι, κἀντεῦθεν οὐ συνέστη γάμος ἔννομος ἐν τῷ καιρῷ τῆς δουλείας, κἂν μετὰ ταῦτα συναίνεσις παρηκολούθησε τοῦ δεσπότου, ἢ αὐτὴ ἡ δούλη ἐλευθερωθεῖσα τῷ προτέρῳ γάμῳ ἐστοίχησεν, οὐ λογίζεται τὸ γεγονὸς καὶ ἐξ αὐτῆς ἀρχῆς ἔννομον διὰ τὴν μετὰ ταῦτα συναίνεσιν, κατὰ τὸν νόμον τὸν λέγοντα· Τὰ ἐξ ἀρχῆς ἀβέβαια, ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων οὐ βεβαιοῦνται(1)· τοῦτο γὰρ ἐπὶ τῶν ἀνυποςάτων χώραν οὐκ ἔχει. Διά τοι τοῦτο, χάριν μὲν τοῦ προτέρου κακοῦ, ἐπιτίμια πορνείας τούτοις ἐπιφορτισθήσονται· ἡ δὲ μετὰ ταῦτα συμβίωσις ἔσται ἀνεπιτίμητος. Καὶ ταῦτα μὲν, ὅταν ὁ ἀνυπόστατος γάμος τῆς δούλης στηριχθῇ ἢ μετὰ ἐλευθερίαν αὐτῆς, ἢ μετὰ φανερὰν συναίνεσιν τοῦ δεσπότου, ᾗ καὶ ἐλευθερία σιωπηρὰ ἐξ ἀνάγκης ἐπακολουθεῖ. Τί δέ; Ἡ γαμικῶς συναφθεῖσα δούλη μετὰ ἐλευθέρου, τοῦ δεσπότου εἰδότος καὶ μὴ ἀντιλέγοντος, ὡς πορνεύσασα λογισθήσεται διὰ τὸ μὴ συναινέσαι τὸν δεσπότην, ἢ μή; Λύσις. Τὸ μζ΄. κεφ. τοῦ δ΄. τίτλου τοῦ κη΄. βιβλίου φησὶ ταῦτα ῥητῶς· Εἴ τις ἐξέδωκε (2) τὴν ἑαυτοῦ θεράπαιναν, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων συμβολαίων, ἢ μηδὲ γενομένων μὲν, τῆς δὲ ἑαυτοῦ γνώμης τὸ πρᾶγ-

(1) κθ΄, Βασιλικ. Β΄, 3. — (2) εἴ τις ἐξέδωκεν ὡς ἐλευθέραν κτλ. μέ. Βασιλικ. ΚΗ΄, 4.



μα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ, εἴτε τῇ γυναικί· καὶ τοιούτου τινὸς παρὰ τοῦ δεσπότου γενομένου, θεσπίζομεν ἁρπάζεσθαί τε τὸν τοιοῦτον καὶ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπὶ ἐλευθέροις τε καὶ εὐγενέσι κρίνεσθαι. Εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γινόμενον, καὶ ἐξεπίτηδες ἀποκρύπτοι, ἵνα ὕστερον πρᾶγμα ῥάψειε θατέρῳ τῶν συναφθέντων, τιμωρούμεθα τὴν τοιαύτην, εἴ γε σαφῶς ἀποδειχθείη, κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν τῶν οὕτω πονηρῶς βεβουλευμένων, καὶ ἔσω πάλιν καὶ τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνήνεσεν ὁ κεκτημένος τὴν ἀρχήν. Καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἀναρπαζέσθω(1) τὸ δοῦλον πρόσωπον τοιούτου συμβαίνοντος ἀποτελέσματος, ἢ εἴπερ συνήνεσεν, ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος· πρόδηλον ὂν, ὡς καὶ οἱ τεχθέντες ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς κατὰ τόνδε ἡμῶν τὸν νόμον ἔσονται. Καὶ ἐπεὶ ἐκ τούτου παρίσταται εἰς ἐλευθερίαν ἁρπάζεσθαι τὴν μετὰ ἀνοχῆς τοῦ δεσπότου τῷ ἐλευθέρῳ γαμηθεῖσαν δούλην, ἀνεπιτίμητοι οἱ οὕτω συναφθέντες συντηρηθήσονται· ὅσον γὰρ κατὰ τὸν παλαιὸν νόμον τὸν διοριζόμενον τὸν γάμον συνίστασθαι συναινέσει μόνῃ, καὶ τὸ τοιοῦτον συνοικέσιον πεπεράτωται διὰ τῆς σιωπηρᾶς συναινέσεως τοῦ δεσπότου· εἰ δέ τις εἴπῃ, ὡς ἱερολογίας μὴ γενομένης κατὰ τὸ σήμερον κρατοῦν, οἱ τοιοῦτοι οὐκ ἐκφεύξονται τὰ ἐπιτίμια, κἂν γαμικῶς συνήφθησαν, τοῦ δεσπότου ὁρῶντος καὶ ἀνεχομένου, ἀκούσει, ὅτι, ὅσον εἰς τὸν λόγον τῶν ἐπιτιμίων, ἡ διάθεσις μᾶλλον σκοπεῖται, καὶ οὐχὶ ἡ ἀκρίβεια τῶν νεαρῶν διαταγμάτων.

ΑΡΙΣΤ. Ἑαυτὴν ἀνδρὶ ἐπιδοῦσα δούλη, πορνεύει· συνάπτεται δὲ, εἰ μετὰ γνώμης δεσπότου· τὰ γὰρ τῶν ὑπεξουσίων, ἀβέβαια.

Ἐὰν οἱ ὑπεξούσιοι παῖδες παρὰ γνώμην τῶν γονέων αὐτῶν συναλλάττειν γάμον οὐ δύνανται, πολλῷ μᾶλλον οἱ οἰκέται. Διὰ τοῦτο γοῦν καὶ ἡ δούλη ἡ ἐκδιδοῦσα ἑαυτὴν ἀνδρὶ παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ὡς πόρνη ἐπιτιμηθήσεται· εἰ δὲ μετὰ

(1) Χ. Τρ. Βασιλικ. — ἁρπαζέσθω Ἐ. Βευερ.

ταῦτα κατὰ γνώμην τοῦ δεσπότου συναφθῇ αὐτῷ, νομίμως ἐγήματο.

## Κανὼν ΜΑ'.

**Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἔχουσα ἑαυτῆς, συνοικεῖν ἀνέγκλητος, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τοῦ Ἀποστόλου εἰπόντος, Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν, ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ (1).**

ΖΩΝΑΡ. Χηρεύσασα γυνὴ καὶ μὴ οὖσα ὑπεξουσία γονεῦσιν, ὥστε χρῄζειν τῆς ἐκείνων συναινέσεως ἐπὶ τῷ γάμῳ, ἀνέγκλητός ἐστι δεύτερον συναλλάξασα γάμον, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τουτέστιν, εἰ μή τινές εἰσιν ὑπεξουσίαν αὐτὴν ἔχοντες, ἤτοι πατὴρ, ἢ πάππος, οἳ καὶ διασπᾷν δύνανται τὴν διὰ τοῦ γάμου συνάφειαν, μὴ συναινέσαντες ἐπ' αὐτῷ. Ἐπιφέρει δὲ ὁ ἅγιος μαρτυρίαν ἐξ ἀποστολικῶν ῥημάτων.

ΒΑΛΣ. Γυνή τις χηρεύσασα ἤθελεν ἑτέρῳ συζευχθῆναι ἀνδρὶ, καὶ οὐ παρεχωρεῖτο, ἢ καὶ συζευχθεῖσα ἐπετιμᾶτο. Ἠρωτήθη οὖν περὶ τούτου ὁ ἅγιος, καὶ ἀπεφήνατο, ὅτι ἐξουσίαν ἔχει ἡ χήρα ἑτέρῳ συναφθῆναι ἀνδρὶ, ἐὰν τέως αὐτεξουσία ἐστί· τοῦτο δὲ κρατήσει εἰς μόνην δευτερογαμίαν· τριτογαμίαν γὰρ ὁ ἅγιος οὐ παραχωρεῖ· ὥστε καλῶς ἡ γυνὴ ἡ χηρεύσασα ἵνα δευτερογαμήσῃ, καὶ δευτερογαμήσασα, οὐκ ἐπιτιμηθήσεται, εἴπερ οὐκ ἔστιν ὑπεξουσία· ἐὰν γὰρ ἐστιν ὑπεξουσία, ἐπεὶ ὁ ἔχων ταύτην ὑπεξουσίαν δύναται διασπᾶσαι τὸν γάμον, ἐπιτιμηθήσεται καὶ αὕτη ὡς πορνεύσασα. Πλὴν καὶ αἱ γυναῖκες αἱ δευτερογαμοῦσαι, τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑπόκεινται, καθὼς πολλάκις εἴπομεν. Ἀκούων δὲ τοῦ ἁγίου λέγοντος ἔχειν ἐπ' ἀδείας τὴν χήραν ᾧ θέλει γαμεῖσθαι, μὴ εἴπῃς δύνασθαι αὐτὴν ἀσεβεῖ, ἢ ἑτέρῳ τινὶ ἀναξίῳ τοῦ γένους αὐτῆς συνάπτεσθαι, ἀλλ' εἰπὲ ὀφείλειν αὐτὴν κατὰ κανόνας καὶ νόμους δευτέρῳ ἀνδρὶ γαμεῖσθαι. Φησὶ γὰρ τὸ ά. κεφ. τοῦ δ'. τίτλου τοῦ κή. βιβλίου· Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ

(1) ά, Κορ. Ζ', 39. — Ῥωμ. Ζ', 2.



συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου κοινωνία. Καὶ ὁ λά. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ οβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, κωλύουσι τοὺς ὀρθοδόξους μετὰ αἱρετικῶν συνάπτεσθαι· καὶ τὸ θ'. θέμα τοῦ ζ'. κεφ. τοῦ έ. τίτλου τοῦ κή. βιβλίου φησίν· Οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς ἢ ἐγγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον, ἢ σκηνικὸν, ἢ σκηνικοῦ υἱὸν, ἢ σκηνικῆς. Ὁ δὲ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς διαφόρων συνοικέσια εὐγενῶν γυναικῶν συναφθεισῶν ἀνδράσι δυσγενέσι διέσπασε, καὶ τοὺς συναφθέντας μεγάλως ἐκόλασεν· οἷόν τι πεποίηκε καὶ εἰς τὸν βασιλικὸν γραμματικὸν κύριον Θεόδωρον τὸν Μεσσαρίτην, τοῦ σεβαστοῦ τοῦ Βρυεννίου τὴν θυγατέρα χωρὶς εἰδήσεως βασιλικῆς εἰς γυναῖκα λαβόντα. Τὸ μέντοι τῷ κανόνι προσκείμενον, καὶ λέγον, μόνον ἐν Κυρίῳ, προσετέθη διὰ τοὺς ἀπίστους· ἐν Κυρίῳ γὰρ συναλλάττει γάμον ἡ μετὰ ὀρθοδόξου, οὐ μὴν μετὰ αἱρετικοῦ συναφθεῖσα.

ΑΡΙΣΤ. Ἀνέγκλητος ἡ χήρα λαμβάνουσα.

Αὐτεξουσία ἐστὶν ἡ χήρα, τελευτῶντος τοῦ ἀνδρὸς αὐτῆς· διὰ τοῦτο, εἰ λάβῃ ἄνδρα, ἀνέγκλητός ἐστι, μόνον ἐν Κυρίῳ, κατὰ τὸν Ἀπόστολον.

## Κανὼν ΜΒ'.

**Οἱ ἄνευ τῶν κρατούντων γάμοι, πορνεῖαι εἰσίν. Οὔτε οὖν πατρὸς ζῶντος, οὔτε δεσπότου, οἱ συνιόντες ἀνεύθυνοι εἰσίν· ὡς, ἐὰν (1) ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν, τότε (2) λαμβάνει τὸ τοῦ γάμου βέβαιον.**

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος ἀνακεφαλαίωσίς ἐστι τῶν προσεχῶν αὐτοῦ δύο κανόνων. Φησὶ γὰρ, ὅτι, ἐὰν ὑπεξουσία θυγάτηρ ἢ δούλη, γάμον πρός τινα συναλλάξωσιν ἄνευ γνώμης τῶν κρατούντων, ἤγουν τῶν ἐξουσιαζόντων αὐτῶν, πορνεία λογίζεται τὸ τοιοῦτο, καὶ οὐκ εἰσὶν ἀνεύθυνοι οἱ οὕτω συναφθέντες· ἐπιτιμηθήσονται γὰρ, καὶ ὁ γάμος λυθήσεται. Εἰ δὲ ἐπινεύσουσιν οἱ

(1) ἕως ἂν Π. Ἑ. Βευερ. — (2) τότε γὰρ Π. Ἑ. Βευερ.

τὴν ἐξουσίαν αὐτῶν ἔχοντες, ἀντὶ τοῦ, εἰ δέξονται καὶ θελήσουσι τὸν γάμον, τότε λογίζεται βέβαιος.

ΑΡΙΣΤ. Οἱ ὑπεξούσιοι, υἱὸς, καὶ δοῦλος, δίχα τῶν κυρίων ζευγνύμενοι, οὐκ ἀνεύθυνοι.

## Κανὼν ΜΓ'.

**Ὃς θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.**

---

ΖΩΝΑΡ. Ὁ πλήξας τινὰ καιρίως, ὥστε ἐκ τῆς πληγῆς ἐκείνης τὸν πληγέντα θανεῖν, φονεύς ἐστί· καὶ οὐκ ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος, τὸ μὴ κατάρξασθαι, ἀλλὰ πληγῆναι πρότερον παρ' ἐκείνου, καὶ οὕτω πλῆξαι αὐτὸν, ἀμυνόμενον τὸν πλήξαντα.

ΒΑΛΣ. Τὶς ἔπληξε καὶ ἐφόνευσέ τινα, καὶ ἀπαιτούμενος λόγους δοῦναι χάριν τοῦ φόνου, ἔλεγεν, ὅτι οὐκ ἐγὼ αἴτιος γέγονα τῆς πληγῆς, ἀλλ' ὁ φονευθεὶς, ὡς πεποιηκὼς τὴν ἀρχὴν τῆς διαμάχης, καὶ προπλήξας με. Ἐρωτηθεὶς οὖν περὶ τούτου ὁ ἅγιος, εἶπεν, ὅτι φονεύς ἐστιν ὁ ὁπωσδήποτε φονεύσας ἄνθρωπον, εἴτε πρῶτος (1) ἔπληξε τὸν φονευθέντα, εἴτε ἀμυνόμενος τοῦτον ὡς πλήξαντα πρότερον αὐτὸν, ἐπήγαγε τὴν πληγήν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἐρωτήσει δέ τις, ὡς τοῦ νόμου λέγοντος ἐν βιβλίῳ ξ'. τίτ. λθ'. κεφ. ά. θέματι τελευταίῳ, Ἀκινδύνως τις φονεύει τὸν βιαζόμενον αὐτὸν, ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν· καὶ ἐν τίτλῳ ιζ'. τοῦ αὐτοῦ βιβλίου· Ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις, πῶς ὁ κανὼν φησὶ τὸν ἐξ ἀνάγκης πλήξαντα καὶ φονεύσαντα κολάζεσθαι ὡς φονέα; Λύσις. Τὰ ἐκκλησιαστικὰ ἐπιτίμια οὐκ εἰσὶ κολαστικὰ, ἀλλὰ ἁγιαστικὰ καὶ ἰατρευτικά· διὸ καὶ διορίζεται ὁ κανὼν τὸν κατὰ παραχώρησιν Θεοῦ ἐμπεσόντα ὁπωσδήποτε εἰς φόνον, καὶ αὐτοὺς τοὺς ἐν πολέμῳ φονεύοντας, θεραπεύεσθαι κατὰ ψυχήν· κἂν ὁ μὲν μεγαλωτέρας χρήζει θεραπείας, ὡς φονεύων ἑκουσίως, ὁ δὲ μικροτέρας, ὡς φονεύων ἀκουσίως, ἢ ἐν πολέμῳ· ὁ δὲ πολιτικὸς νόμος κολάζει, οὐ θεραπεύει. Ὅθεν, τὸν μὲν ἔχοντα διάθεσιν εἰς τὸ φονεῦσαι, τιμωρεῖ ὡς φονέα, τὸν δὲ ἀκουσίως φονεύοντα οὐ τιμωρεῖ, καὶ τὸν φονεύσαντα τὸν βιαζόμενον αὐτὸν, ἀτιμώρητον συντηρεῖ, ὡς μὴ οἴκοθεν, ἀλλ' ἐξ αἰτίας τοῦ φονευθέντος εἰς τὸ φονεῦσαι κατεπειχθέντα. Οἶμαι δὲ, ὅτι καὶ ὁ φονεύσας ἐξ ἀμύνης κατὰ τὸν πολιτικὸν νόμον τότε συντηρηθήσεται ἀκόλαστος, ὅταν ἐφόνευσε τὸν πληγὴν θανατηφόρον ἐπενεγκόντα αὐτῷ, ἢ βίαν ὁμοίαν, οὐ μὴν καὶ τὸν ἐλαφρὰν καὶ ἰάσιμον πληγὴν ἐπενεγκόντα αὐτῷ, ἤγουν μετρίαν βίαν, καὶ ἣν ἐδύνατο χωρὶς φόνου διαφυγεῖν· τηνικαῦτα γὰρ ὡς φονεὺς κολασθήσεται. Φησὶ γὰρ τὸ ιδ'. κεφ. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου· Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν, ἀνεύθυνός ἐστι φονεύειν· καὶ τὸ 6'. θέμα τοῦ αὐτοῦ· Τὸν λῃστὴν ἐπιόντα, ἀκινδύνως ἔξεστι φονεύειν. Ἐγὼ δὲ εἶδον ἱερέα καθαιρεθέντα συνοδικῶς, ὅτι ἕτερον ἱερέα ἀναλαβόμενον παρὰ θέλησιν τούτου βιβλίον ἐκ τῆς ἐκκλησίας αὐτοῦ κατέσχε, καὶ ἀνελάβετο ὁριστικῶς ἐκ τούτου τὸ οἰκεῖον βιβλίον, κἀντεῦθεν συνέβη τὸν ἀφαιρεθέντα τὸ βιβλίον ἱερέα λειποθυμῆσαι, καὶ αὔθωρον ἀποθανεῖν. Ἕτερος δὲ μοναχὸς καὶ ἱερεὺς ἀπὸ τῆς μονῆς τοῦ Στειρίου καθῃρέθη ὁμοίως, ὅτι μοναχόν τινα ὑβρίσαντα αὐτὸν ἀνθύβρισε τραχέως, καὶ συνέβη τὸν οὕτως ὑβρισθέντα ἅμα τῷ ἀκοῦσαι τὴν ὕβριν, στενάξαι, καὶ τὴν ψυχὴν ἀπερεύξασθαι. Καὶ ἀρχιερεὺς Ἀγαρηνὸν φονεύσας, κατ' αὐτοῦ ξίφος ἀνατείναντα ἐν καιρῷ πολέμου, καθῃρέθη ὁμοίως.

ΑΡΙΣΤ. Ὁ πλήξας πρὸς θάνατον, καὶ ἀρχόμενος, καὶ ἀμυνόμενος, ἀνδροφόνος.

Ἐάν τις ἐν μάχῃ πληγὴν ἐπαγάγῃ τινὶ καιρίαν, θάνατον ἀπειλοῦσαν, κἂν πρῶτος ἤρξατο τῆς πληγῆς, κἂν ὑπ' ἐκείνου πληγεὶς, καὶ ἐκδικῶν ἑαυτὸν καιρίως ἀντέπληξε, φονεύς ἐστίν· εἴτε δὲ ἑκούσιοι καὶ ἀμφότεροι, εἴτε ἀκούσιοι, ἀπὸ τοῦ ὀργάνου τοῦ πλήξαντος κριθήσονται, καὶ ἀπὸ τῶν λοιπῶν ὧν παρέδωκε γνωρισμάτων ἐν τῷ ὀγδόῳ κανόνι.

## Κανὼν ΜΔ'.

**Ἡ διάκονος ἡ τῷ ἕλληνι συμπορνεύσασα, οὐ δεκτή ἐστιν εἰς κοινωνίαν (1), εἰς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ**

---

(1) Χ. Τρ. — πρώτως Ἑ. Βευερ.

(1) εἰς μετάνοιαν Σ. Ρ. Ἀπ. Βασιλ. ὁ δὲ Βευερ. οὐ δεκτή ἐστιν εἰς κοινωνίαν.

ἑβδόμῳ ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα. Ὁ δὲ μετὰ τὴν πίστιν ἕλλην πάλιν τῇ ἱεροσυλίᾳ προσιών, ἐπὶ τὸν ἔμετον ὑποστρέφει (1). Ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα ὡς καθιερωμένον, οὐκ ἔτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

ΖΩΝΑΡ. Ἐὰν διακόνισσα ἕλληνι συμφθαρῇ, δεχθήσεται, φησίν, εἰς κοινωνίαν· κοινωνίαν δὲ τὴν μετὰ τῶν πιστῶν σύστασιν ἐν ταῖς εὐχαῖς ἐνταῦθα νοητέον· τῆς δὲ τῶν ἁγίων δώρων μεταλήψεως, τῷ ἑβδόμῳ ἔτει ἀξιωθήσεται. Διὰ μὲν γὰρ τὴν ἔκπτωσιν τῆς διακονίας, οὐκ εἴργεται τῶν προσευχῶν, οὐδὲ εἰς τοὺς τόπους τῶν ἐπιτιμίων ἑστάναι καταδικάζεται· διὰ δὲ τὸ νύμφη λογίζεσθαι τοῦ Χριστοῦ, καὶ προδοῦναι τὴν τιμὴν ἑαυτῆς, βαρύτερον κολάζεται. Τῆς γὰρ πορνείας τετραετίᾳ ἐπιτιμωμένης, αὕτη εἰς ἕβδομον ἐνιαυτὸν παρατείνεται· καὶ τοῦτο, ἐὰν ἀπόσχηται τῆς ἁμαρτίας, καὶ ἐν ἁγνείᾳ ζῇ. Ἐὰν δὲ ὁ μιγεὶς αὐτῇ ἕλλην, τῇ πίστει προσελθών, πάλιν ἱεροσυλῇ, (ἱεροσυλίαν δὲ τὴν μετὰ τῆς διακονίσσης μῖξιν καλεῖ,) ἐπὶ τὸν ἴδιον, φησίν, ἐπιστρέφει ἔμετον· τὸ γὰρ σῶμα τῆς διακονίσσης καθιερωμένον ἐστί, καὶ διὰ τοῦτο οὐκ ἐπιτραπήσεται ἐν χρήσει εἶναι σαρκικῇ, ἤγουν ἡδονῇ χρῆσθαι σαρκός· ἴσως δὲ καὶ διὰ τὸ μιγῆναι ἀπίστῳ ἐπιτιμᾶται μᾶλλον ἡ διακόνισσα.

ΒΑΛΣ. Ὅπως καὶ οἵα γίνεται διάκονος, ἔμαθες ἀπὸ διαφόρων κανόνων. Διάκονος οὖν γυνὴ πορνικῶς συμφθαρεῖσα ἕλληνί τινι, οὐ μόνον καθῃρέθη, ἀλλὰ καὶ ἀφωρίσθη. Καὶ ὁ μετὰ ταύτης δὲ συμφθαρεὶς ἕλλην, πιστὸς γενόμενος, ἤθελε ταύτην λαβεῖν εἰς γυναῖκα, ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπὸ τῆς ἑλληνικῆς ἀκαθαρσίας καθαρθείς, καὶ δῆθεν μὴ ἐμποδιζόμενος νομίμως αὐτῇ συναφθῆναι, τὴν διακονικὴν ἀξίαν ἀποθεμένῃ διὰ τῆς προγενομένης πορνείας, καὶ οἷον οὔσῃ ἐλευθέρᾳ. Ἠρωτήθη οὖν περὶ ἀμφοτέρων ὁ ἅγιος, καὶ ἀπεκρίνατο, ὅτι ἡ πορνεύσασα διακόνισσα, καὶ διὰ τοῦτο καθαιρεθεῖσα, οὐκ ἀφορισθήσεται ὥστε μὴ ἐκκλησιάζειν, ἀλλὰ δεχθήσεται εἰς τὴν μετὰ τῶν πιστῶν εὐχὴν καὶ στάσιν. Εἴρηται γὰρ εἰς τὸν λβ΄. κανόνα αὐτοῦ, ὅτι οἱ τὴν πρὸς θάνατον ἁμαρτάνοντες ἁμαρτίαν κληρικοὶ καθαιροῦνται μόνον, οὐ μὴν καὶ ἀφορίζονται· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Καὶ ἡ διάκονος γοῦν διὰ τὴν πορνείαν καθαιρεθεῖσα, οὐκ ἀφορισθήσεται ἐκ τῆς ἐκκλησιαστικῆς συνάξεως· ἀρκεῖ γὰρ αὐτῇ ἀντὶ παντὸς ἐπιτιμίου ἡ καθαίρεσις. Ὅτι δὲ οἱ πορνεύοντες, ἐπὶ τετραετίαν τῶν ἁγίων μυστηρίων οὐ μεταλαμβάνουσιν, ὥρισεν ὁ ἅγιος ἐπὶ πλέον ἐπιτιμηθῆναι αὐτὴν διὰ τὸ μετὰ ἕλληνος συμφθαρῆναι, καὶ μετὰ ἑπταετίαν μεταλαβεῖν αὐτὴν τῶν ἁγιασμάτων, πάντως ἀποστᾶσαν ἐκ τῆς πορνείας· τὸν δὲ πιστεύσαντα ἕλληνα, καὶ ζητοῦντα ἔχειν τὴν ποτὲ διακόνισσαν, ἱεροσυλίας καταδίκῃ καθυποβάλλει, ἐὰν τὸ ἅπαξ ἀφιερωθὲν σῶμα τῆς διακονίσσης διὰ τῆς ἐπιμιξίας κοινώσῃ. Μᾶλλον μὲν οὖν καὶ κύνα αὐτὸν ἀποκαλεῖ εἰς τὸν ἴδιον ἔμετον ἐπιστρέφοντα, τουτέστιν εἰς τὴν προτέραν ἀπιστίαν διὰ τῆς ἀθέσμου μίξεως· καὶ τὴν ἅπαξ καθιερωθεῖσαν τῷ Θεῷ, κἂν καθαιρεθῇ, οὐ παραχωρεῖ ὁπωσδήποτέ τινι συνάπτεσθαι, διὰ τὸ εἶναι τὸ σῶμα αὐτῆς καθιερωμένον, καὶ ὀφείλειν συντηρεῖσθαι πάσης κοινῆς καὶ σαρκικῆς χρήσεως ἀνώτερον, κατὰ τὸν καθόλου κανόνα τὸν λέγοντα, Τὸ ἱερὸν μιαρὸν οὐ γίνεται. Σημείωσαι ταῦτα διὰ τοὺς μετασχηματιζομένους κληρικούς τε καὶ μοναχούς· ναὶ μέντοι καὶ μοναχάς, καὶ ἀσκητρίας, καὶ θέλοντας νομίμοις γυναιξίν, ἢ καὶ ἀνδράσι συνάπτεσθαι. Οἴομαι δὲ ἀπὸ τοῦ κανόνος τούτου καλῶς ἵνα κωλυθῶσι δευτερογαμεῖν καὶ αἱ τῶν ἱερέων γυναῖκες, ὥσπερ οὐδὲ οἱ ἱερωμένοι τὴν ἱερωσύνην παραιτούμενοι παραχωρηθήσονται ὡς λαϊκοὶ διάγειν καὶ δευτερογαμεῖν. Αἱ μὲν γὰρ γυναῖκες τῶν ἱερέων ἓν σῶμα καὶ μία σὰρξ ἱερατικὴ διὰ τῆς μετὰ τῶν ἱερέων συναφείας χρηματίσασαι, κἀντεῦθεν οἷον ἱερωθεῖσαι, οὐ βεβηλωθήσονται διὰ τῆς δευτερογαμίας· οἱ δὲ ἱερεῖς ἅπαξ τὴν δευτερογαμίαν ἀποθέμενοι διὰ τοῦ ἱερωθῆναι, καὶ τοῦτο αὐτὸ εἰς Θεὸν ἐπαγγειλάμενοι, οὐ παραχωρηθήσονται διὰ τὴν σαρκικὴν ἐπιθυμίαν παραιτήσασθαι τὴν ἱερατικὴν ἀξίαν, καὶ τὴν εἰς Θεὸν ἐπαγγελίαν ἀθετῆσαι, καὶ τῇ σαρκικῇ ἐπιθυμίᾳ δουλεῦσαι· ἀλλὰ κἂν παραιτήσωνται τὴν ἱερωσύνην, κωλυθήσονται τὰ ἅπαξ ἱερωθέντα σώματα αὐτῶν δευτέροις γάμοις βεβηλῶσαι.

ΑΡΙΣΤ. Διάκονος ἕλληνι πορνευθεῖσα, καὶ μεταγνοῦσα, ἑπταετίαν ὑποπιπτέτω.

(1) ἐπιστρέφει Ἐ. Βευερ.

Ἰδοὺ ἐνταῦθα δύο τὰ ἐπιτίμια· μετακινεῖται γὰρ τοῦ βαθμοῦ αὐτῆς ἡ διάκονος, καὶ ἐπὶ ἑπτὰ ἔτεσι τὴν ἐπιτίμησιν δέχεται, καὶ τῶν θείων ἁγιασμάτων ἐστέρηται, διὰ τὸ μετὰ ἕλληνος συμπορνεῦσαι αὐτήν.

## Κανὼν ΜΕ'.

**Ἐάν τις τὸ ὄνομα λαβὼν τοῦ Χριστιανισμοῦ, ἐνυβρίζῃ τὸν Χριστόν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.**

—

ΖΩΝΑΡ. Τὸν τῷ Χριστῷ πιστεύσαντα καὶ ἐπικληθέντα Χριστιανόν, δεῖ κατὰ τὰς θείας ζῆν ἐντολάς, καὶ οὕτω δι' αὐτοῦ δοξάζεσθαι τὸν Θεόν, κατὰ τό, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων (1), καὶ τὰ ἑξῆς. Εἰ δέ τις Χριστιανὸς μὲν καλεῖται, παραβαίνει δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑβρίζει τὸν Χριστὸν οὗ τὴν κλῆσιν ἐπάγεται, καὶ οὐδὲν ἔσται αὐτῷ ὄφελος ἐκ τῆς προσηγορίας. Ταῦτα δὲ ὁ μέγας Βασίλειος τῷ ἁγίῳ Ἰακώβῳ συμφωνῶν, τῷ ἀδελφῷ τοῦ Κυρίου, φησίν· ἐκεῖνος γὰρ ἐν τῇ ἐπιστολῇ αὐτοῦ λέγει· Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ, μὴ δύναται πίστις σῶσαι αὐτόν (2);

ΒΑΛΣ. Τὶς ἄπιστος βαπτισθείς, καὶ ἀξιωθεὶς τοῦ λέγεσθαι Χριστιανός, εἶχε μὲν τὴν εἰς Θεὸν ὀρθόδοξον πίστιν, οὐκ ἔπραττε δὲ καὶ τὰ τῶν Χριστιανῶν ἔργα, ἀλλ' ἐκάκιζεν ἴσως παραδόσεις ἐκκλησιαστικάς, καὶ κανονικοὺς διορισμούς, προτιμώμενος τὰς τῶν ἀπίστων ἐργασίας, καὶ τοιουτοτρόπως ὑβρίζων τὸν Χριστόν. Ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ διὰ ταῦτα ὁ τοιοῦτος ἀπὸ τῆς τῶν πιστῶν ἐκβάλλεται ὁμηγύρεως, ἢ μᾶλλον ὀφείλει ἀκαταιτίατος εἶναι, ὡς τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος, καὶ εἶπεν, ὅτι τὸ λαβεῖν διὰ τοῦ βαπτίσματός τινα Χριστιανοῦ ὄνομα, οὐκ ὠφελεῖ αὐτόν, ἐὰν μὴ ἐν πᾶσι κατὰ τοὺς ὀρθοδόξους πολιτεύηται. Ἐξ ἀνάγκης οὖν ὥς τι σεσηπὸς μέλος ἐκκοπείη ἀπὸ τῆς ὁλοκληρίας τοῦ ὑγιοῦς σώματος τοῦ Χριστωνύμου λαοῦ, τουτέστιν, οὔτε

(1) Ματθ. Ε', 16. — (2) Ἰακ. Β', 14.



ἐκκλησιάσει μετὰ τῶν Χριστιανῶν, οὔτε τοῖς τοῦ Χριστιανικοῦ ποιμνίου προβάτοις συναριθμηθήσεται. Εἰ δὲ θέλεις ἑρμηνεῦσαι τὸν κανόνα καὶ ἄλλως, ὅτι οὐκ ἔστι κυρίως Χριστιανὸς ὁ μὴ τὰς ἐντολὰς τοῦ Χριστοῦ ποιῶν, οὐχ ἕξεις τὸ ἐμποδών. Φησὶ γὰρ καὶ ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος ἐν τῇ ἐπιστολῇ αὐτοῦ οὕτω· Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν (1); καὶ ὁ Ἀπόστολος· Ἡ πίστις χωρὶς ἔργων νεκρά ἐστιν (2).

ΑΡΙΣΤ. Ὑβρίζων Χριστιανὸς τὸν Χριστόν, ἀπὸ τῆς κλήσεως ἀνωφέλητος.

Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν· οὐδὲν γὰρ ἀπὸ τῆς προσηγορίας ὄφελος τῷ Χριστιανῷ τὰ τοῦ Χριστοῦ ἐντάλματα ἀθετοῦντι, καὶ τοὺς θείους αὐτοῦ νόμους καταπατοῦντι, καὶ πραγματικῶς αὐτὸν ἐνυβρίζοντι.

## Κανὼν ΜϚ'.

**Ἡ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν (3) γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μέν, ἐν ἀγνοίᾳ δέ. Γάμου οὖν οὐκ εἰρχθήσεται· κάλλιον δέ, ἐὰν μείνῃ οὕτως.**

—

ΖΩΝΑΡ. Ἐν τῷ ἐννάτῳ κανόνι ὁ ἅγιος οὗτος περὶ γυναικὸς καταλιπούσης τὸν ἴδιον ἄνδρα διαταττόμενος, Ἡ καταλιποῦσα τὸν ἴδιον ἄνδρα, φησί, μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα· ὁ δὲ καταλειφθεὶς συγγνωστός, καὶ ἡ συνοικοῦσα τῷ τοιούτῳ οὐ κατακρίνεται. Ἐνταῦθα δὲ τὴν τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς γημαμένην, ἐπανελθούσης δὲ τῆς προτέρας ἀφεθεῖσαν, πορνεῦσαι λέγει, ἐν ἀγνοίᾳ δέ. Πῶς οὖν ἐκεῖσε μὲν οὐ κατακρίνει τὴν συνοικήσασαν ἀνδρί, καὶ καταλειφθέντι παρὰ τῆς γυναικὸς αὐτοῦ, ἐνταῦθα δὲ πορνεῦσαι αὐτὴν φησὶν ἐν ἀγνοίᾳ; εἰ δὲ ἐκείνη πεπόρνευκε, καὶ ὁ γήμας αὐτὴν ἀνὴρ πορνεῦσαι κατὰ τὸ ἀκόλουθον νομίζοιτο ἄν· πῶς οὖν συγγνωστὸς ἔσται; Οἶμαι

(1) Ἰακ. Β', 14. — (2) Ἰακ. Β', 26. — (3) Χ. Τρ, Ἀπ. Βασιλ. — ἐν ἀγνοίᾳ οἱ λοιποί.

τοίνυν, ὅτι ἐν τῷ θ'. κανόνι περὶ διόλου καταλειφθέντος παρὰ τῆς γυναικὸς λέγει ὁ μέγας Βασίλειος, καὶ μὴ πεισθείσης ἐπανελθεῖν πρὸς αὐτόν· καὶ διὰ ταῦτα κἀκείνῳ συγγινώσκει, καὶ τὴν κατὰ δεύτερον γάμον αὐτῷ συνοικήσασαν οὐ κατακρίνει· ἐν δὲ τῷ παρόντι κανόνι περὶ καταλιπούσης τὸν ἄνδρα διὰ λύπην τινὰ λέγει, διὸ καὶ τὸ, πρὸς καιρὸν, προσέθετο. Εἰ μὲν οὖν ᾔδει ἡ κατὰ δεύτερον γάμον αὐτῷ συνοικήσασα τὴν πρόσκαιρον ἀπόστασιν ἐκ τοῦ οἰκείου ἀνδρὸς, καὶ οὕτω συνῴκησε τῷ καταλειφθέντι ἀνδρὶ, μοιχαλίς ἐστιν, ὅτι ἀλλότριον ἄνδρα ἐσφετερίσατο, ὡς τὸ τέλος τοῦ ἐννάτου περιέχει κανόνος· εἰ δὲ ἠγνόει τοῦτο, ἴσως γὰρ ἐξ ἀλλοδαπῆς ἦν χώρας, καὶ ἠγνοεῖτο τὸ κατ' αὐτὸν, μετὰ δέ τινα καιρὸν ἐπανῆλθε πρὸς τὸν ἄνδρα ἡ καταλιποῦσα αὐτὸν, καὶ διὰ τοῦτο ὁ πρὸς τὴν δευτέραν γυναῖκα ἐλύθη γάμος, πορνεῦσαι λέγει τὴν γυναῖκα ταύτην ὁ ἅγιος, πλὴν ἐν ἀγνοίᾳ. Πορνεῦσαι δὲ ταύτην λέγει, ὡς μὴ λυθέντος τοῦ προτέρου γάμου· τοῦ πρώτου δὲ μὴ λυθέντος, πῶς ἂν ἡ πρὸς τὴν δευτέραν γυναῖκα συνοίκησις δεύτερος δόξῃ γάμος; εἰ δὲ γάμος οὐκ ἔστι, πάντως ἔσται πορνεία. Καὶ ὁ μὲν ἀνὴρ πόρνος κυρίως λογισθήσεται· ἡ δὲ γυνὴ πορνεῦσαι μὲν λέγεται πλὴν ἐν ἀγνοίᾳ· οὐ γὰρ πορνείαν ἁμαρτῆσαι σκοπὸν ἔσχεν, ἀλλὰ γάμον συστήσασθαι ἔννομον· τὸ δὲ πρᾶγμα περιέστη εἰς τὸ μὴ λογίζεσθαι γάμον, διὰ τὸ ἔτι μένειν τὸν πρῶτον γάμον· τῆς δὲ πρὸς τὰς δύο συναφείας μὴ λογιζομένης γάμου, τί ἂν λέγοιτο ἡ συνάφεια ἢ πορνεία, πλὴν ἐν ἀγνοίᾳ γινομένη; Διὸ καὶ ἐπήγαγεν ὁ κανών· **Γάμου οὖν οὐκ εἰρχθήσεται**· οὐ γὰρ ὡς παρ' ἀνδρὸς ἀφεθεῖσα λογίζεται· ἐπεὶ εἰ τοῦτο ἦν, καὶ ἑτέρῳ ἐμίχθη, μοιχαλὶς ἐκρίνετο ἂν, κατὰ τὸν ἔννατον κανόνα· ὅτι οὐδὲ κυρίως γάμος ἡ πρὸς τὴν δευτέραν γυναῖκα συμβίωσις δοκεῖ· διὰ τοῦτο γάμου οὐκ εἴργεται ἡ γυνή. Ὡς δὲ ἁπλῶς γυνὴ ὀνομασθεῖσα ἀνδρὸς, εἰ μὴ ἑτέρῳ συναφθείη ἔτι ζῶντος ἐκείνου, κρεῖσσον ἂν ποιήσῃ, φησὶν ὁ ἅγιος· οὐ γὰρ εὔσχημον ζῶντος τοῦ ἀνδρὸς τὴν ὀνομασθεῖσαν ἐκείνῳ γυναῖκα ἑτέρῳ συμβιοῦν· λέγει γὰρ καὶ ὁ νόμος τῆς πολιτείας, ὅτι ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτετραμμένον, ἀλλὰ τὸ εὐπρεπὲς σκοποῦμεν (1).

(1) ϛ', Βασιλικ. ΚΗ', 5.



ΒΑΛΣ. Ὁ παρὼν κανὼν κατεστρώθη εἰς τὸ ὕφος τοῦ μγ'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ ἐπεὶ ἐκεῖσε τὰ περὶ τούτου πλατύτερον ἡρμηνεύθησαν, ἀνάγνωθι τοῦτον, καὶ τὸν ἔννατον κανόνα τοῦ παρόντος ἁγίου Πατρός.

ΑΡΙΣΤ. Ἐγήματό τις ἀνδρὶ κατ' ἄγνοιαν ἀφεμένῳ· εἶτα ἡ προτέρα ἀνέφηνεν· ἡ δὲ ἀφεθεῖσα, πόρνη λογίζεται κατὰ ἄγνοιαν· καὶ εἰ θέλει, ζεύγνυται· κάλλιον, εἰ μὴ ζεύγνυται.

Κατελείφθη ἀνὴρ παρὰ τῆς ἰδίας γυναικὸς πρὸς καιρόν· ὁ δὲ, ὡς ἀπολυθεὶς ὑπ' ἐκείνης, ἑτέραν ἔλαβεν, ἀγνοοῦσαν τὸ πρὸς καιρὸν καταλειφθῆναι αὐτόν· ἐπανῆλθε πρὸς αὐτὸν ἡ προτέρα, καὶ παραδεξάμενος ταύτην, τὴν δευτέραν ἀφῆκεν· ὡς πόρνη κρίνεται αὕτη ἡ ἀφεθεῖσα, πλὴν κατὰ ἄγνοιαν· καὶ διὰ τοῦτο, εἰ βουληθῇ γάμου κοινωνίᾳ συναφθῆναι ἑτέρῳ, οὐ κωλυθήσεται· οὐ γὰρ ἀπολελυμένη λογίζεται, ὅτι μηδὲ ἀνὴρ αὐτῆς κυρίως ἐγένετο ὁ ταύτην ἀφέμενος· ἐὰν δὲ θελήσῃ μεῖναι ἐν ἀγαμίᾳ, καὶ μὴ ἐπ' ἄλλον ἐλθεῖν γάμον, κάλλιον τοῦτο.

## Κανὼν ΜΖ'.

Ἐγκρατῖται, καὶ Σακκοφόροι, καὶ Ἀποτακτῖται, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧ καὶ Ναυατιανοί· ὅτι περὶ μὲν ἐκείνων κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος· τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται. Ἡμεῖς μέντοι ἑνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους· εἰ δὲ παρ' ὑμῖν ἀπηγόρευται τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ῥωμαίοις, οἰκονομίας τινὸς ἕνεκα, ἀλλ' ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι, ἐπειδὴ ὥσπερ Μαρκιωνιστῶν ἐστιν αὐτοβλάστημα ἡ κατ' αὐτοὺς αἵρεσις, βδελυσσομένων τὸν γάμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. Μὴ γὰρ λεγέτωσαν, ὅτι εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθημεν, οἵ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν Θεὸν, ἐφαμίλλως τῷ Μαρκίωνι καὶ ταῖς λοιπαῖς αἱρέσεσιν. Ὥστε, ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας

ἐπισκόπους ἐνταυτῷ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ, καὶ ὁ ἀποκρινόμενος τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τῶν τοιούτων ἀποκρίσει.

---

ΖΩΝΑΡ. Ἐνταῦθα ὁ ἅγιος τοὺς Ναυατιανοὺς βαπτίζεσθαι διορίζεται, μετὰ τῶν ἄλλων προσερχομένους τῇ ἐκκλησίᾳ, ὡς τάχα φρονοῦντας τὰ τοῦ Μαρκίωνος. Ὁ δὲ τῆς δευτέρας συνόδου ἕβδομος κανὼν, ἀπαριθμῶν τοὺς χρίσματι μόνῳ ὀφείλοντας δέχεσθαι, καὶ τοὺς Ναυατιανοὺς ἐκείνοις συναριθμεῖ. Πάντως δὲ ἐπικρατέστερος ὁ κανὼν ἔσται ἐκεῖνος, οἷα μεταγενέστερος καὶ συνοδικὸς (1), καὶ ὅτι οὐδὲ ὁ μέγας Βασίλειος ὡς κανόνα τοῦτον ἐξεφώνησεν, ἀλλὰ τὴν οἰκείαν γνώμην πρὸς ἐρώτησιν ἐδήλωσεν, εἶτα ἐπήγαγεν, ὥσπερ καὶ αὐτὸς μὴ βεβαίως πρὸς τὸ ἐρωτηθὲν διακείμενος, τὸ, ὥστε ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐνταυτῷ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα διὰ τοῦ κανόνος τοῦ ὑπὸ πλειόνων ἐπισκόπων ἐκτεθέντος, καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ· καὶ ταυτὸν δηλαδὴ καὶ βαπτίσαντι τοὺς εἰρημένους μὴ ᾖ κίνδυνος, ὡς παρὰ κανόνας ποιήσαντι, καὶ ὁ ἀποκρινόμενος τοῖς περὶ τοιούτων ἐρωτῶσι, τὸ ἀξιόπιστον ἔχῃ ἐκ τοῦ κανόνος. Τὰ δὲ περὶ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν καὶ Ἐγκρατιτῶν, προεγράφησαν ἐν τῇ τοῦ κανόνος ἐξηγήσει.

ΒΑΛΣ. Τίνες εἰσὶν οἱ Ἐγκρατῖται, οἱ Σακκοφόροι, οἱ Ἀποτακτῖται, οἱ Ναυατιανοὶ, καὶ οἱ Μαρκιωνισταὶ, καὶ ποῖα τὰ εἴδη τῶν αἱρέσεων αὐτῶν, εἴρηται ἐν διαφόροις κανόσιν. Ὁ δὲ παρὼν κανὼν ἑρμηνείας οὐ δέεται, διότι οὐδὲ ὡς ὅρος ἐγράφη παρὰ τοῦ ἁγίου, ἀλλ' ὡς γνωμάτευμα· τὴν γὰρ θεσμοθεσίαν εἰς συνοδικὸν διορισμὸν ἀπέλυσε. Σὺ δὲ ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς β'. συνόδου, καὶ μάθῃς τίνες ἀπὸ τῶν αἱρετικῶν μετὰ τὸ δεχθῆναι βαπτίζονται, καὶ τίνες οὐ βαπτίζονται.

ΑΡΙΣΤ. Ἐγκρατίτας, καὶ Σακκοφόρους, καὶ Ἀποτακτίτας, ἀναβαπτίσεις· εἰ γὰρ καὶ λέγοιεν, ὅτι εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθησαν, ἀλλ' ἐπεὶ κακῶν ποιητὴν τὸν Θεὸν βλασφημοῦσι κατὰ Μαρκίωνα, μὴ ἀναβαπτιζόμενοι, ἄδεκτοι.

---

(1) καὶ συνοδικὸς, οὐ κεῖται ἐν Χ. Τρ.

Ἐν μὲν τῷ πρώτῳ αὐτοῦ κανόνι ὁ μέγας οὗτος τῆς ἐκκλησίας φωστὴρ τὸ τῶν Ἐγκρατιτῶν, καὶ Ναυατιανῶν, ἤτοι Καθαρῶν βάπτισμα, κατὰ λόγον οἰκονομίας ἐδέξατο, καὶ προσέταξε μόνῳ τῷ ἁγίῳ μύρῳ τούτους χρίεσθαι, προσερχομένους τῇ καθολικῇ πίστει, καὶ τὰς αἱρέσεις αὐτῶν ἀναθεματίζοντας. Ἐνταῦθα δὲ ἐπιδιορθούμενος τὸ κατ' οἰκονομίαν ἐκεῖσε δεχθὲν, ὁρίζει τοὺς Ἐγκρατίτας, καὶ τοὺς λοιποὺς ἀναβαπτίζεσθαι, διὰ τὸ τὴν αἵρεσιν αὐτῶν ἀποβλάστημα εἶναι τῶν Μαρκιωνιστῶν, βδελυσσομένων καὶ αὐτῶν, ὡς ἐκείνων, τὸν γάμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων. Πλὴν ὁ ἕβδομος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ ἕβδομος τῆς ἐν Κωνσταντινουπόλει, καὶ ὁ ϞΕ'. τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τῶν Ναυατιανῶν, καὶ Καθαρῶν, καὶ Τεσσαρασκαιδεκατιτῶν τὸ βάπτισμα δέχεται προσερχόμενων τῇ ἐκκλησίᾳ, καὶ ἀναθεματιζόντων πᾶσαν αἵρεσιν, καὶ τὴν ἑαυτῶν· χρίονται δὲ μόνῳ τῷ ἁγίῳ μύρῳ μέτωπα, ὀφθαλμοὺς, ῥίνας, στόμα, καὶ ὦτα.

## Κανὼν ΜΗ'.

Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην, (1) μένειν ὀφείλει. Εἰ γὰρ ὁ Κύριος εἶπεν, ὅτι, ἐάν τις καταλίπῃ τὴν γυναῖκα ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι(2), ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας. Πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι, ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀνέγκλητος(3) εἶναι, ἡ μοιχαλὶς παρὰ Κυρίου, διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν, προσαγορευθεῖσα;

---

ΖΩΝΑΡ. Τὴν παρὰ τοῦ ἀνδρὸς ἀπολυθεῖσαν γυναῖκα ἀπαιτεῖσθαι λέγει ἄζυγα μένειν, ἢ ἑτέρῳ συνοικοῦσαν, μοιχαλίδα λογίζεσθαι· καὶ τὴν τοῦ Κυρίου ἀπόφασιν παράγει, εἰπόντος· Ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ

---

(1) οὕτω μένειν Χ. Γρ. — (2) Ματθ. Ε', 32. — (3) ἀναίτιος Βευηρ.

αὐτὴν μοιχᾶσθαι(1)· ὥστε, φησὶν, ἐκ τοῦ μοιχαλίδα αὐτὴν παρὰ τοῦ Κυρίου ὀνομασθῆναι, κεκώλυται αὐτῇ ἡ πρὸς ἕτερον ἄνδρα συμβίωσις. Ἐπεὶ γὰρ ὁ ἀνὴρ ὑπεύθυνός ἐστιν, ὡς ποιῶν αὐτὴν μοιχᾶσθαι, πάντως καὶ ἡ γυνὴ ὡς μοιχευομένη κατακριθήσεται; ὅτι καὶ μοιχαλὶς παρὰ τοῦ Κυρίου ὠνόμασται.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἐρωτηθεὶς ὁ ἅγιος, εἰ ὀφείλει νομίμῳ ἀνδρὶ συνάπτεσθαι ἡ παραλόγως διαζυγεῖσα τοῦ οἰκείου ἀνδρὸς, εἶπεν, ἐπεὶ ὁ Κύριος ἀπεφήνατο μοιχαλίδα εἶναι τὴν καταλειφθεῖσαν παρεκτὸς πορνείας ὑπὸ τοῦ οἰκείου ἀνδρὸς, πάντως ἐὰν ἑτέρῳ συζευχθῇ, ὀφείλει ἡ τοιαύτη γυνὴ ἡσυχάζειν, καὶ ἑτέρῳ μὴ συναφθῆναι· κατασκευάζων δὲ τὸν οἰκεῖον λόγον, προστίθησιν, ὅτι, κἂν οὐ δέδωκεν αὐτὴ τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, ἀλλ' ὁ ἀνὴρ, ὅμως καὶ αὐτὴ, εἰ μὴ καρτερήσει τὴν παράλογον διάζευξιν, καὶ ἀνακαλέσεται τὸν οἰκεῖον ὁμόζυγον, καὶ ἑτέρῳ συναφθῇ, ὡς μοιχαλὶς κατακριθήσεται· τὸν ἄνδρα δὲ ταύτης ὑπεύθυνον εἶναι φησὶν, ὡς γενόμενον αἴτιον τῆς μοιχείας. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸν πη'. κανόνα καὶ τὸν ϞΓ'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ παρ' ἡμῶν ἐν τούτοις γραφέντα περὶ τῶν ἐγκαταλειψασῶν τοὺς οἰκείους ἄνδρας, καὶ τὸ ἐναντίον. Ἐρωτήσει δέ τις, ποίᾳ εὐθύνῃ ὑπόκειται ὁ ἀνὴρ τῆς καταλειφθείσης γυναικὸς ἀνευλόγως, καὶ ἑτέρῳ συμβιωσάσης; Λύσις. Τινὲς εἶπον τῷ περὶ μοιχείας ἐγκλήματι εἶναι τοῦτον ὑπεύθυνον· ἐμοὶ δὲ οὐ δοκεῖ. Ἐπεὶ γὰρ παρὰ τῷ θελήματι τῆς γυναικὸς πρόκειται τὸ συζυγῆναι αὐτὴν ἑτέρῳ, καὶ οὕτω μοιχευθῆναι, καὶ τὸ καρτερῆσαι, καὶ μὴ γενέσθαι μοιχείαν, πῶς ὁ ἀνὴρ μὴ μοιχεύσας, ὡς μοιχὸς κολασθήσεται; Οἶμαι οὖν, ὅτι ὡς μὲν μοιχὸς οὐ κολασθήσεται, γενήσεται δὲ ἐπ' αὐτῷ ὡς ἀνευλόγως πέμψαντι διαζύγιον κατὰ τὸ ιά. κεφ. τῆς ρλδ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τὸ δ'. κεφ. τοῦ ζ'. τίτλου τοῦ κη'. βιβλίου, ἔχον οὕτως· Ἐπειδή τινες τὸν ἡμέτερον παραβαίνειν σπουδάζουσι νόμον, ἐν ᾧ ἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα, ἐξ ὧν μόνων διαζύγιον δύναται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς, ἢ ἐκ τῆς γυναικὸς, κελεύομεν παρ' ἐκείνας τὰς αἰτίας μηδενὶ τρόπῳ διαζύγια γίνεσθαι, ἢ ἐῤῥῶσθαι τὰ γινόμενα, ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν, καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. Εἰ δὲ παρὰ τὰς ἀφ' ἡμῶν διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν, εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι κατὰ τὴν τῶν νόμων τάξιν, καὶ τόν τε ἄνδρα καὶ τὴν γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον· καὶ ἐκ τῆς ἑκάστου περιουσίας ἀνὰ τέσσαρας οὐγγίας τοῖς μοναστηρίοις, ἐν οἷς ἐμβάλλονται, ἀφορίζεσθαι, τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. Εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλ' ἀνιόντες εὑρίσκονται, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνήνεσαν, τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις, ἐν οἷς ἕκαστος ἐμβάλλεται, ἀφορίζεσθαι. Εἰ δὲ μήτε κατιόντες, μήτε ἀνιόντες εἶεν, ἢ καὶ εἰ οἱ ἀνιόντες συνήνεσαν τῷ γεγονότι, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις, ἐν οἷς ἐνεβλήθησαν, δίδοσθαι, ἵνα μὴ διὰ ταύτης τῆς περινοίας καὶ τὸ τοῦ Θεοῦ κρίμα καταφρονηθῇ, καὶ ὁ ἡμέτερος νόμος παραβαθῇ. Ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τῶν γάμων, ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας, ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν, καὶ εἰς ἐξορίαν πέμπεσθαι. Εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθῶσι πάλιν ἑαυτοὺς συζευγνύναι, πρὶν ἐμβληθῶσι μοναστηρίοις, ἄδειαν αὐτοῖς δίδομεν τοῦτο ποιεῖν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας περιουσίας ἔχειν, καὶ οὕτω πρὸς ἀλλήλους ζῆν, ὡς ἂν εἰ μηδὲν τοιοῦτον ἡμαρτημένον ἐτύγχανε· τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον ἀνακαλέσασθαι; εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. Ταῦτα δὲ πάντα φυλάττεσθαι κελεύομεν ἔν τε τῇ βασιλίδι ταύτῃ πόλει, καὶ ἐν ταῖς ἐπαρχίαις, διά τε τοῦ κόμητος τῶν πριβάτων, καὶ τῆς τῶν Παλατίνων σχολῆς(1), καὶ τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων, καὶ τῶν τάξεων αὐτῶν, εἰδότων αὐτῶν, ὡς εἰ ῥαθυμήσουσι τοιούτου τινὸς ἁμαρτανομένου, καὶ μὴ ταῦτα πάντα παραφυλάξουσι, καὶ ἐξορίαν καὶ δήμευσιν ὑποστήσονται. Ταῦτα δὲ αὐτὰ κελεύομεν

(1) Ματθ. Ε', 32.

(1) καὶ τῆς τῶν σχολαρίων Χ. Τρ.

παραφυλάττειν καὶ τοὺς κατὰ τόπον ὁσιωτάτους ἐπισκόπους, ὥστε προνοίᾳ αὐτῶν τὰ παραδιδόμενα πρόσωπα ἐν μοναστηρίοις ἐμβάλλεσθαι, καὶ ἐκ τῶν πραγμάτων αὐτῶν τὰ παρ' ἡμῶν διορισθέντα τοῖς μοναστηρίοις παρέχεσθαι.

ΑΡΙΣΤ. Ἡ παρ' ἀνδρὸς ἀφεθεῖσα, μενέτω οὕτως. Εἰ γὰρ μοιχᾶται, κατὰ τὸν τοῦ Κυρίου λόγον, τῆς πρὸς ἕτερον κλείεται κοινωνίας.

Εἰ τὴν ἀπολελυμένην γαμήσας μοιχᾶται, μᾶλλόν ἐςιν ἡ γυνὴ μοιχαλίς, ἡ καὶ τὸν ἄνδρα διὰ τῆς πρὸς αὐτὴν κοινωνίας μοιχὸν καθιστῶσα· καὶ διὰ τοῦτο μένειν ὀφείλει ἡ παρὰ τοῦ ἀνδρὸς ἀφεθεῖσα ἐν ἀγαμίᾳ

## Κανὼν ΜΘ'.

**Αἱ πρὸς ἀνάγκην γινόμεναι φθοραί, ἀνεύθυνοι ἔστωσαν· ὥστε καὶ ἡ δούλη, εἰ ἐβιάσθη παρὰ τοῦ ἰδίου δεσπότου, ἀνεύθυνος ἐστίν.**

---

ΖΩΝΑΡ. Τὰς βιαίως γινομένας φθορὰς γυναιξὶν, οὐκ εἰς ἁμαρτίαν χρὴ λογίζεσθαι· εἰ γὰρ δούλην τις οἰκείαν βιάσηται, ἡ δὲ ἄκουσα τῷ τοῦ δεσπότου ὑποκύψει θελήματι, οὐκ ἐπιτιμηθήσεται ὡς πορνεύουσα· οὔτε εἴ τις ἡρπάγη παρά τινος ἀκουσίως καὶ ἐφθάρη, καὶ ὅσαι ὁμοιοτρόπως ἐφθάρησαν. Ζήτει τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ κανόνα δεύτερον (1).

ΒΑΛΣ. Ἡ παροῦσα ἀπόκρισις ἐξεφωνήθη χάριν δούλης τινὸς, κατὰ βίαν ὑπὸ τοῦ ἰδίου δεσπότου πορνευθείσης. Φησὶ γὰρ, ὡς, ἐπεὶ καὶ πᾶσαι ἄλλαι φθοραὶ αἱ κατ' ἀνάγκην καὶ βίαν γινόμεναι, παρὰ τῶν πολεμίων δηλαδὴ πρὸς τὰς αἰχμαλώτους, καὶ παρὰ ἀρχοντικῶν προσώπων πρὸς τὰς ὑπ' αὐτῶν ἀρχομένας, ἐξ ἀνάγκης καὶ ἡ δούλη ἡ κατὰ βίαν συμφθαρεῖσα τῷ ἰδίῳ δεσπότῃ, οὐχ ὑποπεσεῖται τοῖς τῶν πορνευόντων ἐπιτιμίοις. Ἀνάγνωθι κανόνα ά. τοῦ ἁγίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ λόγου αὐτοῦ τοῦ εἰς τὸ Πάσχα. Ταῦτα δὲ, ὡς ἐμοὶ δοκεῖ, κρατήσουσιν, ὅσον εἰς τὸ μὴ ἐπιτιμηθῆναι διὰ τὴν φθορὰν τῆς πορνείας τὰς φθαρείσας· ἐπείτοι γε ἂν κατὰ βίαν ἢ ἄγνοιαν ἐμπέσῃ τις εἰς πρᾶγμα κωλῦον αὐτὸν ἀπὸ διακονίας ἱερατικῆς, οὐκ ὠφελήσεται εἰς τὸ εἶναι καὶ ἐφεξῆς μετὰ τῶν ἱερωμένων διὰ τὸ μὴ κατὰ οἰκείαν γνώμην ἐμπεσεῖν εἰς τὸ κακὸν, ἀλλὰ καθαιρεθήσεται· καὶ ἀνάγνωθι τὸν ά. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὸν κζ'. κανόνα τοῦ παρόντος ἁγίου Πατρός. Διὰ γὰρ τοῦτο, ὡς οἴομαι, οὐδὲ οἱ κατὰ αὐθεντίαν βασιλικὴν ἀποκειρόμενοι δύνανται μετασχηματίζεσθαι, προβαλλόμενοι τὸν παρόντα κανόνα τοῦ ἁγίου Βασιλείου, ἀλλ' ἔσονται ἐξ ἀνάγκης μοναχοὶ, κἂν κατὰ βίαν ἀπεκάρησαν· ὥσπερ καὶ ἡ κατὰ βίαν φθαρεῖσα, ἐὰν ἦν διακόνισσα, ἐπιτιμίῳ μὲν οὐχ ὑποπεσεῖται, διακονικὸν δέ τι οὐκ ἐνεργήσει, διὰ τὸ παραχωρήσει Θεοῦ ἐμπεσεῖν αὐτὴν εἰς κακὸν, ἀφαιρούμενον ἐξ αὐτῆς τὴν διακονικὴν ἀξίαν.

ΑΡΙΣΤ. Φθορὰ κατηναγκασμένη, ἀνεύθυνος· καὶ δούλη βιαζομένη παρὰ δεσπότου, ἀνεύθυνος.

*Ἡ βιασθεῖσα παρὰ τοῦ ἰδίου δεσπότου δούλη, ἀνεπιτίμητος.*

(1) Κ. Τρι — τὰ ἀπὸ τοῦ, Ζήτει, οὐ κεῖται παρὰ Βευερ.



## Κανὼν Ν'.

**Τριγαμίας νόμος οὐκ ἔστιν· ὥστε νόμῳ γάμος τρίτος οὐκ ἄγεται. Τὰ μέντοι τοιαῦτα, ὡς ῥυπάσματα τῆς ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα.**

---

ΖΩΝΑΡ. Καὶ ἐν τῷ δ'. κανόνι ὁ ἅγιος οὗτος τὴν τριγαμίαν πολυγαμίαν ἔφησεν ὀνομάζεσθαι καὶ μὴ γάμον, μᾶλλον δὲ πορνείαν κεκολασμένην, κἀνταῦθα ῥύπασμα τῆς ἐκκλησίας ἐκάλεσε. Πλὴν, φησὶ, δημοσίᾳ, ἀντὶ τοῦ, φανερῶς καὶ ἀνυποστόλως οὐ καταδικάζομεν αὐτὴν, ὥστε καὶ διασπᾶν τὸ τοιοῦτον συνοικέσιον· οὐ διασπᾶται δὲ, ὅτι παρὰ τὴν ἀνειμένην πορνείαν, τὴν ἀκόλαστον δηλαδὴ, καὶ ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν μεταβαίνουσαν, αἱρετωτέρα ἐστὶν, ὡς πορνεία μὲν, κεκολασμένη δὲ, οἷα μιᾷ ἀρκουμένου τοῦ ἀνδρὸς γυναικί. Ἀκούων δὲ ὅτι τριγαμίας νόμος οὐκ ἔστιν, ἐκκλησιαστικὸν καὶ πνευματικὸν νόει νόμον· ἀπὸ γὰρ

νεαρᾶς τοῦ Πορφυρογεννήτου καὶ Κωνσταντίνου, ἐφεῖται καὶ ὁ τρίτος γάμος, μετὰ μέν τοι διαστίξεων καὶ ἐπιτιμίων.

ΒΑΛΣ. Ἀκούων τοῦ ἁγίου λέγοντος μὴ εἶναι νόμον ἐπὶ τριγαμίᾳ, μὴ εἴπῃς καὶ ἀπὸ τοῦ νόμου τοῦ πολιτικοῦ κωλύεσθαι τὴν τριγαμίαν, ἐκκεχώρηται γὰρ ἀπὸ τοῦ νόμου· ἀλλὰ νόμον ἐνταῦθα, τὸν ἐκκλησιαστικὸν νόει· νόμον δὲ πολιτικὸν εἰπὲ τὸν παλαιὸν, τὸν πρὸ τοῦ ἁγίου Πατρὸς κρατοῦντα, οὐ μὴν τὸν μεταγενέστερον κατὰ πολὺ, δηλονότι τὸν τοῦ Πορφυρογεννήτου καὶ βασιλέως κυροῦ Κωνσταντίνου τόμον, τὸν καταστρωθέντα εἰς τὸν δ'. κανόνα τοῦ ἁγίου τούτου, ὃν καὶ ἀνάγνωθι· καθὼς ὁ Ζωναρᾶς φησὶ, τοῦτο γὰρ λέγειν ἀνένδεκτον, διὰ τὸ μηδὲ εἰς ἔννοιαν τοῦ ἁγίου ἐλθεῖν τὸ μετὰ πολλὰς ἑκατονταετηρίδας γεγονός. Ὅτι δὲ ἀπὸ τοῦ παλαιοῦ νόμου ἐκκεχώρηται ὁ τρίτος γάμος, ἀνάγνωθι βιβλίον κη'. τίτλον ή. κεφ. ξγ'. θέμα ς'. καὶ τίτλον ιδ'. κεφ. δ'. Σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται, ὅτι οὐ διασπᾶται ὁ τρίτος γάμος ὡς παράνομος· φησὶ γὰρ ὅτι ῥυπάσματα μὲν τῆς ἐκκλησίας λογίζονται οἱ τρίτοι γάμοι πάντως, ὡς μὴ ἐκχωρούμενοι ὑπὸ τῆς ἐκκλησίας, ἐὰν ἐρωτηθῶσι· δημοσίαις δὲ καταδίκαις, ἤτοι φανεροῖς διασπασμοῖς οὐχ ὑποβέβληνται, διὰ τὸ εἶναι τὰ τοιαῦτα συνοικέσια κρείττονα τῆς πορνείας· οἱ μὲν γὰρ οὕτω γαμήσαντες συνεσταλμένην ἁμαρτίαν διὰ τὴν πολυγαμίαν ποιοῦσιν· οἱ δὲ πορνεύοντες, ἀνειμένην καὶ ἐξηπλωμένην ἁμαρτίαν ἐργάζονται, ὡς ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν ἀδιαφόρως μεταβαίνοντες.

ΑΡΙΣΤ. Ὁ τρίγαμος, ἄνομος· ὡς δὲ ῥυπάσματα τῆς ἐκκλησίας τὰ τοιαῦτα παραβλεπόμενα, ἀστηλίτευτα, κρείττω τῆς ἀνειμένης πορνείας κρινόμενα.

Ὁ μὲν πολιτικὸς νόμος τὴν τριγαμίαν ἐπιγινώσκει, καὶ τοὺς ἐξ αὐτῆς τεχθέντας παῖδας νομίμους ἔχει, καὶ εἰς κληρονομίαν καλεῖ· τοῖς δὲ κανόσιν ὁ τρίτος γάμος οὐ παραδέχεται, ἀλλ' ὡς ῥύπασμα τοῦτον τῆς ἐκκλησίας ἔχουσιν. Ὅτι δὲ τῆς ἀνειμένης πορνείας, ἤτοι τῆς ἐκλελυμένης ἐστὶν αἱρετώτερος, δημοσίαις μὲν καταδίκαις οὐχ ὑποβάλλεται· τουτέστιν, ὁ τρίγαμος μετὰ τῶν προσκλαιόντων οὐ τάττεται, καὶ θριαμ-



βεύεται δημοσίᾳ ὡς κατάκριτος· ἄλλως δὲ ἐπὶ πέντε ἔτεσιν ἐπιτιμᾶται· ἐν δυσὶν μὲν, ἢ καὶ τρισὶ, τῆς τῶν θείων Γραφῶν ἀκροάσεως ἀξιούμενος, ἐν τοῖς βασιλικοῖς πυλῶσιν ἱστάμενος, ἐν δὲ ἑτέροις δυσὶ μετὰ τῶν πιστῶν συνιστάμενος, καὶ συγκοινωνῶν αὐτοῖς τῶν εὐχῶν, καὶ οὕτως ἀποκαθιστάμενος εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τῶν θείων ἁγιασμάτων.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ Γ΄. ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ.

### Κανὼν ΝΑ΄.

Τὸ κατὰ τοὺς κληρικοὺς, ἀδιορίστως οἱ κανόνες ἐξέθεντο, κελεύσαντες μίαν ἐπὶ τοῖς παραπεσοῦσιν ὁρίζεσθαι τιμωρίαν, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τυγχάνοιεν, εἴτε καὶ ἀχειροθετήτῳ(1) ὑπηρεσίᾳ προσκαρτεροῖεν.

ΖΩΝΑΡ. Πάντας, φησὶ, τοὺς κληρικοὺς, εἴτε χειροθεσίαν ἔχουσιν, εἴτε ἀχειροθέτητοι ὑπηρετοῦσι, παραπεσόντας, ἐκπτώσει κολάζουσιν οἱ κανόνες τοῦ βαθμοῦ, ἢ τῆς ὑπηρεσίας· οὐ γὰρ τοὺς μείζονος ὄντας βαθμοῦ μᾶλλον κολάζει, οἷον πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, τοὺς καὶ χειροθεσίαν ἔχοντας, ἤτοι χειροτονίαν· τοὺς δὲ κατωτέρω, κουφότερον, οὓς καὶ ἀχειροθετήτους ἔφη, ὡς μόνῃ σφραγῖδι γινομένους, καὶ οὐκ ἐπιθέσει χειρῶν· ἀλλὰ πάντες ἐκπτώσει κολάζονται τοῦ βαθμοῦ καὶ τῆς ὑπηρεσίας.

ΒΑΛΣ. Ἐν τῷ λδ΄. κανόνι διωρίσατο ὁ ἅγιος ἀπὸ παντὸς ἁμαρτήματος διὰ μόνης καθαιρέσεως κολάζεσθαι τοὺς κληρικούς. Ἐπεὶ δὲ ἔλεγόν τινες, ἐκείνους λογίζεσθαι κληρικοὺς τοὺς χειροτονίαν ἔχοντας, οὐ μὴν τοὺς διὰ μόνης σφραγῖδος καταστάντας εἰς βαθμοὺς ἐκκλησιαστικοὺς, (τούτους γὰρ ἤθελον πλειόνως κολάζεσθαι,) διωρίσατο ὁ ἅγιος διὰ τοῦ παρόντος κανόνος πάντας τοὺς κληρικοὺς ὁμοίως διὰ μόνης καθαιρέσεως, ἤτοι διὰ ἐκπτώσεως τῆς προσούσης αὐτοῖς ἱερᾶς διακονίας κολάζεσθαι, κἄν τε κεχειροτονημένοι ὦσιν, ὡς οἱ πρεσβύτεροι, οἱ διάκονοι, καὶ οἱ ὑποδιάκονοι, κἄν τε διὰ μόνης σφραγῖδος ἐνέργειαν ἔχωσιν ἱερατικὴν, ὡς οἱ ἀναγνῶσται, οἱ ψάλται, οἱ θεωροὶ, καὶ οἱ ὅμοιοι. Καὶ ταῦτα μὲν περὶ κληρικῶν διὰ χειροτονίας, ἢ διὰ σφραγῖδος καταταχθέντων εἰς βαθμοὺς ἐκκλησιαστικούς. Ἐὰν δέ τις μόνην ἔχων ἐπικουρίδα ἀπὸ ἐπισκόπου, ἢ ἀπὸ ἡγουμένου, ἐμπέσῃ εἰς ἔγκλημα, ἀλλοτρόπως οὗτος τιμωρηθήσεται; Λύσις. Καὶ ὁ τοιοῦτος κληρικός ἐστι, καὶ καταδικασθήσεται ὡς οἱ λοιποὶ κληρικοί· κωλυθήσεται γὰρ ἐνεργεῖν οἱονδήποτοῦν ἔργον, οἷα ἐνεργοῦσιν οἱ ἔχοντες ἐπικουρίδας, οἷον οὐκ εἰσέλθῃ εἰς βῆμα, οὐκ ἀναγνώσει ἐπ' ἄμβωνος, οὐ προκόψει εἰς βαθμοὺς ἱερατικούς. Θαυμάζω δὲ, ὅπως τινὲς καθαιρεθέντες ἐνεργοῦσι χαρτουλαράτα ἐκκλησιαστικὰ, ἅ τινα ἐνεργοῦσι μόνον οἱ ἱερωμένοι. Ὡσαύτως θαυμάζω, πῶς οἱ ἔχοντες μόνας ἐπικουρίδας, καὶ ἁμαρτάνοντες ἐτάζονται, καὶ ἁπλῶς ὡς λαϊκοὶ κολάζονται· εἶδον γὰρ τοῦτο διαφόρως. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐπεὶ καὶ τὰ ἀρχοντίκια διὰ σφραγῖδος δίδονται, καὶ καταχρηστικῶς *(1) βαθμοὶ καὶ ταῦτα εἰσὶν, ἀδικοῦνται οἱ παρὰ ἐπισκόπων ἀκρίτως ἐκ τῶν ὀφφικίων αὐτῶν ἐκβαλλόμενοι, ἢ ἐν ταῖς στάσεσιν αὐτῶν περιϋβριζόμενοι, οὐδὲ ἔχουσιν ἐξουσίαν οἱ ἐπίσκοποι ποιεῖν ἐπ' αὐτοῖς μετὰ τὴν σφραγῖδα, ὅπερ οὐ δύνανται ποιεῖν εἰς τὰ διακονικὰ ἀξιώματα.

ΑΡΙΣΤ. Καὶ κληρικοὶ παραπίπτοντες, τῶν βαθμῶν ἀποπίπτουσιν, εἴτε ὑπηρετοῦσιν, εἴτε κεχειροτόνηνται.

Οἱ ὑπηρέται τῆς ἐκκλησίας, εἴτε ἐν βαθμῷ τυγχάνουσι πρεσβυτέρων, διακόνων, ψαλτῶν, καὶ ἀναγνωστῶν, εἴτε καὶ ἀχειροτόνητοί εἰσιν, ὡς θεωροὶ, κανδυλάπται, καὶ οἱ τὴν φυλακὴν ἐμπεπιστευμένοι τῶν ἁγίων θυρῶν τοῦ θυσιαστηρίου, εἰ παραπέσωσιν εἰς πορνείαν, μίαν τὴν τιμωρίαν ἔχουσι, τὸ ἐκπεσεῖν τῆς ὑπηρεσίας αὐτῶν.

### Κανὼν ΝΒ΄.

Ἡ τοῦ κυήματος κατὰ τὴν ὁδὸν ἀμελήσασα, εἰ μὲν δυναμένη περισώσασθαι κατεφρόνησεν, ἢ συγκαλύψειν ἐντεῦθεν τὴν ἁμαρτίαν νομίζουσα, ἢ καὶ ὅλως θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη, ὡς ἐπὶ φόνῳ κρινέσθω· εἰ δὲ οὐκ ἠδυνήθη περιστεῖλαι, καὶ δι' ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθὲν, συγγνωστὴ ἡ μήτηρ.

---

(1) Ἀπ. Βασιλ. Χ. Τρ. — ἀχειροτονήτῳ, οἱ λοιποί.

(1) Χ. Τρ. — καὶ καταχρηστικῶς, οὐ κεῖται παρὰ Βευερ. Ἐ.

ΖΩΝΑΡ. Περὶ τῆς ἐν ὁδῷ τεκούσης, καὶ ἀμελησάσης τοῦ κυηθέντος, καὶ ἐν λγ'. κανόνι διετάξατο ὁ ἅγιος. Νῦν δὲ σαφέστερον διατάττεται φάσκων, ὅτι, εἰ μὲν δυναμένη περισῶσαι τὸ γεννηθὲν, ἠμέλησεν αὐτοῦ ἐφ' ᾧ συγκαλύψαι τὴν ἁμαρτίαν, ἐκ πορνείας ἴσως, ἢ μοιχείας συλλαβοῦσα, ἢ καὶ ἀπανθρώπως καταφρονήσασα τοῦ τεχθέντος, καὶ θηριωδῶς· ἐχρήσατο δὲ τῇ λέξει, ἀντὶ τοῦ, ὠμῶς καὶ ἀπηνῶς· οὐ γὰρ οὕτω τὰ θηρία ποιοῦσιν, ἀλλὰ τίκτοντα περὶ τοὺς σκύμνους ἐπιμελῶς διατίθενται, καὶ περιέπουσι καὶ τρέφουσι τὰ ἔγγονα, καὶ τούτων προκινδυνεύουσιν. Εἰ μὲν οὖν οὕτω, φησὶ, κατεφρόνησε τοῦ τεχθέντος, ὡς φονεύσασα κατακρινέσθω· εἰ δὲ ἤθελε μὲν περισῶσαι τὸ βρέφος, οὐκ ἠδυνήθη δὲ δι' ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων, ἢ διὰ φόβον ἴσως, συγγνωσθήσεται.

ΒΑΛΣ. Ἐν μὲν λγ'. κανόνι στενώτερον διορισμὸν πεποίηκεν ὁ ἅγιος χάριν τῆς ἐν τῇ ὁδῷ κυησάσης καὶ ἀμελησάσης τοῦ κυήματος· νῦν δὲ πλατύτερον διατάττεται τὰ εἴδη τῆς ἀμελείας, καὶ φησιν, ὅτι, εἰ μὲν ἐκ πορνείας ἢ μοιχείας συλλαβοῦσα κρύφα ἡ κυήσασα, καὶ φοβουμένη τὸν ἔλεγχον ἐσπούδασε διὰ τοῦ φονευθῆναι τὸ γεννηθὲν συγκαλύψαι τὴν ἁμαρτίαν, ἢ καὶ θηριωδῶς, ἤγουν ἀπανθρώπως, ἐχρήσατο τῷ τεχθέντι, τουτέστι κατὰ θῆρας κατεσθίοντας τὰς ἀνθρωπίνους σάρκας, καὶ μὴ φειδομένας αὐτῶν, οὐκ ἠλέησε τοῦτο, ὀφείλει δοῦναι λόγους φονέως. Εἰ δὲ ἤθελε μὲν περισῶσαι τὸ βρέφος, οὐκ ἠδυνήθη δὲ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων, κἀντεῦθεν ἐφθάρη τοῦτο, συγγνώμης ἀξιωθήσεται. Ἐπεὶ δὲ ἐν τῷ λγ'. κανόνι εἴπομεν, ὡς ἡ γεννήσασα καθ' ὁδὸν, καὶ ἀμελῶς ἢ καὶ δολερῶς ἐπὶ τῷ γεννηθέντι διατεθεῖσα, ὡς φονεύσασα κρίνεται, οὐ μόνον ἐὰν διεφθάρη τὸ κυηθὲν, ἀλλὰ καὶ ἐὰν ὑφ' ἑτέρου ἐζωογονήθη, λέγομεν καὶ πάλιν, ὅτι καὶ ἐξ ὧν μὲν ἐκεῖσε ἐγράψαμεν, παρίσταται τοῦτο, οὐχ ἧττον δὲ καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται· ἔνθα μὲν γὰρ καταφρόνησιν ἢ δόλον εἰσάγει ὁ ἅγιος τῆς γυναικὸς, οὐ προστίθησι διαφθορὰν τοῦ γεννηθέντος, ἀλλά φησιν ὡς ἐπὶ φόνῳ κρίνεσθαι τὴν μητέρα, τουτέστι, κἂν μὴ φονευθῇ τὸ κυηθὲν, κατακρίνεσθαι δὲ ταύτην διὰ τὴν κακὴν διάθεσιν· φονευθέντος γὰρ τοῦ παιδίου κατὰ δόλον ἢ ῥᾳθυμίαν ἐκείνης, ἀμάχως ὤφειλεν ὡς φονεύτρια καταδικάζεσθαι· ὅταν



δὲ οὔτε δόλον, οὔτε ἀμέλειαν προβῆναι τῆς μητρὸς φησὶ, κἀντεῦθεν ταύτην συγγινώσκεσθαι, προστίθησι διαφθαρῆναι τὸ γεννηθὲν ἀπὸ ἐρημίας ἢ ἀπορίας τῶν ἀναγκαίων· εἰ γὰρ ἔζη καὶ οὐδὲ ἀμέλεια προέβη τῆς μητρὸς, πῶς ἄν τις εἴποι ταύτην εὐθύνεσθαι; Τὸ δὲ θηριωδῶς διατεθῆναι τὴν μητέρα, ἐκλαβοῦ κατὰ τὴν παροῦσαν ἑρμηνείαν, καὶ μὴ, ὥς τινες εἶπον, κατὰ τὴν μητροκομίαν τῶν θηρίων. Τὰ γὰρ πλείω τῶν θηρίων τοὺς σκύμνους αὐτῶν ἐπιμελῶς περιέπουσι καὶ τρέφουσι, καὶ αὐτῶν προκινδυνεύουσι, καὶ οὐ χρὴ τούτοις παραλληλίζεσθαι τὰς δολερὰς καὶ ῥαθύμους μητέρας. Αὐτίκα ἡ λέαινα τοσοῦτον κήδεται τῶν σκύμνων αὐτῆς, ὡς τοῦ φωλεοῦ ἐξιοῦσα τὰ ἴχνη τῶν ποδῶν αὐτῆς διὰ τοῦ οὐραίου συγχέουσα, οὐ παραχωρεῖ ἐξιχνιασθῆναι τὸν φωλεὸν αὐτῆς ὑπὸ θηρευτοῦ, καὶ ἀναιρεθῆναι τὰ ἔγγονα.

ΑΡΙΣΤ. Ἡ ἀμελήσασα τοῦ κυήματος δι' ἐρημίαν, ἢ ἀπορίαν τῶν ἐπιτηδείων, ἀνεύθυνος.

## Κανὼν ΝΓ'.

**Ἡ χήρα δούλη, τάχα οὐ μέγα ἔπταισεν ἑλομένη δεύτερον γάμον ἐν σχήματι ἁρπαγῆς· ὥστε, οὐδὲν τούτου ἕνεκεν ἐγκαλεῖσθαι χρή· οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαίρεσις. Δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένει αὐτῇ ἐπιτίμιον.**

ΖΩΝΑΡ. Δούλη χηρεύσασα ἡρπάγη δῆθεν παρά τινος, ἡ δὲ ἑκοῦσα ἑαυτὴν ἐπέδωκε τῷ ἁρπάσαντι, καὶ συνῴκησεν αὐτῷ νομίμως. Λέγει οὖν ὁ μέγας οὗτος Πατὴρ, ὅτι δεύτερον εἵλετο γάμον ἡ τοιαύτη σχηματισαμένη τὴν ἁρπαγήν· καὶ τὴν ἁρπαγὴν δὲ διὰ τὸν γάμον ἐσχηματίσατο· κρίνομεν δὲ οὐ τὴν ὑπόκρισιν, ἀλλὰ τὴν προαίρεσιν. Οὐ γὰρ ἵνα ἁπλῶς μίξεως ἀπολαύσῃ πορνικῆς τῷ ἀνδρὶ συνῆλθεν, ἀλλ' ἐπὶ γάμῳ, καὶ λοιπὸν οὐ χρὴ ἐγκαλεῖσθαι αὐτὴν ὡς πορνεύσασαν· τὸ δὲ τῆς διγαμίας ἐπιτίμιον οὐκ ἐκφεύξεται. Ἐπεὶ δὲ τὴν τοιαύτην δούλην ὠνόμασεν ὁ κανὼν, νομιστέον ὅτι ὁ δεσπότης αὐτῆς μετὰ τὴν ἁρπαγὴν τὴν ἐσχηματισμένην, ἐπένευσε τῷ γάμῳ· εἰ γὰρ μὴ τοῦτο,

πορνεία ἐστὶ τὸ γενόμενον κατὰ τὸν μ'. κανόνα τοῦ ἁγίου τούτου Πατρός.

ΒΑΛΣ. Ἡ δούλη, φησὶν ὁ ἅγιος, ἡ χηρεύσασα, καὶ θέλουσα μὲν δευτερογαμῆσαι, ἴσως δὲ συστελλομένη τοῦτο ποιῆσαι διὰ τὴν ἀπὸ τῶν οἰκείων παίδων, ἢ καὶ τῶν ἐκ τοῦ πρώτου συνοικεσίου συγγενῶν κατάγνωσιν, καὶ σχηματιζομένη διὰ τοῦτο ἁρπαγῆναι παρὰ τοῦ μελλοζύγου, ἀκαταιτίατός ἐστι, διότι οὐκ ἀληθὴς γέγονεν ἡ ἁρπαγὴ, ἀλλ' ἐσχηματισμένη διὰ πρόφασιν δευτερογαμίας· δίκαιον δέ ἐστι μὴ κατακρίνεσθαί τινα ἀπὸ σχήματος καὶ ὑποκρίσεως, ἀλλ' ἀπὸ διαθέσεως καὶ προαιρέσεως· ὥστε, εἰ μὴ ὑπέκειτο ὁ λόγος τῆς δευτερογαμίας, ἀλλὰ διὰ πορνείαν ἁρπαγῆναι ἐσχηματίσατο, ὡς πορνεύσασα ἵνα ἐκολάσθη. Τὴν δὲ χήραν μὴ εἴπῃς εἶναι καὶ δούλην, ἀλλὰ δούλην μὲν εἶναί ποτε, ἀρτίως δὲ ἐλευθέραν· αὕτη γὰρ δύναται πρῶτόν τε καὶ δεύτερον συναλλάττειν γάμον, οὐ μὴν ἡ δούλη ἡ ἀνεπίγνωστος τῷ νόμῳ καὶ τοῖς νομίμοις συναλλάγμασιν. Ἐπεὶ δέ τινες ἐκλαβόμενοι τὸν κανόνα εἰς δούλην, εἶπον, ὅτι μετὰ τὴν ἐσχηματισμένην ἁρπαγὴν ἐπένευσε τῷ δευτέρῳ γάμῳ ὁ δεσπότης, καὶ οὕτω τάχα ἐνόμισαν τὴν πορνείαν διαφυγεῖν, ὡς κυρωθέντος τοῦ γάμου διὰ τῆς συναινέσεως τοῦ δεσπότου, ἀκουσάτωσαν, ὅτι, ἐπεὶ πρῶτος γέγονε γάμος τῆς δούλης μετὰ ἐλευθέρου, ἐξ ἀνάγκης δὲ τηνικαῦτα καὶ συναίνεσις τοῦ δεσπότου παρηκολούθησε, περιττὸν, μᾶλλον δὲ ἀνένδεκτόν ἐστι τὸ θεματισθῆναι κατὰ τὸν καιρὸν τῆς ἐσχηματισμένης ἁρπαγῆς εἶναι αὐτὴν δούλην· ἀπὸ γὰρ τοῦ πρώτου γάμου, κατὰ συναίνεσιν τοῦ δεσπότου γενομένου, ἠλευθερώθη σιωπηρῶς ἡ δούλη, καὶ οὐκ ἐδέετο συναινέσεως τοῦ ποτε δεσπότου ἐπὶ δευτερογαμίᾳ. Ἐρωτήσει δέ τις, ὡς τῶν νόμων καὶ τῶν κανόνων, καθὼς διαφόρως εἴρηται, μὴ παραχωρούντων τοὺς ἅρπαγας νομίμως συνάπτεσθαι ταῖς ἁρπαγείσαις, κἂν κατὰ θέλησιν τῶν ἁρπαγεισῶν ἡ ἁρπαγὴ γέγονε, πῶς ὁ παρὼν κανὼν φησιν ἀπὸ τῆς ἐσχηματισμένης ἁρπαγῆς μὴ ἐμποδίζεσθαι τὴν δευτερογαμίαν; Λύσις. Ἐνταῦθα οὐ γέγονεν ἁρπαγὴ παρὰ τοῦ ἀνδρὸς, οὐδέ τις πρᾶξις τὴν ἁρπαγὴν συγκροτοῦσα, ἀλλὰ ἡ γυνὴ θέλουσα τὴν δευτερογαμίαν, ἐσχηματίσατο τὴν ἁρπαγὴν διὰ τὰς ἄνωθεν



ῥηθείσας αἰτίας· εἰ γὰρ ὅλως γέγονεν ἁρπαγὴ, οὔτε γάμος ἵνα συνέστη μέσον αὐτῶν· ἀλλὰ καὶ τοῖς περὶ τῶν ἁρπαζόντων καὶ πορνευόντων ἐπιτιμίοις ἵνα ὑπέπεσον.

ΑΡΙΣΤ. Οὐ μέγα πταῖσμα τῇ χήρᾳ δούλῃ, πρὸς δεύτερον γάμον ἁρπαζομένῃ· τὸ δὲ τῆς διγαμίας ἐπιτίμιον ἕξει.

Ἐπειδὴ αἱ δοῦλαι ἄνευ γνώμης τῶν δεσποτῶν αὐτῶν συναλλάσσειν γάμον οὐ δύνανται, κατὰ τοῦτο οὐ δοκεῖ μέγα πταῖσαι ἡ δούλη σχηματισαμένη ὑπό τινος ἁρπαγεῖσα, τὸν πρὸς αὐτὸν ἑλομένη γάμον. Λοιπὸν οὐδὲ τὰ περὶ τῆς ἁρπαγῆς τῶν ἐλευθέρων γυναικῶν ἐπ' αὐτῆς χώραν ἕξουσι, διότι κἂν ἐσχηματίσατο ἁρπαγῆναι, ἀλλὰ κατὰ θέλησιν αὐτῆς ἠκολούθησε· καὶ οἱ κανόνες, οὐ τὰ σχήματα, ἀλλὰ τὴν προαίρεσιν κρίνουσιν. Ἔσται οὖν ὁ πρὸς αὐτὴν γάμος, ἐὰν καὶ ὁ δεσπότης αὐτῆς συναινῇ, βέβαιος· τὸ δὲ τῶν διγάμων ἐπιτίμιον ἐπιγνώσεται.

## Κανὼν ΝΔ'.

**Τὰς τῶν ἀκουσίων φόνων διαφορὰς πρὸ χρόνων οἶδα, ἐπιστείλας τῇ Θεοσεβείᾳ σου, κατὰ τὸ ἐμοὶ δυνατὸν, καὶ πλέον ἐκείνων οὐδὲν εἰπεῖν δύναμαι· τῆς δὲ σῆς συνέσεώς ἐστι κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως ἐπιτείνειν τὰ ἐπιτίμια, ἢ καὶ ὑφεῖναι.**

---

ΖΩΝΑΡ. Ἐν ὀγδόῳ κανόνι προέγραψε περὶ ἀκουσίων φόνων, καὶ πλέον ἐκείνων λέγει μὴ ἔχειν εἰπεῖν· ἐφίησι δὲ τῷ οἰκονομοῦντι τὸν ἁμαρτήσαντα τὸν ἀκούσιον φόνον, καὶ αὔξειν τὸ ἐπιτίμιον, ἢ ἐλαττοῦν, κατὰ τὸ τῆς περιστάσεως ἰδίωμα, ἤγουν κατὰ τὸν τρόπον καὶ τὴν αἰτίαν τοῦ φόνου, καὶ κατὰ τὴν ποιότητα τῆς μετανοίας τοῦ φονεύσαντος.

ΒΑΛΣ. Καὶ πάλιν ἠρωτήθη ὁ ἅγιος, πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ ἀκουσίως φόνους ἐργασάμενοι, καὶ ἀπελογήσατο, ὅτι πλέον ὧν εἶπον ἐν τῷ η'. κανόνι περὶ ἀκουσίων φόνων εἰπεῖν οὐ δύναμαι. Ἐνέδωκε δὲ τῷ οἰκονομοῦντι τὸν ἁμαρτήσαντα τὸν ἀκούσιον φόνον, ἢ αὔξειν τὸ ἐπιτίμιον, ἢ ἐλαττοῦν κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ἤγουν κατὰ τὸν τρόπον καὶ τὴν αἰτίαν

τοῦ φόνου, καὶ κατὰ τὴν ποιότητα τοῦ φονεύσαντος προσώπου, καὶ τὴν διάθεσιν. Ὅτι δὲ πολυτρόπως, ἤγουν, ποτὲ μὲν βαρέως, ποτὲ δὲ ἐλαφρῶς κολάζονται οἱ ἀκούσιοι φόνοι, δῆλόν ἐστι καὶ ἀπὸ τῶν ὁσημέραι περιπιπτόντων παραπτωμάτων εἰς τὰ βρέφη τὰ ἐν ταῖς ἀγκάλαις πολλάκις τῶν μητέρων ἀποθνήσκοντα. Εἰ μὲν γὰρ ἀπὸ μέθης βαρέως ὑπνώσασα ἡ μήτηρ, καὶ τὸ βρέφος ἀτημέλητον καταλείψασα, ἔδωκε τὴν αἰτίαν τοῦ φόνου, πικρῶς ἐπιτιμηθήσεται· εἰ δὲ ἀπὸ κοπηρᾶς ἐνεργείας βιωτικῆς βαθέως ὕπνωσε, καὶ τῷ βρεφυλλίῳ ἐπιθανάτιον ὕπνον ἐπώρεξε, κουφότερον ἐπιτιμηθήσεται. Ἐγὼ δὲ εἶδον γυναῖκα πλουσίαν καὶ τρυφερὰν βαρέως ἐπιτιμηθεῖσαν, ὅτι δι' ἑαυτῆς καὶ οὐ διὰ τιτθῶν τὸ ὑπομάζιον ἔτρεφε, καὶ ἐξ ἀπειρίας ἀπροσέκτως τὸ βρέφος θηλάζουσα ἀντὶ γάλακτος θανάσιον κόνδυ τούτῳ ἐπότισεν (1).

ΑΡΙΣΤ. Τῶν φονευόντων τὰ ἐπιτίμια, κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως ἐπιτείνεται, καὶ ὑφίεται.

Ὡρισμένα μὲν ἐπὶ τῶν ἑκουσίων φόνων καὶ ἐπὶ τῶν ἀκουσίων τὰ ἐπιτίμια ὁ μέγας οὗτος τῆς ἐκκλησίας διδάσκαλος ἔθετο· τὸ δὲ ταῦτα ἐπιτείνειν ἢ ἐλαττοῦν πρὸς τὴν παρεμπίπτουσαν ἀνάγκην, εἰς τὴν γνώμην ἀνέθετο τοῦ δεσμεῖν καὶ λύειν τὴν ἐξουσίαν λαβόντος.

## Κανὼν ΝΕ'.

**Οἱ τοῖς λησταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες τῆς ἐκκλησίας (2) εἴργονται τῆς κοινωνίας τοῦ ἀγαθοῦ· κληρικοὶ δὲ ὄντες, τοῦ βαθμοῦ καθαιροῦνται· Πᾶς γάρ, φησίν, ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται (3).**

---

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν φορτικός ἐστιν, ἐπίσης τῷ τὸν ἐν πολέμῳ ἀνελόντα εἴργοντι τῆς ἁγίας μεταλήψεως ἐπὶ τριετίαν· οἱ γὰρ λησταῖς ἀντεπεξιόντες, ἢ ἐκείνων ἐπιτιθεμένων

---

(1) παρὰ δὲ Βευηρ. ἀναγινώσκεται ἐν τέλει τὰ ἑξῆς· Σημείωσαι διὰ τὰς ἐξ ἀμελείας ἀποπνιγούσας γυναῖκας τὰ ὑπομάζια αὐτῶν βρέφη. — (2) τῆς ἐκκλησίας οὐ κεῖται ἐν Χ. Γρ. καὶ Ἀπ. Βασιλ. — (3) Ματθ. ΚϚ', 52.



αὐτοῖς ἀνθίστανται ἵνα μὴ ἀποθάνωσι, καὶ κἂν ἀνέλωσι τοὺς λῃστάς, συγγνώμης εἰσὶν ἄξιοι τέως οἱ λαϊκοί· ἢ καὶ ὑπὲρ ἄλλων τὰς ἑαυτῶν τιθέασι ψυχάς, ἵνα τῶν λῃστῶν τοὺς τόπους καθάρωσι, καὶ τοὺς παροδεύοντας κινδύνων ἐλευθερώσωσι· καὶ οὐ μόνον συγγνωστέοι εἰσὶν οἱ τοιοῦτοι, ἀλλὰ καὶ ἐπάθλων ἄξιοι, ὡς διὰ σωτηρίαν ἑτέρων ἑαυτῶν μὴ φεισάμενοι· ταῦτα δὲ περὶ λαϊκῶν.

ΒΑΛΣ. Ἐν μὲν τῷ ιγ'. κανόνι συμβουλευτικῶς διωρίσατο ὁ ἅγιος, τοὺς ἐν πολέμῳ φονεύσαντας ἀπέχεσθαι τῆς κοινωνίας τῶν ἁγιασμάτων δι' ὅλων τριῶν ἐτῶν. Ἐνταῦθα δὲ τοὺς ἀντιστάντας τοῖς λῃσταῖς, καὶ φονεύσαντας αὐτούς, λαϊκοὺς μὲν ὄντας, ἀπείργει ἐκ τῆς ἁγίας μεταλήψεως, κληρικοὺς δέ, καθαιρέσει καθυποβάλλει, καί φησι τοῦτο ὁροθετῆσαι κατὰ τὸ γραφικὸν τὸ λέγον· Πᾶς ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται. Μάχαιραν δὲ καὶ θάνατον ἀποκαλεῖ τὴν καθαίρεσιν καὶ τὴν στέρησιν τῶν ἁγιασμάτων· τοῖς γὰρ εὖ φρονοῦσι, θανατηφόρος τιμωρία ταῦτα λογίζονται. Ὅτι δὲ τὸν ιγ'. κανόνα κατὰ λόγον συμβουλῆς ἐκτεθέντα, εἶπόν τινες μὴ εἶναι ἀναγκαστικόν, καὶ διὰ τοῦτο μηδὲ φυλάττεσθαι, φαμὲν ὡς ἀπὸ τοῦ παρόντος κανόνος ἀπροσδιορίστως ἐπιτιμῶντος τοὺς ἀμυνομένους καὶ φονεύοντας τοὺς λῃστάς, ἀναφαίνεται καὶ τὸν κανόνα ἐκεῖνον ἀναγκαστικὸν εἶναι. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω κολάζει τούτους· τὸ δὲ δεύτερον θέμα τοῦ ιδ'. κεφ. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου φησὶν οὕτω ῥητῶς· Τὸν λῃστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Κωνσταντίνου τοῦ Χλιαρηνοῦ, προσελθόντων τινῶν στρατιωτῶν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ Ἐκκλησίᾳ, καὶ διηγησαμένων ἐντυχεῖν ἐνόπλοις λῃσταῖς εἰς τὴν κλεισούραν τοῦ ἁγίου Βασιλείου, καὶ φονεῦσαι αὐτούς, καὶ ζητησάντων τὸ ποιητέον μαθεῖν, γέγονε λόγος συνοδικῶς, εἰ ὀφείλουσιν ἀδιαστίκτως πάντες οἱ φονεύοντες λῃστὰς ἐπιτιμᾶσθαι· καὶ εἶπόν τινες, ὡς, εἰ μὲν δυνάμενός τις τὴν ἐπιβουλὴν τοῦ λῃστοῦ διαφυγεῖν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἐκ μελέτης αὐτὸν ἐφόνευσεν, οὐχὶ κατὰ τὸν παρόντα κανόνα ἐπιτιμηθήσεται, ἀλλ' ὡς φονεὺς ἐπὶ πλέον τιμωρηθήσεται· τίς γάρ, φασίν, οἶδεν, ἐὰν ὁ μὴ κατ' αὐτοῦ ἐπιὼν λῃστής, προνοίᾳ Θεοῦ ἐπιζήσας, ἀπέστη τῆς λῃστείας,

καὶ τῷ Κυρίῳ προσεκολλήθη; Ἐχρῶντο δὲ καὶ τῷ παλαιῷ τοῦ καταςρωθέντος ἄνωθεν νόμου λέγοντι, Τουτέςιν, εἰ μὴ ἠδύνατο φυγεῖν ἀσφαλῶς, οὐκ ἐγκαλεῖται. Εἰ δὲ ὁ λῃςὴς μᾶλλον προέτεινε χεῖρα φονεύτριαν κατὰ τοῦ φονεύσαντος αὐτὸν, γενήσεται εἴ τι ὁ παρὼν κανὼν διορίζεται, ἀλλὰ μὴν καὶ ὁ διαληφθεὶς νόμος. Εἰ δὲ ὁ φονεύσας οὔτε ἐδίωξε τὸν λῃςὴν, οὔτε διωκόμενος ὑπ᾽ ἐκείνου ἀντημύνατο, καὶ ἐφόνευσε τοῦτον, ἀλλὰ διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως ἐμελέτησε καὶ ἐφόνευσεν αὐτὸν, οὔτε νομίμως, οὔτε ἐκκλησιαςικῶς τιμωρηθήσεται· ὁ τοιοῦτος γὰρ, φασὶ, καὶ ἐπάθλων ἄξιός ἐστιν, ὡς πολλῶν ψυχὰς ἐκ θανάτου ῥυσάμενος, καὶ ἐξημερώσας τὸν τόπον τὸν ὡσεὶ ἀκάνθαις καὶ τριβόλοις ταῖς τοῦ λῃστοῦ ἐνέδραις συμπνιγόμενον. Κατεσκεύαζον δὲ τοῦτο καὶ ἀπὸ τοῦ νόμου τοῦ κειμένου εἰς τὸν ά. τίτλον τοῦ ή. βιβλίου, καὶ διοριζομένου, μὴ ἀτιμοῦσθαι τὸν χάριν ἐπιδείξεως ἀνδρείας θηριομαχήσαντα, καὶ τὸν λαβόντα μισθὸν ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου βλάπτον τὴν ἐπαρχίαν. Ἤρεσε δὲ τῇ συνόδῳ, ὅσον τέως κατὰ τοὺς νόμους τῆς ἐκκλησίας τοὺς ἀμυνομένους τοῖς λῃσταῖς, καὶ τοὺς διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως φονεύσαντας λῃστὰς ἐπιτιμᾶσθαι καθὼς ἐπιτιμῶνται καὶ οἱ ἐν πολέμῳ φονεύσαντες· τὸν δὲ φονεύσαντα λῃστὴν, ὁπόταν τὴν ἀπὸ τούτου λῃστείαν ἠδύνατο διαφυγεῖν, ἐπὶ πλέον ἐπιτιμᾶσθαι· κατὰ μέντοι τὰ νόμιμα δίκαια ἡ ἀνωτέρω ῥηθεῖσα διαίρεσις οὐκ ἀπεπέμπετο. Καὶ ταῦτα μὲν περὶ τῶν λαϊκῶν. Οἱ γὰρ κληρικοὶ ὁπωσδήποτε φονεύοντες καθαιροῦνται, μηδεμιᾶς διαφορᾶς οὔσης πολεμίων, ἢ λῃστῶν, ἢ ἑτέρων τινῶν· καὶ ἀνάγνωθι τὸ κατὰ τὴν ιέ. τοῦ Μαΐου μηνὸς τῆς τρίτης Ἰνδικτιῶνος γεγονὸς συνοδικὸν σημείωμα ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Κωνσταντίνου τοῦ Χλιαρηνοῦ, καταστρωθὲν εἰς τὸ τέλος τοῦ παρόντος βιβλίου, καὶ ταῦτα πάντα διαλαμβάνον· ἀνάγνωθι καὶ τὸ κγ΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες τῆς κοινωνίας, εἴργονται τοῦ ἀγαθοῦ· κληρικοὶ δὲ, τοῦ βαθμοῦ καθαιροῦνται.

Ἐπειδὴ, κατὰ τὴν Κυριακὴν φωνὴν, Πᾶς ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται, καὶ οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, καὶ



τούτους φονεύοντες, ὑπὸ ἐπιτίμησιν ἔσονται· καὶ λαϊκοὶ μὲν ὄντες, τῶν θείων ἁγιασμάτων οὐ μεθέξουσι, κληρικοὶ δὲ ὄντες, καθαιρεθήσονται.

## Κανὼν Νς΄.

Ὁ ἑκουσίως φονεύσας, καὶ μετὰ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτη ἀκοινώνητος ἔςαι τοῦ ἁγιάσματος(1)· τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ᾽ αὐτῷ· ἐν τέσσαρσιν ἔτεσι προσκλαίειν ὀφείλει, ἔξω τῆς θύρας ἑςὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν· μετὰ δὲ τὰ τέσσαρα ἔτη εἰς τοὺς ἀκροωμένους δεχθήσεται· ἐν πέντε ἔτεσι μετ᾽ αὐτῶν ἐξελεύσεται· ἐν δὲ ἑπτὰ ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχόμενος ἐξελεύσεται· ἐν τέσσαρσι συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται· πληρωθέντων δὲ τούτων μεθέξει τῶν ἁγιασμάτων.

---

## Κανὼν ΝΖ΄.

Ὁ ἀκουσίως φονεύσας, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔςαι τῶν ἁγιασμάτων· οἰκονομηθήσεται δὲ τὰ δέκα ἔτη ἐπ᾽ αὐτῷ οὕτω· δύο μὲν ἔτη προσκλαύσει, τρία δὲ ἔτη ἐν ἀκροωμένοις διατελέσει· ἐν τέσσαρσιν ὑποπίπτων, καὶ ἐν ἐνιαυτῷ συσταθήσεται (2) μόνον, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

---

ΖΩΝΑΡ. Ἐν εἴκοσιν ἐνιαυτοῖς τὸν ἑκουσίως φονεύσαντα, καὶ εἰς μετάνοιαν ἐλθόντα ἀφορίζει οὗτος ὁ ἅγιος· ἐν δέκα δὲ τὸν ἀκουσίως ἀνελόντα· καὶ ἑξῆς ἐπ᾽ ἀμφοτέροις ἑκάστῳ τόπῳ ἐπιτιμίου ὁρίζει καιρὸν ἰδιαίτατον.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὑποτυποῦσιν, ὅπως ὀφείλου-

(1) τῶν ἁγιασμάτων Χ. Τρ. — τοῖς ἁγιάσμασι Ἀπ. Βασιλ. — (2) σταθήσεται Βευηρ. Χ.Τρ. Ἐ.

σιν ἐπιτιμᾶσθαι οἱ ποιήσαντες ἑκουσίους φόνους καὶ ἀκουσίους· ὁρίζουσι δὲ καὶ τοὺς τρόπους τῶν ἐπιτιμίων.

ΑΡΙΣΤ. Κανὼν νς'. Ὁ ἑκούσιος φονευτὴς εἰκοσαετίαν ὑποπιπτέτω· ὁ ἀκούσιος, δεκαετίαν· ὁ μοιχὸς, πεντεκαιδεκαετίαν· ὁ πόρνος, ἑπταετίαν· αἱ παραπίπτουσαι μετὰ τὴν ὁμολογίαν παρθένοι, πεντεκαιδεκαετίαν.

Ὁ ἑκουσίως φονεύσας, μετὰ δὲ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτεσιν ἀκοινώνητός ἐστι τοῦ ἁγιάσματος· τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ' αὐτῷ· ἐν τέσσαρσιν ἔτεσιν ὀφείλει προσκλαίειν ἔξω τῆς θύρας ἑστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν· μετὰ δὲ ταῦτα τὰ τέσσαρα ἔτη, εἰς τοὺς ἀκροωμένους δεχθήσεται, καὶ ἐν πέντε ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται· ἐν ἑπτὰ ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχομένων ἐξελεύσεται· ἐν τέσσαρσι συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται· πληρουμένων δὲ τούτων, μεθέξει τῶν ἁγιασμάτων.

ΑΡΙΣΤ. Κανὼν νζ'. Ὁ ἀκουσίως φονεύσας, δέκα ἔτη ἀκοινώνητος ἔσται· ἤγουν δύο προσκλαίων, τρία ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἑνὶ συνεστὼς, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχόμενος. Σαφής.

## Κανὼν ΝΗ'.

Ὁ μοιχεύσας, ἐν ιε'. ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· οἰκονομηθήσεται δὲ τὰ ιε'. ἔτη ἐπ' αὐτῷ οὕτως· ἐν τέσσαρσι μὲν ἔτεσι προσκλαίων ἔσται· ἐν πέντε δὲ ἀκροώμενος· ἐν τέσσαρσιν ὑποπίπτων· ἐν δυσὶ συνεστὼς ἄνευ κοινωνίας.

---

## Κανὼν ΝΘ'.

Ὁ πόρνος, ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· δύο προσκλαίων, καὶ δύο ἀκροώμενος· καὶ δύο ὑποπίπτων, καὶ ἐν ἑνὶ συνεστὼς μόνον· τῷ ὀγδόῳ δὲ δεχθήσεται εἰς τὴν κοινωνίαν.

---



ΖΩΝΑΡ. Ἐν τῷ κβ'. κανόνι ὁ ἅγιος οὗτος περὶ τῶν ἐξ ἁρπαγῆς φθειράντων γυναῖκας διαταττόμενος, καὶ προϊὼν λέγει· Ἔστι δὲ ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη· χρὴ δὲ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτὸν τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν, τῷ τρίτῳ εἰς μετάνοιαν, τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχόμενον τῆς προσφορᾶς· εἶτα αὐτῷ ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἀγαθοῦ· ἐνταῦθα δὲ ἑπταετίαν ὁρίζει τῆς πορνείας τὸ ἐπιτίμιον. Ἔοικεν οὖν ὁ αὐτὸς ἑαυτῷ ἐναντιοῦσθαι, ἀλλ' οὐκ οἶμαι. Τὴν μὲν γὰρ τετραετίαν ὡς διαταγὴν τῶν πρὸ αὐτοῦ εἰσήνεγκε· καὶ τοῦτο δηλοῦται ἐκ τοῦ εἰπεῖν· Ἔστιν ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη, ἤγουν παρὰ τῶν πρὸ ἡμῶν διατεταγμένη· τὴν δὲ ἑπταετίαν, ὡς οἰκείαν γνώμην εἰσήγαγε, βαρύτερον κολάζων τὴν πορνείαν, ὡς καὶ ἄλλα τῶν ἁμαρτημάτων πολλά.

ΒΑΛΣ. Εἰ καὶ σαφέστατά εἰσι τὰ ἐν τοῖς παροῦσι δυσὶ κανόσι διορισθέντα κατὰ τὴν φράσιν, ἀλλὰ κατὰ τὴν πρᾶξιν πάντη δυσχερέστατα εἰσίν· οὐδεὶς γὰρ κατὰ τὴν τούτων περίληψιν θεραπεύεται· καὶ εἰ μὴ τὸ ἄφατον ἔλεος τοῦ φιλανθρώπου Θεοῦ, ἀπώλετο ἂν πᾶσα σάρξ. Μὴ ἐναντιωθῇ δέ σοι ὁ κβ'. κανὼν τοῦ ἁγίου Πατρὸς, λέγοντος, τοὺς ἐξ ἁρπαγῆς φθείροντας γυναῖκας ἐπὶ τετραετίαν ἐπιτιμᾶσθαι· ἐκεῖσε μὲν γὰρ ὁ ἅγιος τῶν πρὸ αὐτοῦ Πατέρων ἐδήλωσε τὴν διαταγήν· ἀρτίως δὲ τὴν οἰκείαν γνώμην ἐξήνεγκεν.

ΑΡΙΣΤ. Κανὼν νη'. Ὁ μοιχεύσας δεκαπέντε ἔτη οὐ κοινωνήσει· τέσσαρα προσκλαίων, πέντε ἀκροώμενος, τέσσαρα ὑποπίπτων, καὶ δύο συνεστὼς ἄνευ κοινωνίας. Σαφής.

ΑΡΙΣΤ. Κανὼν νθ'. Ὁ πόρνος ἑπτά· δύο προσκλαίων, δύο ἀκροώμενος, δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστὼς, τῷ ὀγδόῳ δεχθήσεται εἰς κοινωνίαν. Σαφής.

## Κανὼν Ξ'.

Ἡ παρθενίαν ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν

τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μοναζόντων ἐπαγγειλαμένων, καὶ ἐκπιπτόντων.

---

ΖΩΝΑΡ. Ἰδοὺ κἀνταῦθα ὁ ἅγιος οὗτος βαρύτερον κατὰ τὸ πολλαπλάσιον κολάζει τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ψευσαμένην τὴν ἐπαγγελίαν. Τοῦ γὰρ ἐννεακαιδεκάτου κανόνος τῆς ἐν Ἀγκύρᾳ συνόδου, οὕτω ῥητῶς περιέχοντος, Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι, ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν, οὗτος, τὸν χρόνον, φησί, τοῦ τῆς μοιχείας ἁμαρτήματος ἐκπληρώσει. Ἔστι δὲ τὸ μὲν τῶν διγάμων ἐπιτίμιον, ἀκοινωνησία ἐπὶ ἐνιαυτόν, τὸ δέ γε τῆς μοιχείας, ἐπὶ ἐνιαυτοὺς πεντεκαίδεκα. Ζήτει κανόνα ιή.

ΒΑΛΣ. Πολλάκις εἴπομεν, ὅτι παρθένοι γυναῖκες ἀνετίθεντο ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος, καὶ ἀνετρέφοντο παρὰ τῶν ἐπισκόπων ὡς ἐπαγγειλάμεναι παρθενεύειν καὶ προσεδρεύειν ταῖς ἐκκλησίαις. Τὴν γοῦν παρθένον ταύτην τὴν ταῦτα ἐπαγγειλαμένην, ἐκπεσοῦσαν, ἤτοι πορνεύσασαν, ὁρίζει ὁ ἅγιος κατὰ τὰς μοιχαλίδας οἰκονομεῖσθαι, ἤτοι ἐπιτιμᾶσθαι· καὶ οὐ μόνον ταύτας, ἀλλὰ καὶ τὰς μοναχάς, καὶ τοὺς μοναχοὺς ὁμοίως μετὰ ἐπιστροφὴν θεραπεύεσθαι. Μὴ ἐναντιωθῇ δέ σοι ὁ ιθ'. κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου, διοριζόμενος τὰς ἐκπεσούσας παρθένους τῷ ἐπιτιμίῳ τῶν διγάμων ὑποκεῖσθαι· ἀνῃρέθη γὰρ ἀπὸ τοῦ παρόντος κανόνος μεταγενεστέρου ὄντος κατὰ πολύ. Ἀνάγνωθι καὶ τὸν ιή. κανόνα τοῦ παρόντος ἁγίου Πατρός· καὶ σημείωσαι, ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οἱ πορνεύοντες μοναχοὶ καὶ μὴ καθαιρούμενοι, ὡς μὴ ἔχοντες σφραγῖδα ἀναγνώστου ἀπὸ τοῦ ἡγουμένου αὐτῶν, ἢ χειροτονίαν ἐπισκοπικήν, μετὰ ἀπόστασιν δεχόμενοι, κατὰ τοὺς μοιχοὺς ἐπιτιμῶνται· ὡσαύτως καὶ αἱ ἀσκήτριαι, καὶ αἱ μοναχαί. Ἀνάγνωθι καὶ τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος κεφ. έ. ή. καὶ θ'.

ΑΡΙΣΤ. Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα, τὸν χρόνον τοῦ μοιχεύσαντος πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν μονάζειν ἐπαγγειλαμένων, καὶ ἐκπεσόντων. Σαφής.



## Κανὼν ΞΑ'.

Ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσει ἑαυτοῦ, ἐνιαυτὸν κωλυθήσεται μόνης τῆς κοινωνίας τῶν ἁγιασμάτων· εἰ δὲ ἐλεγχθείη, ἐν δυσὶν ἔτεσι· μεριμσθήσεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν, καὶ σύστασιν, καὶ τότε ἀξιούσθω τῆς κοινωνίας.

---

ΖΩΝΑΡ. Ὁ μὲν ἐξομολογούμενος ἀγνοουμένην κλοπήν, ἐνιαυτὸν τῆς τῶν ἁγίων δώρων κοινωνίας κωλύεται μόνης· ὁ δὲ ἐλεγχθείς, ἢ ἁλοὺς κλέπτων, ἐπὶ διετίαν ἐπιτιμᾶται· οὔτε δὲ ἐν προσκλαίοντος τόπῳ, οὔτε ἐν ἀκροωμένου σταθήσεται, ἀλλ' ἐν τῷ τοῦ ὑποπίπτοντος, καὶ συνεστῶτος, καὶ ἐν τούτοις τοῖς δυσὶ τόποις ἡ διετία αὐτῷ μερισθήσεται· καὶ οὕτω τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιωθήσεται.

ΒΑΛΣ. Οἱ θεῖοι κανόνες μετριώτερον κολάζουσι τοὺς ἐξομολογουμένους τὰ οἰκεῖα ἁμαρτήματα· διὸ καὶ ὁ μέγας Βασίλειος, τὸν μὲν ἐξομολογησάμενον ἣν ἐποιήσατο κλοπήν, διορίζεται μόνης κωλύεσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἐφ' ἕνα ἐνιαυτόν, τὸν δὲ κατακριθέντα ὡς κλέπτην, ἢ ἁλόντα ἐπὶ κλοπῇ, ἐπὶ διετίαν ἐπιτιμᾶσθαι· μήτε δὲ ἐν προσκλαίοντος τόπῳ τοῦτον ἵστασθαι, μήτε ἐν ἀκροωμένου, ἀλλ' ἐν τῷ τοῦ ὑποπίπτοντος, καὶ τῷ τοῦ συνεστῶτος, καὶ μετὰ τὴν τῶν δύο χρόνων παραδρομήν, τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιοῦσθαι. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ τὸν παρόντα κανόνα εὔχου μὴ ἐξακούεσθαι κατὰ τὸν ὁρισμὸν τοῦ κλέπτου τὸν λέγοντα· Κλέπτης ἐστὶν ὁ παρὰ γνώμην τοῦ δεσπότου τὸ ἀλλότριον ψηλαφῶν ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν· οὐδεὶς γὰρ σχεδὸν τῶν ἐν τῷ βίῳ τυρβαζομένων, ὡς ἐμοὶ δοκεῖ, τῶν ἁγιασμάτων ἀξιωθήσεται, εἰ τοῦτο δοθῇ, ὅτι καὶ διακονηταὶ μοναστηρίων, κἂν καὶ εὐλαβέστατοι ὦσι, παρὰ γνώμην τῶν καθηγουμένων αὐτῶν ἀπὸ τῶν διακονιῶν αὐτῶν ἰδιοῦνταί τι μέτριον εἰς ζωάρκειαν, ἢ καὶ πρὸς ἑτέρους μετατιθέασι, καὶ παῖδες ἀπὸ τῶν γονέων ὑποσυλῶσιν· ἐῶ λέγειν ὑπὸ χεῖρα λειξουρίας καὶ λαθραίας ὑποκρατήσεις τῶν ἀνηκόντων τοῖς κυρίοις αὐτῶν· ἴλιγξ γάρ εἰσι ταῦτα κακῶν,

καὶ μεγεθύνουσι τὸ κακόν· ἀλλ' ἐκφωνηθῆναι τὸν κανόνα εἰς τοὺς ἀναιδεῖς κλέπτας. Ἀνάγνωθι καὶ τὸ ξϛ'. κεφ. τοῦ ιϐ'. τίτλου τοῦ ξ'. βιϐλίου, λέγον· Ὁ κλέπτης, εἰ καὶ μεταμεληθεὶς ἀποδῷ τῷ δεσπότῃ τὸ πρᾶγμα, οὐ παύεται εἶναι κλέπτης.

ΑΡΙΣΤ. Ὁ κλέψας, καὶ μεταγνοὺς, ἐνιαυτόν· ἐλεγχθεὶς δὲ, καὶ ἕτερον ἕνα.

Τῷ κλέψαντι, καὶ μὴ ἀφ' ἑαυτοῦ μεταμεληθέντι, καὶ ἣν ἐποιήσατο κλοπὴν ἐξομολογησαμένῳ, ἀλλ' ἐλεγχθέντι ὑπό τινων, τὸ τῆς διετίας ἐπιτίμιον οὕτως αὐτῷ ἐπιμερισθήσεται· ὥστε ἕνα χρόνον μετὰ τῶν ὑποπιπτόντων ἵστασθαι, τὸν δὲ δεύτερον μετὰ τῶν πιστῶν, καὶ συγκοινωνεῖν αὐτοῖς τῶν εὐχῶν· καὶ οὕτω μετὰ τὴν τῆς διετίας παραδρομὴν ἀξιοῦσθαι τῆς κοινωνίας.

## Κανὼν ΞΒ'.

Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄῤῥεσιν ἐπιδεικνύμενος, τὸν χρόνον (1) τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

---

## Κανὼν ΞΓ'.

Ὁ ἐν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν (2) ἐξαγορεύων, τὸν αὐτὸν χρόνον (3) ἐξομολογούμενος παραφυλάξεται (4).

---

ΒΑΛΣ. Κατὰ τοὺς μοιχοὺς, διορίζεται ὁ ἅγιος κολάζεσθαι τοὺς ἀῤῥενοκοίτας καὶ τοὺς ἀλογευομένους, πάντως μετὰ ἀπόστασιν καὶ ἐξομολόγησιν τοῦ κακοῦ· καὶ ἀνάγνωθι περὶ ἀῤῥενοκοίτων καὶ τὸ τελευταῖον κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιϐλίου, λέγον· Οἱ ἀλογευόμενοι, ἤτοι κτηνοβάται, καυλοκοπείσθωσαν.

ΑΡΙΣΤ. Κανὼν ξϐ'. Ὁ ἀρσενοκοίτης, ὡς μοιχός. Σαφής.

ΑΡΙΣΤ. Κανὼν ξγ'. Ὁ ἐν ἀλόγοις τὴν αὐτοῦ ἀσέβειαν ἐξαγορεύων, ὁμοίως. Σαφής.

---

(1) τῷ χρόνῳ Π. — (2) ἀσέλγειαν Χ. Τρ. — (3) τὸν αὐτὸν λόγον Ἑ. Βιυίρ. Σ. Ῥ. — (4) παραφυλάττεται Βιυσρ.

## Κανών ΞΔ'.

Ὁ ἐπίορκος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς μόνον, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος.

---

ΖΩΝΑΡ. Οἱ κανόνες οὗτοι σαφεῖς εἰσιν, ἐξηγήσεως μὴ δεόμενοι.

ΒΑΛΣ. Περὶ ἐπιόρκων ἀνάγνωθι τὸ ιή. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν ἐκείνῳ παρ' ἡμῶν γραφέντα.

ΑΡΙΣΤ. Ὁ ἐπίορκος, δεκαετίαν· δύο προσκλαίων, τρεῖς ἀκροώμενος, τέσσαρας ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος. Σαφής.

## Κανών ΞΕ'.

Ὁ γοητείαν, ἢ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται, οὕτως οἰκονομούμενος, ὡς ὁ ἐν ἐκείνῳ(1) τῷ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

---

ΖΩΝΑΡ. Γοητεία μέν ἐστι τὸ δι' ἐπῳδῶν, καὶ ἐπικλήσεως δαιμόνων ποιῆσαί τινα εἰς βλάβην ἑτέρων· οἷον εἰς πάρεσιν μελῶν, καὶ εἰς χρονίαν ἢ καὶ διὰ βίου ὅλου κατάκλισιν, καὶ εἰς ἕτερα ὅμοια· φαρμακεία δὲ, τὸ διὰ φαρμάκων δηλητηρίων, ἢ τῶν φρενῶν ἐξιστᾶν τινας, ὅπερ καὶ ὁ ὑοσκύαμος δύναται· βοτάνη δ' ἐστὶν οὗτος, ἧς τὸ σπέρμα ὀλέθριον, ἢ ἄλλως βλάπτον. Εἰκότως δὲ κατὰ τοὺς φονεῖς οὗτοι ἐπιτιμῶνται· ὅτι αἱ μὲν γοητεῖαι, καὶ ἐπικλήσεις δαιμόνων ἔχουσιν· αἱ δὲ φαρμακεῖαι ἢ ἀναιροῦσιν, ἢ τῶν φρενῶν ἐξιστῶσι, καὶ εὐκταῖον τὸν θάνατον ποιοῦσι τῷ πάσχοντι, εἴ ποτε ἀνανήψει, εἰ μὴ ἐκείνῳ, ἀλλὰ τοῖς γε προσήκουσι τῷ ἀνθρώπῳ. Φονέως δὲ χρόνον τοῦ ἑκούσιον τολμήσαντος φόνον φησὶν, ἤγουν εἰκοσαετίαν.

ΒΑΛΣ. Γοητεία μέν ἐστι, τὸ δι' ἐπῳδῶν καὶ δι' ἐπικλήσεως δαιμόνων ποιῆσαί τινα πρᾶξιν οἱανδήτινα· φαρμακεία δὲ,

---

(1) Σ. Ρ. Χ. Τρ. — ἐν ἑκάστῳ Βευερ. Π. Ε.

τὸ διὰ φαρμάκων δηλητηρίων συσκευάσαι τι βρώσιμον ἢ πόσιμον, καὶ φαρμακεῦσαι ἄνθρωπον· καὶ ἀνάγνωθι τὸ κ΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· καὶ τὸ κέ. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΑΡΙΣΤ. Ὁ γόης, καὶ ὁ φαρμακὸς, ὡς φονεύων.

Τὸ τοῦ ἑκουσίου φονέως ἐπιτίμιον ἐπιγνώσονται οὗτοι.

## Κανὼν ΞϚ΄.

Ὁ τυμβωρύχος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται(1), ἐν δυσὶ προσκλαίων, ἐν τρισὶν ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς, καὶ τότε δεχθησόμενος.

---

ΖΩΝΑΡ. Τυμβωρύχος ἐστὶν, ὁ τοὺς τάφους ἀνοίγων καὶ συλῶν τὰ τοῖς νεκροῖς συνθαπτόμενα· εἴη δ᾽ ἂν καὶ ὁ τοὺς λίθους τῶν τάφων ἀφαιρούμενος· ζήτει καὶ τοῦ Νύσσης κανόνα ζ΄.

ΒΑΛΣ. Περὶ τυμβωρύχων ἀνάγνωθι τὸ κγ΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ κζ΄. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ὁ τυμβωρύχος, δεκαετίαν, ὡς ὁ ἐπίορκος.

## Κανὼν ΞΖ΄.

Ἡ ἀδελφομιξία (2) τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

---

## Κανὼν ΞΗ΄.

Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύστασις εἰ φωραθείη, ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων γινομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται.

---

ΖΩΝΑΡ. Ἐὰν γάμον τις συστήσηται ἐπὶ συγγενὲς πρόσωπον, πρὸς ὃ ἀπηγόρευται συνιστᾷν γάμον, τῷ τῆς μοιχείας ἐπιτιμίῳ κολασθήσεται, διασπωμένου καὶ τοῦ γάμου.

---

(1) Σ. Ῥ. Ἀπ. Βασιλ. Βευερ. Ἑ. λατινιστί. — ἐν δὲ Χ. Τρ. καὶ Π. ὁ κανὼν λήγει ἐνταῦθα. — (2) ἄνευ τοῦ ἄρθρου, Βευερ. Απ. Βασιλ. Ἑ.



ΒΑΛΣ. Ἀνάγνωθι τὸ κθ΄. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ β΄. κεφ. τοῦ ιγ΄. τίτλου, καὶ βιβλίου ξ΄. τίτλου λζ΄. κεφ. οζ΄. λέγον· Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς τὴν γεγενημένην τοῦ θείου γυναῖκα, ἢ θεῖος εἰς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν· καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δὲ εἰς τὴν ἑρμηνείαν τοῦ β΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος παρεδηλώσαμεν μετὰ τῶν ἄλλων, ὅτι γέγονε μὲν πρόσταγμα βασιλικὸν κωλύον τὸν αὐτὸν καὶ ἕνα δυσὶ δευτέραις ἐξαδέλφαις νομίμως συνάπτεσθαι, οὐκ ἔφθασε δὲ καταστρωθῆναι, ἀλλὰ καὶ ἡ ἐκκλησία κωλύει τὸν τοιοῦτον γάμον, ὀφείλεις εἰδέναι, ὅτι μετὰ τὸ γράψαι ἡμᾶς ταῦτα, γέγονεν εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Θεοδοσίου, κατὰ τὴν λ΄. τοῦ Ἰουλίου μηνὸς τῆς ιβ΄. Ἰνδικτιῶνος, σημείωμα συνοδικὸν ἔχον κατὰ ῥῆμα οὕτως· Ὁ ἱερώτατος μητροπολίτης Ἄπρω, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, Ῥωμανὸς ὁ Ἀρτάβασδος, ἔγγραφον προκομίσας συνοδικῶς τάδε κατὰ ῥῆμα διαλαμβάνον· Κόρη τις Εἰρήνη καλουμένη ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου, δεκαετὴς οὖσα τότε τὴν ἡλικίαν· λαληθείσης δὲ τῆς περὶ τούτου ἀθεμίτου μνηστείας, γέγονε σημείωμα δικαστικὸν ἐπιτρέπον διαζυγῆναι τοὺς τάχα μνηστευσαμένους διὰ τὸ εἶναι τὴν μνηστείαν, ὡς εἴρηται, παράνομον. Βούλεται γοῦν σήμερον ἡ Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ, δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου, καὶ ἐρωτᾷ, εἰ ἔχει τινὰ παρεμποδισμόν· ἠξίωσε τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν ἀδελφότητα μαθεῖν, εἴπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ περὶ οὗ γέγονεν ἡ γραφὴ συνάλλαγμα. Ἤκουσεν οὖν ἐξ αὐτῆς καὶ ἐκ τῆς παρουσιαζούσης τῶν ἀδελφῶν ὁμηγύρεως, ὅτι τὸ τοιοῦτο συνάλλαγμα πανταχόθεν ἀκώλυτον ἐστίν. Ἐπεὶ γὰρ ἡ μετὰ τοῦ Ἰωάννου τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται· οὔτε

γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμὸν (1).

ΑΡΙΣΤ. Κανὼν ξζ'. Ὁ ἀδελφόμικτος, ὡς ὁ φονεύς.

Εἰ μὲν ἀμφιθαλής ἐστιν ἡ ἀδελφὴ ᾗ συνεμίγη ὁ ἀδελφός, ἐκ τοῦ αὐτοῦ πατρὸς, καὶ τῆς αὐτῆς μητρὸς συγγεννηθεῖσα αὐτῷ, ἐπὶ εἰκοσαετίαν, ὡς ὁ ἑκούσιος φονεὺς, ἐπιτιμηθήσεται, μετὰ δὲ τὸ ἀποστῆναι τῆς ἀθεμίτου καὶ παρανόμου πράξεως. Εἰ δὲ ἑτεροθαλής ἐστιν ἡ ἀδελφὴ ἀπὸ μόνου πατρὸς, ἢ ἀπὸ μόνης μητρὸς, ἐπὶ τριετίαν προσκλαύσει, ἐπὶ τριετίαν παραδεχθήσεται εἰς ἀκρόασιν, ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ τῷ δεκάτῳ ἔτει δεχθήσεται μετὰ τῶν πιστῶν, καὶ μετ' αὐτῶν ἕτερα δύο ἔτη συστὰς εἰς εὐχὴν, οὕτως ἔκτοτε τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιωθήσεται, καθὼς ὁ ἑβδομηκοστὸς πέμπτος κανὼν διαλαμβάνει.

ΑΡΙΣΤ. Κανὼν ξή. Ὁ ἀπειρημένος ἐν συγγενείᾳ γάμος, κατὰ μοιχόν.

Ὅστις κεκώλυται λαβεῖν νόμῳ γάμου γυναῖκα διὰ τὴν συγγένειαν, οὗτος, εἰ ἁμαρτήσει εἰς αὐτὴν, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται. Ἐπεὶ δὲ διάφορά εἰσι τὰ ἐπιτίμια τῶν ὑποπιπτόντων τῷ τῆς μοιχείας κρίματι, πρὸς τὴν ἐγγύτητα τῆς συγγενείας δέχεται ταῦτα. Αὐτίκα γὰρ, ὡς ὁ ἑβδομηκοστὸς ἕβδομος κανὼν καὶ ὁ ἑβδομηκοστὸς ὄγδοος διαλαμβάνουσιν, ὁ τὴν νόμιμον αὐτοῦ γυναῖκα καταλιπὼν, καὶ ἑτέραν ἀγόμενος, καὶ ὁ δύο ἀδελφὰς κατὰ διαφόρους καιροὺς λαβὼν εἰς συνοικέσιον, τῷ τῆς μοιχείας ὑπόκεινται κρίματι, ἀλλ' οὐκ ἐπιτιμῶνται ὡς ὁ μοιχεύσας μετὰ ὑπάνδρου ἐπὶ πεντεκαίδεκα ἔτεσιν, ἀλλ' ἐπὶ ἑπταετίαν τῆς κοινωνίας εἴργονται, ἐνιαυτὸν προσκλαίοντες, διετίαν ἐπακροώμενοι, τριετίαν ὑποπίπτοντες, καὶ τῷ ἑβδόμῳ συνιστάμενοι τοῖς πιστοῖς.

---

(1) Ἐν περισελίδῳ τοῦ Χ. Γρ. ἀναγινώσκονται ταῦτα. Σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος συνοδικοῦ σημειώματες ἐξεχωρήθη τὸν αὐτὸν καὶ ἕνα δυσὶ δευτέραις ἐξαδέλφαις συνάπτεσθαι, ὅπερ τέως ἐμοὶ οὐκ ἀρέσκει· καὶ ἀνάγνωθι τὴν γεγονυῖαν διάγνωσιν παρ' ἡμῶν χάριν τοῦ τοιούτου ζητήματος, καταστρωθεῖσαν εἰς τὸ τέλος τοῦ βιβλίου.



## Κανὼν ΞΘ'.

Ἀναγνώστης, εἰ τῇ ἑαυτοῦ μνηστῇ πρὸ τοῦ γάμου συναλλάξειεν, ἐνιαυτὸν ἀργήσας, εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόκοπος· κλεψιγαμήσας δὲ ἄνευ μνηστείας, παυθήσεται τῆς ὑπηρεσίας. Τὸ αὐτὸ καὶ ὑπηρέτης.

---

ΖΩΝΑΡ. Ἐὰν τῇ οἰκείᾳ μνηστῇ ἀναγνώστης μιχθῇ πρὸ τοῦ γάμου κἀκείνης θελούσης, (τοῦτο γὰρ δηλοῖ τὸ, συναλλάξει), ἐνιαυτὸν ἀφορίζεται, εἶτα δέχεται μὴ προβιβαζόμενος εἰς μείζονα βαθμόν. Ἐὰν δὲ ἄνευ μνηστείας συνέλθῃ γυναικὶ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ' αὐτῆς, ὥστε λαβεῖν αὐτὴν εἰς γυναῖκα, κἂν συνεζύγη αὐτῇ μετὰ ταῦτα, ἐκπίπτει τῆς ὑπηρεσίας. Τὸ αὐτὸ δέ φησι καὶ περὶ ὑπηρέτου, ἤγουν ὑποδιακόνου. Πρὸς δὲ τὸ ἓν φάκτον ἀποδοτέον τὸ περὶ τοῦ ὑποδιακόνου, ἤγουν τὸ ἐκπίπτειν αὐτὸν τῆς ὑπηρεσίας κλεψιγαμήσαντα· οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ μετὰ τὴν χειροθεσίαν γυναῖκα μνηστεύεσθαι, καὶ γάμον συναλλάσσειν. Φησὶ γὰρ ὁ τῶν ἁγίων Ἀποστόλων κανὼν κϛ'. ταῦτα· Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας, καὶ ψάλτας μόνον. Εἰ δέ τις κλεψιγαμήσας, μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθήσεται τοῦ βαθμοῦ αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος.

ΒΑΛΣ. Ἀναγνώστου τινὸς συναφθέντος οἰκείᾳ μνηστῇ πρὸ τοῦ γάμου κατὰ θέλησιν καὶ αὐτῆς (τοῦτο γάρ ἐστι τὸ, συναλλάξειεν), ἠρωτήθη ὁ ἅγιος, εἰ ὀφείλει ὁ τοιοῦτος ὡς κλεψιγαμήσας εὐθύνεσθαι μετὰ τὸν γάμον. Ἔλεγον γάρ τινες, ὡς, ἐπεὶ ἡ μνηστεία οὐκ ἔστι γάμος τέλειος, (δύναται γὰρ τὸ λαβὸν μέρος τὸν τὴν μνηστείαν συνιστῶντα ἀρραβῶνα, διδόναι τοῦτον εἰς τὸ διπλοῦν, καὶ τὴν μνηστείαν λύειν,) λογίζεται ὁ ἀναγνώστης μὴ μετὰ νομίμου γαμετῆς μιγῆναι, ἀλλὰ μετὰ ἐλευθέρας, κἀντεῦθεν συναριθμηθῆναι τοῖς κλεψιγαμήσασι. Φησὶν οὖν ὁ ἅγιος, ὡς ὁ ἀναγνώστης οὗτος, ὁ μετὰ τῆς οἰκείας μνηστῆς πρὸ τοῦ γάμου σαρκικῶς ἑνωθεὶς, καθὸ μὲν μετὰ τῆς μεμνηστευμένης αὐτῷ συνεμίγη καὶ οὐχὶ μετὰ ἀλλοτρίας πάντη γυναικὸς, ὡς πορνεύσας οὐ λογισθήσεται· καθὸ δὲ οὐκ ἀνέμεινε καὶ τὴν

τελείου γάμου τελεσιουργίαν, ὡς μικροψυχήσας κολασθήσεται· τουτέστιν ἀφορισθήσεται ἐπὶ ἕνα ἐνιαυτόν· εἶτα δεχθήσεται εἰς τὸ εἶναι μόνον ἀναγνώστην· εἰς μείζονα γὰρ προκοπὴν οὐκ ἀναβιβασθήσεται, τουτέστιν, οὔτε διάκονος γενήσεται, οὔτε ἱερεὺς, πολλῷ δὲ πλέον ἐπίσκοπος. Ἐὰν δὲ, φησὶν, ἀναγνώστης συνέλθῃ μετά τινος γυναικὸς μὴ μνηστευθείσης αὐτῷ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ᾽ αὐτῆς ὥστε λαβεῖν αὐτὴν εἰς γυναῖκα, κἂν μετὰ τὴν ἕνωσιν καὶ εἰς γυναῖκα ταύτην ἔσχεν, οὐ μόνον οὐ προκόψει, ἀλλὰ καὶ ἀπεντεῦθεν καθαιρέσει ὑποβληθήσεται, μὴ ὠφελούμενος ἐκ τοῦ μετὰ ταῦτα λαβεῖν αὐτὴν νόμιμον γαμετήν. Τὸ αὐτὸ δὲ ἔσται καὶ εἰς ὑπηρέτην, ἤτοι εἰς ὑποδιάκονον· καὶ οὗτος γὰρ τοιουτοτρόπως κλεψιγαμήσας καθαιρεθήσεται. Πρὸς δὲ τὸ ἐν φάκτον τὸ περὶ τῆς κλεψιγαμίας ἀπόδος τὸν περὶ τοῦ διακόνου διορισμὸν, μὴ μέντοι γε καὶ εἰς τὸ προκόπτειν τοῦτον μετὰ τὸ μιγῆναι τῇ οἰκείᾳ μνηστῇ, εἴτε καὶ μή· οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ, ὡς καὶ τῷ ἀναγνώστῃ, μετὰ τὴν χειροτονίαν γυναῖκα μνηστεύεσθαι, καὶ γάμον συναλλάττειν, διότι φησὶν ὁ τῶν ἁγίων Ἀποστόλων κϛ'. κανὼν ταῦτα· Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας, καὶ ψάλτας μόνον· εἰ δέ τις κλεψιγαμήσας, μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθείσθω τοῦ βαθμοῦ αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος. Καὶ ταῦτα μὲν οὕτως. Ἰστέον δὲ, ὅτι τὰ περὶ τοῦ τοιούτου κανόνος διαφόρως ἐλαλήθησαν εἰς τὸ συνοδικὸν δικαστήριον, καὶ εἶπόν τινες, ὡς ταῦτα χώραν εἶχον, ὅτε ἡ μνηστεία συναινέσει συνίστατο καὶ ἐλύετο. Ἀρτίως δὲ, ὅτε ἄλλως οὐ συνίσταται οὐδὲ λύεται, εἰ μὴ κατὰ τοὺς τρόπους καὶ τὰς αἰτίας καθ᾽ ἃς καὶ ὁ τέλειος γάμος συνίσταται καὶ λύεται, ταῦτα πάντα ἀπρακτοῦσιν· ὅθεν οὐδὲ ἐφεῖταί τινι τῶν τοῦ βήματος θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ ἐκ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου, ἑτέρᾳ συνάπτεσθαι γυναικὶ, καὶ τὸν τοῦτο ποιήσαντα ὡς δευτερογαμήσαντα καθαιρεῖσθαι· ὡσαύτως καὶ τὸν ἐμπεσόντα εἰς τοιοῦτόν τι ἀναγνώστην μὴ προκόπτειν εἰς ἕτερον βαθμόν. Ἤθελον δὲ καὶ τὸν μιγέντα σήμερον μετὰ τῆς οἰκείας μνηστῆς, ἀνεπιτίμητον πάντῃ συντηρεῖσθαι, διὰ τὸ ἄλυτον τῆς μνηστείας. Τοῦ δὲ σεβαστοῦ ἐκείνου καὶ μεγάλου Δρουγγαρίου



κυροῦ Στεφάνου τοῦ Κομνηνοῦ μέλλοντος συζευχθῆναι τῇ κυρίᾳ Εὐδοκίᾳ, τῇ θυγατρὶ τοῦ σεβαστοῦ ἐκείνου καὶ μεγάλου Δομεστίκου κυροῦ Ἰωάννου, καὶ κωλυομένου διὰ τὸ τὴν αὐταδέλφην ταύτης κυρίαν Εἰρήνην μνηστευθῆναι τῷ σεβαστῷ ἐκείνῳ κυρῷ Ἀλεξίῳ τῷ υἱῷ τοῦ πρωτοσεβάστου ἐκείνου κυροῦ Ἰωάννου τοῦ υἱοῦ τοῦ ἀοιδίμου σεβαστοκράτορος, τῷ ὄντι πρώτῳ ἐξαδέλφῳ τοῦ μεγάλου Δρουγγαρίου, καὶ ἀδύνατον εἶναι δύο πρώτους ἐξαδέλφους δυσὶν ἀδελφαῖς συνάπτεσθαι, ἐλαλήθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Νικολάου τοῦ Μουζάλωνος, εἰ ἐκ τούτου ἐμποδίζεται τὸ τοῦ μεγάλου Δρουγγαρίου συνάλλαγμα, καὶ διεγνώσθη μὴ ἐμποδίζεσθαι, διὰ τὸ τὴν μνηστείαν τόπον τελείου γάμου μὴ ἐπέχειν. Καὶ ὁ ἁγιώτατος δὲ πατριάρχης κύριος Θεοδόσιος ἐξεχώρησε τῷ Μεσοποταμίτῃ κυρίῳ Μιχαὴλ μνηστευσαμένῳ Μαρίαν τινὰ τυχὸν, καὶ διὰ τὸ τελευτῆσαι ταύτην πρὸ τοῦ γάμου ἑτέραν λαβόντι, ἀπροκριματίστως μετὰ τὸν ταύτης θάνατον ἑτέρᾳ συναφθῆναι, ἔχοντι καὶ ταῦτα παῖδας, καὶ τὸν τριακοστὸν ὑπεραναβάντι χρόνον, εἰπὼν μὴ λογίζεσθαι τοῦτο τριγαμίαν, ὡς τῆς μνηστείας μὴ ἀρκούσης ἀντὶ τελείου γάμου. Ταῦτα δὲ οὕτω διεγνώσθη διὰ τὸ μὴ λαληθῆναι τὸ γενέσθαι καὶ συνάφειαν μέσον τῶν μνηστήρων· εἰ γὰρ γέγονε συνάφεια, οὐκ ἂν διεγνώσθη τοιοῦτόν τι, ἵνα μὴ προφανὴς αἱμομιξία καὶ ἀθέμιτος γάμος ἐκχωρηθῇ· ὅπου γε καὶ συναφείας μὴ γεγονυίας, ἐπεὶ ἀπὸ τοῦ ἐνενηκοστοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἀπὸ τοῦ δευτέρου κεφαλαίου τοῦ νή. τίτλου τοῦ ξ'. βιβλίου, καὶ ἀπὸ τοῦ γ'. θέματος τοῦ ιβ'. κεφαλαίου τοῦ λζ'. τίτλου τοῦ αὐτοῦ ξ'. βιβλίου παρίσταται τῷ περὶ μοιχείας ἐγκλήματι καθίστασθαι ἔνοχον τὸν τὴν ἑτέρῳ μνηστευσαμένην γήμαντα, ὅτε καὶ ἡ μνηστεία μετὰ δόσεως προστίμου ἐλύετο, καὶ οὐκ ἦν ἰσοδύναμος τῷ γάμῳ ὡς σήμερον, λέγω μὴ εἶναι ἀκίνδυνα τὰ οὕτως ἐκχωρηθέντα, συντρέχων(1) καὶ τῇ τοῦ παρόντος κανόνος δυνάμει.

---

(1) Χ. Τρ. — συνεργουμένη καὶ τῇ τοῦ παρόντος Βευερ. — παρὰ δὲ Ε. οὐ κεῖται ὅλως τὰ ἀπὸ τοῦ, Ταῦτα δὲ οὕτω διεγνώσθη, μέχρι τέλους τῆς ἑρμηνείας.

ΑΡΙΣΤ. Ὁ πρὸ γάμου συναλλάσσων ἀναγνώστης μνηστῇ, μετ' ἐνιαυτὸν δεχθεὶς, μενέτω ἀναγνώστης ἀπρόκοπος· κλεψίγαμος δὲ, ἀπωθείσθω. Τὸ αὐτὸ καὶ ὑπηρέτης.

Ἀναγνώστης γυναῖκα μνηστευσάμενος, καὶ πρὸ τοῦ γάμου μετ' αὐτῆς συμφθαρεὶς, ἐπὶ ἐνιαυτὸν ἀργήσει, καὶ οὕτω δεχθήσεται εἰς τὸ ἀναγινώσκειν, εἰς μείζονα προκοπὴν μὴ προβιβαζόμενος, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ μένων βαθμοῦ. Ὁ δὲ καὶ πρὸ τῆς μνηστείας κλεψιγαμήσας, τέλεον τοῦ βαθμοῦ αὐτοῦ μετακινηθήσεται. Τὸ αὐτὸ δὲ ἐπιτίμιον καὶ εἰς τοὺς ἀχειροτονήτους ὑπηρέτας τῆς ἐκκλησίας κρατήσει.

## Κανὼν Ο'.

**Διάκονος ἐν χείλεσι μιανθεὶς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται· τὸ δὲ αὐτὸ καὶ πρεσβύτερος. Εἰ δέ τι πλέον τούτου (1) φωραθείη τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται.**

---

ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν ἐν ἀμφιβολίᾳ ἐστὶν, ἄλλως μὲν παρ' ἐνίων νοούμενος, ἑτέρως δ' αὖθις παρ' ἄλλων. Οἱ μὲν γὰρ, τὸν χείλεσι μιανθέντα, ἤγουν τὸν μέχρι φιλήματος ἐμπαθοῦς καὶ ἐρωτικοῦ φθάσαντα πρὸς γυναῖκα, (μίασμα γὰρ καὶ τοῦτο· εἰ γὰρ ἡ συγκατάθεσις εἰς ἁμαρτίαν λογίζεται μόνον ῥυποῦσα τὸν λογισμὸν, πολλῷ πλέον εἴη ἂν ἀκαθαρσία, τὸ καὶ μέχρι φιλήματος ἐλθεῖν τινα ἐμπαθῶς γινομένου,) ἐπισχεθῆναι τῆς λειτουργίας φασὶν, ἤγουν ἐπὶ καιρὸν ἀφορισθῆναι καὶ κωλυθῆναι τῆς τοῦ διακονεῖν ἐνεργείας, μετέχειν δὲ μόνον τῶν *ἁγιασμάτων μετὰ τῶν* (2) διακόνων, ὡς ἀρκοῦντος εἰς τιμωρίαν τοῦ καιρικῶς κεκωλῦσθαι τῆς διακονίας· καὶ εἰς σύστασιν τῆς γνώμης (3) κέχρηνται τῷ τὸν πλέον τι ἁμαρτήσαντα καθαιροῦντι· ἐκ τούτου λέγοντες δηλοῦσθαι τὸν νοῦν τοῦ ἁγίου, ὅτι καιρικὴν ὥρισε τὴν ἐπίσχεσιν, τὸ τοῦ καιροῦ τῆς ἐπισχέσεως μέτρον καταλιπὼν τῇ κρίσει τοῦ οἰκονομοῦντος αὐτόν. Οἱ δὲ τὴν ἐπίσχεσιν διηνεκῆ λέγουσιν εἶναι, καὶ καθαίρεσιν ἄντικρυς· διὸ μηδὲ καιρόν φασιν ὁρισθῆναι, τοῦ δὲ μετὰ τῶν διακόνων κοινωνεῖν ἀξιοῦσθαι αὐτὸν, διὰ τὸ τοῦ ἁμαρτήματος ἐλαφρότερον· τὸν δὲ καὶ εἰς πλέον προχωρήσαντα, καθαιρεῖσθαι θεσπίσαι τὸν ἅγιον, διὰ τῆς καθαιρέσεως τὴν τελείαν ἔκπτωσιν τὴν ἐκ τοῦ οἰκείου βαθμοῦ τοῦ ἡμαρτηκότος παραδηλώσαντα· τὸν τοιοῦτον γὰρ μηδὲ μετὰ τῶν διακόνων ἐντὸς τοῦ θυσιαστηρίου μεταλαμβάνειν, ἀλλὰ μετὰ τῶν λαϊκῶν. Ἐγὼ δὲ τῇ προτέρᾳ τίθεμαι γνώμῃ, καὶ ὡς φιλανθρωποτέρᾳ, καὶ διὰ τὸν κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὸν λέγοντα· Ἐὰν πρόθηταί τις ἐπιθυμῆσαι γυναικὸς συγκαθευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐρρύσθη· Εἰ γοῦν ὁ ἐπιθυμήσας συγκαθευδῆσαι γυναικὶ, καὶ μέχρι κοίτης προβὰς, εἰς ἔργον δὲ μὴ ἐξολισθήσας, ἀλλὰ πρὸ τῆς μίξεως εἰς ἑαυτὸν γενόμενος, καὶ ἀποπηδήσας, καὶ τοῦ ἔργου ἀποσχόμενος, ὑπὸ τῆς χάριτος ῥυσθῆναι πιστεύεται, ὁ μόνῳ φιλήματι μιανθεὶς, καὶ εἰς πλέον μὴ προχωρήσας, μᾶλλον ἂν πιστευθήσεται ῥυσθῆναι ὑπὸ τῆς χάριτος· ὃν δὲ ἡ χάρις ἐρρύσατο, πῶς ἄν τις κατακρινεῖ, καὶ ταῦτα βαρεῖαν οὕτω κατάκρισιν, ἤγουν ἔκπτωσιν τοῦ οἰκείου βαθμοῦ;

(1) Χ. Τρ. Σ. Ῥ. Ἀπ. Βασιλ. Π. — ἄνευ τοῦ, τούτου, Βευερ. Ε. — (2) Χ. Τρ. — τὸ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. — (3) Χ. Τρ. — τῆς γραφῆς Βευερ.



ΒΑΛΣ. Τὸν ἐν χείλεσι μιανθέντα διάκονον, ἢ ἱερέα, καὶ ἐξομολογησάμενον τὸ ἁμάρτημα, διορίζεται ὁ ἅγιος κωλύεσθαι τῆς ἱερουργίας, μὴ μέντοι γε καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀπείργεσθαι, ἀλλὰ μεταλαμβάνειν ἐντὸς τοῦ ἁγίου βήματος μετὰ τῶν ἰσοβάθμων αὐτοῦ ἱερέων, ἢ διακόνων· τὸν δὲ μὴ μέχρι τούτου ἡμαρτηκότα, ἀλλὰ καὶ εἰς πλέον ἐξολισθήσαντα, θέλει καθαιρεῖσθαι. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἠρωτήθη πολλάκις, τί ἐστι τὸ ἐν χείλεσι μιανθῆναι τὸν ἱερωμένον; Καί τινες εἶπον εἶναι τὸ μέχρι φιλήματος ἐμπαθοῦς καὶ ἐρωτικοῦ πρὸς γυναῖκα γινομένου ἡμαρτηκέναι τινὰ, κατὰ τὸ εὐαγγελικὸν ῥητὸν τὸ λέγον· Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτήν. Ἄλλοι εἶπον, ὥς τινες τῷ ἀφροδισίῳ πυρὶ διακαῶς ἐκκαιόμενοι, ὡς κύλικι χρῶνται τῷ γυναικείῳ αἰδοίῳ, καὶ δι' αὐτοῦ (ὢ τοῦ μύσους!) κατάπτυστον πόμα πίνουσι, καὶ τὰ χείλη καταμιαίνουσιν. Ἕτεροι λέγουσιν, ὥς τινες

ἐρωτομανοῦντες τὴν γυναικείαν καταφιλοῦσιν αἰσχύνην, καὶ οὐκ αἰσχύνονται, ἀλλὰ λέγουσι, τὰ χείλη ἡμῶν παρ᾽ ἡμῖν ἐστι, τίς ἡμῶν ἔσται κύριος; Ἐγὼ δὲ ἀναγινώσκων τὸν Ἰούλιον Πολυδεύκην, εὗρον ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν ὀνομαστικῶν συγγραμμάτων αὐτοῦ ὀνομάζοντα μυρτοχειλίδας, καὶ κρημνώματα, καὶ πτερυγώματα, τὰ ἔνθεν κἀκεῖθεν μέρη καὶ μέλη τῆς γυναικείας αἰσχύνης. Καὶ ὁ σοφώτατος δὲ Ἀριστοτέλης ἐν τῇ περὶ ζώων μορίων φυσιολογίᾳ αὐτοῦ, χείλη ταῦτα κατονομάζει. Καὶ πολλοὶ δὲ ἐρωτικὰ μουσουργοῦντες συγγράμματα, κεχηνέναι ταῦτά φασι, καὶ ἀποπτύειν, καὶ ἐπιγλωττίοις σεμνύνεσθαι. Νομίζω οὖν, ὅτι ὁ διὰ τοιούτων χειλέων ὁποιςδήποτε μιανθεὶς ἱερωμένος, ὡς μὲν ἔχθιστον ἐργασίαν πεποιηκώς, πρὸς καιρὸν ἀφορισθήσεται· ὡς δὲ τέλειον ἁμάρτημα διὰ συνουσιασμοῦ μὴ ποιησάμενος, οὐ καθαιρεθήσεται. Ἐπεὶ δέ τινες λέγουσι τὸν ἐν χείλεσι μιανθέντα καὶ ἐξομολογησάμενον, ὀφείλειν καθαιρεῖσθαι, διὰ τοῦ λέγειν τὸν ἅγιον μὴ λειτουργεῖν τοῦτον, φαμὲν, ὅτι ἀβούλητόν ἐςι τοῦτο τῷ ἁγίῳ. Κἂν γὰρ ἐμφαίνεται δριμυτέραν εἶναι τὴν τιμωρίαν τοῦ ἐν χείλεσι μιανθέντος ἐκ τοῦ μὴ ὁρισθῆναι καιρὸν τῇ ἐπισχέσει τῆς λειτουργίας, ἀλλ᾽ οὐκ ἤδη καὶ καθαίρεσις ἀναφαίνεται· ἐκεῖνον γὰρ διορίζεται καθαιρεῖσθαι, τὸν καὶ πλέον τι ἔργον διὰ συνουσιασμοῦ πεποιηκότα.

ΑΡΙΣΤ. Ὁμολογήσας πρεσβύτερος, ἢ διάκονος, χείλεσι μιανθῆναι, τῆς λειτουργίας εἰρχθέντες, τῶν ἁγιασμάτων μετεχέτωσαν· εἰ δέ τι πλέον τούτου φανείη ἡμαρτηκὼς, καθαιρεθήσεται.

Τὸ ἐν χείλεσι μιανθῆναι, διαφόρως ἑρμηνεύεται· πλὴν ἐγγράφως παραδοθῆναι οὐ χρὴ, διὰ τὸ τοῦ πράγματος αἰσχρόν. Εἴ τις δὲ τῶν διακόνων, ἢ πρεσβυτέρων, τῷ τοιούτῳ ἁμαρτήματι περιπέσῃ, κατὰ τὸν παρόντα κανόνα τὸ ἐπιτίμιον δέξεται.

## Κανὼν ΟΑ'.

Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων(1), καὶ μὴ ὁμολογήσας, ἀλλ᾽ ἐλεγχθεὶς, τοῦ τοσούτου

(1) ἁμαρτήματα Χ. Τρ.



χρόνου, εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ.

ΖΩΝΑΡ. Εἰπὼν περὶ τῶν ἁμαρτημάτων πρεσβυτέρων, καὶ διακόνων, καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν ταγμάτων ὁ ἅγιος, νῦν καὶ περὶ τῶν συνειδότων αὐτοῖς ἁμαρτήματα διατάττεται, λέγων, ὡς ὁ συνειδὼς τισι τῶν εἰρημένων ἁμαρτήματα, καὶ μὴ ὁμολογήσας καὶ δῆλα θέμενος τῷ ἐπισκόπῳ αὐτὰ, ἀλλὰ συγκαλύπτων ταῦτα, ἐλεγχθεὶς δὲ ὅτι εἰδὼς ἐσιώπα καὶ συνέκρυπτε ταῦτα, ἐπὶ τοσοῦτον χρόνον καὶ αὐτὸς ἐπιτιμηθήσεται, ἐφ᾽ ὅσον ὁ τὴν ἁμαρτίαν πεποιηκώς.

ΒΑΛΣ. Τοὺς συνειδότας τισὶν ἁμαρτάνουσιν οἱαδήτινα ἁμαρτήματα, καὶ μὴ ὁμολογοῦντας αὐθαιρέτως ταῦτα τοῖς ἐπισκόποις, ἀλλὰ συγκαλύπτοντας αὐτὰ, διορίζεται ὁ ἅγιος μετὰ ἔλεγχον πάντως νόμιμον παρομοίως τοῖς ἡμαρτηκόσι τὰ κακὰ ἐπιτιμᾶσθαι. Συνεγνωκότα δὲ ἐνταῦθα μὴ εἴπῃς τὸν ἔχοντα εἴδησιν μόνην, καὶ μὴ δυνάμενον κωλῦσαι, μηδὲ τὸν συμβουλευσάμενον χωρὶς κακοθελοῦς διαθέσεως, ἀλλὰ τὸν συμπράξαντα, ἢ ἔχοντα εἴδησιν καὶ δυνάμενον κωλῦσαι, καὶ μὴ κωλύσαντα. Φησὶ γὰρ τὸ β'. θέμα τοῦ μή. κεφ. τοῦ ιβ'. τίτλου τοῦ ξ'. βιβλίου, ὅτι ὁ γινώσκων τὸν κλέπτην, κἂν μὴ καταμηνύσῃ αὐτὸν, οὐκ ἔστι κλέπτης· ὁ δὲ κρύπτων τὸν κλέπτην, κλέπτης ἐςί· καὶ τὸ β'. θέμα τοῦ ν'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Σπουδῇ καὶ συμβουλῇ γίνεται κλοπὴ, ὅταν διὰ τὴν ἔχθραν γίνηται τοῦ κλεπτομένου· ὥσπερ γὰρ ἡ κλοπὴ, οὕτω καὶ ἡ σπουδὴ χωρὶς δόλου κακοῦ οὐ γίνεται· καὶ συμβουλεύει μὲν ὁ τὴν κλοπὴν ὑποτιθέμενος· σπουδάζει δὲ ὁ ὑπηρεσίαν τινὰ καὶ βοήθειαν ἐπὶ τῇ κλοπῇ παρεχόμενος· καὶ ξγ'. κεφ. Ὁ δείξας τῷ φυγόντι τὴν ὁδὸν, οὐκ ἔστι κλέπτης· καὶ κεφ. γ'. τοῦ ς'. τίτλου τοῦ αὐτοῦ βιβλίου· Ὁ ἀδόλως συμβουλεύσας οὐκ ἐνέχεται, οὔτε ὁ παιγνικῶς· καὶ ὁ παλαιὸς τοῦ ιά. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Ἀπὸ μόνης γὰρ συμβουλῆς, οὐ τίκτεται φοῦρτι. Καὶ ὁ ἱεροψάλτης δὲ Δαβὶδ οὐ κολάζει τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα, ἤτοι συμπράττοντα τῷ κλέπτῃ, καὶ τὸν συμμεριζόμενον, τουτέστι κοινοποιούμενον μετὰ τοῦ μοιχοῦ τὰ

ἁμάρτημα(1). Ὁ γοῦν εἴδησιν μόνην ἔχων τοῦ κακοῦ, καὶ μὴ δυνάμενος κωλῦσαι, καὶ ὁ συμβουλευσάμενος χωρὶς κακοθελοῦς διαθέσεως, οὐκ ἐπιτιμηθήσονται. Ὁ δὲ εἰδὼς, καὶ δυνάμενος κωλῦσαι καὶ μὴ κωλύσας, καὶ ὁ κακοθελῶς συμβουλευσάμενος, πολλῷ δὲ πλέον ὁ συμπράξας, τιμωρηθήσεται. Σημείωσαι δὲ, ὅτι πανταχοῦ ἡ ἐξομολόγησις κουφίζει τὴν κόλασιν, ὁ δὲ ἔλεγχος μεγαλύνει αὐτήν.

ΑΡΙΣΤ. Ὁ συνεγνωκὼς ἑκάστῳ, καὶ ἀποκρύπτων, τὸ ἴσον ἐπιτετίμηται.

Ἐάν τις σύνοιδέ τινι ἁμαρτάνοντι ἁμάρτημά τι τῶν προειρημένων ἁμαρτημάτων, καὶ οὐχ ὁμολογήσει αὐτὸ, ἀλλ' ἐλεγχθῇ τὸ ἁμάρτημα ἀποκρύπτων, τὸ αὐτὸ δέξεται ἐπιτίμιον, καὶ ἐν τοσούτῳ χρόνῳ, οἷον, καὶ ὅσον ὁ τῶν κακῶν ἐργάτης ἐπιτετίμηται.

## Κανὼν ΟΒ'.

Ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς, ἤ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται (2).

---

ΖΩΝΑΡ. Μαντεῖαι μὲν πάλαι ἦσαν, αἱ παρὰ τῶν ψευδωνύμων θεῶν γινόμεναι προῤῥήσεις, ἢ πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεις. Εἰ δὲ καὶ τὰ χρηστήρια ἐκλελοίπασι μετὰ τὴν σάρκωσιν τοῦ Κυρίου, ἀλλὰ καὶ νῦν γίνονται παρά τινων δι' ἐπῳδῶν καὶ ἐνεργείας δαιμονικῆς προῤῥήσεις, εἰ καὶ ψευδεῖς αἱ πλείους ἐλέγχονται· οἷαί εἰσι καὶ αἱ παρὰ γυναικῶν τινων γινόμεναι, αἳ κριθὰς ἐν χερσὶ τιθεῖσαι, δι' ἐκείνων προλέγουσί τινα· ἄλλαι δὲ σποδιᾷ ἐπικύπτουσαι, προμηνύουσί τινα μέλλοντα· συναριθμείσθωσαν τούτοις καὶ οἱ ἐκ τῶν ἀστέρων προγινώσκειν λέγοντες τὰ ἐσόμενα, καὶ οἱ τούτοις χρώμενοι, οὓς πάντας τῷ ἐπιτιμίῳ τῶν φονέων καθυπάγει.

ΒΑΛΣ. Ἐν τῷ κέ. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τῷ κ'. κεφ. τοῦ ιγ'. τίτλου, διάφορα ἐγράψαμεν περὶ μάντεων, μάγων, καὶ τῶν ὁμοίων, καὶ ἀνάγνωθι ταῦτά τε

(1) Ψαλμ. ΜΘ', 18. — (2) οἰκονομηθήσεται Σ. Τ. Ἀπ. Βασιλ.



καὶ τοὺς ἐν τοῖς αὐτοῖς κεφ. δηλουμένους κανόνας τε καὶ νόμους, καὶ μάθῃς ὅπως οὗτοι κολάζονται πολιτικῶς τε καὶ ἐκκλησιαστικῶς. Ἀρτίως δὲ ὁ ἅγιος διορίζεται τοὺς ἀνατιθεμένους ἑαυτοὺς τοιούτοις τισὶ, κατὰ τοὺς χρόνους τῶν φονέων ἐπιτιμᾶσθαι. Ἐπεὶ δέ τινες ἑρμηνεύοντες τὸν παρόντα κανόνα εἶπον ὀφείλειν οὕτως ἐπιτιμᾶσθαι καὶ τοὺς προσερχομένους γυναιξὶ μετὰ κριθῶν ἐπαγγελλομέναις ἀνακαλύπτειν ἄδηλά τινα, ἢ καὶ μέλλοντα, λέγω ὅτι διαφορά ἐστι μάντεων καὶ γητευτριῶν γραῶν, διὰ ἐπασμάτων τοὺς ἁπλουστέρους ἀπατωσῶν· οἱ μὲν γὰρ δαίμονας ἐπικαλοῦνται· αἱ δὲ μᾶλλον ἀρετὴν καὶ ἁγιασμὸν ὑποκρινόμεναι, μετὰ θείων ψαλτῳδημάτων ἐνίοτε χειρογραφοῦσι τὰ μέλλοντα, καὶ κριθοφοροῦσι τὰ ἄδηλα, καθὰ ποιοῦσι καὶ αἱ λεγόμεναι κρίτριαι, καὶ οἱ σακκενδυτοῦντες, καὶ οἱ ῥακενδυτοῦντες ἠϋγένειοι καὶ ἠΰκομοι μοναχοί· καὶ οὗτοι γὰρ πλανῶντές τε καὶ πλανώμενοι, τὰ μέλλοντα προφοιβάζουσιν ὡς ἐξ ὑποφητείας ἀγγελικῆς. Διά τοι τοῦτο ὀφείλουσιν οἱ μὴ ἀρνησάμενοι τὸν Θεὸν, ἀλλὰ διὰ λειξουρίαν ἁγιωσύνην ὑποκρινόμενοι, ὡς ἐμοὶ δοκεῖ, μετριωτέρως καὶ μὴ κατὰ τοὺς ἀρνησιθέους κολάζεσθαι. Εἰ δὲ εἴπῃς τὰ κριθοφόρα καὶ γητευτοτόκα γραΐδια δαίμονας ἐπικαλεῖσθαι, ἐξ ἀνάγκης καὶ αὗται κατὰ τοὺς μάντεις καὶ μάγους ἐσχάτως ἐπιτιμηθήσονται. Ἀνάγνωθι καὶ τὸν πγ'. κανόνα τοῦ παρόντος ἁγίου, καὶ τὰ ἐν αὐτῷ.

ΑΡΙΣΤ. Ὁ μάντεσιν, ἢ τοιούτοις τισὶν ἑαυτὸν δοὺς, τὸν χρόνον τῶν φονέων οἰκονομηθήσεται.

Ὁ μὲν ἑαυτὸν ἐπιδοὺς μάντεσιν, ἢ γόησιν, ἢ φαρμακοῖς, ἐπὶ τῷ μαθεῖν τὴν κακοτεχνίαν αὐτῶν, ὡς ὁ ἑκουσίως φονεύων ἐπιτιμηθήσεται. Ὁ δὲ πιστεύων μάντεσιν, εἰσάγων αὐτοὺς εἰς τὸν οἶκον ἑαυτοῦ ἐπὶ ἀνευρέσει καὶ καθάρσει φαρμακειῶν, ἢ ἀποκαλύψει τινῶν ἀποῤῥήτων, ἑξαετίαν ἐπιτιμᾶται, ὡς ὁ ξά. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει, καὶ ὁ ὀγδοηκοστὸς τρίτος τῆς ἀνὰ χεῖρας ταύτης τρίτης ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου.

## Κανὼν ΟΓ'.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος, καὶ παραβὰς τὸ τῆς σωτ

τηρίας μυστήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει, καὶ ἐξομολογεῖσθαι χρεωστεῖ, ἐν τῷ καιρῷ, ᾧ ἐκβαίνει τοῦ βίου, τῶν ἁγιασμάτων ἀξιούμενος, πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας.

---

ΖΩΝΑΡ. Ὁ μὲν ἅγιος οὗτος, ἀδιαστίκτως πάντας τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν, διὰ βίου ἀκοινωνήτους εἶναι κελεύει καὶ προσκλαίειν. Ὁ δὲ Ἀλεξανδρείας ἀρχιεπίσκοπος καὶ ἱερομάρτυς Πέτρος, πολλὰς διαστίξεις τῶν ἀρνησαμένων τὴν πίστιν ποιεῖται ἐν τοῖς αὐτοῦ κανόσι, καὶ διαφόρους τοὺς τῶν ἐπιτιμίων χρόνους ἐπ' αὐτοῖς ὁρίζει· διὰ βίου δὲ, οὐδένα ποιεῖ ἀκοινώνητον. Καὶ ἡ ἐν Ἀγκύρᾳ δὲ σύνοδος ἀρχαιοτέρα οὖσα καὶ τοῦ ἱερομάρτυρος ἁγίου Πέτρου, διαιρέσεις πολλὰς τῶν ἐπιθυσάντων ποιεῖται, καὶ καιροὺς ἐπιτιμίων ἄλλους ἄλλοις ὁρίζει, μέχρι δὲ τελευτῆς, οὐδένα ὥρισεν εἶναι ἀκοινώνητον. Εἴποι δέ τις ὅτι ἀνάλογα τὰ ἐπιτίμια ἔθεντο οἱ Πατέρες πρὸς τοὺς ἰδίους καιρούς· οἱ μὲν γὰρ ἦσαν ἐν καιροῖς σφοδρῶν διωγμῶν, ὅτε ἔτι καὶ ἡ πίστις ἀστήρικτος ἦν, καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι μετριώτερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωγμῶν· ὁ δὲ μέγας Βασίλειος ἐν καιρῷ τυγχάνων, ὅτε ἡ πίστις ἐπλατύνθη, καὶ βεβαιοτέρα ἐγένετο, τὰ δὲ τοῦ ἑλληνισμοῦ εἰς στενὸν κατήντησαν κομιδῇ, τοῖς ἀρνουμένοις τὴν πίστιν σφοδρότερον προσεφέρετο, ὡς ἑκουσίως καὶ βίας χωρὶς παραπίπτουσι, καὶ διὰ τοῦτο ἀκοινωνήτους αὐτοὺς διὰ βίου μένειν ὡρίσατο.

ΒΑΛΣ. Ὁ μὲν κανὼν σαφής ἐστι· διορίζεται γὰρ τοὺς ἀρνησαμένους τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ μὴ δεξαμένους τὸ μυστήριον τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ, προσκλαίειν καὶ ἐξομολογεῖσθαι παρ' ὅλον τὸν τῆς ζωῆς αὐτῶν χρόνον, κατὰ μόνας δὲ τὰς τελευταίας ἀναπνοὰς ἀξιοῦσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως. Τῆς δὲ ἐν Ἀγκύρᾳ συνόδου, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου, μηδένα τοιοῦτον καθυποβαλλόντων ἐσχάτῳ ἐπιτιμίῳ ἀκοινωνησίας, καὶ οἷον ἐναντιουμένων τῷ παρόντι κανόνι, εἶπε, ὅτι ἀνάλογα ἔθεντο οἱ Πατέρες τὰ ἐπιτίμια πρὸς τοὺς ἰδίους



καιρούς· οἱ μὲν γὰρ ἦσαν ἐν καιρῷ σφοδρῶν διωγμῶν, ὅτε καὶ ἡ πίστις ἀστήρικτος ἦν, καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι μετριώτερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωκτῶν. Ὁ δὲ μέγας Βασίλειος ἐν καιρῷ τυγχάνων, ὅτε ἡ πίστις ἐπλατύνθη καὶ βεβαιοτέρα ἐγένετο, σφοδρότερον προσεφέρετο τοῖς ἀρνουμένοις τὴν πίστιν. Ἢ εἰπὲ, ὅτι οἱ μὲν Πατέρες διετάξαντο περὶ τῶν κατὰ βίαν τυραννικὴν ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο κουφίζουσι τὰ ἐπιτίμια· ὁ δὲ παρὼν κανὼν διατάττεται περὶ τῶν ἑκουσίως καὶ χωρὶς ἀνάγκης τινὸς ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο βαρεῖαν κόλασιν ἐπάγει αὐτοῖς. Τὸ δὲ προσκλαίειν τούτους καὶ ἐξομολογεῖσθαι δι' ὅλης τῆς οἰκείας ζωῆς, λέγουσί τινες μὴ ἐκλαμβάνεσθαι εἰς τὸ ἵστασθαι αὐτοὺς καὶ εἰς τὸν τόπον τῶν προσκλαιόντων· τοῦτο γὰρ, φασὶν, ἔξω τῆς συμπαθείας ἐστὶ τοῦ ἁγίου, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς νικώσης πᾶσαν ἁμαρτίαν, διὸ καὶ ἀξιοῦσι προσκλαίειν μὲν τούτους, καὶ ἐξομολογεῖσθαι τὸ ἁμάρτημα δι' ὅλης τῆς οἰκείας ζωῆς, τοὺς τόπους δὲ τῶν ἐπιτιμίων ἀνύειν κατὰ τοὺς κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου, τῆς μέντοι μεταλήψεως τῶν ἁγιασμάτων οὐκ ἀξιωθήσονται, εἰ μὴ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς. Ταύτῃ δὲ τῇ γνώμῃ συντίθεμαι καὶ αὐτὸς ὡς φιλανθρωποτέρᾳ, καὶ ὅτι οὐδὲ ἀπὸ τῶν ῥημάτων τοῦ ἁγίου ἀναφαίνεται τὸ ἵστασθαι τὸν οὕτως ἡμαρτηκότα εἰς τὸν τόπον τῶν προσκλαιόντων.

ΑΡΙΣΤ. Ὁ ἀρνησίχριστος, διὰ βίου μεταμέλεσθαι.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος, πάντα τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ὀφείλει προσκλαίειν· ἐν δὲ τῇ ἐξόδῳ τοῦ βίου, ἀξιούσθω τῆς κοινωνίας.

## Κανὼν ΟΔ'.

Ἐὰν μέντοι ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων, σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν, καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔσται καταγνώσεως

ἄξιος· τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν, τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

---

ΖΩΝΑΡ. Ἀπαριθμησάμενος ὁ μέγας Βασίλειος διαφόρους χρόνους ἐπιτιμίων πρὸς διάφορα ἁμαρτήματα, τελευταῖον τὸ πᾶν τοῖς ἀρχιερεῦσιν ἀνέθετο. Οὗτοι γὰρ οἱ τὸ δεσμεῖν καὶ λύειν ἐμπιστευθέντες παρὰ Θεοῦ, καὶ εἰ ὁρῷεν οὗτοι, φησί, τοὺς ἐξομολογουμένους σπουδαίους ὄντας, καὶ θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνυμένους, καὶ ἐλαττῶσι διὰ τοῦτο τοὺς ὡρισμένους χρόνους, οὐκ ἔσονται καταγνώσεως ἄξιοι. Διδάσκει γάρ, φησίν, ἡμᾶς ἡ Γραφή, ὅτι τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως ἡ φιλανθρωπία τοῦ Θεοῦ καταλαμβάνει· ὅπερ ἐπὶ τοῦ Μανασσῆ γενέσθαι ἱστόρηται, καὶ ἐπὶ Ἐζεκίου, καὶ ἐπὶ ἄλλων πολλῶν.

ΒΑΛΣ. Ἵνα μή τις ἀκηδιάσῃ διὰ τὸ ἐπιτεταμένον τῶν χρονικῶν ἐπιτιμίων, φησὶν ὁ ἅγιος, ὡς ὁ κατὰ χώραν ἀρχιερεύς, ὁ κατὰ τὸν ἐν Ἀποστόλοις κορυφαιότατον Πέτρον τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ἀπὸ τοῦ Θεοῦ ἐμπιστευθείς, καὶ ἐξουσίαν λαβὼν τοῦ δεσμεῖν καὶ λύειν, ἐὰν ἴδῃ τὸν διά τι ἁμάρτημα ἐπιτιμηθέντα μετ' εὐχαριστίας τὴν θεραπείαν τῶν ἐπιτιμίων δεξάμενον, καὶ μετὰ θερμοτέρας σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενον, ἐλαττώσει τοὺς χρόνους τῶν ἐπιτιμίων, μὴ πτοούμενος κατάγνωσιν, ὡς δῆθεν παραβαίνων τὴν περὶ τῶν χρόνων τῶν ἐπιτιμίων κανονικὴν ἀκρίβειαν· διδάσκει γὰρ ἡμᾶς ἡ Γραφή, ὅτι εἰς τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως ἡ φιλανθρωπία καταλαμβάνει τοῦ Θεοῦ. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸ λθ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ καταστρωθέντας νόμους, καὶ μάθῃς ὅτι διαφορά ἐστι τῶν ἀποφαινομένων δικαστῶν κολάσεις σωματικὰς κατὰ τῶν γεγονότων ὑπευθύνων ἐγκλήμασι, καὶ τῶν ὁριζόντων ἐπισκόπων ἐπιτίμια ἐκκλησιαστικὰ κατὰ τῶν ἐξομολογουμένων ἁμαρτήματα ψυχικά. Οἱ μὲν γὰρ τὰς ὁρισθείσας ἀπὸ τοῦ νόμου ποινάς, οὔτε αὔξειν, οὔτε μειοῦν δύνανται χωρὶς βασιλικῆς κελεύσεως· οἱ δὲ τὰ φορτία τῶν ἡμετέρων ἁμαρτιῶν ἀναδεχόμενοι, ὡς καὶ λόγους ὑπὲρ ἡμῶν τῷ Θεῷ μέλλοντες δώσειν, κατὰ τὸ δοκοῦν αὐτοῖς καὶ αὔξουσι καὶ μειοῦσι τὰ ἐπιτίμια· διά τοι τοῦτο καὶ ἐξουσίαν ἔχουσι μὴ μόνον τοὺς χρόνους τῶν ἐπιτιμίων ἐλαττοῦν, ἀλλὰ καὶ τὰ ἐπιτίμια μεταμείβειν. Κἂν γὰρ ἐπὶ τριετίαν τυχὸν ὡρίσθη τὸν ἡμαρτηκότα τόδε τι μὴ κρεωφαγῆσαι, μηδὲ συστῆναι τοῖς πιστοῖς, ὡσαύτως μηδὲ μεταλαβεῖν τῶν θείων ἁγιασμάτων, ἀλλ' ὁ τὴν ἐξομολόγησιν δεξάμενος πρὸς τὴν ποιότητα τοῦ ἐπιτιμωμένου προσώπου, καὶ τὴν θερμότητα τῆς ἐξομολογήσεως αὐτοῦ, καὶ τὴν σπουδὴν τῆς μετανοίας, τάδε μὲν τῶν ἐπιτιμίων μετριάσει, ἕτερα δὲ πολλαπλασιάσει· ὥστε μὴ ἐκληπτέον τὸν κανόνα, καθώς τινες εἶπον, εἰς μόνην ἐλάττωσιν τοῦ χρόνου τῶν ἐπιτιμίων, ἀλλὰ καὶ εἰς ἅπαν εἶδος ἐπιτιμίων. Τινὸς δὲ στρατιώτου περιπεσόντος ἑκουσίου φόνου ἐγκλήματι, καὶ παρὰ ἀρχιερέως τινὸς μετὰ μέτριον πάνυ καιρὸν ἐγγράφως ἀθωωθέντος, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς δυσχεράνας ἐπὶ τῷ γενομένῳ, διωρίσατο ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου Πατριάρχου κυροῦ Λουκᾶ σκοπηθῆναι συνοδικῶς, εἰ καλῶς τῷ στρατιώτῃ ἐπεφιλοτιμήθη ἡ τῶν ἐπιτιμίων ἀθώωσις κατεσπουδασμένως οὕτω, καὶ οἷον εἰπεῖν οὐ συμπαθῶς ἀλλὰ προσπαθῶς. Τοῦ δὲ ἀρχιερέως τὸν παρόντα κανόνα προβαλλομένου, καὶ ἑτέρους μετεωρίζοντας τάχα τὴν ἐπιφορτιζομένην αὐτῷ βαρεῖαν κουφότητα, ἡ ἁγία σύνοδος τοὺς κανόνας ὀρθοτομήσασα κατὰ τὴν ἐνοῦσαν αὐτῇ ἐκ τοῦ παναγίου Πνεύματος θειοτάτην ἔλλαμψιν, τὸν μὲν στρατιώτην καὶ αὖθις ἀλυκτοδέπαις ἐπιτιμίων κανονικῶν καθυπέβαλε· τὸν δὲ ἀρχιερέα μετρίῳ ἀφορισμῷ ἀλειτουργησίας ἐστενοχώρησεν, εἰποῦσα, ὡς τοῖς ἀρχιερεῦσιν ἐφεῖται μὲν αὔξειν καὶ μειοῦν τὰ κανονικὰ ἐπιτίμια, ἀραχνιαίοις δὲ μίτοις δεσμεῖν τὰ καλωδίοις ἐν τρίτοις καταδεσμεῖσθαι ὀφείλοντα, οὐκ ἐνεδόθη. Λέγεται δέ, ὅτι καὶ διὰ τὴν τοῦ τοιούτου στρατιώτου ὑπόθεσιν ἐξέθετο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν περὶ τῶν ἑκουσίων φονέων νεαράν· ἣν καὶ ἀνάγνωθι ὄπισθεν καταστρωθεῖσαν, καὶ διαλαμβάνουσαν μετὰ τῶν ἄλλων καὶ ταῦτα· Περὶ δὲ τῶν γινομένων ἐπ' αὐτοῖς μετὰ τὸ προσδραμεῖν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ Ἐκκλησίᾳ, ἡ μὲν

βασιλεία μου ἀκριβῶς οὐκ οἶδεν· ἀκούει δὲ ὅμως οὐκ ἀγαθά;

ΑΡΙΣΤ. Ὁ δεσμεῖν, καὶ λύειν ἐξουσίαν λαβὼν, οὑτινοσοῦν τῶν ἡμαρτηκότων ἐν τῶν προῤῥηθέντων μεγάλην ὁρῶν συντριβὴν, ἐλαττώσει τὸν χρόνον.

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἐτέθησαν ἁμαρτήματι· ὁ δὲ παρὰ Θεοῦ πιστευθεὶς τὸ δεσμεῖν καὶ λύειν, πρὸς τὴν ἐξομολόγησιν κατὰ τὴν συντριβὴν ἀφορῶν ἑκάστου, εἰ ἐλαττώσει τῶν ἐπιτιμίων τὸν χρόνον, οὐ καταγνώσεως ἔσται ἄξιος.

## Κανὼν ΟΕ'.

Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς, ἢ ἐκ μητρὸς συμμιανθεὶς, εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι (1), ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. Μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας (2), τριετίαν προσκλαιέτω τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχὴν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον τὰς δεήσεις· μετὰ δὲ τοῦτο, ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῶν Γραφῶν (3) καὶ τῆς διδασκαλίας ἐκβαλλέσθω, καὶ μὴ καταξιούσθω προσευχῆς. Ἔπειτα, εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν, καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας, καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι· καὶ οὕτως, ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω, χωρὶς προσφορᾶς· καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

---

(1) συμπαρεῖναι Π. — (2) ἁμαρτίας ἐκείνης Ἄπ. Βασιλ. — (3) Σ. Ῥ. Χ. Τρὶ Λπ. Βασιλ. — τῆς Γραφῆς Π. Βευερ. Ε.

## Κανὼν ΟϚ'.

Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

---

ΖΩΝΑΡ. Ὁ ἀδελφῇ συμφθαρεὶς ἑαυτοῦ, κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ἡ ἀδελφότης ἐστὶν, ἀλλ' ἐξ ἑνὸς, πάντη ἐξωθεῖται τῆς ἐκκλησίας, ἕως τῆς τοιαύτης ἁμαρτίας ἀπόσχηται· ἀποσχόμενος δὲ οἰκονομεῖται ὡς ὁ κανὼν διατάττεται, προσκλαίων, ἀκροώμενος, ὑποπίπτων, συνεστώς· καὶ οὕτως ἀξιοῦται τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες διατάττονται, ὅπως ἐπιτιμᾶται ὁ συμφθειρόμενος ἀδελφῇ ἰδίᾳ, κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων συνάπτηται αὐτῇ, ἀλλ' ἐξ ἑνὸς, (ἥτις λέγεται καὶ ἑτεροθαλὴς) καὶ ὅπως ἐπιτιμᾶται ὁ μιανθεὶς μετὰ τῆς νύμφης αὐτοῦ· καί φασι τούτους ἐξωθεῖσθαι μὲν ἀπὸ τῆς ἐκκλησίας μέχρις ἂν τῆς ἁμαρτίας ἀπόσχωνται· μετὰ δὲ τὸ ἀποστῆναι, οἰκονομεῖσθαι εἰς τοὺς τέσσαρας τόπους τῶν ἐπιτιμίων, καὶ οὕτως ἀξιοῦσθαι τῆς ἁγίας μεταλήψεως· οἱ δὲ τέσσαρες τόποι ἀνύονται διὰ χρόνων δώδεκα. Ἀνάγνωθι καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος· καὶ σημείωσαι ὅτι τοῖς ἀφισταμένοις οὐχὶ τοῖς ἔτι ἐμμένουσι τῇ ἁμαρτίᾳ δίδονται τὰ ἐπιτίμια· τούτοις γὰρ ἀκοινώνητα παντελῶς εἰσι τὰ τῶν πιστῶν.

ΑΡΙΣΤ. Κανὼν οέ. Ὁ ἀδελφῇ πατρόθεν ἢ μητρόθεν συμμιανθεὶς, μὴ εἰσίτω εἰς οἶκον προσευχῆς ἕως ἀποστῇ· εἶτ' ἀνανήψας, τριετίαν προσκλαιέτω, τριετίαν ἀκροάσθω, τριετίαν ὑποπιπτέτω, καὶ τῷ δεκάτῳ δεχέσθω, χωρὶς προσφορᾶς, καὶ δύο ἔτη συστὰς εἰς εὐχὴν, λοιπὸν ἀξιούσθω τῆς κοινωνίας.

Οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ἑξηκοστῷ ἑβδόμῳ κανόνι.

ΑΡΙΣΤ. Κανὼν ος'. Τὰ αὐτὰ καὶ περὶ τῶν τὰς νύμφας λαμβανόντων. Σαφής.

## Κανὼν ΟΖ'.

Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως αὐτῷ συναφθεῖ-

σαν γυναῖκα, καὶ ἑτέραν ἀγόμενος(1), κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. Κεκανόνισται γὰρ παρὰ τῶν Πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ δὲ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσι.

---

ΖΩΝΑΡ. Τοὺς τὰς ἑαυτῶν συμβίους καταλιμπάνοντας, καὶ ἑτέρας πρὸς γάμον ἀγομένους, φησὶν ὁ ἅγιος, ὡς μοιχοὺς παρὰ τοῦ Κυρίου κατακρίνεσθαι· λέγει γὰρ ἐν Εὐαγγελίοις ὁ Κύριος· Ὁ ἀπολύσας τὴν γυναῖκα παρεκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν μοιχᾶται(2). Οἱ δὲ Πατέρες, φησὶν, ἡμῶν ἐκανόνισαν τοὺς τοιούτους ἐν ἑπταετίᾳ ἐπιτιμᾶσθαι, καὶ οὕτω δέχεσθαι εἰς μετάληψιν τῆς προσφορᾶς, ἐὰν μετὰ δακρύων μετανοήσωσιν. Εἰπὼν δὲ τὸ παρὰ τῶν Πατέρων ἐπενεχθὲν αὐτοῖς ἐπιτίμιον, οὐδὲν προσέθετο, ἀρκεῖν ἡγησάμενος, ὅτι μοιχείαν τὸ ἁμάρτημα κατὰ τὸν τοῦ Κυρίου λόγον ἀπέφηνεν· ἕπεται γὰρ ὡς μοιχείᾳ καὶ ὁ τοῖς μοιχεύουσιν εἰς ἐπιτίμησιν ὁρισθεὶς παρ᾽ αὐτοῦ χρόνος.

ΑΡΙΣΤ. Ὁ τὴν ἰδίαν ἀφεὶς, καὶ λαμβάνων ἑτέραν, μοιχὸς ὢν, ἑπταετίαν ὑποπιπτέτω.

Καὶ οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ξή. κανόνι.

## Κανὼν ΟΗ΄.

Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

---

ΖΩΝΑΡ. Ὁ δὲ δεύτερος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ γενομένης συνόδου, Εἰ μὴ λύσει, φησὶ, τὸν γάμον, ἐξωθείσθω τῆς ἐκκλησίας μέχρι θανάτου.

ΑΡΙΣΤ. Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων, εἰ καὶ κατὰ διαφόρους καιρούς.

---

(1) συναγόμενος Απ. Βατιλ. — (2) Ματθ. έ, 32.



## Κανὼν ΟΘ΄.

Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμαινόμενοι, τῷ αὐτῷ ὑπόκεινται κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

---

ΒΑΛΣ. Τὸν εἰς ἑτεροθαλῆ ἀδελφὴν, ἢ νύμφην οἰκείαν μιανθέντα, ἐπὶ δωδεκαετίαν ἐπιτιμᾶσθαι διωρίσατο ὁ ἅγιος ἐν τῷ οέ. καὶ ος΄. κανόνι. Ἀρτίως δὲ, ἤγουν ἐν τῷ οζ΄. ἐν τῷ οή. καὶ ἐν τῷ οθ΄. κανόνι, παρακελεύεται τοὺς καταλιμπάνοντας τὰς ἑαυτῶν συμβίους, καὶ ἑτέρας πρὸς γάμον ἀγομένους, ἀλλὰ μὴν καὶ τοὺς λαμβάνοντας εἰς συνοικέσιον δύο ἀδελφὰς, πάντως μετὰ θάνατον τῆς μιᾶς, καὶ τοὺς μιαινομένους μετὰ τῶν μητρυιῶν αὐτῶν, ὡς μοιχοὺς ἐπιτιμᾶσθαι. Προστίθησι δὲ ἐν τῷ ος΄. κανόνι, τὸν καταλιμπάνοντα τὴν οἰκείαν γυναῖκα, καὶ συναπτόμενον μεθ᾽ ἑτέρας, ἐπὶ ἑπταετίαν ἐπιτιμᾶσθαι παρὰ τῶν Πατέρων, καὶ οὕτως, ἐὰν μετὰ δακρύων μετανοήσωσι, τῆς ἁγίας μεταλήψεως ἀξιοῦσθαι. Τούτων οὕτως ἐχόντων, ἐρεῖ τις, ὡς τοῦ νή. κανόνος ἐν ιέ. ἔτεσι τὸν μοιχὸν ἐπιτιμῶντος, καὶ τοῦ παρόντος κανόνος ἐν ζ΄. ἔτεσι λέγοντος ἐπιτιμᾶσθαι παρὰ τῶν Πατέρων τοὺς καταλιμπάνοντας τὰς οἰκείας γυναῖκας καὶ ἑτέραις συναπτομένους, τίνι προσέχειν ὀφείλομεν; Λύσις. Τοῖς ἐν τῷ νή. κανόνι περιεχομένοις· ἐνταῦθα γὰρ, οὐχ ὡς ὅρον ἔθετο ὁ ἅγιος τὴν τῶν Πατέρων διατύπωσιν, ἀλλ᾽ ὡς ἀνάμνησιν, καὶ ἵνα γινώσκωμεν, τί τε παρ᾽ ἐκείνων προώρισται, καὶ τί παρὰ τούτου μεθώρισται, καὶ δηλοῦται τοῦτο ἐκ τοῦ εἰπεῖν τὸν ἅγιον ὀφείλειν τούτους ἐπιτιμᾶσθαι κατὰ μοιχούς. Εἰ δέ τις ἐρεῖ νόμιμον γενικὸν λέγον, Κρατεῖν τὰ ἐκπεφωνημένα παρὰ τὰ σεσιωπημένα, ἀκούσει, ὅτι, εἰ μὲν ἑτέρου ἁγίου ἦν κανὼν ὁ ἐπὶ ιέ. ἔτη τοὺς μοιχοὺς ἐπιτιμῶν, ἴσως ἂν εἴχετο λόγου τὸ λεγόμενον· ἐπεὶ δὲ τοῦ αὐτοῦ ἁγίου καὶ ἀμφότεροι οἱ κανόνες εἰσὶν, ἐξ ἀνάγκης τῷ περὶ τούτου μεταγενεστέρως ὁρισθέντι προσέχειν ὀφείλομεν, ὡς ἤδη καὶ ἐκφωνηθέντι διὰ τοῦ νή. κανόνος. Περὶ δὲ τῶν καταλιμπανόντων τὰς

οἰκείας γυναῖκας; ἀνάγνωθι καὶ τὸν μή. κανόνα τοῦ παρόντος ἁγίου Πατρὸς, καὶ τὸ παρατέλευτον θέμα τοῦ τελευταίου κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, λέγον· Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι· ἡ δὲ εἰς ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται. Ἀνάγνωθι καὶ τὸν β'. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου λέγοντα τοὺς τοιούτους ἐξωθεῖσθαι τῆς ἐκκλησίας μέχρι θανάτου· καὶ μὴ ἐναντιωθῇ σοι, ἀλλ' εἰπὲ, τὸν μὲν τῆς διαληφθείσης συνόδου κανόνα ὁροθετηθῆναι περὶ τῶν ἐξεχομένων τοῦ κακοῦ, τὸν δὲ παρόντα, περὶ τῶν ἀποστάντων καὶ ἐξομολογησαμένων· καὶ διὰ τοῦτο, ἐκεῖνοι μὲν ἀκοινωνησίᾳ παντελεῖ κατακρίνονται, οὗτοι δὲ ἐπὶ πεντεκαίδεκα ἔτεσιν ἐπιτιμῶνται. Σημείωσαι δὲ ἀπὸ τῶν παρόντων κανόνων, ὅτι οὐ μόνον εἰς ταῦτα τὰ ἁμαρτήματα, ἀλλὰ καὶ εἰς τὰ λοιπὰ ἡ ἀπόστασις δίδωσι χώραν τοῖς ἐπιτιμίοις· ὁ γὰρ ἐπιμένων τῷ κακῷ, κἂν μυριάκις ἐπιτιμηθῇ, καὶ τοσαυτάκις ἀγαθοεργήσῃ, ἀνίατον ἔχει τραῦμα, μὴ συσφιγγόμενον καταδέσμοις οὐλωτικοῖς. Ἔτι σημείωσαι ὅτι τὰ τοῦ παλαιοῦ (1) νόμου, ἄνευ ὧν ῥητῶς ἐδέξατο ἡ ἐκκλησία, ἐσχόλασαν, καὶ ὁ χρώμενος τούτοις, ἰουδαΐζει. Ἰδοὺ γὰρ ἀναφαίνεται, ὅτι καὶ παρὰ τοῖς ἁγίοις Πατράσιν οἱ νόμοι ἐδέχθησαν οἱ τοὺς ἐξ ἀγχιστείας γάμους κωλύοντες, καὶ ὁ νόμος ὁ παλαιὸς ὁ ἐπιτρέπων τὸν τοῦ τελευτήσαντος ἀδελφὸν λαμβάνειν τὴν γυναῖκα αὐτοῦ, ὡς ἂν ἀναστήσῃ σπέρμα τῷ ἀδελφῷ, ἠπράκτησε. Καὶ οἱ Λατῖνοι δὲ, οἱ τὰ ἐξ ἀγχιστείας συνοικέσια ἀδιαφόρως συναλλάττοντες, τῷ κανόνι προσκρούουσιν.

ΑΡΙΣΤ. Ὁ τῇ μητρυιᾷ ἐπιμανεὶς, ὡς ὁ ἐπιμανεὶς ἀδελφῇ.

## Κανὼν Π'.

Τὴν πολυγαμίαν οἱ Πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη, καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων. Ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα. Διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι·

(1) τὰ τοῦ παρόντος, Ἐ. Χ. Τρ. (ἐσφαλμένως)



δηλονότι ἐνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

---

ΖΩΝΑΡ. Τὴν πολυγαμίαν, ἤτοι τὸ πολλὰς ἀγαγέσθαι τὸν αὐτὸν γυναῖκας, εἰ καὶ μὴ ὁμοῦ, κτηνῶδες εἶναί φησι, καὶ οὐκ ἀνθρώπινον· ἢ καὶ τὸ πολλαῖς μίγνυσθαι, καὶ ἀδιαφόρως ἔχειν πρὸς τὴν μῖξιν, ὅπερ καὶ πλέον εἶναι τῆς πορνείας παρίσταται, ἀντὶ τοῦ, δοκεῖ καὶ κρίνεται ἡμῖν· διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι· καὶ ἑξῆς ἐπάγει τοὺς χρόνους τοῦ ἐπιτιμίου, δοκοῦντας τέσσαρας εἶναι. Πῶς δὲ πλέον τῆς πορνείας εἶναι εἰπὼν ὁ ἅγιος τὴν πολυγαμίαν, τὸν αὐτὸν χρόνον καὶ ἐπὶ ταύτης ὥρισε τάχα; τετραετίᾳ γὰρ ἡ πορνεία ἐπιτιμᾶται κατὰ τοὺς Πατέρας. Οἶμαι δὲ πλείονα τὸν χρόνον ἐνταῦθα συνάγεσθαι, καὶ ὑπὲρ τὴν τετραετίαν· ὁ μὲν γὰρ πορνεύσας, ἐνιαυτὸν προσκλαίειν ὥρισται, τῷ δὲ δευτέρῳ ἀκροᾶσθαι, τῷ τρίτῳ μετανοεῖν, ἤγουν ἐν ὑποπτώσει εἶναι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι· τῷ τετάρτῳ συνίστασθαι μετὰ τῶν πιστῶν, καὶ μετὰ τοῦτο ἀξιοῦσθαι τῶν θείων δώρων, κατὰ τὸν κβ'. κανόνα. Ὁ δὲ πολυγαμίαν ἁμαρτήσας, ἐνιαυτὸν προσκλαίειν ὡρίσθη, ἐν τρισὶν ὑποπίπτειν, ὅ ἐστι, τὸ μετὰ τῶν κατηχουμένων ἵστασθαι, καὶ συνεξιέναι αὐτοῖς, καὶ οὕτω δεκτὸν εἶναι, εἰς σύστασιν δηλαδὴ μόνην, ὥστε κἀκεῖ διατρίψαντα, ἐφ' ὅσον ὁ οἰκονομῶν αὐτὸν κρινεῖ, οὕτω καὶ εἰς τὴν τῶν ἁγιασμάτων μετάληψιν δέχεσθαι. Ζήτει καὶ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα τρίτον.

ΒΑΛΣ. Ἐν τῷ δ'. κανόνι, περὶ τριγάμων καὶ πολυγάμων ὁροθετήσας ὁ ἅγιος, ὅσα τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου ἐκαλλιγράφησε δεξιᾶς, ἄρτι φησὶν, ὡς οἱ μὲν Πατέρες οὐδὲν περὶ πολυγαμίας εἰρήκασιν, ἀλλὰ τῷ τῆς ἀφασίας σκότει ταύτην ἐκάλυψαν, ὡς κτηνώδη, καὶ τῆς ἀνθρωπίνης ἀπεξενωμένην διαγωγῆς· αὐτῷ δὲ δοκεῖ ταύτην εἶναι χείρονα τῆς πορνείας. Διὸ, καὶ τὸν τῇ τῆς πολυγαμίας ἀκαθαρσίᾳ ἐξ ἀλογίας κατασχεθέντα, κανονικοῖς ἐπιτιμίοις καθυποβάλλεσθαι διωρίσατο· δηλονότι ἐπὶ ἐνιαυτὸν μετὰ τῶν προσκλαιόντων ἵστασθαι, ἐπὶ τρισὶν ἐνιαυτοῖς ἐν ὑποπτώσει εἶναι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι,

καὶ οὕτω δέχεσθαι. Ἐρωτήσει δέ τις, ὡς τοῦ διαληφθέντος τετάρτου κανόνος διαλαμβάνοντος τὴν τριγαμίαν πορνείαν κεκολασμένην παρὰ τῶν Πατέρων ὀνομασθῆναι, καὶ ἐξισοῦντος ἐν πᾶσι ταύτας, πῶς ὁ παρὼν κανὼν φησιν ἀποσιωπηθῆναι τὴν πολυγαμίαν παρὰ τῶν Πατέρων, ὑπερκεῖσθαι δὲ καὶ τῆς πορνείας τὸ ταύτης ἁμάρτημα; Λύσις. Τριγαμία μὲν τῷ νόμῳ ἐπιγινώσκεται, τετραγαμία δὲ καὶ ἐφεξῆς, οὔτε τοῖς κανόσιν, οὔτε τοῖς νόμοις ἐδέχθη· πᾶν γοῦν γαμικὸν συνάλλαγμα τοὺς ὅρους ὑπερβαῖνον τῆς τριγαμίας, πολυγαμία ὀνομάζεται. Ἐκεῖσε τοίνυν περὶ τριγαμίας ὁροθετῶν ὁ ἅγιος, ὠνόμασεν οὐ τὴν πολυγαμίαν κεκολασμένην πορνείαν, ἀλλὰ τὴν τριγαμίαν, διὰ τὸ ἐπιγινώσκεσθαι ταύτην καὶ τῷ νόμῳ, καὶ μὴ διασπᾶσθαι παρὰ τῆς ἐκκλησίας, καθὼς τοῦτό φησιν ὁ ν'. κανών· ἐνταῦθα δὲ περὶ πολυγαμίας διαταττόμενος, εἴρηκε ταύτην καὶ τῆς πορνείας εἶναι χείρονα, καὶ εἰκότως· ὁ μὲν γὰρ πορνεύων, ἑαυτὸν καὶ μόνον ἀδικεῖ, ὡς εἰς τὸν τῆς ἀκολασίας δυσδιεξίτητον βόθυνον ἐπιῤῥίπτων ἑαυτὸν ἑκοντί· ὁ δὲ τέταρτον ἢ πέμπτον γάμον ποιούμενος, κατορχεῖται μὲν τῶν θείων κανόνων καὶ νόμων, τῶν κωλυσάντων τὸ ἀθέμιτον τοῦτο ἔργον, ἀδικεῖ δὲ καὶ τοὺς γνησίους παῖδας τούτου, ὡς ταῖς γνησίοις σπορίμοις αὐτοῦ ὑποσπείρων νόθων παρασπορίων ζιζάνια. Ἵνα γοῦν ἀπόσχωνται οἱ πιστοὶ τῶν τοιούτων ἀθέσμων γάμων, ὥρισεν ὁ ἅγιος ἐπὶ πλέον τῶν πορνευσάντων τοὺς τοιούτους κολάζεσθαι μετὰ τὴν ἐξομολόγησιν, καὶ τοῦ κακοῦ τὴν ἀπόστασιν. Ἔτι ἐρωτήσει τις, ὡς τῆς πορνείας ἐπὶ ἑπταετίαν ἐπιτιμωμένης, καθὰ τοῦτο παρίσταται ἀπὸ τοῦ νθ'. κανόνος, πῶς ὁ παρὼν κανὼν ὀνομάζων τὴν πολυγαμίαν χείρονα τῆς πορνείας, ἐπιτιμᾷ αὐτὴν ἐπὶ τέσσαρσιν ἐνιαυτοῖς; Λύσις. Τινὲς λύοντες τὸ ἀμφίβολον, ἐπὶ τετραετίαν εἶπον κολάζεσθαι τοὺς πόρνους, χρώμενοι καὶ τῷ κβ'. κανόνι τοῦ ἁγίου Πατέρος. Σὺ δὲ ἀνάγνωθι τὸν θ'. κανόνα, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ εἰπὲ, ὅτι ὁ μὲν πόρνος ἐπὶ ἑπταετίαν ἐπιτιμᾶται, ὁ δὲ πολυγαμήσας, καὶ ὑπὲρ ἑπταετίαν. Ἐπεὶ γὰρ τέσσαρές εἰσι τόποι τῶν ἐπιτιμίων, καὶ ὡρίσθη τοῦτον ἐπὶ ἐνιαυτὸν προσκλαίειν, καὶ ἐν τρισὶν ὑποπίπτειν, ἀναλόγως καὶ τοὺς λοιποὺς τόπους δουλεῦσαι ἀναγκασθήσεται, δηλονότι τὸν τοῦ ἀκροωμένου, καὶ τὸν τοῦ συνεστῶτος, καὶ εἰ μὴ εἰς πλεῖον



καὶ οὗτοι περιστῶσιν, ἀλλά γε τέως εἰς τετραετίαν συμποσωθήσονται, ὡς εἶναι τοὺς ὅλους χρόνους τοῦ ἐπιτιμίου ὀκτώ. Ὅτι δέ τινες πολυγαμίαν ἐνταῦθα τὴν ἀδιάφορον πορνείαν ὠνόμασαν, ἀκουσάτωσαν ὅτι γάμος οὐ τὸ συμφθαρῆναι μόνον ἐστὶ κατὰ τὴν χυδαιοτέραν διάλεκτον, ἀλλὰ ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία· καὶ ὅτι ὁ γάμος οὐκ ἀπὸ μόνης τῆς συναφείας συνίσταται, ἀλλὰ καὶ ἀπὸ τῆς διαθέσεως τῶν συναλλαξάντων. Φησὶ γὰρ τὸ δ'. κεφ. τοῦ δ'. τίτλου τοῦ μά. βιβλίου· Προῖκα μὲν ἀποτελεῖ γάμος, γάμον δὲ προῖκες οὐ ποιοῦσιν, ἀλλὰ ἡ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. Περὶ δὲ τριγαμίας ἀνάγνωθι καὶ τὸν ὄπισθεν καταστρωθέντα τόμον τῆς ἑνώσεως, τὸν γεγονότα ἐπὶ τῶν ἡμερῶν τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου.

ΑΡΙΣΤ. Οἱ πολύγαμοι, κτηνώδεις· ἀλλ' οὖν μετὰ τετραετίαν δεχέσθωσαν.

Οὗτοι τοῦ μύσους ἀφιστάμενοι, καὶ τὸν παράνομον διαλύοντες γάμον, ἐπὶ τέσσαρσιν ἔτεσιν ἐπιτιμηθήσονται, εἰ καὶ πλέον πορνείας ἐστὶ τὸ ἁμάρτημα· ἕνα μὲν γὰρ ἐνιαυτὸν προσκλαύσουσιν, ἐν τρισὶ δὲ ὑποπέσουσι, καὶ οὕτω δεχθήσονται.

## Κανὼν ΠΑ'.

Ἐπειδὴ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ παρέβησαν τὴν εἰς Θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς, οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν Πατέρων ἡμῶν ἐξενεχθέντας νόμους καὶ κανόνας οἰκονομείσθωσαν. Οἱ μὲν γὰρ ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες, καὶ μὴ φέροντες τοὺς πόνους, καὶ ἑλκυσθέντες πρὸς τὴν ἄρνησιν, ἐν τρισὶν ἔτεσιν ἄδεκτοι ἔστωσαν, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, καὶ ἐν τρισὶν ὑποπεσόντες, οὕτω δεκτοὶ γενέσθωσαν εἰς τὴν κοινωνίαν. Οἱ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν, καὶ ἁψάμενοι τῆς τραπέζης τῶν δαιμονίων, καὶ ὀμόσαντες ὅρκους

ἑλληνικούς, ἐκβαλλέσθωσαν μὲν ἐν τρισὶν ἔτεσι, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, ἐν ὑποπτώσει δὲ εὐξάμενοι ἐν τρισὶν ἔτεσι, καὶ ἐν ἄλλοις τρισὶ συστάντες τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὶ ἔστωσαν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ.

---

ΖΩΝΑΡ. Ἐν καταδρομῇ βαρβάρων συλληφθέντες τινὲς, ἀθεμίτων τινῶν ἐγεύσαντο, ἤγουν εἰδωλοθύτων, καὶ μαγικῶν, μαγικαῖς δηλονότι τελεταῖς τεθυμένων, καὶ ὅρκους ὤμοσαν ἐθνικοὺς, ἢ εἴδωλα ὀνομάσαντες, ἢ θεοὺς ἑλληνικοὺς, ἢ τὸν ἥλιον, ἢ ἀστέρας ἄλλους, οὓς ἐκεῖνοι ἐσέβοντο ὡς θεούς. Τοὺς οὖν τοιούτους, οὐχ ὁμοίως πάντας οἰκονομεῖσθαι οἱ Πατέρες διετάξαντο· ἀλλὰ ἄλλως μὲν τοὺς δεινῶς βασανισθέντας, καὶ τῆς βίας ἡττηθέντας τῶν ἀλγεινῶν, ἄλλως δὲ τοὺς ἄνευ μεγάλης βίας προδόντας τὴν πίστιν, καὶ ἀψαμένους τῶν εἰδωλοθύτων, καὶ ὅρκους ἀποτετραμμένους ὀμόσαντας, κατὰ τὴν διάταξιν δηλαδὴ τοῦ παρόντος κανόνος. Ἐν δὲ τῷ ογʹ. κανόνι, τὸν ἀρνησάμενον τὸν Χριστὸν, καὶ παραβάντα τὸ τῆς σωτηρίας μυστήριον, διὰ βίου προσκλαίειν ὁ ἅγιος ὥρισε· θνήσκοντα δὲ, ἀξιοῦσθαι τῶν ἁγιασμάτων. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ ταὐτόν ἐστι τὸ ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς δαιμονίοις, καὶ τὸ εἰδωλοθύτων γεύσασθαι, καὶ ὅρκους ἑλληνικοὺς ὀμόσαι· τὸ μὲν γὰρ, ἀθέτησις τῆς πίστεως παντελής· τὸ δὲ, μίασμα καὶ δόκησις ἀθετήσεως· καὶ διὰ τοῦτο, μᾶλλον τὸ πρῶτον κεκόλασται. Ἢ ὅτι ἐν ἐκείνῳ μὲν τῷ κανόνι, περὶ τῶν αὐτομολησάντων εἰς τὴν ἄρνησιν, καὶ ἄνευ ἀνάγκης ἀθετησάντων τὴν πίςιν, διετάξατο· ἐν τούτῳ δὲ, περὶ τῶν ἡττηθέντων τῆς τῶν βασάνων σφοδρότητος, καὶ τῶν βίαν παθόντων κἂν μὴ πάνυ σφοδρὰν, καὶ ἐνδεδωκότων, καὶ διὰ τοῦτο μετριώτερα αὐτοῖς τὰ ἐπιτίμια ἔταξε.

ΒΑΛΣ. Ἡ ἐν Ἀγκύρᾳ σύνοδος ἱκανῶς διωρίσατο τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀπὸ βίας τυραννικῆς θύσαντας τοῖς εἰδώλοις, ἢ μιαροφαγήσαντας. Ἀκολούθως οὖν ἐκείνοις φησὶ καὶ ὁ μέγας Βασίλειος, πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ τοιοῦτόν τι ποιήσαντες, ἢ ὡς ἄμετρα βασανισθέντες, ἢ ὡς χωρὶς μεγάλης βίας προδόντες τὴν εἰς Θεὸν πίςιν. Ἐπεὶ δὲ ἐν τῷ ογʹ. κανόνι τὸν ἀρνησάμενον τὸν



Χριστὸν, καὶ παραβάντα τὸ τῆς σωτηρίας μυστήριον, διὰ βίου ὅλου προσκλαίειν ὁ ἅγιος ὥρισε, θνήσκοντα δὲ ἀξιοῦσθαι τῶν ἁγιασμάτων, καὶ δοκοῦσιν οἱ κανόνες ἐναντιοῦσθαι, εἰπὲ, ὅτι οὐκ ἔστι ταὐτὸν τὸ ἀρνήσασθαι τὸν Χριστὸν, καὶ τὸ θῦσαι τοῖς δαιμονίοις, ἢ εἰδωλοθύτων γεύσασθαι, ἢ ὅρκους ἑλληνικοὺς ὀμόσαι· τὸ μὲν γὰρ, τῆς πίστεως ἀθέτησίς ἐστι παντελὴς, ταῦτα δὲ μίασμα καὶ δόκησις ἀθετήσεως, καὶ διὰ τοῦτο ἐπὶ πλέον τὸ πρῶτον κολάζεται· ἢ ὅτι ἐν ἐκείνῳ μὲν τῷ κανόνι, περὶ τῶν αὐτομολησάντων εἰς τὴν ἄρνησιν, καὶ ἄνευ ἀνάγκης ἀθετησάντων τὴν πίστιν, διετάξατο ὁ ἅγιος· ἐν τούτῳ δὲ, περὶ τῶν ἡττηθέντων τῇ τῶν βασάνων σφοδρότητι, καὶ περὶ τῶν βίαν παθόντων κἂν μὴ πάνυ σφοδρὰν, καὶ ἐνδεδωκότων, ὅθεν καὶ μετριώτερα ἐνταῦθα ὑπετύπωσεν ἐπιτίμια. Εἰ τάχα δὲ λέγουσί τινες τὰ τοῦ παρόντος κανόνος σχολάσαι διὰ τὸ τὴν πίστιν τῇ τοῦ Θεοῦ χάριτι ἐπὶ πέτραν ὀρθοδοξίας ἀραρότως στηρίζεσθαι, καὶ τοὺς τυράννους λιθολευστηθῆναι πετροβόλοις μαρτυρικοῖς πρὸ χρόνων πολλῶν, ἀλλὰ καὶ σήμερον πολλοὶ ταῖς τῶν ἀθέων Ἀγαρηνῶν χερσὶν ἁλώσιμοι γινόμενοι, καὶ βασανιζόμενοι, πὴ μὲν, τὴν ὀρθόδοξον πίστιν ἐξόμνυνται, πὴ δὲ, τὴν ἄθεον θρησκείαν τοῦ Μωάμεθ διόμνυνται· ἄλλοι δὲ καὶ ἑκοντὶ ἑαυτοὺς ἐπιῤῥίπτουσιν εἰς τὸν τῆς ἀπιστίας βόθρον· οἳ δὴ πάντες κατὰ τὸν παρόντα κανόνα θεραπευθήσονται μετὰ ἐξομολόγησιν καὶ προσήκουσαν μετάνοιαν. Περὶ δὲ μιαροφαγησάντων, ἀνάγνωθι τῆς ἐν Ἀγκύρᾳ συνόδου διαφόρους κανόνας, καὶ μάθῃς ὅπως καὶ οὗτοι ἐπιτιμῶνται.

ΑΡΙΣΤ. Οἱ παραβάντες τὴν πίστιν διὰ βασάνων, ὀκταετίαν ὑποπιπτέτωσαν· οἱ δὲ αὐθαιρέτως, δωδεκαετίαν.

Ὅσοι μὲν ἐν τῇ τῶν βαρβάρων καταδρομῇ χαλεπὴν ἀνάγκην ἐκ βασάνων ὑπέμειναν, καὶ τοὺς πόνους μὴ φέροντες, τὴν εἰς Θεὸν παρέβησαν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν τῶν ἐν τοῖς εἰδώλοις γευσάμενοι, οὗτοι μεταμεληθέντες, καὶ μετὰ δακρύων καὶ συντριβῆς καρδίας ὑποστρέψαντες, ἐν τρισὶ μὲν ἔτεσι μετὰ τῶν ἀκροωμένων, καὶ ἐν ἑτέροις τρισὶ μετὰ τῶν ὑποπιπτόντων, καὶ οὕτως εἰς τὴν κοινωνίαν δεχθήσονται. Ὅσοι δὲ ἄνευ μεγάλης ἀνάγκης προδόται τῆς εἰς

Θεὸν γεγόνασι πίστεως, τραπέζης τῶν δαιμονίων ἀψάμενοι, καὶ ὅρκους ἑλληνικοὺς ὀμόσαντες, οὗτοι ἐν τρισὶ μὲν προσκλαύσουσιν ἔτεσιν, ἐν δυσὶ δὲ ἀκροάσονται, ἐν τρισὶν ἐν ὑποπτώσει διατελέσουσι, καὶ ἐν ἄλλοις τρισὶ συστήσονται μετὰ τῶν πιστῶν εἰς τὴν δέησιν, καὶ οὕτω τῷ δεκάτῳ ἔτει τῆς τοῦ ἀγαθοῦ κοινωνίας μεθέξουσι.

## Κανὼν ΠΒ΄.

Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη (1) εἶναι αὐτοὺς δεκτούς. Εἰ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέμπτῳ ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον δηλαδὴ τὴν μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.

---

ΖΩΝΑΡ. Ἐν τῷ ξδ΄. κανόνι ἀπροσδιορίστως ὁ ἅγιος ἀκοινωνησίας ἐπιτιμίῳ ἐπὶ δεκαετίαν τὸν ἐπίορκον ἐκόλασεν. Ἐνταῦθα δὲ διαίρεσιν ποιεῖται τῶν ἐπιόρκων· καὶ τοὺς μὲν ἐξ ἀνάγκης βιασθέντας ἐπιορκῆσαι, μετὰ ἓξ ἔτη δέχεσθαι διωρίσατο· τοὺς δὲ χωρὶς ἀνάγκης, ἐπὶ ἕνδεκα ἔτη εἶναι ἀφωρισμένους, καὶ οὕτω δέχεσθαι εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ, ἐπιδειξαμένους μετάνοιαν ἀξιόλογον.

ΒΑΛΣ. Οἱ καταστρωθέντες νόμοι ἐν τῷ ιη΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος ὁρκοῦσιν εἰς τὸ παραστῆσαί σοι ποῖοι ὅρκοι ἀναψηλαφῶνται, καὶ ἐντεῦθεν μαθήσῃ τίνες εἰσὶν οἱ ἐπίορκοι. Ὁ δὲ ξδ΄. κανὼν, καὶ ὁ παρὼν τοῦ μεγάλου τούτου ἁγίου, οὐ διδάσκουσι ποῖοι ἀναψηλαφῶνται ὅρκοι, ἀλλὰ πῶς ἐπιτιμῶνται οἱ ἐπιορκήσαντες. Καὶ ἐν μὲν τῷ ξδ΄. κανόνι, ἀπροσ-

(1) Σ. Ρ. Χ. Τρ. Ἀτ. Βασιλ. — μετὰ ἓξ ἔτη πάντως αὐτοὺς δεκτοὺς εἶναι Ἑ. Π. Βευερ.



διορίστως ὁ ἅγιος ἀκοινωνησίας ἐπιτιμίῳ ἐπὶ δεκαετίᾳ τὸν ἐπίορκον καθυπέβαλεν. Ἐνταῦθα δὲ διαίρεσιν ποιεῖται τῶν ἐπιόρκων· καὶ τοὺς μὲν ἐξ ἀνάγκης βιασθέντας ἐπιορκῆσαι, μετὰ ἓξ ἔτη δέχεσθαι διωρίσατο, τοὺς δὲ χωρὶς ἀνάγκης, μετὰ δώδεκα, ἐπιδειξαμένους μετάνοιαν ἀξιόλογον. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἐκείνους τοὺς ἐπιόρκους εἰπὲ κατὰ τὸν παρόντα κανόνα κολάζεσθαι, τοὺς ἑκοντὶ καὶ διὰ ἐξομολογήσεως τὸ ἁμάρτημα θριαμβεύσαντας, καὶ θεραπείαν ζητήσαντας, οὐ μὴν τοὺς ὡς ἐπιόρκους κατακριθέντας ἀπὸ κατηγορίας ἑτέρων· ἐκεῖνοι γὰρ σὺν τῇ χρηματικῇ ποινῇ καὶ πλειόνως παρὰ τῆς ἐκκλησίας ἐπιτιμηθήσονται· ὁ γὰρ ἔλεγχος, ὡς πολλάκις εἴρηται, διπλασιάζει τὸ τοῦ ἁμαρτήματος ὄφλημα· καὶ ἡ μετάνοια κουφίζει τῆς τιμωρίας τὴν πλάστιγγα. Ἔσο δὲ εἰδὼς ὡς τὸ τῆς ἐπιορκίας ἁμάρτημα πολυειδές ἐστι, καὶ διὰ τοῦτο καὶ δυσθεράπευτον. Ἄλλως γὰρ ἐπιτιμᾶται ὁ κατ' ὀλιγωρίαν ὀμόσας, καὶ ἐπιορκήσας, ἄλλως ὁ κατὰ βίαν, ἄλλως ὁ ἐκ μεταμέλου, ἄλλως ὁ διὰ ἄμυναν, ἄλλως ὁ κατὰ δόλον, ἄλλως ὁ ἀθετήσας ὅρκον γεγονότα διά τι παιγνιῶδες ἢ καὶ ἀπόβλητον, ἄλλως ὁ σωματικὸν ὅρκον παραβὰς, ἄλλως ὁ ἔγγραφον, καὶ ἁπλῶς εἰς τὴν διάκρισιν τοῦ δεξαμένου τὴν ἐξομολόγησιν ἀνάκειται ἡ θεραπεία τῆς ἐπιορκίας. Ἐγὼ γὰρ εἶδον πολλοὺς ὀμόσαντας ἀπελθεῖν εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐπιορκήσαντας, καὶ ἀνεπιτιμήτους συντηρηθέντας, καὶ ἄλλους ἀγράφως ὀμόσαντας εἰς τὴν κεφαλὴν τοῦ βασιλέως, καὶ πικρῶς κολασθέντας· καὶ ἄλλους κατὰ βίαν ὀμόσαντας, καὶ μηδὲ ὅλως κολασθέντας. Ἐρωτομανοῦντας δὲ πόσους εἶδον ἐπομοσαμένους, καὶ τοὺς ὅρκους ἀκινδύνως καταπατήσαντας! Διὸ χρεὼν ἐστι τὰ περὶ τούτων ἀκριβῶς ἐξετάζεσθαι, καὶ ἀξίως θεραπεύεσθαι.

ΑΡΙΣΤ. Ὁ ἐκ βίας ἐπιορκήσας, μετὰ ἑξαετίαν δεκτός· ἄνευ ἀνάγκης, ἐν δυοκαίδεκα.

Ὤμοσέ τις τόδε μὴ ποιῆσαι, τυχὸν δικαστὴς, μὴ ὑπογράψαι εἰς τὴν ἐπενεχθεῖσαν καταδίκην τῷ δεῖνι· εἶτα βιασθεὶς ὑπὸ μείζονος ἐξουσίας, παρέβη τὸν ὅρκον· κουφοτέροις οὗτος ἐπιτιμίοις ὑπόκειται διὰ τὴν βίαν· ἐπὶ ἑξαετίαν γὰρ ἐπιτιμηθήσεται. Εἰ δὲ ἄνευ τινὸς βίας παρέβη τὰ ὀμοθέντα, ἐν δυσὶν ἔτεσι μετὰ τῶν ἀκροωμένων, ἐν πέντε μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν

δυσὶν ἄλλοις παραδεχθήσεται μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν αὐτοῖς συγκοινωνήσει· καὶ οὕτω μετὰ τὸν ἕνδέκατον χρόνον, τοῦ σώματος τοῦ Χριστοῦ ἀξιωθήσεται.

## Κανὼν ΠΓ'.

Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἐξακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει(1) φαρμακειῶν, καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἑξαετίας· ἐνιαυτὸν προσκλαύσαντες, καὶ ἐνιαυτὸν ἀκροασάμενοι, καὶ ἐν τρισὶν ἔτεσιν ὑποπίπτοντες, καὶ ἐνιαυτὸν συστάντες τοῖς πιστοῖς, οὕτω δεχθήτωσαν.

---

ΖΩΝΑΡ. Ἐν τῷ ξέ. κανόνι τοὺς γόητας, ἢ φαρμακείαν ἐξαγορεύοντας, τῷ τοῦ φονέως ὑπάγει ἐπιτιμίῳ· οὓς δὲ λέγει ἐνταῦθα, ἐν ἓξ ἀφορίζει ἐνιαυτοῖς, καὶ οὐκ ἐναντιοῦται ὁ ἅγιος ἑαυτῷ· ἐκεῖ μὲν γὰρ περὶ τῶν αὐτουργούντων τὰς γοητείας, καὶ τὰ φάρμακα κεραννύντων εἰς βλάβην ἀνθρώπων διετάξατο, ἢ καὶ τῶν χρωμένων αὐτοῖς ἐν τοιούτοις· ἐνταῦθα δὲ, περὶ τῶν μαντείαις πιστευόντων, καὶ χρωμένων τοῖς μάντεσιν εἰς εὕρεσιν φαρμακειῶν, καὶ εἰς κάθαρσιν τάχα τοῦ ἐξ αὐτῶν μιάσματος, καὶ εἰς ἀποτροπιασμὸν τῆς ἐκ τοιούτων βλάβης, καὶ θεραπείαν δῆθεν τῶν τοιουτοτρόπως γινομένων παθημάτων. Ὁ δὲ κδ'. κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου, πενταετίας ὁρίζει κατὰ τῶν τοιούτων ἀφορισμόν.

ΒΑΛΣ. Πολλάκις τινὲς τῶν ἁπλουστέρων καὶ ἀσυνετωτέρων καιρίως νοσηλευόμενοι, καὶ μὴ εὐκαίρως θεραπευόμενοι, νομίζουσιν ἀπὸ μαγικῆς μαγγανείας, ἤτοι φαρμακείας πάσχειν· διὸ καὶ προσέρχονταί τισιν ἐθνικοῖς, διϊσχυριζομένοις εἰς τοὐμφανὲς ἀγαγεῖν τὰς φαρμακείας κρυπτομένας, καὶ τὴν σωματικὴν ὑγείαν ληστευούσας τοῦ πάσχοντος, καὶ οὕτω καθᾶραι τὸν νοσοῦντα ἐκ τοῦ μιάσματος. Τοὺς γοῦν οὕτω καταμαντευομένους, καὶ μὴ πισεύοντας διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς Θεομήτορος, καὶ πάντων

(1) ἀνερευνήσει Βευηρ.



τῶν ἁγίων, πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν θεραπεύεσθαι, καὶ πᾶσαν φαρμακείαν καὶ μαγγανείαν σατανικὴν τῇ δυνάμει καὶ προστασίᾳ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐκδιώκεσθαι ἀπὸ τῶν πιστῶν, ἀλλ' ἐξακολουθοῦντας μᾶλλον τοῖς τερατολόγοις, καὶ μαγγανοποιοῖς, καὶ ταῖς τῶν ἐθνῶν συνηθείαις, καὶ εἰσάγοντας τοιούτους τινὰς ἐν τοῖς οἴκοις διὰ καθαρισμὸν τάχα τῆς ἀπὸ τῆς φαρμακείας νοσηλείας, φησὶν ὁ ἅγιος ἐπὶ ἑξαετίαν ἐπιτιμᾶσθαι. Ἐρεῖ δέ τις ἐναντιοῦσθαι τὸν παρόντα κανόνα τῷ ξε'. κανόνι καὶ τῷ οβ'. ἐκεῖνοι μὲν γὰρ διορίζονται τοὺς τοιούτους ὡς φονέας ἐπιτιμᾶσθαι, ἤτοι ἐπὶ εἴκοσιν ἐνιαυτοῖς οἰκονομεῖσθαι κατὰ τοὺς ἑκουσίους φονεῖς, ἢ ἐπὶ δέκα ἔτεσι κατὰ τοὺς ἀκουσίους· ὁ δὲ παρὼν κανὼν, ἐπὶ ἕξ. Οἶμαι δὲ, ὅτι διαφορά ἐστι τῶν κανόνων· ὁ μὲν γὰρ ξέ. κανὼν, περὶ αὐτουργῶν, ἤτοι μάγων καὶ φαρμακῶν ὁροθετεῖ· ὡσαύτως καὶ ὁ οβ'. περὶ τῶν ἐπιδιδόντων ἑαυτοὺς μάντεσιν, ἤτοι φρονούντων ὁμοίως αὐτοῖς. Ὁ δὲ παρὼν κανὼν, περὶ ἀνθρώπων διέξεισι κατὰ πλάνην ἀκολουθησάντων τοῖς διϊσχυριζομένοις θεραπεύειν, καὶ λύειν τὰ μαγικὰ δεσμὰ, καὶ τὰ νοσήματα, μηκέτι δὲ ἀπὸ τῆς πίστεως μεταστάντων· ὥστε διαφορά ἐστι τῶν αὐτουργησάντων καὶ καταπροδόντων ἑαυτοὺς τοῖς γόησιν, ὥστε καὶ τὴν πίστιν ἀρνήσασθαι, καὶ τῶν μὴ ἀποστάντων μὲν ἀπὸ τῆς ὀρθοδόξου πίστεως, ὀλισθησάντων δὲ διὰ τὸ ὅλως προσελθεῖν τοιούτοις τισί· καὶ διὰ τοῦτο, ἐκεῖνοι μὲν ἐπὶ πλείοσι χρόνοις ἐπιτιμῶνται, οὗτοι δὲ ἐπὶ ἥττοσιν. Ἀνάγνωθι καὶ τὸν β'. κανόνα τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης ἐκ τῆς πρὸς Λητόϊον ἐπιστολῆς, οὕτω ταῦτα διαιροῦντα. Ἀπὸ δὲ τοῦ μεμνῆσθαι τὸν κανόνα ἀνθρώπων καταμαντευομένων, ἀναφαίνεται, ὡς νομίζω, ὅτι οἱ καταχρησάμενοι τῷ κακῷ, ἐπὶ ἑξαετίαν ἐπιτιμηθήσονται· οἱ δὲ ἅπαξ τυχὸν πλανηθέντες καὶ ἀποστάντες, μετρίως θεραπευθήσονται· εἶδον γὰρ τοῦτο καὶ πραγματικῶς γεγονός. Τῆς γὰρ μακαρίτιδος σεβαστῆς κυρᾶς Ζωῆς, τῆς συμβίου τοῦ πανευσεβεσάτου ἐκείνου κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τοῦ υἱοῦ τοῦ ἀοιδίμου σεβαστοκράτορος, νόσῳ περιπεσούσης βαρείᾳ, καὶ τῶν ἰατρῶν ἀπαγορευσάντων τὴν θεραπείαν αὐτῆς διὰ τὴν τῶν πολυειδῶν νοσημάτων ἐναντιότητα, ἐθνικοί τινες ἐπαγγειλάμενοι θεραπεῦσαι αὐτὴν, ὡς δῆθεν ἀπὸ μαγικῶν μαγγανειῶν νοσηλευομένην,

συνώθησαν ἀδίκως ἐτασθῆναι πολλὰς καὶ θαυμαστὰς γυναῖκας αὐτῆς, ἔτι μὴν καὶ ἄνδρας. Ἐῤῥιπτον δὲ κρύφα ἐν γωνίαις κηρόπλαστα εἴδωλα, καὶ σατανικῶς προεμήνυον τὴν τούτων ἀναψηλάφησιν καὶ εὕρεσιν· καὶ ἄλλα δὲ μύρια δεινὰ διεπράξαντο εἰς καταφρόνησιν τοῦ Θεοῦ, καὶ τιμωρίαν ἀνθρώπων πολλῶν. Καὶ αὐτοὶ μὲν οἱ ἄθεοι ἀπρακτήσαντες, ἀφανεῖς ἐγεγόνεισαν. Ἡ δὲ πανευγενεστάτη ἐκείνη γυνὴ, οὐ μόνον οὐκ ἀπώνατό τι, ἀλλὰ καὶ τῇ νόσῳ χρονίως προσπατταλευθεῖσα, ἐκ τοῦ βίου μετέστη, κακὸν ἐφόδιον ἐπιφορτισθεῖσα τὴν ἀπὸ τῶν θείων κανόνων κατ' αὐτῆς ἀγανάκτησιν, ἣν ἐπικουφίσαι Κύριος ὁ Θεὸς διὰ τὰς ἄλλας ἀγαθοεργίας αὐτῆς. Μετὰ θάνατον δὲ ταύτης, λαληθέντων τούτων ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λέοντος τοῦ Στυπῆ, τινὲς μὲν τῶν προσγενῶν καὶ τῶν ὑποχειρίων αὐτῆς βαρέως ἐπετιμήθησαν, ὡς πλειστάκις καταμαντευσάμενοι, καὶ ὁλοψύχως τῇ σατανιώδει ἀῤῥητουργίᾳ πιςεύσαντες· ἕτεροι δὲ διὰ μετρίου ἐπιτιμίου ἐθεραπεύθησαν, ὡς μὴ πλειστάκις μηδὲ ἐκθύμως τῷ κακῷ ἀκολουθήσαντες. Προσεκτέον οὖν τῷ κανόνι, καὶ εἰς Θεὸν ἀναθετέον τὰς τῶν νοσηλευομένων θεραπείας, τὸν λόγῳ μόνῳ παραλελυμένας σάρκας συσφίγξαντα, καὶ μὴ προδοτέον ἑαυτοὺς εἰς μαγγανείας σατανικὰς, ἀφαιρουμένας μὴ μόνην τὴν τῶν σωμάτων ὑγείαν, ἀλλὰ καὶ τῶν ψυχῶν. Ἀνάγνωθι καὶ τὸ κ'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ κέ. κεφ. τοῦ θ'. τίτλου, καὶ τὸν κδ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου.

*Ἑτέρα ἑρμηνεία*

Περὶ δὲ τῶν προσερχομένων μάγοις, ἢ μάντεσι, καὶ ἐπαοιδοῖς, καὶ τοῖς ποιοῦσι περίαπτα, καὶ ἕτερά τινα δαιμονικὰ, ἀνάγνωθι τὴν τῆς πρὸς Κολοσσαεῖς ἐπιστολῆς ἑρμηνείαν τοῦ Χρυσοστόμου, καὶ τὸν κατὰ Ἰούδαν ς'. λόγον αὐτοῦ, διδάσκοντα ὡς, κἂν νεκρὸν ἀναστήσῃ τις μὴ ζῶν ἁγιοπρεπῶς, μὴ πιστευτέον αὐτῷ, ἀλλὰ καταργητέον.

ΑΡΙΣΤ. Οἱ μάντεσι πιστεύοντες, ἢ εἰσάγοντές τινας εἰς τὰς οἰκίας αὐτῶν ἐπὶ ἀνευρέσει τινῶν φαρμακειῶν, ἐνιαυτὸν προσκλαιέτωσαν, ἐνιαυτὸν ἀκροάσθωσαν, τρεῖς ὑποπιπτέτωσαν, καὶ ἐν ἑνὶ συστάντες τοῖς πιστοῖς, δεχθήτωσαν. Σαφής.



## Κανὼν ΠΔ'.

Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας· οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. Ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν ἐθέλωσιν, ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ παραδέχωνται (1), οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος. Ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι, Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν(2).

---

ΖΩΝΑΡ. Ἐπὶ πᾶσιν οἷς διετάξατο ὁ μέγας Βασίλειος ἐπάγει, ὅτι εἰ καὶ χρόνους ὡρίσαμεν μετανοίας ἐπὶ τοῖς ἁμαρτήμασιν, ἀλλ' οὐ χρόνῳ κρίνομεν τὴν μετάνοιαν, ὥστε τοῦ τεταγμένου καιροῦ παρελθόντος ἐφ' ἑκάστῳ τῶν ἁμαρτανόντων, ἐκ παντὸς δέχεσθαι αὐτοὺς, ἀλλὰ τοὺς καρποὺς τῆς μετανοίας δοκιμάζομεν, καὶ τῷ τρόπῳ προσέχομεν, ἤγουν τῇ διαθέσει τοῦ μετανοοῦντος, ὡς κἀνταῦθα νοεῖσθαι τὰ τοῦ οδ'. αὐτοῦ κανόνος, ἤτοι τὸ τοῖς σπουδαίοις μὲν ἐλαττοῦσθαι τὸν χρόνον, τοῖς δ' ἀμελῶς διακειμένοις, καὶ ἐπιτείνεσθαι. Εἰ δέ τινες, φησὶ, δυσαποσπάστως ἔχουσι τῶν ἰδίων ἐθῶν, καὶ οὐκ ἀφίστανται τῶν ἁμαρτημάτων, πρὸς τοὺς τοιούτους οὐδὲν ἡμῖν κοινόν· ἀκούομεν γὰρ ἐκ τῆς Γραφῆς, ὅτι, Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, ἤγουν, βλέπε μὴ καὶ σεαυτὸν ἀπολέσῃς ἀδιορθώτοις συγκοινωνῶν. Καὶ ἑξῆς ποιεῖται παραίνεσιν πρὸς ἀρχιερεῖς, τοὺς δυναμένους λύειν καὶ δεσμεῖν τοὺς ἁμαρτάνοντας, καὶ φησί· Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρίμα, καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἀλλοτρίαις ἁμαρτίαις συναπόλλυσθαι. Εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος,

---

(1) καταδέχωνται, Ἄτ. Βασιλ. Σ. Ῥ. — (2) Γεν. ΙΘ', 17.

καὶ παρέδωκεν ἡμᾶς εἰς χεῖρας ἐχθρῶν, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ δὲ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐφ' ἡμᾶς, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; Ἀλλὰ διαμαρτύρεσθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας, καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, συναπάγεσθαι δὲ αὐτῶν τῇ πονηρίᾳ μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιςα μὲν κερδῆσαι αὐτοὺς, καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν* (1) τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

ΒΑΛΣ. Ἐν μὲν τῷ οδ'. κανόνι, ὡροθέτησεν ὁ ἅγιος μετριάζεσθαι τὸν χρόνον τοῦ ἐπιτιμίου εἰς τοὺς ἐπιμελῶς μετανοοῦντας· ἐνταῦθα δέ φησιν ἀπὸ τοῦ ἐπιτιμίου μὴ ἀπολύεσθαι τοὺς ἀμελῶς τοῖς ἐπιτιμίοις δουλεύσαντας· κατὰ τούτων γὰρ διορίζεται τὰ ἐπιτίμια ἐπιτείνεσθαι. Τοὺς μέντοι μὴ ἀποστάντας μετὰ ἐξομολόγησιν ἀπὸ τοῦ κακοῦ, ἀλλ' ἐξεχομένους αὐτοῦ, παρακελεύεται μηδὲ λόγου ἀξιοῦσθαι· ἀκούομεν γάρ, φησίν, ἐκ τῆς Γραφῆς, ὅτι, Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, ἤγουν, ὅρα μὴ καὶ σεαυτὸν ἀπολέσῃς ἀδιορθώτοις συγκοινωνῶν. Σημείωσαι οὖν δύο κάλλιστα ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι, ὥσπερ ἐλαττοῦνται τὰ ἐπιτίμια εἰς τοὺς ἐπιμελῶς δουλεύσαντας τῇ ἐξομολογήσει, οὕτως ἐπιτείνονται εἰς τοὺς ἀμελεῖς· καὶ ὅτι ἐκεῖνοι ἐπιτιμῶνται οἱ ἀφιστάμενοι ἀπὸ τοῦ κακοῦ· οἱ γὰρ ἐπιμένοντες ταῖς ἐπιθυμίαις αὐτῶν, ἀκοινωνησίᾳ παντελεῖ κατακρίνονται.

ΑΡΙΣΤ. Μὴ χρόνῳ κρίνῃς, ἀλλὰ τρόπῳ τὰ ἐπιτίμια. Εἰ δ' ἐμμένωσι ταῖς ἁμαρτίαις καὶ ἀντιλέγοιεν, σὺ σῶζε τὴν οἰκείαν ψυχήν.

Τὰ μὲν ἐπιτίμια ὡρίσθησαν, ὡς ἐγράφησαν. Οὐ δεῖ δὲ πρὸς τὸν χρόνον τῶν ἐπιτιμίων ἀφορᾶν, ἀλλὰ πρὸς τὸν τρόπον τῆς μετανοίας. Καὶ εἰ μετὰ δακρύων, καὶ συντριμμοῦ καρδίας, καὶ ταπεινώσεως ἰσχυρᾶς τὰς ἐξομολογήσεις ποιοῦνται οἱ ἁμαρτάνοντες, καὶ ἀφίστανται τοῦ κακοῦ, καὶ ἐξ ὅλης ψυχῆς ἐκζητοῦσι

(1) τὸ, σπουδάσωμεν, οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ.



τὸν Κύριον, παρὰ τῇ ἐξουσίᾳ ἔσται τοῦ δεσμεῖν καὶ λύειν ἐμπεπιστευμένου τὸν χρόνον αὐτῶν ἐλαττῶσαι. Ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν οἱ πταίοντες, καὶ τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς δουλεύειν μᾶλλον αἱροῦνται, ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς πρὸς αὐτοὺς λόγος ἐπιτιμίων· ἐν γὰρ λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι, Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.

## Κανὼν ΠΕ'(1).

Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρίμα, καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἀλλοτρίαις ἁμαρτίαις συναπόλλυσθαι. Εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες, εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα

(1) Οἱ Κανόνες ΠΔ'. καὶ ΠΕ'. ἀποτελοῦσιν ἕνα μόνον τὸν ΠΔ'. ἐν Σ. Ῥ. καὶ Ἄπ. Βασιλ. — Ἐν δὲ Χ. Τρ. ἡ ἀρίθμησις τῶν Κανόνων παύει εἰς τὸν ΠΔ'. καὶ αἱ λέξεις τοῦ ΠΕ', εἰ καὶ μνημονεύονται αὐτολεξεὶ ὑπὸ τοῦ Ζωναρᾶ, οὐ φέρονται ὡς κανών.

Σημειωτέον ἐνταῦθα ὅτι ὅ τε Βαλσαμὼν καὶ ὁ Βλάσταρης ἀριθμοῦσιν πέ. Κανόνας τοῦ μεγάλου Βασιλείου, τοὺς ἐν ταῖς πρὸς Ἀμφιλόχιον κανονικαῖς αὐτοῦ ἐπιστολαῖς περιεχομένους. Τὰς δὲ ἐκ τῶν ἐπιστολῶν λοιπὰς κανονικὰς αὐτοῦ διατάξεις, κανόνας οὐκ ὀνομάζουσιν, εἰ καὶ ὁ Ζωναρᾶς ἐν τῇ τοῦ νδ'. κανόνος τῆς ς'. συνόδου ἑρμηνείᾳ, καὶ ὀγδοηκοστοῦ ἕκτου κανόνος μέμνηται, ὅς ἐστιν ἡ ἐπιστολὴ ρξ' πρὸς Διόδωρον. Καὶ ἐν τῷ Τραπεζουντίῳ δὲ κώδικι, καὶ ἐν τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ, καὶ ἐν ταῖς ἐκδόσεσι τῶν ἁπάντων τοῦ μεγάλου Βασιλείου ΠΔ'. ἢ ΠΕ'. κανόνες μόνον ἀριθμοῦνται. Ἐπειδὴ δὲ ἔν τε τῇ συλλογῇ τῶν Συνοδικῶν Πρακτικῶν, ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου, καὶ ἐν τῷ Πηδαλίῳ ἔλαβον ἀριθμὸν αὔξοντα κανόνων καὶ αἱ ἐκ τῶν λοιπῶν ἐπιστολῶν τοῦ Πατρὸς τούτου διατάξεις, ἠκολουθήσαμεν καὶ ἡμεῖς τῷ ἤδη κοινῶς παραδεδεγμένῳ τούτῳ τύπῳ, χάριν ἀποφυγῆς συγχύσεως περὶ τὴν ἀνεύρεσιν αὐτῶν.

ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ Θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; Ἀλλὰ διαμαρτύρεσθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας, καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν· συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

---

ΒΑΛΣ. Ταῦτα παραινετικὰ ῥήματά εἰσι πρὸς τοὺς ἀρχιερεῖς, καὶ πάντας τοὺς δυναμένους δεσμεῖν καὶ λύειν· παρακαλεῖ γὰρ αὐτοὺς μὴ συναινεῖν τοῖς ἁμαρτάνουσι, μηδὲ ἀνέχεσθαι τὴν κοινωνίαν τῶν ἐπιμενόντων ταῖς ἁμαρτίαις, κἀντεῦθεν τούτοις συνακόλλυσθαι, ἀλλὰ διηνεκῶς νουθετεῖν αὐτοὺς χάριν τοῦ ἀποστῆναι τοῦ κακοῦ, καὶ προσεύχεσθαι ὑπὲρ τῆς σωτηρίας τούτων. Εἰ δὲ πολλάκις μὴ δυνηθῆτε, φησὶ, διορθώσασθαι τούτους, σπουδάσατε ἑαυτοὺς ἐκ τούτων ἀποξενῶσαι, καὶ οὕτω περισωθείητε καὶ ἐκ τῆς αἰωνίου κολάσεως.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΞ ΕΤΕΡΟΥ ΛΟΓΟΥ ΠΡΟΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΤΟΛΗ ΠΕΡΙ ΒΡΩΜΑΤΩΝ ΔΙΑΦΟΡΑΣ.

### Κανὼν Πϛ'.(1)

Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις (2) πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνο λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου (3) ἡμῖν ἐστι τὰ κρέα· κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως, οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὥστε ὁ φαγὼν (4) οὐκ ἠνόμησε.

---

ΒΑΛΣ. Οἱ Ἐγκρατῖται, ὡς τάχα μετιόντες ἐγκράτειαν, ἐβδελύσσοντο τὸ σαρκοφαγεῖν· καὶ ἀκούοντες μὴ καλῶς ποιεῖν, ἀντεπῆγον τοῖς ὀρθοδόξοις, ὅτι καὶ ὑμεῖς ἔνια τῶν βρωμάτων βδελύττεσθε, διὸ καὶ ἀπέχεσθε αὐτῶν. Πρὸς τοῦτο οὖν ὁ ἅγιος λέγει, ὅτι οὐ θαυμαστὸν εἴ τινων ἀπεχόμεθα, ἢ βδελυσσόμεθα αὐτὰ, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα, καίτοι ἐκ τῆς οὐσίας ὄντα τῆς ἡμετέρας σαρκός· περιττώματα δ' εἰσὶ τὰ οὖρα, τὰ σκύβαλα, οἱ χυμοὶ, τὰ διὰ στόματος καὶ ῥινῶν κενούμενα ὑγρὰ, καὶ ὅσα τοιαῦτα. Ὡς οὖν ἐκεῖνα ἐκτρεπόμεθα, οὕτω καί τινα τῶν βρωμάτων οὐ προσιέμεθα. Πάντα μὲν γὰρ λάχανα χόρτου τὰ κρέα ἡμῖν λογίζονται, κατὰ τὸ, Φάγεσθε

---

(1) ΠΕ'. ἐν Σ. Ῥ. — (2) Σ. Ῥ. Ἀπ. Βασιλ. — ἐγκρατευταῖς Π. Χ. Τρ. Ἐ. Βενετ. — (3) Γεν. Θ', 3. — (4) ὡς ὅ γε φαγὼν Ἀπ. Βασιλ. Σ. Ῥ.

πάντα ὡς λάχανα χόρτου(1)· διακρίνοντες δὲ καὶ χωρίζοντες τὸ βλαβερὸν χρώμεθα τῷ μὴ βλάπτοντι. Καὶ ὥσπερ ἐν τοῖς λαχάνοις λάχανόν ἐστι καὶ τὸ κώνειον, καὶ ὁ ὑοσκύαμος, ἀλλὰ βλαβερὰ ὄντα φεύγομεν αὐτὰ, οὕτω καὶ ἐν τοῖς κρέασι, κρέας ἐστὶ καὶ τὸ γύπειον, καὶ τὸ τοῦ κυνὸς, ἀλλ᾽ οὐκ ἄν τις γεύσαιτο κυνὸς, εἰ μὴ σφόδρα λιμώττει, ὁ δὲ γευσάμενος ἐκ βίας, οὐκ ἠνόμησεν.

ΣΥΝΟΨ. Ὥσπερ ἐν λαχάνοις οὕτω καὶ ἐν κρέασι, τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Λάχανον τὸ κώνειον, κρέας καὶ τὸ γύπειον· ὅμως ὑοσκύαμον οὐκ ἄν τις φάγοι, οὐδὲ κυνὸς ἅψαιτο μὴ σὺν ἀνάγκῃ· ὡς ὅ γε φαγὼν οὐκ ἠνόμησεν.

(1) Γεν. Θ΄, 3.



# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ ΕΠΙΣΚΟΠΟΝ ΤΑΡΣΟΥ, ΠΕΡΙ ΤΟΥ ΔΥΟ ΑΔΕΛΦΑΣ ΑΓΟΜΕΝΟΥ ΕΙΣ ΓΑΜΟΝ(1).

ΒΑΛΣ. Τῆς ἐπιστολῆς ταύτης ἐμνήσθη ὁ ἅγιος ἐν τῷ κγ΄. κανόνι αὐτοῦ· ἀπεστάλη δὲ πρὸς Διόδωρον Ταρσοῦ ἐπίσκοπον, ὃς ἐρωτηθεὶς πρός τινος, εἰ δύναιτο, τῆς γυναικὸς αὐτοῦ θανούσης, τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνατο ἐγγράφως μὴ κωλύεσθαι. Τοῦ δὲ μεγάλου Βασιλείου ἀπαγορεύοντας τὸν τοιοῦτον γάμον, ἡ τοῦ Διοδώρου ἔγγραφος ἀπόκρισις ἐνεφανίσθη αὐτῷ, τὸν εἰρημένον ἐπιτρέπουσα γάμον· ὅθεν ἐπέστειλεν αὐτῷ ταῦτα.

### Προοίμιον (2).

Ἀφίκετο ἡμῖν γράμματα τὴν ἐπιγραφὴν(3) ἔχοντα Διοδώρου, τὰ δὲ ἐφεξῆς, ἄλλου τινὸς πρέποντα εἶναι μᾶλλον, ἢ Διοδώρου. Δοκεῖ γάρ μοί τις τῶν τεχνικῶν, τὸ σὸν πρόσωπον ὑποδὺς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὅς γε ἐρωτηθεὶς ὑπό τινος, εἰ θεμιτὸν αὐτῷ πρὸς γάμον ἀγαγέσθαι τῆς γυναικὸς τελευτησάσης τὴν ἀδελφὴν, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πρᾴως ἤνεγκε τὴν ἀκοὴν, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκεις σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ. Ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ᾽ ἡμῶν περιέφερε κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν, ἐπέστειλα νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν, ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

(1) περὶ τοῦ μὴ ἄγεσθαι εἰς γάμον δύο ἀδελφάς. Χ. Τρ. — (2) Π. — παρὰ δὲ Βιυρ. τὸ προοίμιον τοῦτο φέρει ἀριθμὸν Κανόνος ΠΖ΄. — (3) Χ. Τρ. Σ. 'Ρ. Ἀπ. Βασ. = ὑπογραφὴν, εἰ λοιπεῖ.

ΖΩΝΑΡ. (1) Ἀνατρέψαι τὰ παρὰ τοῦ Διοδώρου γραφέντα μέλλων ὁ ἅγιος, τεχνικῶς μέτεισι τὴν ἀνατροπὴν, καὶ προκαθιστᾷ τὸν οἰκεῖον λόγον, ἵνα μὴ δοκῇ ἐντρέπειν αὐτὸν, καὶ οὕτως ἐνςατικώτερον αὐτὸν ἀπεργάσηται, καί φησιν, ὅτι τὸ γράμμα εἰς ὄνομα μὲν σὸν ἐπεγέγραπτο, δοκεῖ δέ μοι, ὅτι ἄλλος τῶν τὰ τοιαῦτα τεχνάζεσθαι καὶ μηχανᾶσθαι ἐπιτηδείων, θέλων ἀξιόπιστον ποιῆσαι τὸν οἰκεῖον λόγον, ἐπέγραψε τῷ γράμματι τὸ σὸν ὄνομα· ὅςις ἐρωτηθεὶς, εἰ θεμιτὸν, ἤγουν, εἰ νόμιμον ἢ δίκαιόν ἐςι τὴν ἀδελφὴν τῆς τελευτησάσης ἰδίας γυναικὸς ἀγαγέσθαι πρὸς γάμον, τὸ ἀσεβὲς ἐρώτημα τῷ ἐρωτήσαντι συγκατέπραξεν, ἀντὶ τοῦ, διὰ τοῦ ἐπιτρέψαι τὴν ἀσέλγειαν, κἀκεῖνος δοκεῖ κοινωνῆσαι τῆς πράξεως. Εἰ μὲν οὖν εἶχον, φησὶ, τὸ γράμμα, ἔπεμψα ἄν σοι αὐτὸ, καὶ ἤμυνας ἂν ἑαυτῷ καὶ τῇ ἀληθείᾳ, ἤτοι ἐβοήθησας ἂν, ὡς ψευδῶς τάχα κατηγορηθεὶς εἰπεῖν καὶ γράψαι ἀθέμιτα, ὅπερ καὶ σοῦ καθάπτεται, καὶ τῆς ἀληθείας· τῆς μὲν ἀληθείας, ὡς τοῦ ψεύδους ἐκείνης προτιμηθέντος, σοῦ δὲ, ὡς ἐπιτρέψαντος ἃ μὴ ἐχρῆν. Ἐπειδὴ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε, (τρόπαιον δ' ἐστὶ σημεῖόν τι τῷ νικήσαντι μέρει ἐν πολέμῳ διδόμενον, ἵν' εἴη δήλη ἐκ τούτου ἡ τρέψασα μοῖρα τοὺς πολεμίους, ὅθεν ὠνόμασται τρόπαιον, ἐκ τοῦ τροπὴν τῶν πολεμίων γενέσθαι, τρεψάντων τὰ νῶτα τοῖς ἐναντίοις,) ἐπεὶ οὖν τὸ γράμμα οὐκ ἔχω, ἐπέστειλα νῦν σοι ἵνα ἐπέλθωμεν, ἵνα ἀνταγωνισώμεθα διπλῇ τῇ χειρὶ, τῇ ἐμῇ δηλαδὴ, καὶ τῇ σῇ, κατὰ τοῦ νόθου ἐκείνου λόγου, τοῦ ξένου, τοῦ πεπλασμένου, καὶ μὴ ἐάσωμεν αὐτῷ δύναμιν, ἵνα μὴ εὐκόλως βλάπτῃ τοὺς ἐντυγχάνοντας αὐτῷ καὶ ἀναγινώσκοντας.

## Κανὼν ΠΖ'.

Πρῶτον μὲν οὖν, ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστὶ, τὸ παρ' ἡμῖν ἔθος, ὃ ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν πα-

(1) Παρὰ Βευερ. καὶ Ἑ. ἡ ἑρμηνεία αὕτη ἀποδίδοται τῷ Βαλσαμῶνι, ἐν δὲ Χ. Τρ. τῷ Ζωναρᾷ, οὗ τὰς εἰς τοὺς ἑπομένους κανόνας ἑρμηνείας, περιέχει μόνον τὸ Χ. Γρ. ἐκτὸς τῶν εἰς τοὺς κανόνας πζ'. πθ'. ϙ'. καὶ ϙά. αἵτινες ἀναγινώσκονται καὶ ἐν τῷ παραρτήματι τοῦ Βευερηγίου ληφθεῖσαι ἐκ τοῦ Ἀμερβαχείου κώδικος.

ραδοθῆναι· τοῦτο δὲ τοιοῦτον ἐστίν. Ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς, ἐκπέσῃ πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων· ὥστε, εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. Ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι, καίτοι γε ἐπὶ τῶν σφόδρα ἐναργῶν μείζων ἐςὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις. Γέγραπται, φησίν, ἐν τῷ Λευϊτικῷ· Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς(1). Δῆλον οὖν ἐκ τούτου εἶναί φησιν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. Πρὸς δὴ τοῦτο, πρῶτον μὲν ἐκεῖνο ἐρῶ· ὅτι, ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ(2)· ἐπεὶ οὕτω γε καὶ περιτομῇ καὶ σαββάτῳ, καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. Οὐ γὰρ δὴ, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας(3) τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν, ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. Ἠρωτήθημεν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ· εἴπομεν, ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται· τὸ δὲ ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν συλλογίζεσθαι, νομοθετοῦντός ἐςιν, οὐ τὰ τοῦ νόμου λέγοντος· ἐπεὶ οὕτω γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικὸς λαμβάνειν τὴν ἀδελφήν· τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνου ἁρμόζει. Γέγραπται γὰρ, φησίν, Οὐ λήψῃ ἀντίζηλον, ὡς τήν γε ἔξω τοῦ ζήλου λαβεῖν οὐκ ἐκώλυσεν. Ὁ δὴ συνηγορῶν τῷ πάθει, ἀζηλότυπον εἶναι διορίζεται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευ-

(1) Λευϊτ. ΙΗ΄, 18. — (2) Ῥωμ. Γ΄, 19. — (3) Γαλ. Ε΄, 1.

σε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλύον ἔσται λαμβάνειν τὰς ἀδελφάς; Ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν. Ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται· ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν. Ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων. Ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραὴλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο. Ἔχει γὰρ οὕτως ἡ λέξις· Κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ ἐν τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε(1)· ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι. Διὸ, μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει, πρὸς τὴν τοῦ μύσους διαβολήν. Πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἐσιώπησεν; Ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα περιεργάζεσθαι; Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν, ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται· παρὰ δὲ τῷ Προφήτῃ μεγίστης κατηγορίας ἠξίωται· Υἱὸς γὰρ, φησί, καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο(2). Πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν, τὸ μὲν τῶν δαιμόνων διδασκαλεῖον ἐξεῦρεν, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταρρυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέβαλεν, ὡς καὶ ὁ Ἀπόστολος Παῦλος φησί· Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις(3)· τῷ

---

(1) Λευϊτ. ΙΗ', 3. — (2) Ἀμὼς Β', 7. — (3) Ἐφεσ. Ε', 3.

τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀῤῥένων ἀῤῥητοποιίας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων· ὥςε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις. Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτο φημὶ, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην· τὸ γὰρ, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν(1), ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. Τί γὰρ ἂν γένοιτο οἰκειότερον ἀνδρὶ τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; Οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σάρξ μία· ὥςε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα, μηδὲ τὴν ἑαυτοῦ θυγατέρα, οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδὲ ἀδελφὴν ἑαυτοῦ. Καὶ τὸ ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέςαι τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν· κοινὰ γὰρ ἐπ' ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. Ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι, ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐςὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν(2). Ἐὰν δέ μοι παραναγινώσκῃ τὸ, Αὐξάνεσθε καὶ πληθύνεσθε (3), καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. Πορνείας παραμυθία ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν. Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, φησὶν, οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν (4). Οἱ δὲ, οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας. Ἐκ ποίας γὰρ συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς αὐτοὺς ἀλλήλων, ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων· μηδὲ τὴν ἐν μητρὸς τάξει περιθάλπειν ὀφείλουσαν,

(1) Λευϊτ. ΙΗ', 6. — (2) ά, Κορ. Ζ', 29. — (3) Γεν. Α', 22. — (4) ά, Κορ. Ζ', 9.

ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις· μόνον γὰρ τὸ μῖσος(1) τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν· μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι, τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχονται. Κεφάλαιον δὲ τῶν εἰρημένων, εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς τὸν γάμον, ἤνοικται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας(2). Πλείονά με λέγειν ὡρμημένον, τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς. Εὔχομαι δὲ, ἢ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις, ἐναπομεῖναι.

---

ΖΩΝΑΡ. (3) Προκαταστήσας τὸν λόγον ὁ ἅγιος, καὶ ὡς ἐν ἄλλῳ προσώπῳ ἐντρέψας τὸν γράψαντα, νῦν καὶ πρὸς ἀνατροπὴν τοῦ γράμματος χωρεῖ. Καὶ πρῶτον μὲν, τὸ ἔθος προβάλλεται, ὃ καὶ νόμου δύναμιν ἔχειν φησὶν, ὡς τῶν θεσμῶν, ἤτοι τῶν νενομισμένων, τῶν δεδογμένων, ὑπὸ ἁγίων ἀνδρῶν παραδεδομένων. Καὶ ὁ πολιτικὸς δὲ νόμος, τὸ κρατῆσαν ἔθος νόμου δύναμιν ἔχειν διακελεύεται, κἂν μὴ ὑπὸ ἁγίων ἀνδρῶν τὰ νενομισμένα τοῖς πολίταις ἐδογματίσθησαν. Φησὶ γὰρ βιβλίον β'. τῶν Βασιλικῶν, τίτλῳ ά. κεφ. λβ'. Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν, καὶ τὰ ἑξῆς· καὶ αὖθις· Ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται· καὶ πάλιν· Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος· ἔθος δὲ λέγει ὁ ἅγιος οὗτος, τὸ ἐν τῇ ἐκκλησίᾳ ἐνεργούμενον. Ἐὰν γάρ τις δυσὶν ἀδελφαῖς ἀθέσμως μιχθῇ, φησὶν, οὐ πρότερον παραδέχεται εἰς ἐκκλησίαν, εἰ μὴ χωρισθεῖεν ἀπ' ἀλλήλων οἱ οὕτω μιανθέντες, ὡς μηδὲ γάμου τοῦ τοιούτου μύσους λογιζομένου. Κἂν οὖν ἄλλο τι οὐκ εἴχομεν εἰπεῖν, τοῦτο τὸ ἔθος ἤρκει εἰς ἀποτροπὴν τοῦ κακοῦ.

---

(1) μόνον γὰρ τὸ γένος Ἀπ. Βασιλ. — (2) ά, Θεσσαλ. Δ', 4. — (3) Ἐκ τοῦ Σ. Τρ. εὕρηται δὲ καὶ ἐν τῷ παραρτήματι τοῦ Βευερηγίου.

Ἐπεὶ δὲ, φησὶν, ὁ συνηγορήσας τῷ κακῷ διὰ τῆς ἐπιστολῆς, τῷ παλαιῷ ἐχρήσατο νόμῳ, τῷ λέγοντι, Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς, ἔτι ζώσης αὐτῆς, κἀντεῦθεν συνήγαγον, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης τὴν ἀδελφὴν αὐτῆς, πρῶτον μὲν ὁ ἅγιος λέγει, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· εἰ γὰρ μὴ τοῦτο, καὶ περιτμηθησόμεθα, καὶ τὰ σάββατα φυλάξομεν, καὶ βρωμάτων διαφόρων ἀφεξόμεθα· οὐ γὰρ τῶν περιποιούντων ἡμῖν ἡδονὰς ἀνθεξόμεθα ἐκ τοῦ νόμου τοῦ παλαιοῦ, τῶν δὲ βαρύ τι ἐχόντων ἀφεξόμεθα, καὶ τῇ διὰ τοῦ Χριστοῦ ἡμῖν δοθείσῃ ἐλευθερίᾳ τότε προσδραμούμεθα. Ὁ γὰρ τοῦ Χριστοῦ νόμος ἠλευθέρωσεν ἡμᾶς τῶν βαρέων τοῦ νόμου, τῆς περιτομῆς δηλαδὴ, καὶ τῆς τῶν ἐν ἐκείνῳ κεκωλυμένων βρωμάτων ἀποχῆς, τοῦ τὸν γονοῤῥυῆ ἀκάθαρτον κρίνεσθαι, καὶ τὸν ἀψάμενον νεκροῦ, καὶ τὸν λεπρωθέντα, καὶ ἄλλων πολλῶν. Ἠρωτήθην, φησὶν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ, ἤγουν, εἰ τῆς γυναικὸς αὐτοῦ τὴν ἀδελφὴν ἔξεστι λαμβάνειν τινί· καὶ εἶπον, ὅτι οὐ γέγραπται· ὅπερ καὶ ἀληθές ἐστι, καὶ ἀσφαλές. Τὸ δὲ συλλογίζεσθαι τὸ σιωπηθὲν, ἤγουν ὅτι, ἐπεὶ ὁ νόμος εἶπεν, ὅτι οὐ λήψῃ γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς ἀντίζηλον ἔτι ζώσης αὐτῆς, ἀκόλουθόν ἐστιν, ὅτι μετὰ θάνατον οὐ κωλύεται τὴν ἀδελφὴν τῆς γυναικὸς λαμβάνειν, ὡς μηκέτι ζηλοτυπίας ἐσομένης, τοῦτο, φησὶ, τὸ τοιαῦτα λέγειν, νομοθετεῖν ἐστι, καὶ οἰκείους εἰσάγειν νόμους, οὐ τὰ τοῦ νόμου λέγειν. Εἰ γὰρ δῶμεν μετὰ θάνατον τῆς γυναικὸς τὴν ἀδελφὴν αὐτῆς λαμβάνειν τὸν τῆς τελευτησάσης ἄνδρα, διὰ τὸ μηκέτι τὸ τῆς ζηλοτυπίας πάθος χώραν ἔχειν, λήψεται ταύτην καὶ ζώσης ἐκείνης, εἰ ἀζηλότυπον ἦθος πρὸς ἀλλήλας ἔχοιεν αἱ ἀδελφαί. Ἀλλ' ἐρεῖ τις, ὅτι τοῦτο οὐ γέγραπται· ἀλλ' οὐδὲ ἐκεῖνο γέγραπται, τὸ μετὰ θάνατον δηλαδὴ τῆς γυναικὸς τὸν ἐκείνης ἄνδρα τὴν ἀδελφὴν τῆς τελευτησάσης εἰς γυναῖκα λαμβάνειν. Εἶτα ἐπάγει, ὅτι, εἰ τὰ ὄπισθεν τῆς νομοθεσίας σκοπήσεις, ἀπαλλαγήσῃ πραγμάτων· οὐ γὰρ πᾶν ἁμαρτημάτων εἶδος ἐνταῦθα περιλαβεῖν ὁ νομοθέτης προέθετο, ἀλλὰ τὰ τῶν Αἰγυπτίων, οἷς παρῴκει πρώην ὁ Ἑβραίων λαὸς, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μετετίθετο καὶ μετῴκιστο· καὶ εἰκὸς

ἐστιν, ὅτι τοῦτο τὸ εἶδος τοῦ ἁμαρτήματος, τὸ μετὰ θάνατον τῆς γυναικὸς αὐτοῦ τινα λαμβάνειν τὴν ἀδελφὴν ἐκείνης, διὰ τοῦτο ἐκώλυσεν, ὅτι εἰς ὑπόδειγμα εἶχον οἱ ἀκόλαστοι τὸν πατριάρχην Ἰακώβ, συνοικήσαντα κατὰ ταυτὸν δυσὶν ἀδελφαῖς, τῇ Λείᾳ, καὶ τῇ Ῥαχήλ. Πολλὰ δὲ λέγει τῷ νόμῳ μὲν σιωπηθῆναι, κεκωλῦσθαι δὲ ὁμοίως· οἷόν ἐστι, τὸ μιᾷ παλλακῇ κεχρῆσθαι πατέρα καὶ υἱόν· τούτου μὲν ὁ νόμος οὐκ ἐμνημόνευσεν· ὁ δὲ Προφήτης ὡς ἀθέσμου τῆς πράξεως κατηγόρησεν, εἰπών· Υἱὸς καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο. Καὶ οἱ μὲν δαίμονες, φησὶ, πολλὰ εἴδη τῶν ἀκαθάρτων παθῶν ἐδίδαξαν· ἡ δὲ θεία Γραφὴ ταῦτα παρεσιώπησε, καὶ γενικῷ ὀνόματι τῆς ἀκαθαρσίας διέλαβεν, ἵνα μὴ ἡ σεμνότης αὐτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταῤῥυπαίνοιτο. Καὶ ὁ Ἀπόστολος, Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα, μηδὲ ὀνομαζέσθω, φησὶν, ἐν ὑμῖν(1), τῷ τῆς ἀκαθαρσίας ὀνόματι πᾶσαν ἀῤῥητοποιΐαν περιλαβών· ὥστε, οὐ πάντως ἄδεια δέδοται τοῖς φιληδόνοις διὰ τῆς σιωπῆς αἰσχρουργεῖν. Εἶτα καὶ βιαιότερον ἐπιχειρεῖ ὁ ἅγιος, λέγων, ὅτι οὐδὲ σεσιώπηται τῷ νόμῳ τὸ εἶδος τούτου τοῦ ἁμαρτήματος· ἐπεὶ γὰρ γέγραπται ἐν αὐτῷ, Οὐκ εἰσελεύσῃ πρὸ πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, καὶ τοῦτο τὸ εἶδος ἀπηγόρευται. Εἰ γὰρ ἡ γυνὴ καὶ ὁ ἀνὴρ σάρξ μία εἰσὶ, κατὰ τὴν Γραφὴν, πάντως μεγάλην ἄν τις οἰκείωσιν εἶναι λογίσαιτο πρὸς τὸν ἄνδρα τῇ τῆς γυναικὸς αὐτοῦ ἀδελφῇ. Καὶ ὥσπερ μητέρα τις οἰκείας γυναικὸς, ἢ θυγατέρα ἐξ ἑτέρου ἀνδρὸς τεχθεῖσαν αὐτῇ, οὐ λήψεται διὰ τὴν οἰκείωσιν, οὐδὲ μέντοι τὴν οἰκείαν μητέρα ἢ θυγατέρα, οὕτως οὐδὲ τῇ τῆς γυναικὸς ἀδελφῇ συζυγήσεται, ὅτι οὐδὲ τῇ ἑαυτοῦ ἀδελφῇ. Τὸ αὐτὸ δέ φησι καὶ ἐπὶ γυναικός· οὐδὲ γυνὴ γὰρ τῷ ἀδελφῷ τοῦ ἀνδρὸς αὐτῆς θανόντος συναφθήσεται, οὐδὲ τοῖς ἄλλοις ἐκείνῳ οἰκείοις κατὰ συγγένειαν. Εἶτα τὰ ἀποστολικὰ ἐπάγει ῥήματα· καὶ πρός τινας, τὸ, Αὐξάνεσθε καὶ πληθύνεσθε, προβαλλομένους, φησὶ καταγελᾷν τῶν μὴ διακρινόντων τοὺς καιροὺς τῶν νομοθεσιῶν, τοῦτο λέγων, ὅτι, τὸ, Αὐξάνεσθε καὶ

(1) Ἐφεσ. ε', 3.



πληθύνεσθε, πρὸς τοὺς πρωτοπλάστους εἴρηκεν ὁ Θεὸς, ὅτε οὔπω πλῆθος ἀνθρώπων, καὶ ἀνάγκη πάντως τοὺς τοῦ Ἀδὰμ παῖδας ἀλλήλοις συνάπτεσθαι. Κατὰ τοῦτον οὖν τὸν λόγον, καὶ νῦν ἀλλήλοις συναφθήσονται ἀδελφοί· καὶ ἐπὶ τούτοις φησὶν, ὅτι ὁ δεύτερος γάμος πορνείας παραμυθία ἐστὶ, τουτέστιν, ἵνα μὴ εἰς πορνείαν ἐκκυλίωνται οἱ ἄνθρωποι, διὰ τοῦτο συνεχωρήθη ἡ διγαμία, οὐχ ἵνα πρόφασις γίνηται ἀσελγείας. Καὶ τὸν μέγαν Παῦλον, ὃς τὸν δεύτερον συγχωρεῖ γάμον, παράγει λέγοντα· Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, καὶ οὐ προσέθετο, φησὶν, ὅτι γαμοῦντες παρανομείτωσαν. Εἶτα καὶ ἄλλοθεν κατασκευάζει τὴν ἀτοπίαν τῆς πράξεως, λέγων, ὅτι ὁ τὴν τῆς ἀπελθούσης γυναικὸς αὐτοῦ λαβὼν ἀδελφὴν, καὶ παιδοποιησάμενος ἐξ ἀμφοῖν, ποίαν τοῖς τέκνοις προσηγορίαν περιποιήσεται; καὶ πῶς ἀλλήλους οἱ παῖδες καλέσουσιν; ἀδελφούς, ὡς ἐξ ἑνὸς προελθόντες πατρὸς, ἢ ἀνεψιοὺς, ἤγουν ἐξαδέλφους, ὡς ἐκ δύο γενόμενοι ἀδελφῶν; πολλαχοῦ δὲ εὕρηνται παρὰ τοῖς παλαιοῖς τῷ τῶν ἀνεψιῶν καλούμενοι ὀνόματι οἱ ἐξάδελφοι· ἀμφότεραι γὰρ, φησὶν, αἱ κλήσεις, ἡ τῶν ἀδελφῶν δηλονότι, καὶ ἡ τῶν ἀνεψιῶν αὐτοῖς προσαρμόζουσι διὰ τὴν σύγχυσιν τῆς συγγενείας. Καὶ ἔτι ἐπαγωνίζεται τῷ λόγῳ, λέγων, ὅτι ὁ λαβὼν τὴν ἀδελφὴν τῆς προτέρας συμβίου, τὴν θείαν τῶν ἑαυτοῦ τέκνων τῶν ἐκ τοῦ πρώτου γάμου καθίστησιν αὐτῶν μητρυιὰν, καὶ ὀφείλουσαν στέργειν αὐτοὺς ὡς ἀδελφόπαιδας, κατ' αὐτῶν ὁπλίζει αὐτὴν ζηλοτυποῦσαν. Ὥσπερ γὰρ φυσικόν τι πάθος ταῖς μητρυιαῖς πρὸς τοὺς ἐξ ἄλλου γάμου παῖδας τῶν οἰκείων ἀνδρῶν ἡ ζηλοτυπία ἐμφύεται· καὶ τοῖς μὲν ἐχθροῖς, θανόντων τῶν ἐναντίων αὐτοῖς, τὸ μῖσος ἀμβλύνεται· αἱ δὲ μητρυιαὶ τῆς ἔχθρας πρὸς τὰς ἀντιζήλους αὐταῖς μετὰ τὸν ἐκείνων θάνατον ἄρχονται. Κεφάλαιον δὲ, φησὶ, τῶν εἰρημένων, τουτέστιν, ἵνα συντόμως εἴπω τὸ πᾶν, εἰ μὲν ὁ δευτερογαμῆσαι ζητῶν, νόμιμον γάμον θέλει συναλλάξαι, ἤνοικται αὐτῷ πᾶσα ἡ οἰκουμένη· εἰ δὲ διὰ πάθος ζητεῖ τήνδε, ἐρωτικῶς ἴσως διακείμενος πρὸς τὴν συγγενῆ, καὶ διὰ τοῦτο σπεύδων συζυγῆναι αὐτῇ, διὰ τοῦτο μᾶλλον ἀποκλεισθήτω, ἤτοι κωλυθήτω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος, καὶ τὰ ἑξῆς τοῦ Ἀποστόλου ῥήματα. Ἐβου-

λόμην, φησὶ, καὶ πλείονα γράψαι, ἀλλ' ἀνακόπτει με τὸ μέτρον τῆς ἐπιστολῆς· οὐ γὰρ μακρηγορίαν ἔχειν δεῖ τὰς ἐπιστολάς. Εὔχομαι δὲ, ἢ τὴν παραίνεσιν ἰσχυροτέραν τοῦ πάθους γενέσθαι, ἀντὶ τοῦ ἰσχύσαι τοσοῦτον, ὥστε λῦσαι τὸ πάθος· ἢ μὴ εἰς τὴν ἡμετέραν χώραν τὸ ἄγος τοῦτο ἐπιδημῆσαι, μὴ προχωρῆσαι τὸ μίασμα τοῦτο εἰς τὴν ἡμετέραν ἐνορίαν, ἀλλ' ὅπου ἐτολμήθη, ἐκεῖ ἐναπομεῖναι.

ΒΑΛΣ. Ἡ πρὸς Διόδωρον ἐπιστολὴ τοῦ μεγάλου Πατρὸς, κἂν πάσης σοφίας καὶ ἀληθοῦς ῥητορείας πεπλησμένη ἐστὶ, καὶ τῇ κιννύρᾳ τοῦ παναγίου Πνεύματος ὑποφθογγίζηται, ἀλλ' οὐκ ἔστι ζητητέα ἐν ταῖς παρούσαις ἡμέραις· ὁροθετεῖ γὰρ μηδένα λαμβάνειν πρὸς κοινωνίαν γάμου ἀδελφὰς δύο, ὅπερ Θεοῦ χάριτι σήμερον οὐδὲ εἰς ἐνθύμησιν ὅλως ἔρχεται ἀνθρώπου Χριστιανοῦ, καὶ διὰ τοῦτο οὐδὲ πλείονος ἑρμηνείας ἐδεήθη. Ἔχε δὲ ταύτην τὴν θείαν ἐπιστολὴν διηνεκῶς ἐπὶ μνήμης· κἂν γὰρ τὸ ὁροθέτημα ταύτης οὐ τρακταΐζεται, ἀλλὰ τὰ ἐν ταύτῃ περιεχόμενα ἐπιχειρήματα, ἐνθυμήματά τε καὶ ἐπενθυμήματα, καὶ μᾶλλον ὅσα ἀπό τε τῆς Παλαιᾶς καὶ τοῦ μεγάλου Ἀποστόλου Παύλου συνετέθησάν τε καὶ ἀντετέθησαν, μεγάλως συντελοῦσιν ἐπὶ ἑτέραις ὑποθέσεσι. Σημείωσαι δὲ ἀπὸ ταύτης, ὅτι καὶ τὰ ἄγραφα ἐκκλησιαστικὰ ἔθη, ὡς οἱ ἔγγραφοι κανόνες, τὸ ἀπαρεγχείρητον ἔχουσι· καὶ ὅτι ταῖς Μωσαϊκαῖς νομοθεσίαις προσέχειν οὐκ ὀφείλομεν. Καὶ ἕτερα δὲ πολλὰ παρασημείωσαι ἐκ ταύτης τῆς ἐπιστολῆς, ἀναγκαιότατά τε καὶ χρησιμώτατα.

ΣΥΝΟΨ. Εἴ τις πάθει ἀκαθαρσίας ἁλοὺς, πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν ἐμπέσοι, μήτε γάμος ἡγείσθω τοῦτο, μήτε εἰς ἐκκλησίαν εἰσίτωσαν, πρὶν ἢ διαστῆναι ἀπ' ἀλλήλων· μάταιος γὰρ ὁ παρερμηνεύων τὸ, Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντιζηλον, τὴν δὲ θανοῦσαν πεπαῦσθαι τοῦ ζηλοτυπεῖν, καὶ χώραν εἶναι λῃρῶν τῆς τελευτησάσης λαμβάνειν τὴν ἀδελφήν· ὡς ἡμῖν γε ἐκεῖνο ἀρκέσει, Οὐκ εἴσῃ πρὸς πάντα οἰκεῖον τῆς σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν. Εἰ γὰρ οἱ συναπτόμενοι σὰρξ εἰσι μία, διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ ᾠκείωται τῷ ἀνδρί. Ὡς οὖν οὐ λήψῃ γυναικὸς μητέρα ἢ θυγατέρα, ὅτι μηδὲ τὴν σαυτοῦ μητέρα ἢ θυγατέρα, οὕτως οὐδὲ ἀδελφήν, ὅτι μηδὲ τὴν σήν.



# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ, ΩΣΤΕ ΧΩΡΙΣΘΗΝΑΙ ΑΥΤΟΝ ΤΟΥ ΣΥΝΟΙΚΟΥ ΓΥΝΑΙΟΥ.

### Κανὼν ΠΗ'.

ΕΝΕΤΥΧΟΝ ΣΟΥ τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα, πῶς δυνάμενος ἡμῖν συντόμως καὶ εὐκόλως ἀπολογήσασθαι διὰ τῶν πραγμάτων, τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν καταδέχῃ, λόγοις δὲ μακροῖς θεραπεύειν ἐπιχειρεῖς τὰ ἀνίατα. Οὔτε πρῶτοι, οὔτε μόνοι, ὦ Γρηγόριε, ἐνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε(1) συνεισάκτους μὴ εἶναι. Ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνόν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικῶν διαγωγῆς· ὡς ἐὰν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῆται, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. Τοσούτῳ οὖν μᾶλλον ἐχρῆν σε εὐκόλως εἶξαι ἡμῶν τῇ ἀξιώσει, ὅσῳπερ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους. Οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, οὔτε ὡς ἐπὶ γενομένῃ τινὶ ἀτόπῳ πράξει, ὡρίσαμεν ἃ καὶ ὡρίσαμεν. Ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ Ἀποστόλου, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον(2), οἴδαμεν δὲ, ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον, ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει, τούτου ἕνεκεν προσετάξαμεν, ἑπόμενοι τῇ διαταγῇ τῶν ἁγίων Πατέρων, χωρισθῆναί σε τοῦ γυναίου. Τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ, καὶ παλαιᾶς ἔχθρας μέμνησαι; Τί δὲ ἡμᾶς

(1) Σ. Ρ. Ἀπ. Βασιλ. — ἀπαγορεύει Π, Χ. Τρ. — (2) Ῥωμ. ΙΔ', 13.

καταμέμφῃ, ὡς εὐκόλους ἀκοὰς ἔχοντας εἰς τὸ τὰς διαβολὰς προσίεσθαι, ἀλλ' οὐχὶ σεαυτῷ μὴ ἀνεχομένῳ ἀποστῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; Ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησόν αὐτὴν ἐν μοναστηρίῳ. Ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημῆται(1). Ἕως δ' ἂν ταῦτα ποιῆς, αἱ μυριάδες, ἅς περ σὺ γράφεις διὰ τῶν ἐπιςολῶν, οὐδὲν ὠφελήσουσί σε· ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ Κυρίῳ λόγον περὶ τῆς σεαυτοῦ ἀργίας. Ἐὰν δὲ τολμήσῃς, μὴ διορθωσάμενος σεαυτὸν ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ οἱ δεχόμενοί σε, ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γενήσονται.

---

ΖΩΝΑΡ. Γρηγόριός τις πρεσβύτερος, γύναιον εἶχεν ὑπηρετοῦν αὐτῷ· ὁ μαθὼν ὁ ἅγιος, ἀπήτει τὸν πρεσβύτερον ἐξῶσαι τῆς κατοικίας αὐτοῦ τὸ γύναιον· ὁ δὲ ἔγραψε περὶ τούτου πρὸς αὐτὸν ἀπολογούμενος· καὶ ὁ μέγας Βασίλειος ἀντέγραψε πρὸς τὸν πρεσβύτερον, ὡς οὐχὶ πρῶτοι ἢ μόνοι ἡμεῖς ὡρίσαμεν μὴ συνοικεῖν ἱερωμένοις ἀνδράσι γυναῖκας· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, ὃς τρίτος ἐςὶν ἐκεῖ κείμενος, καὶ ἀπαγορεύει συνεισάκτους μὴ εἶναι· λέγει δὲ συνεισάκτους, τὰς εἰς κατοικίαν ἱερωμένων συνεισαγομένας, καὶ συγκατοικούσας αὐτοῖς. Ἐπεὶ οὖν, φησὶ, λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους, ἔδει σε διὰ τοῦτο μᾶλλον εὐκόλως τὸ γύναιον ἀποπέμψασθαι· τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ; Ἔοικεν οὖν παρὰ τοῦ χωρεπισκόπου μηνυθῆναι τῷ ἁγίῳ τὰ περὶ τοῦ ἐπεισάκτου γυναίου. Κατάστησον οὖν αὐτὴν ἐν μονῇ, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν. Ἕως δὲ ταῦτα ποιεῖς, ἃ γράφεις πολλὰ ὄντα, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, ἀντὶ τοῦ, ἕως τέλους τῆς ζωῆς σου οὐκ ἐνεργήσεις ὡς ἱερεὺς, ἀφωρισμένος ὢν, καὶ δώσεις λόγον τῷ Θεῷ τῆς ἑαυτοῦ ἀργίας, ὡς ἐξ αἰτίας σου ταύτης σοι ἐπενεγμένης. Ἐὰν δὲ μὴ διορθωσάμενος τολμήσῃς ἱερουργεῖν, ἀνάθεμα

(1) Ῥωμ. Β', 24.

ἔση· καὶ οἱ δεχόμενοί σε ἱερουργοῦντα, πάσης ὁμηγύρεως πιστῶν ἐκκηρυχθήσονται. Τοῦτο δὲ καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου ὁ ε. ὁρίζει κανὼν, καὶ τῆς ἐν Ἀντιοχείᾳ κανὼν δ'. καὶ τῆς ἐν Νικαίᾳ Α'. κανὼν γ'.

ΒΑΛΣ. Γρηγόριός τις πρεσβύτερος γύναιον εἶχεν ὑπηρετοῦν αὐτῷ· ὃ μαθὼν ὁ ἅγιος, ἀπήτει τὸν πρεσβύτερον ἐξῶσαι τῆς κατοικίας αὐτοῦ τὸ γύναιον· ὁ δὲ ἔγραψε περὶ τούτου πρὸς αὐτὸν ἀπολογούμενος· καὶ ὁ μέγας Βασίλειος ἀντέγραψε πρὸς τὸν πρεσβύτερον. Ἔοικε δὲ τὸν πρεσβύτερον ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἀξιῶσαι τὸν ἅγιον μακροθύμως ἀναγνῶναι τὰ γράμματα· πρὸς ὃν ἀντέγραψεν ὁ Πατὴρ, ὅτι μετὰ πάσης μακροθυμίας ἐνέτυχόν σου τοῖς γράμμασι, καὶ ἐθαύμασα, ὅτι δυνάμενος συντόμως ἀπολογήσασθαι διὰ πραγμάτων, ἤγουν διὰ τοῦ ἀποπέμψασθαι τὴν γυναῖκα, τοῖς μὲν κατηγορουμένοις, ἤτοι τοῖς πράγμασιν αὐτοῖς δι' ἃ ἡ κατηγορία, ἐπιμένεις· διὰ δὲ λόγων ἀπολογίας ποιεῖς. Εἶτά φησιν, ὅτι οὔτε πρῶτοι οὔτε, μόνοι ἡμεῖς ὡρίσαμεν, μὴ συνοικεῖν ἀνδράσιν, ἱερωμένοις δηλαδὴ, γυναῖκας· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, ὃς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι· συνεισάκτους δὲ λέγει ὁ κανὼν, ὃς τρίτος ἐστὶ τῆς εἰρημένης συνόδου, τὰς εἰς κατοικίας ἱερωμένων ἀζύγων συνεισαγομένας καὶ κατοικούσας σὺν αὐτοῖς. Οἱ δὲ ἐπαγγειλάμενοι ἀγαμίαν, ἔχουσι, φησὶ, τὸ σεμνὸν, ἤγουν τὸ ἐπὶ σωφροσύνῃ ἔντιμον, ἐν τῷ κεχωρίσθαι ἀπὸ γυναικῶν. Ἐὰν δέ τις ἐπαγγέλληται παρθενίαν, συνοικῇ δὲ γυναιξὶν, ὄνομα μόνον ἔχει, οὐ μὴν καὶ αὐτὸ τὸ πρᾶγμα. Ἐπεὶ οὖν, φησὶ, λέγεις ἐλεύθερος εἶναι ἀπὸ παντὸς σωματικοῦ πάθους, ἔδει σε διὰ τοῦτο μᾶλλον εὐκόλως ὑποταγῆναι τῇ ἀξιώσει ἡμῶν, καὶ ἀποπέμψασθαι τὸ γύναιον. Οὐκ εἶπε τῇ κελεύσει, ἢ τῇ προςάξει, ἀλλὰ τῇ ἀξιώσει, διὰ μετριοφροσύνην. Οὐ γὰρ ὡς ἐμπαθῶς σου, φησὶν, ἔχοντος πρὸς τὸ γύναιον, καὶ διὰ πρᾶξιν ἄτοπον ὡρίσαμεν ἐκβαλεῖν σε αὐτό· οὐ γὰρ τὸν ἑβδομήκοντα ζήσαντα χρόνους πιστεύω ἐμπαθῶς συνοικεῖν γυναικί· ἀλλὰ διὰ τὸ εἰρημένον τῷ Ἀποστόλῳ, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον· τὸ γὰρ παρ' ἄλλων ἀπαθῶς ἢ ὑγιῶς γινόμενον, ἄλλοις πρόφασις ἔσται πρὸς ἁμαρτίαν. Σὺ μὲν γὰρ, φησὶν, ἴσως ἀπαθῶς συνοικεῖς τῷ

γυναίῳ· ἕτερος δὲ ὑπόδειγμα λαβών σε, συνοικήσει γυναίῳ οὐκ ἀπαθῶς, ἢ καὶ κατὰ σοῦ σχοίη ὑπολήψεις οὐκ ἀγαθὰς, καὶ ἔσται τοῦτο εἰς ἀτιμίαν τῆς ἱερωσύνης· τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ; Ἔοικεν οὖν παρὰ τοῦ χωρεπισκόπου μηνυθῆναι τῷ ἁγίῳ τὰ περὶ τοῦ ἐπεισάκτου γυναίου. Τί δὲ αἰτιᾷ ἡμᾶς ὡς εὐκόλως τὰς διαβολὰς προσδεχομένους, καὶ οὐχὶ μᾶλλον ἑαυτὸν, μὴ ἀνεχόμενον ἀποστῆναι τῆς γυναικός; Κατάστησον οὖν αὐτὴν, φησὶν, ἐν μονῇ, καὶ σὺ ὑπηρετοῦ παρὰ ἀνδρῶν. Ἕως ἂν ταῦτα ποιήσῃς, ἃ γράφεις πολλὰ ὄντα, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, ἀντὶ τοῦ, ἕως τέλους τῆς ζωῆς σου οὐκ ἐνεργήσεις ὡς ἱερεὺς, ἀφωρισμένος ὢν, καὶ δώσεις λόγον τῷ Κυρίῳ τῆς ἑαυτοῦ ἀργίας, ὡς ἐξ αἰτίας σου ταύτης σοι ἐπενηνεγμένης. Ἐὰν δὲ μὴ διορθωσάμενος τολμήσῃς ἱερουργεῖν, ἀνάθεμα ἔσῃ, καὶ οἱ δεχόμενοί σε ἱερουργοῦντα, πάσης ὁμηγύρεως πιστῶν ἐκκηρυχθήσονται. Ἀνάγνωθι καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα δʹ. καὶ τῆς ἐν Νικαίᾳ τὸ πρῶτον κανόνα γʹ. Καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δέ τινες χρώμενοι τῷ τρίτῳ κανόνι τῆς αʹ. συνόδου, καὶ τοῖς ῥήμασι τῆς παρούσης ἐπιστολῆς, θέλουσι μὴ συνοικεῖν τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μετὰ τῶν συγγενικῶν αὐτῶν ἀνυπόπτων προσώπων ἐχόντων γύναια ὑπουργικὰ, λέγοντες περιγράφεσθαι τοὺς κανόνας, ἐὰν ἐν τῷ ὀνόματι τῆς ἀνυπόπτου προσγενοῦς οἱ ἱερωμένοι τοὺς πιστοὺς σκανδαλίζουσι διὰ τῆς μετὰ τῶν λοιπῶν γυναίων συνοικήσεως, φαμὲν, ὅτι οἱ μὲν ἐπίσκοποι ἀπὸ τῆς Ἰουστινιανείου νεαρᾶς, τῆς καὶ παρ᾽ ἡμῶν καταστρωθείσης εἰς τὴν ἑρμηνείαν τοῦ γʹ. κανόνος τῆς αʹ. συνόδου, κωλύονται συνοικεῖν οἱᾳδήτινι γυναικί· τοὺς δὲ κληρικοὺς, ἤθελον μὲν καὶ αὐτοὺς ἁγιοπρεπῶς ζῆν, καὶ πάντῃ ἀπέχεσθαι τῆς μετὰ γυναικῶν οἱωνδήτινων συνοικήσεως· εἰ δὲ τοῦτο οὐ δύνανται, οὗτοι, ὡς ἐμοὶ δοκεῖ, ἀκινδύνως συνοικοῦσι μετὰ μητέρων, καὶ ἀδελφῶν, καὶ λοιπῶν ἀνυπόπτων προσώπων, κἂν ἔχωσι ταῦτα γυναῖκας πρὸς ὑπηρεσίαν χρησιμευούσας· ὁ γὰρ μέγας οὗτος Πατὴρ, τὸ ἀσκανδάλιστον τῶν πολλῶν πραγματευόμενος, διωρίσατο μετοικισθῆναι ἀπὸ τοῦ Γρηγορίου τὸ γύναιον, οὐχ ὁροθετῶν τὸ μὴ συνοικεῖν τὸν ἱερωμένον ἀνυπόπτοις προσώποις, ἐὰν μεθ᾽ ἑαυτῶν ἔχωσι καὶ ἕτερα γύναια. Καὶ ἐπεὶ τοῦ ἱερωμένου συνοι-



κοῦντος μετὰ ἀνυπόπτου προσώπου, ἅπαν σκάνδαλον περιαιρεῖται καχύποπτον, (οὐ γὰρ λέγουσιν εἶναι τούτου τὰ ἀλλότρια γύναια, ἀλλὰ τῆς προσγενοῦς αὐτοῦ,) μετὰ ὑπόπτου δὲ διάγοντος γυναικείου μέρους, τὸ ἀπὸ τῆς φαύλης ὑποψίας ἀνακύπτον σκάνδαλον προσλαμβάνει τὴν ἐργασίαν, ἀπαρεμποδίστως μετὰ ἀνυπόπτων προσώπων οἰκήσει ὁ ἱερωμένος, κἂν ἔχωσιν ὑφ᾽ ἑαυτὰ γυναῖκας· μὴ ὄντων δὲ τοιούτων προσώπων μεθ᾽ ὧν συνοικεῖ, οὐκ ἔσται αὐτῷ ἀνεπιτίμητος ἡ συνοίκησις. Ἄλλως τε, εἰ δοθῇ τὸν ἱερωμένον μὴ συνοικεῖν οἱῳδήτινι προσώπῳ ἀνυπόπτῳ ἔχοντι ἕτερα γύναια, ἀναγκασθήσεται καὶ πᾶς ἱερωμένος μήτε πατρὶ συνοικεῖν, μήτε παισὶν ἰδίοις, μήτε τινὶ ἐξυπηρετῆσαι βιωτικῷ· οἱ πλείους γὰρ τούτων ἔχουσι δουλίδας, εἴτε καὶ ἐλευθέρας εἰς ὑπουργίαν τῶν ὑπ᾽ αὐτούς· ἢ εἴποιμεν εἶναι πάντα τὰ τοιαῦτα πρόσωπα πτωχικὰ, καὶ ἑαυτοῖς ἐξαρκοῦντα πρὸς παντοίαν ὑπηρεσίαν, ὅπερ ἄτοπον. Τὸ μέντοι δουλεύεσθαι ἱερωμένον παρὰ γυναικὸς, κἂν συνοικῇ μετὰ ἀνυπόπτου προσώπου, ἔστι κακὸν, καὶ τοῖς κανόσιν, ἀλλὰ μὴν καὶ τῇ παρούσῃ ἐπιστολῇ ἀνένδεκτον, καὶ διὰ τοῦτο κολάσεως ἄξιον. Ἀνάγνωθι καὶ τὸν εʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιβʹ. Τούτων οὕτω διευλυτωθέντων, ἐρωτήσει τις, ὡς τῆς ἐπιστολῆς διοριζομένης τῷ Γρηγορίῳ εἰς μοναστήριον ἀπαγαγεῖν τὴν συνοικοῦσαν αὐτῷ γυναῖκα, ἠναγκάζετο οὗτος ἀποκεῖραι ταύτην, ἢ οὔ; Λύσις. Τινὲς ἀπὸ τοῦ μηʹ. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου ὁρμώμενοι, λέγουσιν ἐπικεῖσθαι αὐτῷ ἀνάγκην, ὥστε ἀποκεῖραι τὴν συνοικοῦσαν αὐτῷ· οὐ γὰρ ὥρισται, φασὶ, τῷ ἁγίῳ ἀντὶ εἱρκτῆς καὶ κολάσεως χρηματίσαι τῷ γυναίῳ τὸ μοναστήριον. Ἐμοὶ δὲ δοκεῖ διαφορὰν εἶναι μεγάλην δουλευτρίας καὶ νομίμου συμβίου, καὶ διὰ τοῦτο ἐκεῖ μὲν ὁ ἐπίσκοπος ἠναγκάσθη φροντίσαι τῆς σωματικῆς καὶ ψυχικῆς σωτηρίας τῆς συμβίου αὐτοῦ· ἐνταῦθα δὲ ὁ ἱερεὺς μίαν ἀνάγκην εἶχε, τὸ περιαιρῆσαι τὸ σκάνδαλον διὰ τῆς διαστάσεως. Ἀλλ᾽ οὐδὲ αὐτὴν τὴν γυναῖκα εἴποι τις εὐλόγως ἀναγκασθῆναι χάριν τοῦ ἑλέσθαι καὶ ἄκουσαν τὴν ἀπόκαρσιν. Διὸ καὶ κατανοεῖταί μοι ἀναγκαίαν εἶναι μόνην τὴν διάστασιν, οὐ μὴν καὶ τὴν ἀπόκαρσιν. Εἰ δὲ καὶ αὐτὴ γένηται κατὰ θέλησιν τῆς γυναικὸς, διπλα-

σιάζει τὸ καλὸν, καὶ γίνεται κάλλιον. Ἐπεὶ δέ τινες εἶπον, ὡς ἀπὸ τῆς παρούσης ἐπιστολῆς πᾶς ἱερωμένος συνοικῶν γυναικὶ ἀλλοτρίᾳ ἀφωρισμένος ἐστὶ καὶ πρὸ παραγγελίας, λέγω, ὅτι οὐδὲ τῷ παρόντι ἁγίῳ ἤρεσε τοῦτο. Ἰδοὺ γὰρ καὶ αὐτὸς εἰδὼς τὸν Γρηγόριον συνοικοῦντα μετὰ γυναίου, ἐπιφωνηματικῶς παρήγγειλε τούτῳ ἐκ τῆς συνοικίας μεταστῆσαι τὸ γύναιον· καὶ εἰ ἐποίησεν ὁ Γρηγόριος κατὰ τὴν παραγγελίαν, οὐκ ἂν ὑπέπεσε τῷ ἀφορισμῷ· ὥστε οὐδὲ ἕτερος ἀφορισθήσεται, εἰ μὴ μετὰ παραγγελίαν ἐπιμείνῃ τῇ μετὰ τῆς ἀλλοτρίας γυναικὸς συνοικίᾳ.

ΣΥΝΟΨ. Ἀγαμία ἐν τούτῳ ἔχει τὸ σεμνὸν, τὸ κεχωρίσθαι τῆς μετὰ γυναικὸς διαγωγῆς. Χρὴ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον. Διὸ τοῖς ἐν Νικαίᾳ Πατράσιν ἑπόμενοι, συνεισάκτους ἔχειν ἀπαγορεύσασι, χωρισθῆναί σε τοῦ συνοίκου γυναίου προσετάξαμεν. Ἐὰν δὲ μὴ διορθωσάμενος τολμήσῃς ἱερᾶσθαι, ἀνάθεμα ἔσῃ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι.

# ΤΟΥ ΑΥΤΟΥ

## ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ, ΩΣΤΕ ΜΗ ΓΙΝΕΣΘΑΙ ΧΩΡΙΣ ΑΥΤΟΥ ΥΠΗΡΕΤΑΣ ΠΑΡΑ ΤΟΥΣ ΚΑΝΟΝΑΣ.

### Κανὼν ΠΘ'(1).

ΠΑΝΥ ΜΕ λυπεῖ, ὅτι ἐπιλελοίπασι λοιπὸν οἱ τῶν Πατέρων κανόνες, καὶ πᾶσα ἀκρίβεια τῶν ἐκκλησιῶν ἀπελήλαται· καὶ φοβοῦμαι μὴ κατὰ μικρὸν τῆς ἀδιαφορίας ταύτης ὁδῷ προϊούσης, εἰς παντελῆ σύγχυσιν ἔλθῃ τὰ τῆς ἐκκλησίας πράγματα. Τοὺς ὑπηρετοῦντας τῇ ἐκκλησίᾳ, ἡ πάλαι ταῖς τοῦ Θεοῦ ἐκκλησίαις ἐμπολιτευομένη συνήθεια, μετὰ πάσης ἀκριβείας δοκιμάζουσα παρεδέχετο· καὶ ἐπολυπραγμονεῖτο πᾶσα αὐτῶν ἡ ἀναστροφὴ, εἰ μὴ λοίδοροί εἰσιν, εἰ μὴ μέθυσοι, εἰ μὴ πρόχειροι πρὸς τὰς μάχας, εἰ παιδαγωγοῦσιν ἑαυτῶν τὴν νεότητα, ὥςε κατορθοῦν δύνασθαι τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον(2). Καὶ τοῦτο ἐξήταζον μὲν πρεσβύτεροι καὶ διάκονοι, οἱ συνοικοῦντες αὐτοῖς, ἐπανέφερον δὲ τοῖς χωρεπισκόποις, οἳ τὰς παρὰ τῶν ἀληθινῶς μαρτυρούντων δεξάμενοι ψήφους, καὶ ὑπομνήσαντες τὸν ἐπίσκοπον, οὕτως ἐνηρίθμουν τὸν ὑπηρέτην τῷ τάγματι τῶν ἱερατικῶν. Νῦν δὲ πρῶτον μὲν ἡμᾶς παρωσάμενοι, καὶ μηδὲ ἐπαναφέρειν ἡμῖν καταδεχόμενοι, εἰς ἑαυτοὺς τὴν ὅλην περιεστήσατε αὐθεντίαν. Ἔπειτα καὶ καταρρᾳθυμοῦντες τοῦ πράγματος, πρεσβυτέροις καὶ διακόνοις ἐπετρέψατε, οὓς ἂν ἐθέλωσιν ἀπὸ ἀνεξετάςου βίου κατὰ προσπάθειαν, ἢ τὴν ἀπὸ συγγενείας, ἢ τὴν ἐξ ἄλλης τινὸς φιλίας, ἐπεισάγειν τῇ ἐκκλησίᾳ τοὺς ἀναξίους. Διὸ πολλοὶ μὲν ὑπηρέται ἀριθμοῦνται καθ' ἑκάστην κώμην· ἄξιος δὲ λειτουργίας θυσιαστηρίου οὐδεὶς, ὡς ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ἀποροῦντες ἀνδρῶν ἐν

(1) Η. — ιη παρὰ Βευερ. — (2) Ἑβρ. ΙΒ', 14.

ταῖς ψηφοφορίαις. Ἐπεὶ οὖν ὁρῶ τὸ πρᾶγμα λοιπὸν εἰς ἀνήκεστον προϊὸν, μάλιστα νῦν τῶν πλείστων, φόβῳ τῆς στρατολογίας, εἰσποιούντων ἑαυτοὺς τῇ ὑπηρεσίᾳ, ἀναγκαίως ἦλθον εἰς τὸ ἀνανεώσασθαι τοὺς τῶν Πατέρων κανόνας, καὶ ἐπιστέλλω ὑμῖν ἀποστεῖλαί μοι τὴν ἀναγραφὴν ἑκάστης κώμης τῶν ὑπηρετούντων, καὶ ὑπὸ τίνος εἰσῆκται ἕκαστος, καὶ ἐν ποίῳ βίῳ ἐστίν. Ἔχετε δὲ καὶ αὐτοὶ παρ' ἑαυτοῖς τὴν ἀναγραφὴν, ὥστε συγκρίνεσθαι τοῖς παρ' ἡμῖν ἀποκειμένοις γράμμασι τὰ ὑμέτερα, καὶ μηδενὶ ἐξεῖναι ἑαυτὸν, ὅτε βούλεται, παρεγγράφειν. Οὕτω μέντοι μετὰ τὴν πρώτην ἐπινέμησιν, εἴ τινες ὑπὸ πρεσβυτέρων εἰσήχθησαν, ἐπὶ τοὺς λαϊκοὺς ἀποῤῥιφῶσιν, ἄνωθεν δὲ γένηται αὐτῶν παρ' ὑμῶν ἐξέτασις· κἂν μὲν ἄξιοι ὦσι, τῇ ὑμετέρᾳ ψήφῳ παραδεχθήτωσαν· ἐπεὶ καθαρίσατε (1) τὴν ἐκκλησίαν τοὺς ἀναξίους αὐτῆς ἀπελαύνοντες(2). Καὶ τοῦ λοιποῦ, ἐξετάζετε μὲν τοὺς ἀξίους καὶ παραδέχεσθε· μὴ ἀριθμεῖτε (3) δὲ πρὶν εἰς ἡμᾶς ἐπανενεγκεῖν, ἢ γινώσκετε, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ ἡμετέρας γνώμης εἰς ὑπηρεσίαν παραδεχθείς.

---

ΖΩΝΑΡ. Αἰτιᾶται ὁ μέγας Βασίλειος τοὺς ὑποκειμένους αὐτῷ χωρεπισκόπους, ὡς καθ' ἑαυτοὺς καθιστῶντας ὑπηρέτας, καὶ τὴν συνήθειαν παραβαίνοντας, ἣν λέγει κρατῆσαι, ὥστε γνώμῃ τοῦ ἐπισκόπου γίνεσθαι παρὰ τῶν χωρεπισκόπων αὐτούς· καὶ τοῦ λοιποῦ ἀνανεώσασθαι τοὺς κανόνας ἀπαιτεῖ, ἤγουν μετὰ τὴν πρώτην ἐπινέμησιν· ἐπινέμησιν δὲ τὴν ἴνδικτον λέγει. Καὶ αὐτοὺς μὲν, ἐξετάζειν τοὺς ἀξίους καὶ παραδέχεσθαι, μὴ κατατάττειν δὲ αὐτοὺς ἐν τῷ κλήρῳ, εἰ μὴ ἀναφέροιεν τὰ περὶ αὐτῶν πρὸς αὐτόν· τοὺς δὲ μὴ οὕτω καταταγέντας, ἀπειλεῖ εἰς τοὺς λαϊκοὺς ἐξωθεῖσθαι. Εἰ μὲν οὖν συνήθεια ἐκράτει τότε τοιαύτη, οὐκ οἶδα· κανὼν δὲ τοιοῦτος ἐν ταῖς προγενεστέραις ἐκείνου συνόδοις οὐχ εὕρηται· ἀλλὰ μᾶλλον ὁ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, πα-

---

(1) ἐπικαθαρίσατε Ἀπ. Βασιλ. — (2) ἀπελάσαντες Ἀπ. Βασιλ. — (3) μὴ ἀπαριθμεῖτε Σ. Ρ.

λαιοτέρας οὔσης τοῦ ἁγίου τούτου, δίδωσι τοῖς χωρεπισκόποις, καὶ ὑποδιακόνους, οἵτινες καὶ ὑπηρέται λέγονται, καὶ ἀναγνώστας, καὶ ἐφορκιστὰς καθιστᾷν· πρεσβυτέρους δὲ καὶ διακόνους, ὁρίζει μὴ χειροτονεῖν τοὺς χωρεπισκόπους, εἰ μὴ γνώμῃ τοῦ ἐπισκόπου, ᾧ ὑπόκεινται. Ὁ δὲ ιδ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, τύπον τῶν ἑβδομήκοντα Ἀποστόλων τοὺς χωρεπισκόπους ἐπέχειν φησί.

ΒΑΛΣ. Τίνες ἦσαν οἱ χωρεπίσκοποι, καὶ τίνα εἶχον δίκαια, εἴρηται εἰς τὸν ιδ'. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ εἰς τὸν ι. τῆς ἐν Ἀντιοχείᾳ, καὶ διὰ τοῦτο ἐνταῦθα περιττὸν ἐλογίσθη μοι χάριν τῶν αὐτῶν παλιλλογεῖν, καὶ μᾶλλον, ὅτι τὰ ἐν τῇ παρούσῃ ἐπιστολῇ περιεχόμενα χάριν τῶν χωρεπισκόπων, ἐσχόλασαν παντελῶς, καὶ πάντες οἱ κληρικοὶ παρὰ τῶν ἐπισκόπων γίνονται κατὰ μόνην δοκιμασίαν αὐτῶν.

ΣΥΝΟΨ. Καθαρίσατε τὴν ἐκκλησίαν, τοὺς ἀναξίους αὐτῆς ἀπελάσαντες· καὶ τοῦ λοιποῦ τοὺς μὲν ἀξίους ἐξετάζοντες παραδέχεσθε, ἀριθμεῖτε δὲ μηδένα πρὶν εἰς ἡμᾶς ἀνενεγκεῖν· ἢ γινώσκετε, ὅτι λαϊκὸς ἔσται ὁ γνώμης ἄνευ ἡμετέρας εἰς ὑπηρεσίαν ταχθῆναι κριθείς.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΤΟΥΣ ΥΦ' ΕΑΥΤΟΝ ΕΠΙΣΚΟΠΟΥΣ, ΩΣΤΕ ΜΗ ΧΕΙΡΟΤΟΝΕΙΝ ΕΠΙ ΧΡΗΜΑΣΙ.

### Κανὼν Ϛ'(1).

Τὸ τοῦ πράγματος ἄτοπον, περὶ οὗ γράφω, διατὶ μὲν ὅλως ὑπωπτεύθη καὶ ἐλαλήθη, ὀδύνης ἐπλήρωσέ μου τὴν ψυχήν· τέως δὲ ἐφάνη μοι ἄπιςον. Τὸ οὖν περὶ αὐτοῦ γράμμα, ὁ μὲν συνεγνωκὼς ἑαυτῷ, δεξάσθω ὡς ἴαμα· ὁ δὲ μὴ συνεγνωκὼς, ὡς προφυλακτήριον· ὁ δὲ ἀδιάφορος, ὅπερ ἀπεύχομαι ἐφ' ὑμῖν(2) εὑρεθῆναι, ὡς διαμαρτυρίαν. Τί δέ ἐςιν ὃ λέγω; Φασί τινας(3) ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα, ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας· τοῦτο δὲ χεῖρον ἐστίν. Ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος· διότι αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ. Ταῦτα εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω, ἀλλὰ διορθωθήτω· ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον, ὅπερ ἐῤῥέθη παρὰ τῶν Ἀποστόλων πρὸς τὸν θέλοντα δοῦναι (4), ἵνα Πνεύματος ἁγίου μετουσίαν ὠνήσηται· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν (5)· κουφότερος γὰρ ὁ δι' ἀπειρίαν ὠνήσασθαι θέλων, ἢ ὁ πιπράσκων τὴν τοῦ Θεοῦ δωρεάν· πρᾶσις γὰρ ἐγένετο, καὶ ὃ σὺ δωρεὰν ἔλαβες, ἐὰν πωλῇς, ὡσανεὶ πεπραμένος τῷ Σατανᾷ, ἀφαιρεθήσῃ τοῦ χαρίσματος· καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς, καὶ τῇ ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ. Ταῦτα οὕτω γίνεσθαι οὐ χρή· ὃ δέ ἐστι τὸ τέχνασμα λέγω. Νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ ἅμα

(1) Π. — ιζ'. παρὰ Βευερ. — (2) ἐν ὑμῖν Χ. Τρ. — (3) Ἀπ. Βασιλ. — φασί τινάς τινας Βευερ. Χ. Τρ. — (4) χρήματα δοῦναι Χ. Τρ. — (5) Πράξ. Η', 20.

λαμβάνειν(1), ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐστιν, ὁτεδήποτε τὸ λαβεῖν. Παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν, ἀπόθεσθε· καὶ μὴ τὰς χεῖρας μολύναντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια(2) μυστήρια. Σύγγνωτε δέ μοι, ὅτι πρῶτον μὲν ὡς ἀπιστήσας, εἶτα δὲ ὡς πεισθεὶς ἀπειλῶ. Εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι (3) τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει· ζητήσει δὲ ἔνθα τὴν τοῦ Θεοῦ δωρεὰν ἀγοράζων μεταπωλεῖν δύναται. Ἡμεῖς γὰρ, καὶ αἱ ἐκκλησίαι τοῦ Θεοῦ, τοιαύτην συνήθειαν οὐκ ἔχομεν(4). Ἓν δὲ προσθεὶς παύσομαι. Διὰ φιλαργυρίαν γίνεται ταῦτα· ἡ δὲ φιλαργυρία, καὶ ῥίζα πάντων τῶν κακῶν ἐστι(5), καὶ ὀνομάζεται εἰδωλολατρεία(6). Μὴ οὖν τοῦ Χριστοῦ προτιμήσητε τὰ εἴδωλα διὰ μικρὸν ἀργύριον· μηδὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι προδιδόντες δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα· ἐπεὶ καὶ τὰ χωρία, καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς τούτους δεχομένων, ἀκελδαμὰ κληθήσονται.

---

ΖΩΝΑΡ. Πρὸς τοὺς οἰκείους ἐπισκόπους ἔγραψεν ὁ ἅγιος, ἀκούσας ὅτι παρὰ τῶν χειροτονουμένων παρ' αὐτῶν λαμβάνουσι χρήματα· καὶ ἄπιστον μὲν, φησὶν, ἡγησάμην τὸ πρᾶγμα· ὅτι δὲ καὶ ὑπωπτεύθη μόνον, λύπην μοι προξένησε· μονονουχὶ τοῦτο λέγων, ὅτι λύπη μοι ἐστὶ τὸ τοιούτους εἶναι ὑμᾶς, ὥστε τοιαῦτα λέγεσθαι καθ' ὑμῶν. Ἔστι γὰρ ἦθος κατά τινα σοφὸν ἕτερον, τινὸς κατηγορίας ἀνένδεκτον, ὡς εἴ τις, φησὶν, ἑταιρήσεως διώκοι τὸν Αἴαντα. Ταῦτα δὲ, ἃ γράφω, φησὶν, ὁ μὲν συνειδὼς ἑαυτῷ τοιοῦτόν τι, δεξάσθω ὡς ἴαμα τῆς κακίας· ὁ δὲ καθαρὸς ἐξ αὐτῆς, ὡς προφυλακτήριον· τὰ γὰρ φάρμακα παρὰ τῶν ἰατρῶν τοῖς μὲν ἐμπεσοῦσιν εἰς νόσον διὰ ἴασιν δίδονται, καὶ τῆς νόσου ἀπαλλαγὴν, τοῖς δὲ μήπω νοσοῦσι, παρέχονται προφυλακτικὰ, ὥστε

---

(1) Π. Χ. Τρ. — τῷ μὴ προλαμβάνειν Ἀπ. Βασιλ. — (2) ἁγνὰ μυστήρια Ἀπ. Βασ. — (3) πράξει ἔτι Π. — (4) α', Κορ. ΙΑ', 16. — (5) α', Τιμόθ. ς', 10. — (6) Κολοσσ. Γ', 5.

μὴ νοσῆσαι. Ὅςις δὲ, φησὶν, ἀδιάφορός ἐστιν, ἤγουν, ὅστις οὐδὲ νομίζει κακόν τι ποιεῖν, λαμβάνων ἐκ τῶν παρ' αὐτοῦ χειροτονουμένων, ὅπερ, τὸ τῆς ἀδιαφορίας δηλαδὴ, ἀπεύχομαι ἐν ὑμῖν εὑρεθῆναι, δεξάσθω τὰ γραφόμενα ὡς μαρτυρίαν, ἤτοι ὡς παραγγελίαν, ὡς ἐπιφώνημα. Ἀπηύξατο δὲ τὴν ἀδιαφορίαν εἰκότως· ὁ γὰρ ἁμαρτάνων καὶ εἰδὼς κακὸν ποιεῖν, ἐλπίζεται ἴσως καὶ ἀποσχέσθαι ἀπὸ τοῦ κακοῦ· ὁ δὲ τὸ κακὸν πράσσων, καὶ μηδὲ λογιζόμενος κακὸν ποιεῖν, οὐκ ἄν ποτε ἔλθοι εἰς μετάνοιαν, οὐδὲ τῆς ἁμαρτίας ἀφέξεται. Ὃ δὲ λέγω, φησὶν, ἐστὶ, τὸ λέγειν τινὰς, ὅτι χρήματα λαμβάνοντες τὰς χειροτονίας ποιεῖτε· ἐπισκιάζετε δὲ, ἀντὶ τοῦ, ἐπικρύπτετε τὸ κακὸν εὐσεβείας ὀνόματι· τοῦτο δὲ χεῖρον ἐςίν. Ὁ γὰρ ποιῶν, φησὶ, τὸ κακὸν, καὶ σχηματιζόμενος καλόν τι ποιεῖν, διπλῆς ἐστιν ἄξιος τιμωρίας, ὅτι τε τὸ κακὸν ποιεῖ, καὶ ὅτι κέχρηται εἰς συνεργίαν τῆς κακίας τῷ ἀγαθῷ, ἤτοι τῷ ὀνόματι τοῦ καλοῦ, οὐ γὰρ αὐτῷ τῷ καλῷ. Ταῦτα εἰ οὕτως ἔχει, ἤγουν εἰ ἀληθῆ εἰσι, διορθωθήτω. Ἀνάγκη γὰρ λέγεσθαι πρὸς τοὺς ἐπὶ χρήμασι χειροτονοῦντας τὸ τοῦ ἁγίου Πέτρου, ὃ πρὸς τὸν Σίμωνα ἔφη, χρήματα προσαγαγόντα, καὶ ζητοῦντα δοθῆναι αὐτῷ τὴν χάριν τοῦ Πνεύματος, ὅπερ ἐστὶν, Εἴη τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν. Εἶτα καὶ αὔξει τὴν ἁμαρτίαν, λέγων, ὅτι οἱ τὰς χειροτονίας ὠνούμενοι, ἐλαφρότερόν τι ἁμαρτάνουσι τῶν πιπρασκόντων αὐτάς· οἱ μὲν γὰρ δι' ἀπειρίαν ὠνοῦνται ὃ οὐκ ἔχουσιν· ὁ δὲ πιπράσκων πωλεῖ ὃ ἔλαβε δωρεὰν, ὡς πεπραμένος τῷ Σατανᾷ, ἤγουν ὡς δοῦλος ὠνητὸς τῷ διαβόλῳ γενόμενος, καὶ εἰς καπηλείαν, ἀντὶ τοῦ, εἰς πραγματείαν, κατάγει τὴν χάριν τοῦ Πνεύματος. Καπηλεία γὰρ ἡ πραγματεία λέγεται, καὶ μάλιστά γε ἡ ῥυπαρὰ, ἣν, φησὶ, τὴν ῥυπαρὰν πραγματείαν ἐπεισάγει τῇ ἐκκλησίᾳ, ὅπου πεπιστεύμεθα τὰ τιμιώτατα, μᾶλλον δὲ τὰ ὑπὲρ πᾶσαν τιμὴν, ἅ εἰσι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ. Εἰπὼν δὲ ἄνω, ὅτι ἐπισκιάζετε τὸ κακὸν, νῦν καὶ πῶς ἐπισκιάζουσι, λέγει· νομίζουσι, φησὶ, μὴ ἁμαρτάνειν, διότι οὐ λαμβάνουσιν ἅμα τῇ χειροτονίᾳ, ἀλλὰ μετὰ ταῦτα· λαβεῖν δέ ἐστιν, ὁτεδήποτε τὸ λαβεῖν. Κἂν γὰρ μὴ πρότερόν τις λάβῃ, ἢ ὅτε χειροτονεῖ, ἀλλὰ μετὰ καιρὸν διὰ τὴν χειροτονίαν, τὸ αὐτό ἐςιν ἁμάρτημα. Παρακαλῶ οὖν, ἀπόθεσθε ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν· ἡ γὰρ ἐκ τοιαύτης αἰτίας πρόσοδος προσάγει τῇ γεέννῃ τὸν χρώμενον αὐτῇ. Καὶ μὴ τὰς χεῖρας μολύνοντες ἀπὸ τοῦ λαμβάνειν ἀπὸ πόρων τοιούτων, ἀναξίους ποιήσητε ἑαυτοὺς τοῦ μεταχειρίζεσθαι τὰ ἅγια μυστήρια, ἤγουν τοῦ ἱερουργεῖν, καὶ θύειν τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. Ὅτι δὲ εἰς ἀπειλὴν περιέστησε τὸν λόγον ὁ ἅγιος, εἰπὼν ἐν ἀρχῇ τῆς ἐπιστολῆς, ὅτι ἄπιστον ἡγησάμην τὸ πρᾶγμα, συγγνώμην αἰτεῖ· ἡ δὲ ἀπειλή ἐστι τὸ μηκέτι ἐαθῆναι τὸν μετὰ τὴν ἐπιστολὴν τοιοῦτόν τι ποιήσαντα εἰς θυσιαστήριον ἐνεργῆσαι. Ἀναχωρήσει γὰρ, φησὶν, ὁ τοιοῦτος τῶν ἐνταῦθα θυσιαστηρίων, ἀντὶ τοῦ, κωλυθήσεται ὧδε ἱερατεύειν, καὶ λοιπὸν ἄλλην χώραν αἰτήσει, ἐν ᾗ ἐξωνήσεται τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ μεταπωλήσει αὐτήν. Καὶ ἐπὶ τούτοις τὰ ἀποστολικὰ ἐπάγει ῥητά· Ἡμεῖς γὰρ καὶ αἱ ἐκκλησίαι τοῦ Θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Εἶτά φησιν, ὅτι τὸ πωλεῖν τὴν χάριν τοῦ Πνεύματος, διὰ φιλαργυρίαν γίνεται, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστι, καὶ ὀνομάζεται εἰδωλολατρεία. Μὴ οὖν προτιμήσητε τὰ εἴδωλα τοῦ Χριστοῦ διὰ μικρὸν ἀργύριον· ἐπεὶ γὰρ ἡ φιλαργυρία εἰδωλολατρεία ἐστὶν, ὁ διὰ φιλαργυρίαν πωλῶν τὴν δωρεὰν τοῦ Θεοῦ προτιμᾷται τὰ εἴδωλα τοῦ Θεοῦ, καὶ μιμεῖται τὸν Ἰούδαν. Ὡς γὰρ ἐκεῖνος διὰ τὸ κερδῆσαι τὰ ἀργύρια παρέδωκε τὸν Χριστὸν, οὕτω καὶ οὗτοι προδιδόασιν ἑκόντες δευτέραν εἰς προδοσίαν τὸν Χριστὸν, ὃς ἅπαξ ὑπὲρ ἡμῶν ἐσταυρώθη. Τοσοῦτον δὲ, φησὶ, τὸν Ἰούδαν μιμοῦνται οἱ τὴν χάριν πωλοῦντες τοῦ Πνεύματος, ὅτι καὶ τὰ χωρία, τὰ διὰ τῶν ἀργυρίων τούτων ὠνούμενα, ἤγουν αἱ ἐνορίαι, καὶ αἱ κῶμαι ἐν αἷς ἐπικηρύττονται οἱ οὕτω χειροτονούμενοι, καὶ αἱ χεῖρες αἱ τοὺς καρποὺς τούτους δεχόμεναι, ἀκελδαμὰ κληθήσονται, ὅπερ Ἑβραϊκόν ἐςι, ἐξελληνιζόμενον δὲ, τιμὴ καὶ χωρίον αἵματος ἑρμηνεύεται· εἴρηται δὲ ἐν τῇ βίβλῳ τῶν Πράξεων. Τοῦτο οὖν ἐστιν ὃ λέγει· ὅτι, ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, δι' ὧν ἐπράθη παρὰ τοῦ Ἰούδα ὁ Κύριος, ἀγορασθεὶς ἀγρὸς τιμὴ αἵματος ἐλογίσθη καὶ ὠνομάσθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι, ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

ΒΑΛΣ. Πῶς κολάζονται οἱ ἐπὶ χρήμασι χειροτονοῦντες καὶ χειροτονούμενοι, ἐῤῥέθη πλατύτερον εἰς τὴν ἑρμηνείαν τοῦ κθ'. κανόνος τῶν ἁγίων Ἀποστόλων, εἰς τὸν β'. κανόνα τῆς δ'. συνόδου, εἰς τὸν κβ'. κανόνα τῆς ς'. συνόδου, καὶ εἰς τὸν ε. καὶ ιθ'. τῆς ζ'. συνόδου, καὶ ἀνάγνωθι τούτους καὶ τὰς ἑρμηνείας αὐτῶν. Ἐπεὶ δὲ καὶ ἡ παροῦσα ἐπιστολὴ, ὡς καὶ οἱ κανόνες, καθαιρέσει καθυποβάλλει τοὺς χειροτονοῦντας καὶ τοὺς χειροτονουμένους, κἂν πρὸ τῆς χειροτονίας λάβωσιν ἢ δώσωσι χρήματα, κἂν μετὰ τὴν χειροτονίαν, σύναψον ταῦτά τε κἀκεῖνα, καὶ διὰ τῆς νοητῆς μαχαίρας τοῦ Πνεύματος τὸ τῆς φιλαργυρίας πάθος, ὡς ἐνὸν, ῥιζοτόμησον. Τὰ μέν τοι ἐξωνούμενα χωρία διὰ τῶν τοιούτων χρημάτων, ἀκελδαμὰ, φησὶ, κληθήσονται, ὅπερ· Ἑβραϊκόν ἐστι, καὶ ἐξελληνιζόμενον, τιμὴ καὶ χωρίον αἵματος ἑρμηνεύεται· εἴρηται δὲ ἐν τῇ βίβλῳ τῶν Πράξεων. Τοῦτο δέ ἐστιν ὃ λέγει· ὅτι ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, ὧν ἐπράθη διὰ τοῦ Ἰούδα ὁ Κύριος, ἀγορασθεὶς ἀγρὸς, τιμὴ αἵματος ἐκλήθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι, ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

ΣΥΝΟΨ. Οἱ χειροτονοῦντες ἐπὶ χρήμασι σοφίζονται τὸ πρᾶγμα, διὰ τοῦ μὴ προλαμβάνειν, ἢ ἅμα λαμβάνειν, ἀλλὰ μεταλαμβάνειν· λαβεῖν δέ ἐστι τὸ ὁτεδήποτε λαβεῖν· τοῦτο δὲ φιλαργυρίας ἔργον· ἣ δέ ἐστιν εἰδωλολατρεία. Μὴ οὖν Χριστοῦ τὰ εἴδωλα προτιμήσητε διὰ μικρὸν ἀργύριον, μηδὲ τὸν Ἰούδαν μιμήσησθε, προδιδόντες ἐπὶ λήμματι δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν ςαυρωθέντα· ἐπεὶ καὶ τὰ χωρία, καὶ αἱ χεῖρες τῶν τοιαῦτα δεχομένων, ἀκελδαμὰ κληθήσεται.



# ΤΟΥ ΑΥΤΟΥ

## ΕΚ ΤΟΥ ΚΖ'. ΚΕΦΑΛΑΙΟΥ ΤΩΝ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΠΡΟΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΑΜΦΙΛΟΧΙΟΝ ΓΕΓΡΑΜΜΕΝΩΝ.

### Κανὼν ϞΑ'.

ΤΩΝ ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν· καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις γε κἂν κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν, παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστῶντες τὸ κήρυγμα. Οἷον (ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ) τῷ τύπῳ τοῦ Σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν, ποῖον ἡμᾶς ἐδίδαξε γράμμα; Τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; Οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος ἢ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν, καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. Εὐλογοῦμεν δὲ τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον· ἀπὸ ποίων ἐγγράφων; Οὐχ ἀπὸ τῆς

σιωπωμένης καὶ μυστικῆς παραδόσεως; Τί δέ; αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν, τίς λόγος γεγραμμένος ἐδίδαξε; Τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον, πόθεν; Ἀλλὰ καὶ (1) ὅσα περὶ τὸ βάπτισμα, ἀποτάσσεσθαι τῷ Σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ Γραφῆς; Οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀποῤῥήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ Πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνο δεδιδαγμένοι, τῶν μυστηρίων τὸ (2) σεμνὸν σιωπῇ διασώζεσθαι; Ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασι;

---

ΖΩΝΑΡ. Περὶ τῶν ἐξ ἀγράφου παραδόσεως ἐθῶν διδάσκει ὁ ἅγιος, καί φησιν, ὅτι πολλά εἰσιν ἃ παρελάβομεν ἀγράφως ποιεῖν, τὰ πρὸς τὴν εὐσέβειαν συμβαλλόμενα, ἅτινα ἐὰν παραιτησώμεθα φυλάττειν, εἰς τὰ καίρια τὸ Εὐαγγέλιον βλάψομεν, ἤγουν τὴν διὰ τοῦ Εὐαγγελίου κηρυχθεῖσαν ἡμῖν πίστιν. Εἶτα ἀπαριθμεῖ καὶ τὰ ἀγράφως τελούμενα, καί φησι, τὸ κατασημαίνεσθαι, ἤτοι σφραγίζεσθαι τῷ τύπῳ τοῦ Σταυροῦ τοὺς πιστεύσαντας τῷ Χριστῷ, τίς ἐγγράφως ἐδίδαξεν; ἢ τὸ κατὰ ἀνατολὰς στρέφεσθαι προσευχομένους; Τὰ δὲ τῆς ἐπικλήσεως ῥήματα, ἤγουν δι' ὧν ἐπικαλεῖται ὁ ἱερεὺς τὴν χάριν τοῦ Πνεύματος, ἐν τῷ τὸν ἄρτον ἁγιάζειν τῆς εὐχαριστίας, καὶ τὸ τῆς εὐλογίας ποτήριον, ἀπὸ τίνος, φησίν, ἔχομεν; οὐ γὰρ ἀρκούμεθα τοῖς ἐγγράφως παραδοθεῖσιν ἐκ τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ πρὸ ἐκείνων τινὰ λέγομεν, καὶ μετ' ἐκεῖνα ἕτερα. Τὸ δὲ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, πόθεν παρελάβομεν εὐλογεῖν; Καὶ αὐτὸ τὸ χρίειν ἐλαίῳ τὸν βαπτιζόμενον, τίς ἡμᾶς ἐγγράφως ἐδίδαξε; Καὶ τὸ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν ἔχομεν; (τὰ μὲν οὖν ἄλλα ἀγράφως ὡς ἀληθῶς παραδέδονται· τὸ δὲ τρισσάκις τὸν βαπτιζόμενον καταδύεσθαι, ἐκ τοῦ γ'. κανόνος ἔχομεν τῶν ἁγίων Ἀποστόλων· θαυμάζω οὖν, πῶς καὶ τοῦτο ὁ ἅγιος ἀγράφως εἶπε παραδεδόσθαι· οὐ

(1) Ἀλλα δὲ Ἀπ. Βασ. — (2) Ἀπ. Βασ. — τὰ σεμνά, οἱ λοιποί.

γὰρ ἀγνοεῖσθαι τὸν κανόνα ἐκείνῳ ὑποληπτέον.) Καὶ τὸ ἀποτάσσεσθαι δὲ τῷ Σατανᾷ, καὶ τ' ἄλλα ὅσα λέγειν ὁ βαπτιζόμενος ἀπαιτεῖται, πάντα, φησὶν, ἐκ τῆς ἀποῤῥήτου καὶ ἀδημοσιεύτου διδασκαλίας εἰσὶν, ἤγουν τῆς μὴ δημοσίᾳ κεκηρυγμένης, τῆς μὴ πᾶσι γινωσκομένης, ἣν οἱ πρὸ ἡμῶν ἐφύλαξαν σεσιγημένως, μὴ πολυπραγμονοῦντες ἢ περιεργαζόμενοι· ἐδιδάχθησαν γὰρ τὰ σεμνὰ τῶν μυστηρίων, ἤγουν τὰ ἔνδοξα καὶ τίμια καὶ ἀπόῤῥητα σιωπῇ διασώζεσθαι καὶ φυλάττεσθαι· ἃ γὰρ, φησὶν, οὐδὲ ὁρᾷν ἢ κατασκοπεῖν ἐστιν ἀμυήτοις δύνατον, ταῦτα οὐκ ἦν ἐνδεχόμενον θριαμβεύειν καὶ φανερῶς κηρύσσειν ἐν γράμμασι.

## Καὶ μεθ' ἕτερα·

Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμελετηθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν, εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. Ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. Τὰ μὲν γὰρ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ Γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν, πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς. Καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ σαββάτου, τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν· οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν, ἀλλ' ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωϋσέως, ἀλλὰ μία ὠνόμασται. Ἐγένετο γὰρ, φησὶν, ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα μία (1), ὡς τῆς αὐτῆς ἀνακυ-

(1) Γεν. Α', 5.

κλουμένης πολλάκις. Καὶ μία τοίνυν ἡ αὐτὴ, καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ Ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνήσθη(1), δι' ἑαυτῆς ἐμφανίζουσα τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ Πεντηκοστὴ, τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς Πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. Ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει, δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις. Διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα· ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾷν οἱ θεσμοὶ τῆς ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν. Ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς ἐκκλησίας μυστήρια διηγούμενον. Ἐῶ τ' ἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως, πιστεύειν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες, ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα,

(1) Ψαλμ. Ϛ', καὶ ΙΒ'.



συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας, ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι. Εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας, καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις. Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ Πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας τοῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν, οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην;

---

ΖΩΝΑΡ. (1) Ἐν μὲν τοῖς προλαβοῦσιν ὁ ἅγιος εἶπε, τὰ ἐξ ἀγράφου παραδόσεως παρατηρημένα ἡμῖν· ἐνταῦθα δὲ καὶ αἰτίας λέγει δι' ἃς ἀγράφως παραδέδονται, καὶ διὰ τί κατὰ ἀνατολὰς ὁρῶντες εὐχόμεθα, καὶ διὰ τί ὄρθοὶ τῇ μιᾷ τῶν σαββάτων ποιούμεθα τὰς εὐχάς. Καὶ ὁ μὲν περὶ τοῦ μὴ ἐγγράφως πάντα παραδεδόσθαι ἡμῖν λόγος ἐστὶ, τὸ τὰ δόγματα μὴ δεῖν δημοσιεύεσθαι, καὶ παρὰ πάντων γινώσκεσθαι· τὰ μὲν γὰρ κηρύγματα, φησὶ, δημοσιεύονται, τὰ δὲ δόγματα σιωπᾶται, ἵνα μὴ καταμελετηθέντα, τουτέστιν ἐν συνεχεῖ μελέτῃ γενόμενα, ἐκ τῆς συνηθείας καταφρονῶνται. Σιωπῆς δὲ εἶδός ἐστι καὶ ἡ ἀσάφεια· τὸ γὰρ ἀσαφῶς εἰρημένον ὥστε μὴ καὶ παρὰ πολλῶν νοεῖσθαι, ἔοικε σιωπᾶσθαι. Τοῦτο μὲν οὖν, φησὶν ὁ ἅγιος, αἴτιον τοῦ μὴ πάντα ἡμῖν ἐγγράφως παραδεδόσθαι. Τοῦ δὲ κατὰ ἀνατολὰς ὁρᾷν ἐν ταῖς προσευχαῖς τὸν λόγον φησὶν εἶναι, τὸ ζητεῖν ἡμᾶς τὴν ἀρχαίαν πατρίδα, τὸν παράδεισον δηλαδὴ, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς. Μὴ γόνυ δὲ κλίνειν Κυριακῇ παραδέδοται, διότι ἐν αὐτῇ συνανέστημεν τῷ Χριστῷ, καὶ ὅτι τὰ ἄνω ζητεῖν ὀφείλομεν, καὶ ὅτι τοῦ μέλλοντος αἰῶνος εἰκών ἐστιν ἡ Κυριακὴ, ἥτις ἀρχὴ οὖσα τῶν ἡμερῶν, οὐχὶ πρώτη ἐκλήθη τῷ

(1) Ἐκ τοῦ Χ. Τρ. — οὐ κεῖται δὲ παρὰ Βευερ.

Μωϋσῇ, ἀλλὰ μία, ἅτε ἀνακυκλουμένη, καὶ μία οὖσα καὶ ὀγδόη, καὶ τὴν ὀγδόην ἐκείνην τυποῦσα ἡμέραν, τὸν μέλλοντα δηλονότι αἰῶνα, τὸν ἄληκτον καὶ ἀπέραντον, οὗ καὶ Δαβὶδ ἐν ἐπιγραφαῖς ἐμνήσθη ψαλμῶν, ὑπὲρ τῆς ὀγδόης ἐπιγράψας αὐτούς. Διὰ ταῦτα οὖν ἀναγκαίως, φησί, παιδεύει ἡ ἐκκλησία ἵστασθαι εὐχομένους τοὺς ἑαυτῆς τροφίμους, ἤγουν τοὺς πιστούς, οὓς ἐθρέψατο, ἵνα συνεχῶς διὰ τοῦ ἄνω ὁρᾷν ὑπομιμνήσκωνται τῆς μελλούσης ζωῆς, καὶ τὰ πρὸς ἐκείνην ἐφόδια ἑτοιμάζωσιν. Εἶτα καὶ περὶ τῶν τῆς Πεντηκοστῆς φησιν ἡμερῶν, ὅτι καὶ αὗται τὴν προσδοκωμένην ἀνάστασιν ἡμῖν σημαίνουσιν. Ἐπεὶ καὶ ἡ πρώτη ἡμέρα τῆς Ἀναστάσεως τοῦ Κυρίου, ἑπτάκις ἑπταπλασιαζομένη διὰ τῶν ἐν μέσῳ ἡμερῶν, ἀποτελεῖ τὴν Πεντηκοστήν. Ἄρχεται γὰρ ἀπὸ τῆς τοῦ Πάσχα Κυριακῆς, καὶ καταντᾷ εἰς τὴν ἑτέραν Κυριακὴν τὴν καινήν, καὶ ἐξ ἐκείνης αὖθις εἰς τὴν ἐφεξῆς Κυριακήν. Καὶ οὕτως ἀνακυκλουμένη καὶ ἐξελιττομένη διὰ τῶν ἑπτὰ ἑβδομάδων, εἰς τὴν Πεντηκοστὴν καταλήγει, καὶ μιμεῖται αἰῶνα, ἀπὸ τῶν αὐτῶν ἀρχομένη ἡμερῶν, καὶ εἰς τὰς αὐτὰς καταντῶσα, ὥσπερ ἐν κυκλικῇ κινήσει. Ἡ γὰρ τὸν κύκλον ἀποτελοῦσα γραμμή, ἥτις καὶ περιφέρεια λέγεται, ὅθεν ἄρχεται, ἐκεῖ καταλήγει. Ἐν γοῦν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, οἱ θεσμοὶ τῆς ἐκκλησίας, ἤγουν οἱ νόμοι ἢ οἱ τύποι, ἐπαίδευσαν ἡμᾶς προτιμᾷν τὸ ὀρθοὺς ἑστῶτας προσεύχεσθαι, ἀπανιστῶντας ὥσπερ τὸν νοῦν ἡμῶν ἀπὸ τῶν γηΐνων ἐπὶ τὰ οὐράνια διὰ τῆς ἐναργοῦς, ἤτοι φανερᾶς ὑπομνήσεως· ὑπομιμνησκόμεθα γὰρ διὰ τοῦ ὀρθίου σχήματος ἄνω ὁρῶντες τῶν μελλόντων καὶ οὐρανίων. Ἀλλὰ καὶ αἱ γονυκλισίαι οὐκ ἀσύμβολοι ἡμῖν εἰσί· σημαίνει γὰρ ἡ μὲν εἰς γῆν κατάκλισις, ὅτι ἁμαρτήσαντες εἰς γῆν πεπτώκαμεν· ἡ δὲ ἐκ τῆς γῆς αὖθις ἀνάστασις, ὅτι ἐκ τοῦ πτώματος ἀνεκλήθημεν διὰ τῆς χάριτος τοῦ Θεοῦ φιλανθρωπευσαμένου περὶ ἡμᾶς. Καὶ τί ταῦτα, φησίν, ἀπαριθμῶ; Εἰ γὰρ πάντα λέγειν ἐθέλω, ὅσα ἀγράφως μυστήρια παρελάβομεν ἐπιλείψει με ἡ ἡμέρα, ἀντὶ τοῦ, οὐδὲ καιρὸν ἕξω ἀρκοῦντα πρὸς τὴν διήγησιν. Εἶτα καὶ ἕτερόν τι προστίθησιν ἄγραφον, λέγων· Ἐῶ τ' ἄλλα· τὸ δὲ ὁμολογεῖν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, πόθεν ἐγγράφως ἔχομεν; εἰ μὲν γὰρ ἐκ



τῆς ἐν τῷ βαπτίσματι παραδόσεως, ἤγουν ἐκ τοῦ εἰπεῖν τὸν Χριστὸν τοῖς Ἀποστόλοις, Βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος (1), ὡς βαπτιζόμεθα, οὕτω καὶ πιστεύειν ὀφείλομεν, καὶ διὰ τοῦτο ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν τιθέμεθα, δότωσαν ἡμῖν, ἵνα, ὡς ὁμολογοῦμεν, οὕτω καὶ δοξάζωμεν, ἤγουν πιστεύωμεν ἢ δοξολογῶμεν. Ἐὰν δὲ λέγωσιν, Ἀλλ' οὐκ ἐγγράφως παρελάβομεν οὕτω δοξολογεῖν, δότωσαν ἡμῖν ἐγγράφως τὰς ἀποδείξεις, ἀντὶ τοῦ, ἐγγράφως δειξάτωσαν τὴν κατὰ τὴν πίστιν ὁμολογίαν, καὶ τὰ ἄλλα τὰ ἀπαριθμηθέντα. Πρὸς τοὺς Πνευματομάχους δὲ ταῦτα ὁ ἅγιος διαλέγεται, μὴ ἀνεχομένους συνδοξολογεῖσθαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ ἅγιον Πνεῦμα, οἷα δοῦλον αὐτὸ δοξάζοντας καὶ οὐχ ὁμότιμον, καὶ λέγοντας, ὅτι οὐχ εὑρίσκομεν ἐγγράφως παραδοθὲν τῇ ἐκκλησίᾳ τὸ συνδοξολογεῖσθαι αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ ἐπάγει καὶ ταῦτα ὁ ἅγιος· Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ Πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσι; καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι, ἐπεὶ τοσαῦτά εἰσιν ἃ ἀγράφως παρελάβομεν, καὶ οὕτω πρὸς τὴν πίστιν ἰσχυρά, οὐ παραχωρήσουσιν ἡμῖν μίαν λέξιν, οὐ παρ' ἡμῶν εἰσαχθεῖσαν, ἀλλ' ἣν εὕρομεν ἐκ συνηθείας ἀνεπιτηδεύτου, ἤγουν ἀπεριέργου καὶ ἁπλῆς, ἐναπομεινάσης ταῖς ἀδιαστρόφοις (2) τῶν ἐκκλησιῶν, ἤγουν ταῖς ὀρθοδόξοις, ταῖς μὴ διαστραφείσαις παρὰ τῶν αἱρετικῶν, ἔχουσαν οὐ μικρὸν λόγον, οὐδὲ ὀλίγην συντέλειαν, εἴτουν ὠφέλειαν, εἰσφέρουσαν εἰς τὴν τοῦ μυστηρίου τῆς πίστεως δύναμιν, ἀντὶ τοῦ, μεγάλως ὠφελεῖν δυναμένην εἰς τὸ τῆς πίστεως μυστήριον;

ΒΑΛΣ. Περὶ τῶν ἀγράφων ἐθῶν τῆς ἐκκλησίας, ἀνάγνωθι τὸ γ'. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γραφέντα. Ὃ δέ φησιν ἡ παροῦσα ἐπιστολή, τοιοῦτον ἐστί. Τῶν Πνευματομάχων λεγόντων μὴ ὀφείλειν συνδοξάζεσθαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ πανάγιον Πνεῦμα, διὰ τὸ μὴ παραδοθῆναι τοῦτο ἡμῖν ἐγγράφως, ὁ ἅγιος, μετὰ τὸ καταλέξαι διάφορα ἄγραφα ἔθη ἐξ ἀνάγκης πάσης μὴ παρα-

(1) Ματθ. ΚΗ', 19. — (2) ἀδιαγράφοις Βευερ. Χ. Τρ. ἐσφαλμένως.

λυόμενα, ἀλλ' αἰωνιζόντως κρατεῖν μέλλοντα, ἐπάγει καὶ αἰτίας, δι' ἃς ἀγράφως τινὰ ἐκ τούτων παραδέδονται, καί φησι, διὰ τί κατὰ ἀνατολὰς ὁρῶντες εὐχόμεθα, καὶ διὰ τί ὀρθοὶ τῇ μιᾷ τῶν σαββάτων ποιούμεθα τὰς εὐχάς. Καὶ ὁ μὲν περὶ τοῦ μὴ ἐγγράφως πάντα δεδόσθαι ἡμῖν λόγος ἐστί, τὸ τὰ δόγματα μὴ δεῖν δημοσιεύεσθαι, καὶ παρὰ πάντων γινώσκεσθαι. Τὰ μὲν γὰρ κηρύγματα, φησί, δημοσιεύονται, τὰ δὲ δόγματα σιωπᾶται, ἵνα μὴ καταμελετηθέντα, τουτέστιν ἐν συνεχεῖ μελέτῃ γενόμενα, ἐκ τῆς συνηθείας καταφρονῶνται. Σιωπῆς δὲ εἶδός ἐστι καὶ ἡ ἀσάφεια· τὸ γὰρ ἀσαφῶς εἰρημένον, ὥστε μὴ καὶ παρὰ πολλῶν νοεῖσθαι, ἔοικε σιωπᾶσθαι. Ὥσπερ γὰρ οὐκ οἶδέ τις ὃ ἕτερος κατὰ νοῦν ἔχει, οὕτω καὶ τὸ ἀσαφῶς εἰρημένον ἀγνοεῖται τοῖς πλείοσι. Τοῦτο μὲν οὖν, φησὶν ὁ ἅγιος, αἴτιον τοῦ μὴ πάντα ἡμῖν ἐγγράφως παραδεδόσθαι. Τοῦ δὲ κατὰ ἀνατολὰς ὁρᾷν ἐν ταῖς προσευχαῖς τὸν λόγον φησὶν εἶναι, τὸ ζητεῖν ἡμᾶς τὴν ἀρχαίαν πατρίδα, τὸν παράδεισον δηλαδή, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς. Μὴ γόνυ δὲ κλίνειν τῇ μιᾷ τῶν σαββάτων, ἥτις ἐστὶν ἡ Κυριακή, παραδέδοται, ὅτι ἐν αὐτῇ συνανέστημεν τῷ Χριστῷ, ἐκείνου μὲν τοῦ τάφου ἐξαναστάντος, ἡμῶν δὲ τοῦ ἀρχαίου πτώματος δι' ἐκείνου ἐξεγερθέντων· καὶ ὅτι τὰ ἄνω ζητεῖν ὀφείλομεν, καὶ μὴ πρὸς τὰ γηρὰ καὶ φθαρτὰ ῥέπειν, καὶ ὅτι τοῦ μέλλοντος αἰῶνος εἰκών ἐστιν ἡ Κυριακή, ἥτις ἀρχὴ οὖσα τῶν ἡμερῶν, οὐχὶ πρώτη ἐκλήθη τῷ Μωϋσῇ, ἀλλὰ μία, ἅτε ἀνακυκλουμένη, καὶ μία οὖσα καὶ ὀγδόη, καὶ τὴν ὀγδόην ἐκείνην τυποῦσα ἡμέραν, τὸν μέλλοντα δηλονότι αἰῶνα, τὸν ἄληκτον καὶ ἀπέραντον, οὗ καὶ Δαβὶδ ἐν ἐπιγραφαῖς ἐμνήσθη ψαλμῶν, ὑπὲρ τῆς ὀγδόης ἐπιγράψας αὐτούς. Διὰ ταῦτα οὖν ἀναγκαίως, φησί, παιδεύει ἡ ἐκκλησία ἵστασθαι εὐχομένους τοὺς τροφίμους αὐτῆς, ἤγουν τοὺς πιστούς, οὓς ἡ ἐκκλησία ἐθρέψατο, ἵνα συνεχῶς διὰ τοῦ ἄνω ὁρᾷν ὑπομιμνήσκωνται τῆς μελλούσης ζωῆς, καὶ τὰ πρὸς ἐκείνην ἐφόδια ἑτοιμάζωσιν. Εἶτα καὶ περὶ τῶν τῆς Πεντηκοστῆς φησιν ἡμερῶν, ὅτι καὶ αὗται τὴν προσδοκωμένην ἀνάστασιν ἡμῖν σημαίνουσιν· ἐπεὶ καὶ ἡ πρώτη ἡμέρα τῆς Ἀναστάσεως τοῦ Κυρίου, ἑπτάκις ἑπταπλασιαζομένη διὰ τῶν ἐν μέσῳ ἡμερῶν ἀποτελεῖ τὴν



Πεντηκοστήν· ἄρχεται γὰρ ἀπὸ τῆς τοῦ Πάσχα Κυριακῆς, καὶ καταντᾷ εἰς τὴν ἑτέραν Κυριακήν· καὶ οὕτως ἀνακυκλουμένη καὶ ἐξελιττομένη διὰ τῶν ἑπτὰ ἑβδομάδων, εἰς τὴν Πεντηκοστὴν καταλήγει, καὶ μιμεῖται αἰῶνα, ἀπὸ τῶν αὐτῶν ἀρχομένη ἡμερῶν, καὶ εἰς τὰς αὐτὰς καταντῶσα, ὥσπερ ἐν κυκλικῇ κινήσει (1).

ΣΥΝΟΨ. Πολλὰ καὶ καίρια ἡ ἐκκλησία ἔχει τὰ ἐξ ἀγράφου παραδόσεως. Καὶ πρῶτον, τοὺς πιστοὺς τῷ Σταυροῦ τύπῳ τὰς ὄψεις κατασημαίνεσθαι· ἔπειτα, τὸ πρὸς ἀνατολὰς ἐστραμμένους εὔχεσθαι· τὰ ἐπιλεγόμενα τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας· εὐλογοῦμεν τὸ ὕδωρ τοῦ βαπτίσματος, τὸ τῆς χρίσεως ἔλαιον, αὐτὸν τὸν βαπτιζόμενον· καὶ πολλὰ ἕτερα, ἃ μυστήρια ὄντα, οὐκ ἔδει θριαμβεύειν τοῖς ἀμυήτοις διὰ τοῦ γράμματος.

*Καὶ ἄλλως.*

Ἄλλο δόγμα, καὶ ἄλλο κήρυγμα· τὸ μὲν γὰρ σιωπᾶται, τὸ δὲ κηρύττεται. Ὁρῶμεν οὖν πρὸς ἀνατολὰς εὐχόμενοι, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν ἐν Ἐδὲμ κατὰ ἀνατολὰς φυτευθέντα παράδεισον· ὀρθοὶ δὲ τὰς εὐχὰς πληροῦμεν ἐν ταῖς Κυριακαῖς, καὶ ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητοῦντες, καὶ ὅτι τοῦτο προσδοκωμένου αἰῶνος εἰκών ἐστι, μία ἡ αὐτὴ καὶ ὀγδόη τυγχάνουσα, ὃ καὶ ὅλη ἡ Πεντηκοστὴ αἰνίττεται, ἣν ἡ αὐτὴ μία ποιεῖ ἑπτάκις ἐφ' ἑαυτὴν πολυπλασιασθεῖσα. Ἡ δὲ γονυκλισία τὴν πτῶσιν ἡμῶν ἐμφαίνει καὶ αὖθις ἀνάστασιν.

---

(1) Τὰ δὲ λοιπὰ ἀπαραλλάκτως ὡς ἐν τῇ ἀνωτέρω ἑρμηνείᾳ τοῦ Ζωναρᾶ.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΚ ΤΟΥ ΚΘʹ. ΚΕΦ. ΤΗΣ ΑΥΤΗΣ ΠΡΑΓΜΑΤΕΙΑΣ.

### Κανὼν ϞΒʹ(1).

ΠΡΟΣ ΓΕ μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν σὺν τῷ Πνεύματι δοξολογίαν, ἐκεῖνο λέγομεν, ὅτι, εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖςα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν ἑτέρων καὶ τοῦτο καταδεξώμεθα (2). Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν· Ἐπαινῶ γάρ, φησίν, ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε(3)· καὶ τό, Κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιςολῆς (4), ὧν μάλιςα(5) μία ἐςὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς τῆς συνηθείας ταῖς ἐκκλησίαις ἐγκατεῤῥίζωσαν. Ἆρ' οὖν, εἰ ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀποροῦντες, μαρτύρων ὑμῖν (6) πλῆθος παρεστησάμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ' ὑμῶν(7) ψήφου τύχοιμεν; Ἐγὼ μὲν οὕτως οἶμαι· Ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα(8). Εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; Δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα.

(1) ϞΓʹ. παρὰ Βευερ. — (2) παραδεξώμεθα Ἀπ. Βασιλ. — (3) αʹ. Κορ. ΙΑʹ, 2. — (4) βʹ, Θεσσαλ. Βʹ, 15. — (5) ἄνευ τοῦ, μάλιστα, Ἀπ. Βασιλ. — (6) ἡμῖν Βευερ. Π. Ε. — (7) ἡμῶν Βευερ. Ε. ὅθεν καὶ παραμορφοῦσι τὴν ἔννοιαν ὅ,τε Βευερήγιος καὶ ὁ Ἔρβετος μεταφράζοντες, annon a nobis editam sententiam assequemur, τῆς ἐννοίας οὔσης nonne sententiam absolventem a vobis consequemur? ὡς ἄριστα μεταφράζεται ἐν τῇ ἐκδόσει τῶν Ἀπ. Βασιλ. ὑπὸ τῶν Βενεδικτίνων ἐν Παρισίοις 1730 τόμ. Γʹ, σελ. 60. — (8) Δευτερ. ΙΘʹ, 15.



---

ΖΩΝΑΡ. ΒΑΛΣ. (1) Ἔτι κατασκευάζει ὁ ἅγιος τὸν οἰκεῖον λόγον, λέγων πρὸς τοὺς αἱρετικούς, ὅτι, εἰ μὲν μηδὲν ἄλλο ἄγραφον παρεδόθη (2), μηδὲ τοῦτο παραδεχθήτω. Εἰ δὲ πολλά εἰσι τὰ ἀγράφως πολιτευόμενα (3), ἅτινά περ ἀπηρίθμησε, μετὰ τῶν ἄλλων καὶ τοῦτο παραδεξώμεθα. Εἶτα δείκνυσιν, ὅτι καὶ ἀποστολικόν ἐστι τὸ παραδεδομένον φυλάττειν, καὶ τίθησι καὶ αὐτὰ τοῦ Ἀποστόλου τὰ ῥήματα, καί φησιν, ὅτι τῶν παραδόσεων μία καὶ αὕτη ἐςίν, ἤγουν ἡ περὶ τοῦ ἁγίου Πνεύματος, ἣν ταῖς ἐκκλησίαις ἐγκατεῤῥίζωσαν, ἀντὶ τοῦ, βεβαίως κατέθεντο καὶ παρέδωκαν. Ὥσπερ γὰρ τὰ καταῤῥιζωθέντα τῶν φυτῶν οὐ ῥᾷον ἀποσπῶνται τῆς γῆς, οὕτω καὶ τοῦτο οὐ ῥαδίως ἀποβαλοῦνται αἱ ἐκκλησίαι, οὐδὲ προδώσουσιν. Ἐπιχειρεῖ δὲ ἔτι λέγων, ὅτι, εἰ δικαστήριον ἄρα συνεστησάμεθα παρ' ὑμῖν, καὶ οὐκ εὐποροῦμεν ἐπὶ τοῖς εἰσαγομένοις ἐγγράφων ἀποδείξεων, παρεστήσαμεν δὲ ὑμῖν μάρτυρας, οὐκ ἂν διὰ τῆς τῶν μαρτύρων φωνῆς ἐδικαιώθημεν; Ἐπάγει δὲ εἰς κατασκευὴν τοῦ οἰκείου λόγου καὶ εὐαγγελικὰ ῥήματα. Ἀλλ' εἰ καὶ προεβαλλόμεθα, φησί, τὸν πολὺν χρόνον, ὡς διὰ τούτου νικῶντες τὸν ἀντίδικον, οἷα τὸ ἐκνικώμενον παρ' ἐκείνου νεμηθέντες ἐπὶ μακρόν, καὶ τοῦτο ἐδείκνυμεν φανερῶς, οὐκ ἂν ἐποιήσαμεν μηδὲ εἰσαχθῆναι ὅλως τὴν δίκην εἰς δικαστήριον, ἀλλὰ μᾶλλον ἀποπεμφθῆναι; Τὰ γὰρ παλαιὰ δόγματα δυσωποῦσιν, αἰδουμένων αὐτὰ τῶν ἀνθρώπων διὰ τὴν ἀρχαιότητα, καὶ ὥσπερ τοῖς γεγηρακόσιν ἡ πολιὰ περιποιεῖ (4) τὸ αἰδέσιμον, οὕτω καὶ ἡ ἀρχαιότης τοῖς δόγμασι.

ΣΥΝΟΨ. Τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπο-

(1) Ἡ ἑρμηνεία αὕτη ἀποδίδεται τῷ Ζωναρᾷ ἐν Χ. Τρ. ὅπου μετὰ τὸ τέλος αὐτῆς σημειοῦται, ὅτι ἡ αὐτὴ ἑρμηνεία ἐστὶ καὶ τῷ Βαλσαμῶνι· παρὰ δὲ Βευερ. καὶ Ἑ. ἀποδίδεται τῷ Βαλσαμῶνι, παραδεξαμένῳ ἐν γένει τὰς εἰς τοὺς τελευταίους τούτους κανόνας ἑρμηνείας τοῦ Ζωναρᾶ ἄνευ τροποποιήσεων. — (2) Βευερ. Ε. — παρεδέχθη Χ. Τρ. — (3) Βευερ. Ἑ. — παραδεχόμενα Χ. Τρ. — (4) Χ. Τρ. — περιποιεῖται Ἑ. Βευερ.

λιτεύονται· ἀποστολικὸν δὲ τοῦτο· Ἐπαινῶ γάρ, φησίν, ὑμᾶς, ὅτι καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε· καὶ αὖθις· Κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, ὧν μία καὶ αὕτη ἡ σὺν τῷ Πνεύματι δοξολογία.

---



# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
# ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ,
## ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ,
### ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ
### ΠΡΟΣ ΛΗΤΟΪΟΝ ΕΠΙΣΚΟΠΟΝ ΜΕΛΙΤΙΝΗΣ.

### Κανὼν Α'.

Ἓν καὶ τοῦτο τῶν εἰς τὴν ἁγίαν ἑορτὴν συντελούντων ἐστί, τὸ κατανοῆσαι ἡμᾶς τὴν ἔννομόν τε καὶ κανονικὴν ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν, ὅπως ἂν θεραπευθείη πᾶν ἀῤῥώστημα ψυχικόν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. Ἐπειδὴ γὰρ ἡ καθολικὴ αὕτη τῆς κτίσεως ἑορτή, κατὰ τὴν τεταγμένην περίοδον τοῦ ἐνιαυσίου κύκλου, καθ' ἕκαστον ἔτος ἐν παντὶ πληρουμένη τῷ κόσμῳ ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται (πτῶσις δέ ἐστιν ἡ ἁμαρτία, ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις), καλῶς ἂν ἔχοι κατὰ τὴν ἡμέραν ταύτην οὐ μόνον τοὺς ἐκ παλιγγενεσίας μεταστοιχειουμένους διὰ τῆς τοῦ λουτροῦ χάριτος τῷ Θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων (1) εἰς τὴν ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν εἰς τὴν σώζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν. Ἔστι δὲ οὐ μικρὸν ἔργον τὸ τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ τε καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ Προφήτου τὸ κελεῦον, δεῖν οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει (2), ἵνα, καθὼς ἔχει τὸ λόγιον, μήτε σαλευθῇ εἰς τὸν αἰῶνα, καὶ εἰς μνημόσυνον αἰώνιον γένηται δίκαιος (3). Ὥσπερ γὰρ

(1) Ἑβρ. Θ', 14. — (2) Ψαλμ. ΡΙΑ', 5. — (3) αὐτόθι, 6.

καὶ ἐπὶ τῆς σωματικῆς θεραπείας, ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς τέχνης εἷς ἐστι, τὸ ὑγιᾶναι τὸν κάμνοντα, τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον, (κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀῤῥωστημάτων καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται) οὕτω, πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια, πρὸς λόγον τοῦ πάθους ἐνεργοῦσα τὴν ἴασιν. Ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τοῦ προκειμένου προβλήματος, οὕτω τὸν λόγον διαληψόμεθα. Τρία ἐστὶ τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ τὴν πρώτην διαίρεσιν, τό τε λογικὸν, καὶ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές. Ἐν τούτοις εἰσὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων, καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀποῤῥεόντων. Διὸ προσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νενοσηκότι τῆς ψυχῆς μέρει, πρότερον μὲν ἐπισκέπτεσθαι ἐν τίνι συνέστη τὸ πάθος· εἶθ' οὕτω, τῷ πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν, ὡς ἂν μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου, ἄλλο μὲν ᾖ τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τὴν θεραπείαν δεχόμενον· ὥσπερ ἀμέλει βλέπομεν πολλοὺς τῶν ἰατρῶν, ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθόντος μέρους, προσεπιτρίβοντας τὴν νόσον, δι' ὧν θεραπεύουσι. Τῆς γὰρ ἀῤῥωστίας οὔσης πολλάκις κατὰ θερμοῦ ἐπικράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστὶ τὸ τούτοις κατὰ λόγον συνενεγκὸν, ἀπερισκέπτως τὸ αὐτὸ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. Ὥσπερ τοίνυν ἀναγκαιοτάτη τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τῶν στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστου τῶν εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις, οὕτω καὶ ἡμεῖς ἐπὶ



ταύτην ἀναδραμόντες τὴν διαίρεσιν τῶν ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς καταλλήλου τῶν παθῶν θεραπείας ποιησώμεθα τὴν γενικὴν θεωρίαν. Οὐκοῦν, τριχῇ, καθὼς ἔφημεν, διῃρημένης τῆς ἰδιότητος τῶν τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογικόν τε, καὶ ἐπιθυμητικὸν, καὶ θυμοειδὲς, κατόρθωμα μὲν τοῦ λογιστικοῦ(1) μέρους τῆς ψυχῆς ἐστιν ἡ εὐσεβὴς περὶ τὸ Θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη, καὶ ἡ τρανήν γε καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τῶν ὑποκειμένων τὴν δόξαν, τί μέν ἐστιν αἱρετὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν καὶ ἀπόβλητον(2). Καὶ πάλιν ἐκ τοῦ ἐναντίου πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ τὸ Θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλὸν, ἐνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, καθὼς φησιν ἡ Γραφή(3). Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἡ μὲν ἐνάρετός ἐστι κίνησις, τὸ πρὸς τὸ ὄντως ἐπιθυμητὸν καὶ ἀληθῶς καλὸν ἀνάγεσθαι τὸν πόθον, καὶ εἴ τις ἐν ἡμῖν ἐρατικὴ δύναμίς τε καὶ διάθεσις, ἐκεῖ κατασχολεῖσθαι πᾶσαν, ἐν τῷ πεπεῖσθαι μηδὲν ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς, καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως. Παρατροπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστὶν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν, ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος, ὅθεν γίνεται ἡ φιλοχρηματία, καὶ ἡ φιλοδοξία, καὶ ἡ φιληδονία, καὶ πάντα τὰ τοιαῦτα ὅσα τοῦ τοιούτου ἤρτηται τῆς κακίας γένους. Πάλιν δὲ τῆς θυμώδους διαθέσεως κατόρθωμα μέν ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ πρὸς ἀνδρείαν ἐστομῶσθαι τὴν ψυχὴν ἐν τῷ μὴ καταπτήσσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις

(1) τοῦ λογικοῦ Χ. Τρ. — (2) βδελυκτὸν καὶ ἀποτρόπαιον Π. — (3) Ἡσαΐ. ε', 20.

αἵματος τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς, καὶ ἀλγεινῶν κολαστηρίων, καὶ τῆς τῶν ἡδίστων διαζεύξεως, καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ἡδονῇ τοὺς πολλοὺς κατεχόντων κρείττονα γενέσθαι, τῆς πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον. Τὰ δὲ ἀποπτώματα τοῦ τοιούτου μέρους ἐστὶν ἅπασι πρόδηλα, ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, αἱ λοιδορίαι, αἱ συμπλοκαί, αἱ φιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν, καὶ πολλοὺς εἰς φόνους καὶ αἵματα κατάγουσαι (1)· μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμός, ὅπου χρήσηται λυσιτελῶς τῷ ὅπλῳ, ἐφ' ἑαυτὸν τρέπει τὴν τοῦ σιδήρου ἀκμήν, καὶ γίνεται τὸ ἐκ τοῦ Θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

---

ΖΩΝΑΡ. ΒΑΛΣ(2). Ἐν καιρῷ τῆς τοῦ Πάσχα ἑορτῆς φαίνεται ὁ μέγας οὗτος Πατὴρ τὴν ἐπιστολὴν ταύτην ἀπεσταλκώς, καὶ φησιν, ὅτι συντελεῖ εἰς τὴν ἑορτήν, πῶς οἱ ἁμαρτάνοντες οἰκονομηθήσονται ἐννόμως τε καὶ κανονικῶς. Ἡ γὰρ τῆς Ἀναστάσεως ἑορτὴ τοῦ Κυρίου, διὰ τὴν ἀνάστασιν τοῦ πεπτωκότος διὰ τὴν ἁμαρτίαν ἀνθρωπείου γένους καὶ γέγονε καὶ ἐτησίως ἐπιτελεῖται. Ἀνάστασις δέ ἐστι καὶ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις. Τὸ γὰρ ἀποσχέσθαι τῆς ἁμαρτίας τὸν ἁμαρτάνοντα, ἀναστῆναί ἐστι τοῦ πτώματος, οὗ πέπτωκεν ἁμαρτάνων· διὸ δεῖ, φησί, κατὰ τὴν ἡμέραν ταύτην, μὴ μόνον προσάγειν Θεῷ τοὺς διὰ τοῦ σωτηρίου λουτροῦ τοῦ βαπτίσματος μεταστοιχειουμένους ἐκ παλιγγενεσίας, νέον ὥσπερ τὸ σῶμα λαμβάνοντας, οἷα καθαρθὲν τῇ τοῦ Πνεύματος χάριτι τῶν μολυσμάτων, ἃ διὰ τῆς κακίας αὐτῷ προσετρίβησαν. Οὐ τούτους οὖν μόνον, φησί, προσάγειν χρεὼν κατὰ τὸν τοῦ Πάσχα καιρόν, ἀλλὰ καὶ τοὺς μετανοοῦντας, καὶ ἐκ τῶν νεκρῶν ἔργων ἐπανιόντας εἰς τὴν ζῶσαν ὁδόν. Τοῦτο δὲ καὶ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ τῷ μεγάλῳ εἴρηται Παύλῳ, νεκρὰ καλέσαντι ἔργα, τὰ δυσωδίας τὴν ψυχὴν πληροῦντα, καὶ ἡμᾶς ἀκαθάρτους ποιοῦντα. Ὡς γὰρ παρὰ τῷ νόμῳ τῷ παλαιῷ ὁ τοῦ νεκροῦ ἁψάμενος ἀκάθαρτος ἐνομίζετο, οὕτω καὶ ὁ τῶν νεκρῶν ἔργων ἁπτόμενος, ἀκάθαρτος κρίνεται τῷ Θεῷ· καθαιρόμενος δὲ διὰ τῆς μετανοίας ἐπάνεισιν εἰς ὁδὸν ζῶσαν. Ἡ πρὸς Θεὸν ἄγουσα δέ ἐστιν ἡ ζῶσα ὁδός, ἡ τὴν ζωὴν ἡμῖν προξενοῦσα τὴν μέλλουσαν, ἡ τῶν νεκρῶν ἢ καὶ νεκρούντων ἡμᾶς χωρίζουσα ἔργων, τῶν ἀποξενούντων τῆς σωζούσης ἐλπίδος, τουτέστι τῆς βασιλείας τοῦ Θεοῦ, ἥτις ἐλπιζομένη σώζει τοὺς ταῦτα ἐλπίζοντας, βιοῦντας κατὰ τὰς τοῦ Θεοῦ ἐντολάς, ἵνα ταύτης μὴ ἀποτύχωμεν. Ἔστι δέ, φησίν, οὐ μικρὸν ἔργον τὸ οἰκονομῆσαι τοὺς περὶ τούτων λόγους, δηλονότι τῶν μετανοούντων ἐν ὀρθῇ κρίσει, κατὰ τὸν Δαβὶδ λέγοντα περὶ τοῦ φοβουμένου τὸν Κύριον· Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει (1), καὶ τὰ ἑξῆς. Εἶτα δείκνυσι καὶ πῶς οὐ μικρόν ἐστιν ἔργον τὸ οἰκονομῆσαι τοὺς λόγους τοὺς περὶ μετανοίας ἐν ὀρθῇ κρίσει, καί φησιν, ὅτι, ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς εἷς μέν ἐστιν ὁ σκοπὸς τῆς ἰατρικῆς τέχνης, τὸ ἰάσασθαι τὸν ἀῤῥωστοῦντα, ἡ δὲ μεταχείρησις οὐχ ὁμοία ἐπὶ πᾶσι τοῖς ἀσθενοῦσιν, ἀλλὰ κατὰ τὰς διαφορὰς τῶν νοσημάτων, καὶ τῶν νοσούντων σωμάτων ποιοῦνται τὴν ἐπιμέλειαν, καὶ ἡλικιῶν καὶ σωμάτων ἰδιότητας, καὶ ὡρῶν, καὶ χωρῶν παρατηρούμενοι διαφοράς, οὕτω χρὴ καὶ τὸν θεραπεύοντα νοσήματα ψυχικά, ὧν πολλή τις ἡ ποικιλία ἐστί, πολυειδῆ καὶ τὴν θεραπείαν προσάγειν, καὶ τὰ αἴτια τῶν παθῶν παρατηρούμενον, καὶ τὴν ἑκάστου τῶν μετανοούντων διάθεσιν. Ἐπὶ τούτοις τεχνικὴν ποιεῖται περὶ τὴν τῶν ἁμαρτημάτων διδασκαλίαν, καί φησι τρία εἶναι τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα, τὸ λογικόν, τὸ ἐπιθυμητικόν, καὶ τὸ θυμοειδές, ἃ καὶ δυνάμεις ψυχικαὶ καὶ ἰδιότητες ὀνομάζονται, καὶ ἐκ τούτων φύεσθαι λέγει τὰ κατορθώματα, ἤγουν τὰς ἀρετάς, καὶ τὰ πτώματα, ἤγουν τὰ ἁμαρτήματα· καὶ δεῖ τὸν θεραπευτὴν τῶν ψυχικῶν παθημάτων, φησί, σκοπεῖν, ἐκ

(1) Βευηρ. Ε.—καταλήγουσαι Χ. Τρ. — (2) Ἡ ἑρμηνεία αὕτη ἐν μὲν Χ. Τρ. ἀποδίδεται τῷ Ζωναρᾷ, παρὰ δὲ Βευηρ. καὶ Ἐ. τῷ Βαλσαμῶνι.



(1) Ψαλμ. ΡΙΑ', 5.

τίνος τῶν ψυχικῶν δυνάμεων συνέστη τὸ ἁμάρτημα, καὶ οὕτω προσάγειν τῷ θεραπευομένῳ τὴν θεραπείαν κατάλληλον καὶ οἰκείαν τῷ πάθει, ἵνα μὴ ἐξ ἀπειρίας ἄλλο μὲν ᾖ τὸ πάσχον, ἄλλο δὲ τὸ ἰατρευόμενον· ἢ καὶ ἄλλως δέον μεταχειρίσασθαι τὸ ψυχικὸν ἀῤῥώστημα, ὁ δὲ ἑτέρως αὐτὸ θεραπεύειν ἐπιχειρεῖ, ὅπερ, φησὶ, καὶ οἱ ἄτεχνοι ποιοῦσι τῶν ἰατρῶν· καί τινος πάσχοντος κατὰ θερμοῦ πλεονασμὸν, δέον προσενεγκεῖν αὐτῷ ψυχρότερά τινα, εἰ προσενέγκοιεν μᾶλλον ἀπερισκέπτως θερμαίνοντα, δυσίατον τὸ πάθος ἐποίησαν· τὰ γὰρ ἐναντία τῶν ἐναντίων εἰσὶν ἰάματα· καὶ τοῖς μὲν κατ᾽ ἐπικράτησιν τοῦ ψυχροῦ πάσχουσι, κατάλληλός ἐστι θεραπεία τὸ θερμαῖνον καὶ ἀναθάλπον· οὗ δὲ τὸ θερμὸν ἐπλεόνασε, προσφέρειν δεῖ τὸ ἀντίθετον, ὅπερ ἐστὶ τὸ ψυχρόν. Καὶ ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς ἀναγκαῖόν ἐστι τὸ κατανοῆσαι ὅθεν ὁ νοσῶν πάσχει, καὶ οὕτω τὴν θεραπείαν αὐτῷ οἰκείαν τῇ νόσῳ προσαγαγεῖν, οὕτω καὶ τοῖς τὰ ψυχικὰ ἰατρεύουσι πάθη, ἀπαραίτητος ἡ κατασκόπησις τοῦ ὅθεν τὸ μέλλον θεραπευθῆναι ἁμάρτημα φύεται. Εἰς τρία τοίνυν, ὡς εἴρηται, τῶν τῆς ψυχῆς δυνάμεων διαιρουμένων, τοῦ μὲν λογιστικοῦ, φησὶν, ἀρετή ἐστιν ἡ εὐσεβὴς περὶ τὸ Θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις, καὶ ἡ τρανὴν καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τὴν ὑπόληψιν, καὶ τῶν ὑποκειμένων τὴν δόξαν· καὶ τρανῶς λέγεται βλέπειν, ὁ ὁρῶν καθαρῶς τε καὶ ἀπλανῶς, καὶ κατανοῶν τὸ ὁρώμενον, ὡς ἔχει φύσεως· καὶ ἀσυγχύτως ὁρᾷ, ὁ μὴ τὴν ὁρατικὴν συνεχόμενος δύναμιν, καὶ ἄλλο μὲν ὁρῶν, ἄλλο δὲ δοκῶν βλέπειν. Ὅταν οὖν τις τὴν τῶν ὑποκειμένων πραγμάτων φύσιν κατανοῇ, καὶ ἀνεπισφαλῶς κρίνῃ, τί μέν ἐστι καλὸν, τί δὲ κακὸν, καὶ τί μὲν προκρίνειν δέον, τί δὲ βδελύττεσθαι, τότε λέγεται τρανὴν καὶ ἀσύγχυτον ἔχειν δόξαν, ἤτοι ὑπόληψιν, ἀντὶ τοῦ, καλῶς κρίνειν τὰ πράγματα, καὶ ὑπολαμβάνειν περὶ αὐτῶν ἀσφαλῶς. Εἰπὼν δὲ, τί ἐστιν ἀρετὴ τοῦ λογιστικοῦ, νῦν καὶ περὶ τῆς κακίας αὐτοῦ λέγει· καὶ ἐκ τῶν ἐναντίων ταύτην θεωρεῖσθαι, εἴτουν καταγινώσκεσθαι, διδάσκει. Καί φησιν εἶναι κακίαν τοῦ λογιστικοῦ, τὴν περὶ τὸ Θεῖον ἀσέβειαν, τουτέστι τὸ λογίζεσθαί τι ἀνάξιον τῆς θείας φύσεως, καὶ τὴν περὶ τῶν πραγμάτων μὴ ὀρθὴν κρίσιν, ἀλλ᾽ ἐσφαλμένην, ὥστε τὸ κακὸν ὑπολαμβάνειν καλὸν, καὶ τὸ καλὸν, κακόν· τοῦτο γὰρ δηλοῖ τὸ, τιθέναι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· τοῦτο δὲ τοῦ Ἡσαΐου ἐστὶν, οὐαὶ τοῖς τοῦτο ποιοῦσιν ἐπαρωμένου. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους λέγεται ἀρετὴ, τὸ τὴν ἔφεσιν ἡμῶν κινεῖσθαι πρὸς τὸ ὄντως καλὸν καὶ ἐπιθυμητὸν, καὶ πείθεσθαι μή τι ἄλλο εἶναι ὀρεκτὸν, ἤγουν ὀρέξεως ἢ ἐπιθυμίας ἄξιον κατὰ τὴν οἰκείαν φύσιν, ἢ τὴν ἀρετὴν πηγάζουσαν φύσιν, ἤτοι τὸν Θεόν· πηγὴ γὰρ τῆς ἀρετῆς, καὶ ὁδηγὸς πρὸς αὐτὴν, ἡ θεία φύσις. Οὐδὲν δὲ ὀρεκτὸν κατὰ τὴν οἰκείαν φύσιν, ἢ μόνην τὴν ἀρετὴν εἶπεν ὁ ἅγιος· δηλονότι τὰ ἄλλα τὰ ἡμῖν δοκοῦντα ἐπιθυμητά τε καὶ ὀρεκτὰ, οὐ κατὰ τὴν οἰκείαν φύσιν εἰσὶ τοιαῦτα, ἀλλὰ κατὰ τὴν ἡμετέραν ἐσφαλμένην κρίσιν τε καὶ ὑπόληψιν. Καὶ αὐτίκα ἐπάγει τὴν τῆς δόξης ἐπιθυμίαν, τὴν τοῦ κάλλους τῶν σωμάτων, τὴν φιλοχρηματίαν, τὴν φιληδονίαν, καὶ ὅσα τοιαῦτα, ἃ καὶ παρατροπὴν καὶ ἁμαρτίαν τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς ἀποφαίνεται. Παρατρέπεται γὰρ καὶ διαμαρτάνει, τουτέστιν ἀποτυγχάνει τοῦ καλοῦ καὶ τῆς ὀρθῆς κρίσεως, ὁ ταῦτα κρίνων ὀρεκτά. Λέγει δὲ ἐκ κενοδοξίας καὶ τοῦ ἐπικεχρωσμένου τοῖς σώμασιν ἄνθους φύεσθαι τὴν φιλοδοξίαν, καὶ τὴν φιλοχρηματίαν, καὶ τὴν φιληδονίαν, καὶ τὰ ὅμοια τούτοις· εἰ γάρ τις εἴη κενόδοξος, λέγεται δὲ κενόδοξος ὁ ἐφ᾽ οἷς ἔχει κατορθώμασιν ἐπαιρόμενος, ὁ τοιοῦτος θέλει δοξάζεσθαι· καὶ ὁ τοῦ τῶν σωμάτων ὀρεγόμενος ἄνθους, εἰς φιληδονίαν, ἢ φιλοχρηματίαν ἐξολισθαίνει· σωμάτων δὲ ἄνθος νοητέον, ἢ τὸ τῶν ἀνθρωπίνων σωμάτων κάλλος, ἢ τὴν εὔχροιαν τοῦ χρυσοῦ, ἢ τὰς τῶν λίθων διαυγὰς, καὶ τὴν τῶν μαργάρων στιλπνότητα, καὶ τὰ τῶν ὑφασμάτων ποικίλματα, καὶ ὅσα τούτοις ἑπόμενα· σώματα γὰρ καὶ ταῦτα· ἤγουν κάλλους ἀνθρωπίνου ἐρᾷ, καὶ κρατεῖται φιληδονίᾳ, ἢ τοῦ ἄνθους ὀρέγεται τοῦ χρυσοῦ καὶ τῶν ἄλλων, καὶ γίνεται φιλοχρήματος· ἐκ δὲ τούτων εἰς μυρίας ἄλλας κακίας καὶ παντοδαπὰς ἐκκυλίεται. Ὁ γὰρ δόξης ἐφιέμενος εἰς φθόνον ἐμπίπτει καὶ τῶν ὁμοτίμων διαβολὰς, θέλων αὐτὸν ἁπάντων ὑπερτερεῖν· ὁ δὲ κάλλους ἐραστὴς εἰς ἀσελγείας· ὁ δὲ χρημάτων ἐπιθυμῶν εἰς ἀδικίας. Καὶ ἄλλα δὲ μυρία καὶ ποικίλα κακὰ ἐκ τούτων φύεσθαι πέφυκεν,

ἅπερ ἀπαριθμεῖν τε καὶ ὀνομάζειν μακρᾶς ἂν δέοιτο συγγραφῆς, ἅτινα πάντα εἰς τὴν κακίαν ἀνάγονται τὴν ἐκ παρατροπῆς γινομένην τῆς ἐπιθυμητικῆς δυνάμεως τῆς ψυχῆς, ὡς τὰ εἴδη πρὸς γένος. Ἀνυπόστατον δὲ τὴν κενοδοξίαν εἶπεν ὁ ἅγιος, ὅτι ἡ ἀνθρωπίνη τιμὴ διὰ τοῦτο λέγεται δόξα, ὡς ὑπόληψις μόνον οὖσα, καὶ οὐδὲν ὑφεστὼς ἔχουσα, οὐ βέβαιον, οὐδὲ μόνιμον, ἀλλὰ δόκησις τυγχάνουσα μόνον καὶ φαντασία. Καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς κενοδοξίας ἐκφαντικωτέρα δήλωσις τοῦ λεγομένου ἐστί· ματαίαν γὰρ ὑπόληψιν καὶ οὐκ ἀληθῆ εἶναι ταῦτα διδάσκει. Τοῦ δὲ θυμικοῦ τῆς ψυχῆς μέρους ἀρετὴν μὲν καὶ κατόρθωμα λέγει, τὸ πρὸς κακίαν μῖσος, καὶ τὸ τοῖς πάθεσι μάχεσθαι, καὶ μὴ ὑποκύπτειν καὶ δουλοῦσθαι αὐταῖς, καὶ τὸ τὴν ψυχὴν πρὸς ἀνδρίαν ἐστομῶσθαι, ὅ ἐστι τὸ ἀπτοήτως ἔχειν καὶ εὐθαρσῶς· εἴληπται δὲ ἡ λέξις ἐκ τοῦ σιδήρου· ὡς γὰρ ὁ ἐστομωμένος σίδηρος ἄκαμπτός ἐστι καὶ τμητικὸς τοῦ παραπεσόντος παντός, οὕτω καὶ ὁ τὴν ψυχὴν ἀνδρεῖος, πρὸς οὐδὲν τῶν δοκούντων φοβερῶν κάμπτεται, ἀλλὰ πρὸς πάντα ἐςὶν εὐθαρσής· οὐ γὰρ θάνατον καταπτήσσει, οὐ κολαστήρια, οὐ μαλακίζεται τοῖς ἡδέσιν, οὐ συνηθείᾳ δουλοῦται, ἀλλὰ πάντων τῶν τοιούτων καταφρονεῖ, τῆς πίστεως καὶ τῆς ἀρετῆς ἀντεχόμενος, ἵνα μὴ τούτων ἐκπέσῃ, παντὸς ὑπερορῶν ἀλγεινοῦ, καὶ τὰ ἥδιστα παραιτούμενος. Ἀποπτώματα δέ φησιν εἶναι τοῦ θυμοειδοῦς τῆς ψυχῆς, ἤγουν ἐκπτώσεις ἐκ τοῦ καλοῦ, τὸν φθόνον, τὸ μῖσος, τὴν μῆνιν, τὰς λοιδορίας, καὶ τὰ ἄλλα τὰ ἀπηριθμημένα, καὶ τούτων δὲ πλείω· ὁ γὰρ ἀπαίδευτος, φησίν, ἤγουν ὁ μὴ παιδείας τυχών, ὥστε εἰδέναι ποῦ χρὴ τῷ θυμῷ κεχρῆσθαι ὠφελίμως ὡς ὅπλῳ, καθ' ἑαυτοῦ κέχρηται τούτῳ, τὴν ἀκμὴν τοῦ σιδήρου, τὴν ὀξύτητα δηλαδή, τρέπων πρὸς ἑαυτόν· καὶ γίνεται οὕτω τὸ ὅπλον, ὃ ἡμῖν ἐδόθη παρὰ Θεοῦ εἰς ἄμυναν, ἤγουν εἰς βοήθειαν, (τοῦτο δέ ἐστιν ὁ θυμός) κακῶς αὐτῷ κεχρημένος, εἰς ὄλεθρον, ἤγουν εἰς βλάβην ψυχικήν, ἀλλὰ μὴν καὶ σωματικήν.



## Κανὼν Β' (1).

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διευκρινηθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν Πατέρων ἐκρίθη, καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια· οἷον, εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμόν, ἢ πρὸς εἰδωλολατρείαν, ἢ πρὸς Μανιχαϊσμόν, ἢ πρὸς ἄλλο τι τοιοῦτον ἀθεΐας εἶδος αὐτομολήσας ἐφάνη, ὁ μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακόν, εἶτα καταγνοὺς ἑαυτοῦ, χρόνον τῆς μετανοίας ἔχει ὅλον τὸν τῆς ζωῆς αὐτοῦ· οὐδέποτε γὰρ μυστικῆς ἐπιτελουμένης εὐχῆς μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν Θεὸν καταξιοῦται, ἀλλὰ κατὰ μόνας μὲν εὔξεται, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ, τότε τῆς τοῦ ἁγιάσματος μερίδος ἀξιωθήσεται. Εἰ δὲ συμβαίη παρ' ἐλπίδα ζῆσαι αὐτόν, πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς ἐξόδου γινόμενος. Οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν, οὕτω φιλανθρωπίᾳ ἐπ' αὐτῶν χρησαμένων τῶν ἁγίων Πατέρων, ὡς οὐ ψυχῆς γενομένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης· διὸ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμελησάντων, καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

---

ΖΩΝΑΡ. (2) Εἰπὼν μετὰ τὸ προοίμιον ὡς ἐν προθεωρίᾳ ὁ ἅγιος, τίνι τῶν ψυχικῶν δυνάμεων ἁρμόττει ἕκαστον τῶν κατορθωμάτων ἢ τῶν ἐλαττωμάτων, ἄρτι καὶ περὶ τῶν ἐπιτιμίων τῶν ἐξ αὐτῶν τῶν ἁμαρτημάτων διαλαμβάνει· καὶ χείρονα τῶν ἄλλων εἶναι λέγει καὶ παρὰ τῶν Πατέρων κρι-

(1) Α', ἐν Χ. Τρ. καὶ Σ. 'Ρ. — (2) Ἐκ τοῦ Χ. Τρ. οὐ κεῖται δὲ παρὰ Βευερ.

θῆναι τὰ τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους ἁπτόμενα, καὶ τῆς θεραπείας ἐπιπονωτέρας ἀξιωθῆναι, ἐξ ὧν φησιν εἶναι τὴν ἐκ τῆς ὀρθῆς πίστεως ἔκπτωσιν, ὡς, ὅταν τις ἀρνησάμενος τὴν εἰς Χριστὸν πίστιν, πρὸς Ἰουδαϊσμὸν ἢ ἑλληνισμὸν ἀποκλίνῃ, ἢ πρός τινα τῶν αἱρέσεων, ἢ πρὸς ἄλλο τι ἀθεΐας εἶδος. Τῶν οὖν περὶ τὴν πίστιν σφαλλομένων διαίρεσιν ποιεῖται ὁ ἅγιος, καὶ τοὺς μὲν αὐτομολήσαντας, ἤγουν ἑκουσίως καὶ χωρὶς ἀνάγκης ἀρνησαμένους τὴν ὀρθὴν πίστιν, εἶτα εἰς μετάνοιαν ἐλθόντας, παρ' ὅλην αὐτῶν τὴν ζωὴν λέγει ἀφωρισμένους εἶναι, ὥστε μηδέποτε τῆς μεταλήψεως τῶν ἁγίων δώρων ἀξιωθῆναι, εἰ μὴ ὅτε εἰς τέλος τῆς οἰκείας ἥξουσι ζωῆς. Κἂν δὲ ἤδη θνήσκων τις αὐτῶν κοινωνίας ἀξιωθῇ, εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ζήσῃ, πάλιν ἀκοινώνητος ἔσται μέχρις ἂν αὖθις θνήσκῃ. Καὶ οὐ τοῦτον μόνον ἐπάγεσθαι λέγει αὐτοῖς τὸν ἀφορισμὸν, ἀλλὰ μηδὲ συνεστάναι τοῖς ὀρθοδόξοις, καὶ συνεύχεσθαι μυστικῆς ἐπιτελουμένης εὐχῆς, ἤγουν ὅτε ὁ ἱερεὺς τὸν ἄρτον ἁγιασθῆναι καὶ τὸ ποτήριον καθ' ἑαυτὸν εὔχεται. Εὔχεσθαι μὲν γὰρ, φησὶ, κατὰ μόνας, ἤγουν καθ' ἑαυτὸν οὐ κωλυθήσεται ὁ ἐν μετανοίᾳ γενόμενος· συνίστασθαι δὲ τοῖς πιστοῖς οὐ συγχωρηθήσεται, ἀλλ' ἔξω στήσεται τοῦ ναοῦ μετὰ τῶν κατηχουμένων. Ταῦτα μὲν οὖν περὶ τῶν ἄνευ βίας ἀρνησαμένων. Ὅσοι δὲ, φησὶν, ἐξ ἀνάγκης ὑπέκυψαν, μὴ μέχρι τέλους ἀντισχεῖν πρὸς τὰς βασάνους δυνηθέντες, οἱ τοιοῦτοι ῥητῷ χρόνῳ ἐπετιμήθησαν παρὰ τῶν Πατέρων, ἤγουν ὅσῳ καὶ ὁ πορνεύσας ἐπιτιμᾶται· ὃν δὴ χρόνον, προϊὼν, ἐννέα ἔτη εἶναι λέγει. Φιλανθρωπεύσασθαι δὲ λέγει τοὺς Πατέρας περὶ τοὺς ἐκ βίας ἀρνησαμένους, ὅτι οὐχ ἡ ψυχὴ αὐτῶν συνέθετο τῇ ἀρνήσει, ἀλλὰ γλώσσῃ μόνῃ ἐκπεπτώκασι τοῦ καλοῦ, ἡ δὲ γνωμικὴ διάθεσις ἀμετάτρεπτος αὐτοῖς ἐφυλάχθη. Περὶ τῶν ἀπιόντων δὲ εἰς γόητας ἢ μάντεις, ἑξῆς ταῦτα διαλαμβάνει.

ΒΑΛΣ. Εἰπὼν μετὰ τὸ προοίμιον ὡς ἐν προθεωρίᾳ ὁ ἅγιος, τίνι τῶν ψυχικῶν δυνάμεων ἁρμόττει ἕκαστον τῶν κατορθωμάτων ἢ τῶν ἐλαττωμάτων, ἄρτι καὶ περὶ τῶν ἐπιτιμίων τῶν ἐξ αὐτῶν τῶν ἁμαρτημάτων διαλαμβάνει, καὶ χείρονα τῶν ἄλλων εἶναι λέγει καὶ παρὰ τῶν Πατέρων κριθῆναι τὰ τοῦ λο-



γιστικοῦ τῆς ψυχῆς μέρους ἁπτόμενα, καὶ τῆς θεραπείας ἐπιπονωτέρας ἀξιωθῆναι, ἐξ ὧν φησιν εἶναι τὴν ἐκ τῆς ὀρθῆς πίστεως ἔκπτωσιν, ὡς ὅταν τις ἀρνησάμενος τὴν εἰς Χριστὸν πίστιν, πρὸς Ἰουδαϊσμὸν ἢ ἑλληνισμὸν ἀποκλίνῃ, ἢ πρός τινα τῶν (1) αἱρέσεων, ἢ πρὸς ἄλλο τι ἀθεΐας εἶδος. Ἀθεΐας δὲ εἶδος ἐκάλεσε καὶ τὸν Ἰουδαϊσμὸν, καὶ τὰς αἱρέσεις, διότι, κἂν ὁμολογῶσι Θεὸν οἱ Ἰουδαῖοι, ἀλλὰ τοῖς ἔργοις αὐτὸν ἀρνοῦνται· καὶ γὰρ μὴ δεξάμενοι τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα τιμᾷν πιστεύονται, κατὰ τὸν μέγαν Ἀπόσολον Ἰωάννην, λέγοντα· Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει (2). Καὶ αἱ αἱρέσεις δὲ εἰς ἀθεΐαν φέρουσιν· οἱ γὰρ τὸν Υἱὸν τῆς πατρικῆς οὐσίας καὶ δόξης χωρίζοντες, καὶ τὸ πανάγιον Πνεῦμα κτίσμα καὶ δοῦλον εἶναι διδάσκοντες, περὶ τὴν θεότητα σφάλλονται, οὔτε περὶ τοῦ Υἱοῦ, οὔτε περὶ τοῦ Πνεύματος ὑγιῶς φρονοῦντες· καὶ δικαίως ἂν καλοῖντο ἄθεοι καὶ αὐτοὶ, ὡς μὴ τὴν προσήκουσαν δόξαν ἔχοντες περὶ τοῦ Θεοῦ· τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων εὕροι τις πάντως αἱρέσεων. Τῶν οὖν περὶ τὴν πίστιν σφαλλομένων διαίρεσιν ποιεῖται ὁ ἅγιος, καὶ τοὺς μὲν αὐτομολήσαντας, ἤγουν ἑκουσίως καὶ χωρὶς ἀνάγκης ἀρνησαμένους τὴν ὀρθὴν πίστιν, εἶτα εἰς μετάνοιαν ἐλθόντας, παρ' ὅλην αὐτῶν τὴν ζωὴν λέγει ἀφωρισμένους εἶναι, ὥστε μηδέποτε τῆς μεταλήψεως τῶν ἁγίων δώρων ἀξιωθῆναι, εἰ μὴ ὅτε εἰς τὸ τέλος τῆς οἰκείας ἥξουσι ζωῆς. Κἂν δὲ ἤδη θνήσκων τις αὐτῶν κοινωνίας ἀξιωθῇ, εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ζήσῃ, πάλιν ἀκοινώνητος ἔσται μέχρις ἂν αὖθις θνήσκῃ. Καὶ οὐ τοῦτο (3) μόνον ἐπάγεσθαι λέγει αὐτοῖς τὸν ἀφορισμὸν, ἀλλὰ μηδὲ συνεστάναι τοῖς ὀρθοδόξοις καὶ συνεύχεσθαι μυστικῆς ἐπιτελουμένης εὐχῆς, ἤγουν ὅτε ὁ ἱερεὺς, τὸν ἄρτον ἁγιασθῆναι καὶ τὸ ποτήριον, καθ' ἑαυτὸν εὔχεται. Εὔχεσθαι μὲν γὰρ, φησὶ, κατὰ μόνας, ἤγουν καθ' ἑαυτὸν, οὐ κωλυθήσεται ὁ ἐν μετανοίᾳ γενόμενος· συνίστασθαι δὲ τοῖς πιστοῖς οὐ συγχωρηθήσεται, ἀλλ' ἔξω στήσεται τοῦ ναοῦ μετὰ τῶν κατηχουμένων. Ταῦτα μὲν οὖν περὶ τῶν ἄνευ βίας κατὰ θέλησιν

(1) Χ. Τρ. Ἐ. — τῶν ἀπηγορευμένων αἱρέσεων Βευερ. — (2) Ἰω. Ἐ, 25. (3) Χ. Τρ. — τοῦτον Βευερ. Ἐ.

οἰκείαν μόνην ἀρνησαμένων. Ὅσοι δὲ, φησὶν, ἐξ ἀνάγκης ὑπέκυψαν, μὴ μέχρι τέλους ἀντισχεῖν πρὸς τὰς βασάνους καὶ τὰς χαλεπὰς αἰκίας καὶ τιμωρίας δυνηθέντες, οἱ τοιοῦτοι ῥητῷ χρόνῳ ἐπετιμήθησαν παρὰ τῶν Πατέρων, ἤγουν, ὅσῳ καὶ ὁ πορνεύσας ἐπιτιμᾶται, ὃν δὴ χρόνον, προϊὼν, ἐννέα ἔτη εἶναι λέγει. Φιλανθρωπεύσασθαι δὲ λέγει τοὺς Πατέρας περὶ τοὺς ἐκ βίας ἀρνησαμένους, ὅτι οὐχ ἡ ψυχὴ αὐτῶν συνέθετο τῇ ἀρνήσει, ἀλλὰ γλώσσῃ μόνῃ ἐκπεπτώκασι τοῦ καλοῦ, ἡ δὲ γνωμικὴ διάθεσις, ἀμετάτρεπτος αὐτοῖς ἐφυλάχθη. Τοιαῦτα μὲν οὖν ἐπάγεσθαι λέγει τὰ ἐπιτίμια τοῖς περὶ τὴν ὀρθὴν πίστιν ἀποσφαλεῖσι. Περὶ τῶν ἀπιόντων δὲ εἰς γόητας, ἢ μάντεις, ταῦτα φησίν.

ΣΥΝΟΨ. Τρία θεωρεῖται περὶ τὴν ψυχὴν ἡμῶν, λογικὸν, ἐπιθυμητικὸν, καὶ θυμοειδές. Κατορθώματα τοῦ λογικοῦ, καὶ τί μὲν αἱρετὸν, τί δὲ φευκτόν· κακία, ἀσέβεια, ἀδιακρισία, καὶ ἐσφαλμένη τῶν πραγμάτων ὑπόληψις. Κατορθώματα τοῦ ἐπιθυμητικοῦ, ἔφεσις τοῦ ἀληθῶς καλοῦ, τουτέστιν ἀρετῆς καὶ τὴν ἀρετὴν πηγαζούσης φύσεως· ἁμαρτία, ἡ πρὸς ἄλλο τι παρατροπή. Τοῦ θυμοειδοῦς κατορθώματα, ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ μὴ καταπτήσσειν τὰ πολλοῖς φοβερὰ, ἀλλὰ καὶ θανάτου καταφρονεῖν· ἀποπτώματα δὲ, φόνος, μῖσος, μῆνις, λοιδορία, καὶ αἱ φιλόνεικοι διαθέσεις. Ἐν τούτοις οὖν τὰ τοῦ λογιστικοῦ ἁμαρτήματα χαλεπώτερα· καὶ εἴ τις τὴν εἰς Χριστὸν πίστιν ἠρνήσατο ἰουδαΐσας, εἰδωλολατρήσας, μανιχαΐσας, ἤ τι τοιοῦτον ἀθεΐας εἶδος ἑλόμενος, εἶτα κατέγνω ἑαυτοῦ, καιρὸν ἔχει μετανοίας τὸν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον· οὐ συνεύξεται τῷ λαῷ, ἀλλὰ κατὰ μόνας εὔξεται· οὐ μεθέξει τῶν ἁγιασμάτων, εἰ μὴ ἐν ἐξόδου ὥρᾳ· ἀνελπίστως δὲ βιοὺς, μενεῖ πάλιν ἀμέτοχος. Ἡ μέντοι διὰ βασάνων καὶ τιμωριῶν βεβιασμένη παράβασις, τῷ μέτρῳ τῶν πόρνων συνεμετρήθη.

## Κανὼν Γ΄ (1).

Οἱ δὲ πρὸς γόητας ἀπιόντες, ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι᾽ ἀκριβείας καὶ ἀνακρί-

(1) Β΄. ἐν Χ. Τρ. καὶ Σ. Ῥ.



νονται, πότερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει ὑπ᾽ ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ᾽ ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. Εἰ μὲν γὰρ ἐπὶ ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι Θεὸν τὸν παρὰ τῶν Χριστιανῶν προσκυνούμενον, ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάστακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν εἰς τοῦτο προήγαγε, διά τινος ἠπατημένης ἐλπίδος παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ᾽ αὐτῶν ἡ φιλανθρωπία, καθ᾽ ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

---

ΖΩΝΑΡ. ΒΑΛΣ(1). Τοὺς δὲ πρὸς γόητας ἀπιόντας, ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, μετὰ ἀκριβείας δεῖν ἀνακρίνεσθαι καὶ ἐξετάζεσθαι λέγει. Γόητες μὲν οὖν εἰσιν, οἳ καὶ ἐπαοιδοὶ καλοῦνται, οἱ διά τινων μαγικῶν ἐπῳδῶν ἢ θηρία καταδεσμοῦντες, ἢ πρὸς βλάβην ἀνθρώπων, ἢ καὶ ὠφέλειαν τῷ δοκεῖν ποιοῦντές τινα· πρὸς βλάβην μὲν, νόσους, ἢ παραφροσύνας, ἢ παρέσεις ἐπάγοντες· πρὸς δὲ δοκοῦσαν ὠφέλειαν, ἔρωτας ἐμποιοῦντες, ἢ φιλίας, ἢ εὐπραγίας ἐπικλήσει δαιμόνων. Μάντεις δέ εἰσιν, οἱ διά τινων μεθόδων, οὐδ᾽ οὗτοι χωρὶς ἐπικλήσεως δαιμόνων, μέλλοντά τινα προλέγοντες, ἢ ἀγνοούμενα ἐκκαλύπτοντες. Καθάρσια δὲ λέγονται γίνεσθαι, ὡς ὅταν τις νομίζῃ ἐκ βασκάνων βλαβῆναι ὀφθαλμῶν, ἢ ἐκ περιεργίας τινὸς, κἀντεῦθεν ἢ νοσεῖν, ἢ δυσπραγεῖν, ἢ ἄλλο τι κακὸν πάσχειν. Εἰσὶ γάρ τινες οἳ ἐπαγγέλλονται καθάρσια τῶν τοιούτων παθημάτων ποιεῖν δι᾽ ἐνεργείας πάντως σατανικῆς, καὶ ἀποτροπιασμοὺς, ἤγουν ἀποτροπὰς καὶ ἀποδιώξεις τῶν τοιούτων κακῶν. Τοὺς οὖν τοιούτοις τισὶ προσερχομένους, ἀνακρίνεσθαι

(1) Χ. Τρ. — παρὰ δὲ Βευερ. ἡ ἑρμηνεία ἀποδίδεται μόνῳ τῷ Βαλσαμῶνι.

χρῆναι φησὶν, ἀντὶ τοῦ, μετὰ ἀκριβείας ἐρωτᾶσθαι, πῶς τοῖς τὰ τοιαῦτα ποιοῦσι προσῆλθον, ἀνάγκης κατεπειγούσης αὐτοὺς, ἤγουν κακώσεώς τινος, ἢ νόσου, ἢ ὀργῆς τυχὸν δυνάστου τινὸς ἢ δεσπότου, ἢ ζημίας ἀφορήτου· καὶ πῶς προσῆλθον ἐκείνοις, ἆρα καταγνόντες τῆς πίστεως προσέδραμον τῇ τῶν δαιμόνων βοηθείᾳ; Εἰ μὲν γὰρ ὡς ἀποστάντες τῆς πίστεως, καὶ μὴ πιστεύοντες Θεὸν εἶναι τὸν Χριστὸν, μηδὲ ἐλπίζοντες ἐξ ἐκείνου βοήθειαν, ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων ἐπικουρίαν, ὡς οἱ παραβάντες καὶ τὴν πίστιν ἑκόντες ἀρνησάμενοι, οἰκονομηθήσονται. Εἰ δὲ ἐκ μικροψυχίας ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων βοήθειαν, ἀνάγκης σφοδρᾶς ἐπελθούσης αὐτοῖς, ἣν διὰ μικροψυχίαν βαστάσαι οὐκ ἠδυνήθησαν, ἀπατηθέντες καὶ ἐλπίσαντες ὠφεληθῆναι, ἐπιτιμηθήσονται καὶ οὗτοι, ὡς οἱ θύσαντες εἰδώλοις διὰ τὸ μὴ ὑπομεῖναι τὰς διὰ τὴν ὁμολογίαν βασάνους.

ΣΥΝΟΨ. Οἱ πρὸς γόητας καὶ μάντεις ἀπιόντες, εἰ μὲν ἐπὶ ἀθετήσει τῆς πίστεως, ὡς μὴ πιστεύοντες εἶναι Θεὸν τὸν παρὰ Χριστιανῶν προσκυνούμενον, τῷ κρίματι τῶν παραβάντων ὑπάγονται· εἰ δ' ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει, διά τινα μικροψυχίαν τοῦτο ἐποίησαν, ἴσοι ἔσονται τοῖς πρὸς τὰς βασάνους μὴ ἀντισχοῦσι.

## Κανὼν Δ΄(1).

Τῶν δὲ δι' ἐπιθυμίαν καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων, τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. Τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε, καὶ τὸ κατὰ πορνείαν πλημμέλημα, μοιχείαν εἶναι νομίζειν· διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὸς πρὸς ἄνδρα, καὶ ἀνδρὸς πρὸς γυναῖκα (2). Πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως· καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς(3), καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. Οὐκοῦν, εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος(4), καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ

(1) Γ΄. ἐν Χ. Γρ. καὶ Σ. Ρ. — (2) καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα. Σ. Ρ. — (3) Γεν. Β΄, 20. — (4) α΄, Θεσσαλ. Δ΄, 5.

ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ, πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. Οὐκοῦν, οὐ πόῤῥω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς, ὅτι, Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν (1). Πλὴν ἀλλ' ἐπεὶ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. Ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν, καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα, φύσεώς ἐστι μοιχεία· εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. Ταύτης οὖν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. Ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται, διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἄλλοις τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε, καὶ τῇ κατὰ τοῦ ἄῤῥενος λύσσῃ· διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία, μία μὲν, ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ, ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. Διαφορὰ δέ τίς ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας καὶ ἐπὶ τῶν καθ' ἡδονὴν πλημμελημάτων τοιαύτη (2). Ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῶν ἁμαρτιῶν ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι'

(1) Παροιμ. Ε', 20. — (2) Χ. Τρ. Π. — πλημμελούντων τοιαύτη. Σ. Ρ. — ἄνευ τοῦ, τοιαύτη, Βενετ. Ἑ.

οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις· ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας, ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθείς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ, ὥστε, καθαρισθέντα δι᾿ ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι. Ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι, ἐν τρισὶ δὲ τῆς ἀκροάσεως μετέχειν μόνης, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσιν μετὰ τῶν ἐν ἐπιςροφῇ ὑποπιπτόντων προσεύχεσθαι(1), καὶ τότε μετέχειν τῶν ἁγιασμάτων. Ἐπὶ δὲ τῶν σπουδαιοτέρᾳ κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ οἰκονομίᾳ συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν· καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τὴν κοινωνίαν(2), ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐγκρίνοι τὴν τοῦ θεραπευομένου κατάστασιν. Ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείρηται (3), οὕτω τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ τῆς ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστίν. Ἡ δὲ κατὰ τὴν μοιχείαν, ἤτοι κατὰ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος· τῷ δὲ χρόνῳ μόνῳ(4) διπλασιάζεται. Παρατηρηθήσεται δὲ καὶ ἐπ᾿ αὐτῷ ἡ τοῦ

---

(1) Ἐν Π. παραλείπονται τὰ ἀπὸ τοῦ, καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι, ἕως τοῦ, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσιν· ἡ δὲ παράλειψις αὕτη ἀπαντᾶται καὶ ἐν τῇ δευτέρᾳ τοῦ Πηδαλίου ἐκδόσει ἀπαραλλάκτως, ὡς τοῦτο εἴωθε συμβαίνειν ἐπὶ τῶν ἄνευ ἀνερευνήσεως τῶν πηγῶν ἐνεργουμένων ἐκδόσεων! — (2) Κ. Τρ. Σ. Ρ. — τῇ κοινωνίᾳ Π. Βευερ. Ε. — (3) Ματθ. Ζ΄, 6. — ἀπείργεται Βευερ. — (4) Κ. Τρ. Σ. Ρ. — ἄνευ τοῦ μόνῳ, οἱ λοιποί.

θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων, ὥστε ἢ θᾶττον, ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

---

ΖΩΝΑΡ. Τοῖς μὲν ἀκριβεστέροις, φησὶν ὁ ἅγιος, καὶ ἡ πορνεία μοιχεία κέκριται, διότι ἡ νόμιμος μίξις ἀνδρὸς καὶ γυναικὸς, μία ἐστίν· εἰ δέ τι ἕτερον παρὰ ταύτην γένηται, παράνομον τὸ τοιοῦτον· καὶ ὅστις μὴ τῷ ἰδίῳ κέχρηται, ἀλλοτρίῳ χρῆται· πᾶν δὲ ὃ οὐκ ἴδιόν ἐστί τινι, τοῦτο ἀλλότριον, κἂν μὴ ἔχῃ τὸν κυριεύοντα· διὰ τοῦτο οὐ πόῤῥω ἔδοξε τῆς μοιχείας καὶ ἡ πορνεία. Τοῖς δὲ ἀσθενεστέροις τῶν ἁμαρτανόντων, γενέσθαι τινὰ λέγει παρὰ τῶν Πατέρων συμπεριφορὰν, ἤγουν οἰκονομίαν, συγκατάβασιν, καὶ διακριθῆναι, ἀντὶ τοῦ, διαιρεθῆναι τὸ ἁμάρτημα· καὶ πορνείαν μὲν ὀνομασθῆναι, τὴν χωρὶς ἀδικίας ἑτέρου μίξιν, ἤγουν τὴν πρὸς ἐλευθέραν ἀνδρὸς γυναῖκα· μοιχείαν δὲ, τὴν πρὸς γυναῖκα ἀνδρὶ συνοικοῦσαν εἰσέλευσιν. Ὁ μὲν γὰρ γυναικὶ προσιὼν ἄνδρα μὴ ἐχούσῃ, ἁμαρτάνει μὲν, ὅτι μὴ νομίμως αὐτῇ κέχρηται, ἀδικεῖ δὲ οὐδένα· ὁ δὲ τῇ συνοικούσῃ ἀνδρὶ πλησιάζων, ἀδικεῖ τὸν ἐκείνης ἄνδρα, τὴν ἀλλοτρίαν οἰκειούμενος. Καὶ τὴν ζωοφθορίαν δὲ, καὶ τὴν παιδεραστίαν, ἐπίσης τῇ μοιχείᾳ τιθέασιν, ὅτι τε ἀδικεῖται ἡ φύσις παρὰ φύσιν ἁμαρτανόντων τῶν οὕτω πλημμελούντων, καὶ ὅτι ἀλλοτρίῳ κέχρηται ὁ οὕτως ἁμαρτάνων· ἀλλοτρία γὰρ ἡ φύσις ἡ τῶν ἀλόγων, καὶ ἡ τῶν ἀῤῥένων· Ἄρσεν γὰρ καὶ θῆλυ ἐποίησεν ὁ Θεός (1). Τῶν γοῦν τοιούτων ἁμαρτημάτων καθολικὴν μὲν θεραπείαν λέγει ὁ ἅγιος, τὸ καθαρὸν τοῖς τοιαύτης λύσσης γενέσθαι τὸν ἄνθρωπον, ἤγουν τὸ καταγνῶναι τῆς ἁμαρτίας, καὶ ἀποστῆναι αὐτῆς. Διπλασιάζει δὲ τῆς μοιχείας τὸν χρόνον, καὶ τῆς ἀρσενοκοιτίας, καὶ τῆς ζωοφθορίας, πρὸς τὸν τῆς πορνείας, ἐπειδὴ τῇ μὲν πορνείᾳ ἀδικία οὐ πρόσεστι, τοῖς ἄλλοις δὲ, ἤγουν τῇ μοιχείᾳ, καὶ τῇ ἀρσενοκοιτίᾳ, καὶ τῇ ζωοφθορίᾳ, πρὸς τῷ ἀθέσμῳ τῆς μίξεως, καὶ ἀδικία παρέπεται. Ἔπειτα καί τινα διαφορὰν εἰσάγει ἐπὶ τῶν ἐξομολογουμέ-

(1) Γέν. Α΄, 27.

νων τὰ αὐτὰ ἁμαρτήματα. Εἰ μὲν γάρ τις ἀφ᾽ ἑαυτοῦ, φησίν, ὁρμηθεὶς ἐξαγορεύσει τὴν ἁμαρτίαν ἀγνοουμένην, φιλανθρωπότερον ἐπιτιμηθήσεται· εἰ δὲ οὐχ ἑκὼν ἐπὶ τὴν ἐξαγόρευσιν ἔλθῃ, ἀλλ᾽ ἢ ἐπὶ τῇ ἁμαρτίᾳ εὑρεθεὶς, ἢ ἐξ ὑποψίας γνωσθεὶς, ἢ κατηγορηθεὶς καὶ ἐλεγχθεὶς, βαρύτερον ἐπιτιμᾶται, ἵνα οὕτω καθαρθεὶς δεχθῇ καὶ εἰς τὴν τῶν ἁγιασμάτων μετάληψιν. Εἶτα καὶ τοὺς χρόνους ἀπαριθμεῖ τοῦ ἐπιτιμίου τῆς πορνείας, καὶ ἐννέα λέγει εἶναι αὐτοὺς, καὶ ὅπως οἰκονομοῦνται προστίθησι· τὸ δὲ πᾶν τῷ οἰκονομοῦντι τοὺς ἁμαρτάνοντας ἀνατίθησι· καὶ πρὸς τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδὴν, ἢ ῥαθυμίαν, καὶ ἐλαττοῦν τὸν χρόνον τῶν ἐπιτιμίων, καὶ ἐπιτείνειν διακελεύεται, ἐπί τε τῶν πορνευόντων, καὶ τῶν ἢ μοιχείᾳ, ἢ ἀρσενοκοιτίᾳ, ἢ ζωοφθορίᾳ περιπιπτόντων.

ΒΑΛΣ. Νῦν περὶ τῶν ἐν τῷ ἐπιθυμητικῷ τῆς ψυχῆς φυομένων ἁμαρτημάτων διαλέγεται ὁ Πατήρ· ὅθεν φησὶν εἶναι τὴν πορνείαν καὶ τὴν μοιχείαν, καὶ ἐπάγει, ὅτι τῶν ἀκριβεστέρων τισὶ, καὶ ἡ πορνεία μοιχεία καλεῖται, διότι ἡ νόμιμος μίξις ἀνδρὸς καὶ γυναικὸς μία ἐστίν· εἴ τι δὲ ἕτερον παρὰ ταύτην γένηται, παράνομον τὸ τοιοῦτον· καὶ ὅστις μὴ τῷ ἰδίῳ κέχρηται, ἀλλοτρίῳ χρῆται· πᾶν δὲ ὃ οὐκ ἴδιόν ἐστί τινι, τοῦτο ἀλλότριον, κἂν μὴ ἔχῃ τὸν κυριεύοντα· καὶ διὰ τοῦτο οὐ πόῤῥω ἔδοξε τῆς μοιχείας καὶ ἡ πορνεία. Ταῦτά φησιν ὁ ἅγιος οὕτω κατασκευάζεσθαι παρὰ τῶν καὶ τὴν πορνείαν εἰς τὸ τῆς μοιχείας ἀναγαγόντων ἁμάρτημα. Τοῖς δὲ ἀσθενεστέροις τῶν ἁμαρτανόντων γενέσθαι τινὰ παρὰ τῶν Πατέρων λέγει συμπεριφορὰν, ἤγουν οἰκονομίαν, συγκατάβασιν· εἴληπται δὲ ἡ λέξις ἐκ τῶν Παροιμιῶν. Φησὶ γὰρ ὁ Σολομῶν ἐν αὐταῖς· Ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἀνέμους(1)· καὶ διακριθῆναι, ἀντὶ τοῦ, διαιρεθῆναι τὸ ἁμάρτημα τῆς ἀθέσμου μίξεως. Καὶ πορνείαν μὲν ὀνομασθῆναι, τὴν χωρὶς ἀδικίας ἑτέρου μίξιν, ἤγουν τὴν πρὸς ἐλευθέραν ἀνδρὸς γυναῖκα· μοιχείαν δὲ, τὴν πρὸς γυναῖκα ἀνδρὶ συνοικοῦσαν εἰσέλευσιν. Ὁ μὲν γὰρ γυναικὶ προσιὼν ἄνδρα μὴ ἐχούσῃ, ἁμαρτάνει μὲν, ὅτι μὴ νομίμως αὐτῇ κέχρηται, ἀδικεῖ δὲ

(1) Παροιμ.



οὐδένα· ὁ δὲ τῇ συνοικούσῃ ἀνδρὶ πλησιάζων, ἀδικεῖ τὸν ἐκείνης ἄνδρα, τὴν ἀλλοτρίαν οἰκειούμενος· πολλάκις δὲ καὶ ἐπιβουλεύει τῷ ἐκείνης ἀνδρί· καὶ τοῦτο δῆλον ἐκ τοῦ Δαβίδ. Καὶ τὴν ζωοφθορίαν δὲ, καὶ τὴν παιδεραστίαν ἐπίσης τῇ μοιχείᾳ τιθέασιν, ὅτι τε ἀδικεῖται ἡ φύσις, παρὰ φύσιν ἁμαρτανόντων τῶν οὕτω πλημμελούντων, καὶ ὅτι ἀλλοτρίῳ κέχρηται ὁ οὕτως ἁμαρτάνων· ἀλλότριον γὰρ ἡ φύσις ἡ τῶν ἀλόγων καὶ ἡ τῶν ἀῤῥένων· ἄρσεν γὰρ καὶ θῆλυ ἐποίησεν ὁ Θεός. Τῶν μὲν οὖν τοιούτων ἁμαρτημάτων καθολικὴν μὲν θεραπείαν λέγει ὁ ἅγιος, ἤγουν πᾶσι τοῖς ἁμαρτάνουσιν ἁρμόττουσαν, τὸ καθαρὸν τῆς τοιαύτης λύσσης ἐκ μεταμέλου γενέσθαι τὸν ἄνθρωπον, ἤγουν τὸ καταγνῶναι τῆς ἁμαρτίας, καὶ ἀποστῆναι αὐτῆς· εἰ μὴ γάρ τις ἀποσταίη τοῦ ἁμαρτάνειν, πῶς ἂν λογισθείη μετανοεῖν; Ἐπεὶ δὲ τῇ πορνείᾳ ἀδικία οὐ πρόσεστι, τῇ δὲ μοιχείᾳ, καὶ τοῖς ἄλλοις τοῖς εἰρημένοις, ὡς ἔφθην εἰπεῖν, πρὸς τῷ ἀθέσμῳ τῆς μίξεως καὶ ἀδικία παρέπεται, διπλασιάζει τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας, καὶ τῆς ζωοφθορίας, καὶ ἀῤῥενοκοιτίας, πρὸς τὸν τῆς πορνείας. Ἔπειτα καὶ διαφοράν τινα εἰσάγει ἐπὶ τῶν ἐξομολογουμένων τὰ αὐτὰ ἁμαρτήματα. Εἰ μὲν γάρ τις, φησὶν, ἀφ᾽ ἑαυτοῦ ὁρμηθεὶς ἐξαγορεύσει τὴν ἁμαρτίαν ἀγνοουμένην, φιλανθρώπως ἐπιτιμηθήσεται· ὁ δὲ οὐχ ἑκὼν εἰς ἐξαγόρευσιν ἐλθὼν, ἀλλ᾽ ἢ ἐπὶ τῇ ἁμαρτίᾳ εὑρεθεὶς, ἢ ἐξ ὑποψίας γνωσθεὶς, ἢ κατηγορηθεὶς καὶ ἐλεγχθεὶς, κἂν πρόθηται μετανοῆσαι, βαρύτερον ἐπιτιμᾶται, καὶ ἐν ἐπιτεταμένῃ, ἤγουν μακροχρονίῳ γίνεται μετανοίᾳ, ἵνα οὕτω καθαρθεὶς δεχθῇ εἰς τὴν τῶν ἁγιασμάτων μετάληψιν. Εἶτα καὶ τοὺς χρόνους ἀπαριθμεῖται τοῦ ἐπιτιμίου τῆς πορνείας, καὶ ἐννέα εἶναι λέγει αὐτοὺς, καὶ ὅπως οἰκονομοῦνται προστίθησι· τὸ δὲ πᾶν, τῷ οἰκονομοῦντι τοὺς ἁμαρτάνοντας ἀνατίθησι, καὶ πρὸς τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδὴν ἢ ῥαθυμίαν ἐλαττοῦν τὸν χρόνον τῶν ἐπιτιμίων καὶ ἐπιτείνειν διακελεύεται. Ὡς γὰρ οὐ δεῖ, φησὶ, τοὺς μαργαρίτας ῥίπτειν ἔμπροσθεν τῶν χοίρων, τοῦτο δὴ τὸ εὐαγγελικὸν, μαργαρίτας μὲν καλῶν τὸ ἅγιον σῶμα τοῦ Κυρίου, καὶ τὸ τίμιον αἷμα, χοίρους δὲ, τοὺς ἐμπαθῶς ζῶντας, καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐγκυλιομένους, οὕτως ἄτοπον ἀποστερεῖν τῆς μεταλήψεως τῶν τιμίων μαργαριτῶν, τοὺς διὰ μετανοίας καθα-

ραντας ἑαυτοὺς τῶν παθῶν, καὶ ἐκ χοίρων εἰς ἀνθρώπους μεταβληθέντας διὰ τῆς καθαρότητος. Ἐννέα μὲν οὖν ἔτη ἐπὶ τῆς πορνείας εἰπὼν εἶναι τὸ ἐπιτίμιον, ἐπὶ τῆς μοιχείας, καὶ ζωοφθορίας, καὶ ἀρσενοκοιτίας διπλασιάζεσθαι λέγει τὸν χρόνον τοῦτον· τὴν δὲ οἰκονομίαν, ὁμοίαν γενέσθαι τῇ τῆς πορνείας· τοῦτο γάρ ἐστι τὸ, ἐν τῷ αὐτῷ κρίματι, ἤγουν ἐν τῇ αὐτῇ κρίσει, ἐν τῇ αὐτῇ ἐπιτιμήσει· τῷ δὲ χρόνῳ μόνῳ διπλασιάζεται· ἐν ἑκάστῳ γὰρ τόπῳ τῶν ἐπιτιμίων τριετίας ὁρισθείσης ἐν τῇ πορνείᾳ, ἑξαετία ἐν τῇ μοιχείᾳ καὶ τοῖς λοιποῖς ὥρισται. Κἀνταῦθα δὲ τὸ συντεμεῖν τὸν χρόνον τοῦ ἐπιτιμίου, ἢ αὐξῆσαι, τῇ διακρίσει τοῦ οἰκονομοῦντος τοὺς ἐν μετανοίᾳ δίδωσι.

ΣΥΝΟΨ. Τῆς ἐπιθυμίας ἁμαρτήματα, μοιχεία καὶ πορνεία, τοῖς μὲν διάφορα δόξαντα, τοῖς δὲ ταυτά· ταυτὰ μὲν, ὅτι ἄμφω εἰς ἀλλότρια· διάφορα δὲ, ὅτι τὸ μὲν ἔχει ἀδικίαν ἑτέρου, τὸ δὲ οὐχί· καὶ διὰ τοῦτο διπλασίων τῆς πορνείας τοῖς ἐν μοιχείᾳ μιανθεῖσιν ὥρισται χρόνος· ὥσπερ καὶ τῇ ζωοφθορίᾳ, καὶ ἀνδρομανίᾳ· διπλασίων γὰρ ἐν τούτοις ἡ ἁμαρτία, ὅτι κατὰ ἄθεσμον ἡδονὴν, καὶ ὅτι ἀδικίαν ἔχει κατὰ τοῦ ἀλλοτρίου. Πλὴν ἔστι καὶ ἐν τοῖς ταυτὰ ἡμαρτηκόσι διαφορά· συμπαθεστέρας γὰρ ἐπιτιμίας ὁ ἀφ' ἑαυτοῦ ὁρμήσας εἰς ἐξαγόρευσιν τεύξεται, τοῦ φωραθέντος καὶ ἐλεγχθέντος. Ὁ τοίνυν πεπορνευκὼς, τρία ἔτη τῆς εὐχῆς οὐ μεθέξει, τρία ἔτη ἀκροάσεται, τρία ἔτη ὑποπεσεῖται, καὶ τότε μεταλήψεται· πλὴν ὑποτεμεῖται τὸν χρόνον θερμὴ σπουδὴ, καὶ ζέουσα προθυμία πρὸς διόρθωσιν. Ὁ δὲ ταῖς ἄλλαις ἀκαθαρσίαις, ἃς ἔφημεν, χρανθεὶς, τοὺς ἐν τοῖς βαθμοῖς χρόνους ἕξει διπλασίονας, ἀντὶ ἀνὰ τρεῖς, ἀνὰ ἕξ.

## Κανὼν Ε'(1).

Λείπεται πρὸς τούταις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ. Πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν, ἐν τοῖς

(1) Δ'. ἐν Χ. Τρ. καὶ Σ. Ῥ.



ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα, καίτοι γε τῆς Γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγὴν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν, ἢ βλασφημίαν (1), καὶ εἴ τι ἄλλο τοιοῦτον ὁ θυμὸς ἀπεργάζεται (2)· μόνου δὲ τοῦ κατὰ φόνον (3) ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων. Διῄρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε, καὶ ἀκουσίου· ἐν οἷς ἑκούσιος μέν ἐστι φόνος, πρῶτον μὲν ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισαμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται. Ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ (4) τύπτων τε, καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίαν τὴν διὰ τῆς χειρὸς (5) πληγήν. Ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς (6) χαριζόμενος, οὐδὲν ἂν παρὰ (7) τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι· ὥστε καὶ (8) τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προαιρέσεως, οὐκ εἰς ἀποτυχίαν ἀνάγεται. Οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ. Ἐπὶ τούτων τοίνυν, ὁ μὲν ἑκούσιος φόνος (9) εἰς τριπλασίονα χρόνον παρατείνεται τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος (10). Τρὶς ἐννέα γάρ εἰσιν ἐνιαυτοὶ, καθ' ἕκαστον βαθμὸν τῆς ἐννεάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ ἐνναετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνης τῆς τῶν διδασκάλων καὶ τῆς τῶν Γραφῶν ἀκροάσεως ἀξιου-

(1) Κολοσσ. Γ', 8.—Ἐφεσ. Δ', 31. Ε, 6.— (2) Σ. Ῥ. Χ. Τρ.— κατεργάζεται Π. Βευερ. — (3) τοῦ κατὰ τὸν φόνον Σ. Ῥ. —(4) Χ. Τρ. Σ. Ῥ. — ἄνευ τοῦ, καὶ μάχῃ. οἱ λοιποί. — (5) διὰ τῆς χολῆς Ε. — (6) τῆς χειρὸς Χ. Τρ. — (7) περὶ τὸν καιρὸν Βευερ. — (8) ὥστε κἀκεῖ Βευερ. — (9) Π. Χ. Τρ. — ὁ μὲν φόνος, οἱ λοιποί. — (10) ἄγος, οὐ κεῖται παρὰ Βευερ. καὶ Ε.

μενον(1)· ἐν δὲ τῇ τρίτῃ ἐννεάδι μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος· δηλονότι, καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν ἐκκλησίαν, καὶ πρὸς τὸν λόγον τῆς ἐπιστροφῆς συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε, ἀντὶ ἐννέα ἐτῶν ἐφ' ἑκάστῳ βαθμῷ, ὀκτώ, ἢ ἑπτά, ἢ ἕξ, ἢ πέντε μόνα γενέσθαι, εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικῴη τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερον ἑαυτοὺς ἀπὸ τῆς κηλῖδος (2) καθαίροντας. Τὸ δὲ ἀκούσιον, συγγνωστὸν μέν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη· τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι ὅτι, κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ὑπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο. Ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν· δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, ὥστε, εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφή, μὴ πάντως παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίας ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

Εἰ δέ τις (3) μὲν μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύοι τοῦ βίου, κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία, μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν

(1) καὶ μετὰ τῆς τοῦ λαοῦ συστάσεως ἀξιούμενον Σ. Ρ. — (2) Σ. Ρ. Χ. Τρ. — τῶν κηλίδων, οἱ λοιποί. — (3) ἐνταῦθα ἄρχεται ὁ Κανὼν Ε. ἐν Χ. Τρ. καὶ Σ. Ρ. λήγων εἰς τό, δ. θείας κοινωνίας. Τὴν δὲ ἀρίθμησιν ταύτην παρεδέχθησαν οἵ τε ἐξηγηταί, ὡς γε ἐκ τοῦ τέλους τῆς ἑρμηνείας τοῦ Ζωναρᾶ καταφαίνεται, καὶ ἡ σύνοψις. Ἀλλ' ἡμεῖς ἠκολουθήσαμεν τῇ παρὰ Βευερ. καὶ ἐν τῷ ἡμετέρῳ Πηδαλίῳ, ὡς μᾶλλον ἐν χρήσει παρὰ τῇ ὀρθοδόξῳ ἀνατολικῇ ἐκκλησίᾳ.

ἀποδημίαν ἐκπεμφθῆναι· εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατὰ ἀνάγκην αὐτῷ δοθείσης κοινωνίας.

---

ΖΩΝΑΡ. Εἰπὼν περὶ δύο ψυχικῶν δυνάμεων ὁ ἅγιος, προστίθησιν ἄρτι καὶ τὴν λοιπὴν, ἥτις ἐστὶ τὸ θυμοειδές. Καὶ πολλὰ μὲν εἶναί φησι τὰ ἐκ τοῦ θυμοῦ τικτόμενα ἁμαρτήματα, οἷον πληγὰς, ὕβρεις, λοιδορίας, βλασφημίας· ἀλλὰ κἂν πάντα ταῦτα, φησὶ, τῇ Γραφῇ ἀπηγόρευται, ὅμως ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν, ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι· μόνον δὲ τὸ τοῦ φόνου μίασμα ἐπιτιμίων ἠξίωσαν. Τὸ δὲ τοῦ φόνου ἁμάρτημα διαιρεῖται εἰς ἑκούσιον καὶ ἀκούσιον· καὶ ἔστιν ἑκούσιος φόνος, ὁ ἐκ παρασκευῆς, ἤγουν ἐκ μελέτης τετολμημένος, πρὸς ὅν τις παρεσκευάσθη καὶ ἡτοιμάσθη· ἑκούσιον δὲ λέγει, καὶ τὸν μὴ ἐκ μελέτης μὲν, ἐν συμπλοκῇ δὲ καὶ φιλονεικίᾳ γενόμενον, ὅτε τις πλήξει τὸν ἀνθιστάμενον, ἐν καιρίῳ τοῦ σώματος μέρει. Ἀκούσιον δὲ φόνον ὁρίζεται, ὅτε ἄλλο τι ποιῆσαι βουλόμενός τις, οἷον θηρίον ἀμύνασθαι, ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προϊδὼν πλήξει, καὶ ὁ πληγεὶς θανεῖται. Τῷ μὲν οὖν ἑκουσίῳ φόνῳ, εἴκοσι καὶ ἑπτὰ ἔτη ὁρίζεται τὸν τοῦ ἐπιτιμίου καιρὸν, καὶ εἰς τρεῖς μοίρας αὐτὸν διαιρεῖ, ὥστε μοῖραν ἑκάστην, ἐννέα ἔχειν ἐνιαυτούς· πανταχοῦ δὲ τὴν ἐξουσίαν τοῦ συντεμεῖν τὸν τῶν ἐπιτιμίων καιρὸν, τῷ οἰκονομοῦντι τὸν ἐν μετανοίᾳ γενόμενον δίδωσιν, εἰ βλέπει τὸν μετανοοῦντα, δαψιλεῖς τοὺς τῆς μετανοίας καρποὺς ἐνδεικνύμενον. Ὁ δὲ ἀκούσιος, φησὶ, φόνος, συγγνωστὸς μὲν ἐκρίθη, οὐ μὴν ἐπαινετὸς, ἤγουν οὐκ ἀναίτιος, ὥστε καὶ πάντη εἶναι ἀνεπιτίμητον. Κἂν γοῦν ἀκουσίως τις φονεύσῃ ἄνθρωπον, οὔτε ἱερωσύνης τεύξεται, καὶ ἀπόβλητος ταύτης, ὡς τῷ φόνῳ μιανθεὶς, ἔσεται. Χρόνον δὲ τῷ ἐπιτιμίῳ τοῦ ἀκουσίου φόνου λέγει τετάχθαι, ὅσος καὶ τῇ ψιλῇ πορνείᾳ ἐτάχθη· ἔστι δ' οὗτος κατὰ τοῦτον τὸν ἅγιον, ἔτη ἐννέα· ψιλὴν δὲ πορνείαν, τὴν εἰς γυναῖκα μὴ ἔχουσαν ἄνδρα ὠνόμασε. Τὰ δὲ ἑξῆς δῆλα· καὶ τὰ τοῦ πέμπτου κανόνος ὁμοίως μηδεμιᾶς δεόμενα ἑρμηνείας.

## Κανὼν ς'.

Τὸ δὲ ἕτερον εἶδος τῆς εἰδωλολατρείας, (οὕτω γὰρ ὀνομάζει τὴν πλεονεξίαν ὁ θεῖος Ἀπόστολος) (1) οὐκ οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν Πατέρων ἡμῶν παρώφθη(2)· καίτοιγε δοκεῖ τὸ τοιοῦτον κακὸν, τῆς τριττῆς ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. Καὶ γὰρ ὁ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας (3) τὰς ἀφορμὰς λαμβάνει· καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ. Ὁ γὰρ θεῖος Ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο(4)· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τὰς ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα· καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν. Ἀλλὰ περὶ μὲν τούτων, διὰ τὸ παρεῖσθαι τοῖς Πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν ὥσπερ τινὰ πάθη (5) πληθωρικὰ τὰς πλεονεκτικὰς ἀῤῥωστίας διὰ τοῦ λόγου καθαίροντες. Μόνην δὲ τὴν κλοπὴν, καὶ τὴν τυμβωρυχίαν, καὶ τὴν ἱεροσυλίαν, πάθη νομίζομεν, διὰ τὸ οὕτως ἐκ τῆς τῶν Πατέρων ἀκολουθίας τὴν παράδοσιν ἡμῖν περὶ τούτων γενέσθαι, καίτοιγε παρὰ τῆς θείας Γραφῆς καὶ ὁ πλεονασμὸς καὶ ὁ τόκος τῶν ἀπειρημένων ἐστὶ, καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν τὰ ἀλλότρια, κἂν ἐν

(1) Ἐφεσ. Ε', 5. — (2) περιώφθη Χ. Τρ. Σ. Ῥ. — (3) Χ. Τρ. Σ. Ῥ. — αἰτίας, οἱ λοιποὶ, ἐκτὸς Ἑ. λατινιστί. — (4) α', Τιμόθ. ς', 10. — (5) Σ. Ῥ. — πάθη, οὐ κεῖται παρὰ τοῖς λοιποῖς, εἰ μὴ λατινιστὶ παρὰ Ἑ.



προσχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον. Ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς εἰς ἐξουσίαν κανόνων οὐκ ἀξιόπιστον(1), τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν· διῄρηται δὲ ἡ κλοπὴ εἴς τε λῃστείαν, καὶ εἰς τοιχωρυχίαν· καὶ εἷς μὲν ἐπ' ἀμφοτέρων σκοπὸς, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά. Ὁ μὲν γὰρ λῃστὴς, καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος καὶ ὅπλοις, καὶ πολυχειρίᾳ(2), καὶ τοῖς ἐπικαίροις τῶν τόπων, ὥστε τὸν τοιοῦτον τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεσθαι, εἰ διὰ μεταμελείας ἑαυτὸν πρὸς τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἐπαναγάγοι. Ὁ δὲ δι' ὑφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα ἑαυτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ θεραπεύσει τὴν ἀῤῥωστίαν· λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα, τῷ προέσθαι ἃ ἔχει, φανερὸς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου· εἰ δὲ καὶ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ Ἀπόστολος, διὰ τοῦ σωματικοῦ κόπου τὸ τοιοῦτον ἐξιάσασθαι πάθος· ἔχει δὲ ἡ λέξις οὕτως· Ὁ κλέπτων μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι(3).

---

**ΖΩΝΑΡ.** (4) Εἰπὼν ὁ ἅγιος τὸ τῆς φιλαργυρίας πάθος τὰς ψυχικὰς δυνάμεις ὁμοῦ περιτρέπειν εἰς κακίαν, καὶ ἑκάστην αὐτῶν διαφθείρειν, καὶ πολυειδῆ πάθη ἐξ αὐτῆς φύεσθαι, πληθωρικοῖς πάθεσι ταύτην ἀπείκασε. Πληθωρία δὲ τοῖς ἰατροῖς ὀνομάζεται, ὅταν οἱ τέσσαρες χυμοὶ, ἐξ ὧν τὰ σώματα συνίστανται, αὐξηθῶσι,

(1) ἄνευ τοῦ, οὐκ, Σ. Ῥ. Χ. Τρ. — (2) πολυχρίᾳ, ἐν Πηδαλίῳ, βαρβαρισμὸς ἐπαναλαμβανόμενος πιστῶς καὶ ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐκδόσει! — (3) Ἐφεσ. Δ', 28. — (4) ἐκ τοῦ Χ. Τρ. — οὐ κεῖται ἡ ἑρμηνεία αὕτη τοῦ Ζωναρᾶ παρὰ Βευηρ.

καὶ πλεονάσωσιν ἀναλόγως τῷ ὄγκῳ ἑκάστου τῶν χυμῶν, καὶ τὰ ἐκ τοῦ πληθυσμοῦ τῶν χυμῶν κατὰ ταυτὸν γενομένων συμβαίνοντα πάθη, πληθωρικὰ καλοῦνται νοσήματα· ὥστε εἰκότως κἀνταῦθα ὁ σοφὸς οὗτος Πατὴρ, τὰ ἐκ τῆς πλεονεξίας ἀναφυόμενα πάθη, πληθωρικὰ εἶπεν, ὡς πάσας τὰς ψυχικὰς ἡμῶν δυνάμεις παρατρεπούσης, καὶ αὐξανούσης ταύτας ἐπιβλαβῶς τῇ ψυχῇ. Τὰς μὲν οὖν ἄλλας, φησὶ, νόσους τῆς πλεονεξίας, τῷ τῆς διδασκαλίας θεραπεύσομεν λόγῳ· τὴν δὲ κλοπὴν, καὶ τὴν ἱεροσυλίαν, ἀλλὰ μὴν καὶ τὴν τυμβωρυχίαν, κανονικῶν ἐπιτιμίων ἀξιωθείσας παρὰ τῶν Πατέρων, τοῖς ἤδη ῥηθεῖσι προσθήσομεν· καίτοι, φησὶ, τῇ θείᾳ Γραφῇ καὶ ὁ πλεονασμὸς, καὶ ὁ τόκος, καὶ τὸ ἐκ δυναστείας τινὸς τὰ ἀλλότρια προσενῶσαι τῇ ἰδίᾳ κτήσει, τῶν ἀπηγορευμένων ἐστίν. Ἀλλὰ κἂν τῇ Γραφῇ, φησὶν, ἀπηγόρευται ταῦτα, ἡμεῖς αὐτοῖς κανονικὰ οὐκ ἐπάξομεν ἐπιτίμια, ὅτι οὐκ ἀξιόπιστοι κρινόμεθα εἰς τὸ κατ' ἐξουσίαν ἡμετέραν τιθέναι κανόνας, καὶ τοῖς ἁμαρτάνουσιν ἐπιτίμια. Εἰπὼν δὲ κλοπὴν, διαιρεῖ ταύτην εἰς λῃστείαν, καὶ εἰς τοιχωρυχίαν. Καὶ ἕνα μὲν σκοπὸν εἶναι λέγει καὶ τοῖς λῃστεύουσι καὶ τοῖς τοιχωρυχοῦσι, τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν, πολλὴν δὲ διαφορὰν μέσον αὐτῶν· οἱ μὲν γὰρ λῃσταὶ, καὶ πρὸς μιαιφονίαν παρασκευάζονται, ὅπλα φέροντες, καὶ τόπους ἐπιτηδείους καταλαμβάνοντες εἰς βοήθειαν. Τοὺς οὖν τοιούτους εἰς μετάνοιαν ἀπονεύσαντας, τῷ τῶν ἀνδροφόνων κρίματι ἐπιτιμᾶσθαι φησί· τὸν δὲ λαθραίως ἀφαιρούμενον τὰ ἀλλότρια, καὶ τὴν ἁμαρτίαν ἐξαγορεύοντα, θεραπεύεσθαι φησὶ τῇ ἐναντίᾳ διαθέσει· ἤγουν, ἐπεὶ διὰ πλεονεξίαν τὰ ἀλλότρια ἀφείλοντο, δεῖ αὐτοὺς καὶ τὰ οἰκεῖα πένησι διαδοῦναι, ἵνα οὕτω φανεῖεν ἀποσχόμενοι τῆς πλεονεξίας· ὁ γὰρ μὴ φειδόμενος τῶν οἰκείων, οὐκ ἐπιθυμήσει τῶν ἀλλοτρίων. Εἰ δὲ μὴ ἔχοιεν, φησὶ, χρήματα, ὥστε διαδοῦναι αὐτὰ, δεῖ αὐτὸν κοπιῶντα τὸ πάθος ἰάσασθαι, ἤγουν κοπιᾶν ἐργαζόμενον, καὶ ἐκ τοῦ διὰ τοῦ κόπου αὐτῷ ποριζομένου μεταδιδόναι τοῖς δεομένοις. Καὶ τοῦτο δὲ ἀποστολικόν ἐστι τὸ διάταγμα· λέγει γὰρ ὁ μέγας Παῦλος· Ὁ κλέπτων, μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Ταῦτα μὲν οὖν περὶ τοῦ λάθρα ἀφαιρουμένου τὰ ἀλλότρια. Εἰ δὲ καὶ οὗτος ξίφει



καθώπλισται, καὶ ἕτοιμός ἐστι κατὰ τοῦ ἀνθισταμένου αὐτῷ τούτῳ χρήσασθαι, καὶ οὗτος, οἶμαι, ὁμοίως ἐπιτιμηθήσεται τῷ λῃστεύοντι, ὅτι καὶ ὁμοίαν εἶχε προαίρεσιν.

ΒΑΛΣ. Ἀπορεῖ ὁ ἅγιος, πῶς τοῖς Πατράσι τὸ τῆς πλεονεξίας πάθος, εἴτουν φιλαργυρίας, ἀθεράπευτον παρωράθη, μὴ ἐπαγαγοῦσιν ἐπιτίμια τοῖς τούτῳ κεκρατημένοις (1), καὶ ταῦτα τοῦ Ἀποστόλου εἰδωλολατρείαν αὐτὸ καλέσαντος· καίτοι γε δοκεῖ, φησὶ, καὶ τὰς τρεῖς ψυχικὰς δυνάμεις ἐν τούτῳ πάσχειν καὶ περιτρέπεσθαι τῆς εὐθύτητος· οὔτε γὰρ τὸ λογιζόμενον τῆς ψυχῆς ὀρθῶς κρίνει, ἀλλ' ἐσφαλμένως καὶ διημαρτημένως· ἁμαρτάνει γὰρ, φησὶ, τῆς κρίσεως τοῦ καλοῦ, ἀντὶ τοῦ, ἀποτυγχάνει, καὶ οὐ πρὸς τὸ ἄϋλον κάλλος βλέπον, τὴν τοῦ Θεοῦ δηλαδὴ, ὡς ἐφικτὸν, κατανόησιν, καὶ τὴν τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσιν, ἐν τῇ ὕλῃ φαντάζεται τὸ καλόν· τὴν ἠπατημένην δὲ δόξαν, καὶ τὴν ἐψευσμένην ὑπόληψιν, φαντασίαν ὁ ἅγιος προσφόρως ὠνόμασεν, ἤγουν τὸ νομίζειν ἐν τοῖς χρήμασι τὸ καλὸν εἶναι, καὶ τῷ πλούτῳ, καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις αὐτοῖς. Καὶ τὸ ἐπιθυμητικὸν ἐκπίπτον τοῦ ὄντως ὀρεκτοῦ, ἤτοι τῆς θείας φύσεως καὶ τῶν οὐρανίων, τῶν γηΐνων καὶ ῥεόντων ὀρέγεται. Καὶ τὸ θυμικὸν δὲ πολλὰς ἀφορμὰς εἰς τὸ ἀνάπτεσθαι πρὸς φιλονεικίας λαμβάνει· διὰ γὰρ τὴν τῶν χρημάτων ἐπιθυμίαν ἔριδές τε, καὶ ἔχθραι, καὶ πόλεμοι, καὶ κατὰ τὸν θεῖον Ἀπόστολον, Ῥίζα πάντων τῶν κακῶν ἐςὶν ἡ φιλαργυρία. Ἀλλὰ καὶ οὕτως ἔχον, φησὶ, τὸ τοιοῦτον πάθος, παρωράθη τοῖς Πατράσιν ἀνεπισκόπητόν τε καὶ ἀθεράπευτον· ὅθεν καὶ πλεονάζει κατὰ τὴν ἐκκλησίαν, πολλῶν τοῦτο νοσούντων, καὶ τοὺς καταταττομένους εἰς κλῆρον, ἤτοι χειροτονουμένους, οὐδεὶς ἐρευνᾷ, μή ποτε μεμίανται τῇ τοιαύτῃ εἰδωλολατρείᾳ. Ἀλλ' ἐπεὶ τοῦτο τοῖς Πατράσι παρείθη, ἀντὶ τοῦ, κατελείφθη ἀνεπιτίμητόν τε καὶ ἀκόλαστον, θεραπευτέον αὐτῷ διὰ τῆς δημοσίας διδασκαλίας, ὡς δυνατόν· ἤγουν, δημοσίᾳ διδάσκοντες τὸν λαὸν, ποιησώμεθα τούτου καταδρομὴν, ὥσπερ τινὰ πάθη πληθωρικὰ, τὰς πλεονεκτικὰς ἀῤῥωστίας, διὰ τοῦ λόγου καθαιροῦντες. Εἰπὼν δὲ ὁ ἅγιος, τὸ τῆς φιλαργυρίας

(1) Χ. Τρ. — τοῦτο κεκτημένοις Βευερ. καὶ Ε. ἀλλὰ λατινιστὶ ὀρθῶς, qui eo tenentur.

πάθος, τὰς ψυχικὰς δυνάμεις *ὁμοῦ περιτρέπειν εἰς κακίαν, καὶ ἑκάστην αὐτῶν* (1) διαφθείρειν, καὶ πολυειδῆ ἐξ αὐτῆς πάθη φύεσθαι, πληθωρικοῖς ταῦτα πάθεσιν ἀπείκασε, τῶν τῆς ἰατρικῆς λόγων μετεσχηκώς ἀκριβέστατα, ὡς ἔστι γνῶναι ἐκ τῶν αὐτοῦ συγγραμμάτων. Πληθωρία γὰρ ὀνομάζεται τοῖς ἰατροῖς, ὅταν οἱ τέσσαρες χυμοὶ, ἐξ ὧν τὰ σώματα συνίστανται, αὐξηθῶσι καὶ πλεονάσωσιν ἀναλόγως τῷ ὄγκῳ ἑκάστου τῶν χυμῶν, [καὶ τὰ ἐκ τοῦ πληθυσμοῦ τῶν χυμῶν] (2) κατὰ ταυτὸν γενομένων συμβαίνοντα πάθη, πληθωρικὰ καλοῦνται νοσήματα· ὥςε εἰκότως κἀνταῦθα ὁ σοφὸς οὗτος Πατὴρ, τὰ ἐκ τῆς πλεονεξίας ἀναφυόμενα πάθη, πληθωρικὰ εἶπεν, ὡς πάσας τὰς ψυχικὰς ἡμῶν δυνάμεις περιτρεπούσης, καὶ αὐξανούσης ταῦτα (3) ἐπιβλαβῶς τῇ ψυχῇ. Τὰς μὲν οὖν ἄλλας, φησὶ, νόσους τῆς πλεονεξίας, τῷ τῆς διδασκαλίας θεραπεύσωμεν λόγῳ· τὴν δὲ κλοπὴν καὶ τὴν ἱεροσυλίαν, ἀλλὰ μὴν καὶ τὴν τυμβωρυχίαν, κανονικῶν ἐπιτιμίων ἀξιωθείσας παρὰ τῶν Πατέρων, τοῖς ἤδη ῥηθεῖσι προσθήσομεν· καί τοι, φησὶ, τῇ θείᾳ Γραφῇ καὶ ὁ πλεονασμὸς, καὶ ὁ τόκος, καὶ τὸ ἐκ δυναστείας τινὸς τὰ ἀλλότρια προσενῶσαι τῇ ἰδίᾳ κτήσει, τῶν ἀπηγορευμένων ἐστί. Πλεονασμὸς μέν οὖν ἐστιν, ὡς ὅταν τις δῷ τινι σῖτον, ἢ οἶνον, ἢ ἔλαιον, ἢ ἄλλο τι, ἐπὶ τῷ λαβεῖν ὁμοιογενὲς πλέον τοῦ δοθέντος· οἷον, ἔδωκέ τις οἴνου μετρητὰς πεντήκοντα ἐπὶ τῷ λαβεῖν ἑβδομήκοντα, ἢ καὶ πλείονας· τόκος δὲ λέγεται ἐπὶ νομισμάτων. Ἐκ δυναστείας δέ τινος εἶπεν, ὅτι, κἂν μὴ ἐξ οἰκείας δυναστείας σφετερίσηταί τις τὰ ἀλλότρια, δι' ἑτέρου δὲ δυνάστου τινὸς ποιήσῃ τοῦτο, κἀκεῖνος τῷ αὐτῷ ὑπόκειται κρίματι. Λέγει γὰρ ὁ προφητικὸς λόγος· Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν, ἵνα τι τοῦ πλησίον ἀφέλωνται (4). Ἀλλὰ κἂν τῇ Γραφῇ, φησὶν, ἀπηγόρευται ταῦτα, ἡμεῖς αὐτοῖς κανονικὰ οὐκ ἐπάξομεν ἐπιτίμια, ὅτι τὰ καθ' ἡμᾶς εἰς ἐξουσίαν κανόνων οὐκ ἀξιόπιστα, ὅτι οὐκ ἀξιόπιστοι κρινόμεθα εἰς κανονικὴν ἐξουσίαν, ἀντὶ τοῦ, κατ' ἐξουσίαν

(1) Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. ἀλλ' ἐν Χ. Τρ. καὶ λατινιστὶ παρὰ Ἑ. — (2) Τὰ ἐν παρενθέσει οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ., παρ' οἷς ἡ φράσις ἀσύντακτός τέ ἐστι καὶ ἄνευ ἐννοίας, ἀνεπληρώθησαν δὲ ἐκ τῆς ἐν Χ. Τρ. ἑρμηνείας τοῦ Ζωναρᾶ. — (3) Χ. Τρ. = ταύτας Βευερ. Ἑ. = (4) Ἡσ. Ε, 8.



ἡμετέραν καὶ κρίσιν τιθέναι κανονικὰ καὶ τοῖς ἁμαρτάνουσιν ἐπιτίμια. Εἰπὼν δὲ κλοπὴν, διαιρεῖ ταύτην εἰς λῃστείαν καὶ εἰς τοιχωρυχίαν· καὶ ἕνα μὲν σκοπὸν εἶναι λέγει καὶ τοῖς λῃστεύουσι καὶ τοῖς τοιχωρυχοῦσι, τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν· πολλὴν δὲ διαφορὰν θετέον αὐτῶν. Οἱ μὲν γὰρ λῃσταὶ καὶ πρὸς μιαιφονίαν παρασκευάζονται ὅπλα φέροντες, καὶ τόπους ἐπιτηδείους καταλαμβάνοντες εἰς βοήθειαν, ἀλλὰ μὴν καὶ πολυχειρίαν, ἤγουν πολλοὺς εἰς συνεργίαν προσλαμβανόμενοι, καὶ ἕτοιμοι ὄντες πρὸς φόνους. Τοὺς οὖν τοιούτους ἀπονεύσαντας εἰς μετάνοιαν, τῷ τῶν ἀνδροφόνων ἐπιτιμᾶσθαι κρίματι φησί. Τὸν δὲ λαθραίως ἀφαιρούμενον τὰ ἀλλότρια, καὶ τὴν ἁμαρτίαν ἐξαγορεύοντα, θεραπεύεσθαί φησι τῇ ἐναντίᾳ διαθέσει· ἤγουν, ἐπεὶ διὰ πλεονεξίαν ἀφείλετο τὰ ἀλλότρια, δεῖ αὐτὸν καὶ τὰ οἰκεῖα πένησι δοῦναι, ἵνα οὕτω φανῇ ἀποσχόμενος τῆς πλεονεξίας· ὁ γὰρ μὴ φειδόμενος τῶν οἰκείων, οὐκ ἐπιθυμήσει τῶν ἀλλοτρίων. Εἰ δὲ μὴ ἔχει, φησὶ, χρήματα, ὥστε δοῦναι αὐτὰ, δεῖ αὐτὸν κοπιῶντα τὸ πάθος ἰάσασθαι, ἤγουν κοπιᾷν ἐργαζόμενον, καὶ ἐκ τοῦ διὰ τοῦ κόπου αὐτῷ πορίζομένου μεταδιδόναι τοῖς δεομένοις. Καὶ τοῦτο ἀποστολικόν ἐστι τὸ διάταγμα· λέγει γὰρ ὁ θεσπέσιος Παῦλος· Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Ταῦτα μὲν οὖν περὶ τοῦ λάθρα ἀφαιρουμένου τὰ ἀλλότρια. Εἰ δὲ καὶ οὗτος ξίφει κέχρηται, καὶ ἕτοιμός ἐστι κατὰ τοῦ ἀνθισταμένου αὐτῷ τούτῳ χρήσασθαι, καὶ οὗτος, οἶμαι, ὁμοίως ἐπιτιμηθήσεται τῷ λῃστεύοντι, ὅτι καὶ ὁμοίαν εἶχε προαίρεσιν.

ΣΥΝΟΨ. Τὸ ἕτερον τῆς εἰδωλολατρείας εἶδος, ἡ πλεονεξία, ἐκ τῶν τριῶν τῆς ψυχῆς μερῶν γινομένη, (ὁ λογισμός τε γὰρ τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνει, καὶ ἐπιθυμία προσπάσχει, καὶ ὁ θυμὸς συνεφάπτεται,) ὅμως παρώφθη τοῖς Πατράσιν. Ὁ δημόσιος οὖν τῆς διδασκαλίας λόγος, ὡς ἂν οἷός τε ᾖ, τὰς πλεονεκτικὰς ἀῤῥωστίας θεραπευέτω. Τῆς δὲ κλοπῆς εἴδη, λῃστεία καὶ τοιχωρυχία· παρέπεται δὲ τῷ λῃστῇ καὶ μιαιφονία· παρεσκεύασται γὰρ πρὸς ταῦτα καὶ ὅπλοις, καὶ πολυχειρίᾳ, καὶ τόποις, ὅθεν καὶ τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεται. Ὁ δὲ λαθραίως ὑφελόμενος καὶ ἐξαγορεύσας, διανεμεῖ καὶ τὰ ἴδια.

## Κανὼν Ζʹ.

Ἡ δὲ τυμβωρυχία καὶ αὕτη διῄρηται εἰς τὸ(1) συγγνωστόν τε καὶ ἀσύγγνωστον. Εἰ μὲν γάρ τις τῆς ὁσίας φειδόμενος, καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων (2) συγχρήσαιτο εἰς ἔργου τινὸς κατασκευήν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστι, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἴς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γένηται. Τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκός, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διῄρηται λόγῳ, ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου ἐξ αὐτοῦ τοῦ βίου τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

—

ΖΩΝΑΡ. Ὥσπερ τὴν κλοπὴν εἰς δύο διεῖλεν, οὕτω καὶ τὴν τυμβωρυχίαν εἰς δύο διαιρεῖ. Εἰ μὲν γάρ τις, φησὶ, λίθους μόνους ἐκ τάφου ἀφέληται, ὥστε τὸ καλυπτόμενον σῶμα μὴ ὁραθῆναι, τῆς ὁσίας φειδόμενος, ἤτοι τῆς ἀφωσιωμένης τοῖς τεθνεῶσι τιμῆς, καὶ χρήσεται τούτοις εἰς ἔργου κατασκευὴν προτιμοτέρου καὶ κοινωφελεστέρου, οὐδὲ οὗτος ἀνέγκλητός ἐστι, συγγνωστὸς δ' οὖν· λίθους δὲ τῶν τῷ τάφῳ προβεβλημένων, οὐχὶ τῶν αὐτὰ τὰ τεθαμμένα σώματα καλυπτόντων. Τοῦτο τοίνυν τὸ εἶδος τῆς τυμβωρυχίας ἀνέγκλητον μὲν οὐκ ἔστι, φησὶ, συγγνωστὸν δ' οὖν· τὸ δ' ἄλλο, ἤγουν τὸ ἀνορύττειν τὰ σώματα τῶν τετελευτηκότων, κόσμον τινὰ λαβεῖν ἐκεῖθεν ζητοῦντας, ὁμοίως τῇ ψιλῇ πορνείᾳ καταδικάζεσθαι λέγει· ψιλὴν δὲ πορνείαν, τὴν εἰς ἐλευθέραν ἀνδρὸς γυναῖκα ὠνόμασε· κἀνταῦθα δὲ τῷ οἰκονομοῦντι τὸν μετανοοῦντα δίδωσι τὸ συντεμεῖν ἴσως τὸν τοῦ ἐπιτιμίου καιρὸν, εἰ ὁρᾷ θερμὴν αὐτοῦ τὴν μετάνοιαν. Ἀλλὰ ταῦτα μέν φησι περὶ τυμβωρυχίας ὁ ἅγιος. Ὁ δὲ πολιτικὸς νόμος, ἐν βιβλίῳ ξʹ. τίτλῳ κγʹ.(1) ταυτὶ διατάττεται· Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες, ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· καὶ πάλιν· Τὸ τῆς τυμβωρυχίας ἔγκλημα, ἀτιμίαν ἐπιφέρει (2)· καὶ αὖθις· Ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται ἢ λίθους, ἢ κίονας, ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι λίτρας χρυσοῦ τῷ δημοσίῳ καταβαλλέτω, καὶ τὰ ἑξῆς(3).

ΒΑΛΣ. Ὥσπερ δὴ τὴν κλοπὴν εἰς δύο διεῖλεν, οὕτω καὶ τὴν τυμβωρυχίαν εἰς δύο διαιρεῖ. Εἰ μὲν γάρ τις, φησὶ, λίθους μόνους ἐκ τάφου ἀφέληται, ὥστε τὸ καλυπτόμενον σῶμα μὴ ὁραθῆναι, τῆς ὁσίας φειδόμενος, ἤτοι τῆς ἀφωσιωμένης τοῖς τεθνεῶσι τιμῆς, καὶ χρήσεται τούτοις εἰς ἔργου κατασκευὴν προτιμοτέρου καὶ κοινωφελεστέρου, οὐδὲ οὗτος ἀνέγκλητος, συγγνωστὸς δ' οὖν· λίθους δὲ τοὺς τῷ τάφῳ προβεβλημένους, οὐχὶ τοὺς αὐτὰ τὰ τεθαμμένα σώματα καλύπτοντας· εἰ γὰρ τοιούτους λίθους ἀφέληταί τις, δίδωσι πάντως ὁρᾶσθαι τὸ κεκρυμμένον σῶμα, καὶ δημοσιεύει τῆς φύσεως τὰ μυστήρια, καὶ οὐκέτι συγγνωστός ἐστιν, ἀλλ' εἰς τὸ ἕτερον εἶδος τῆς τυμβωρυχίας ἐμπίπτειν δοκεῖ, ὅπερ ἐστὶ, τὸ τοὺς τάφους ἀνοίγειν, καὶ τὴν κόνιν τὴν ἐκ τῆς φθαρείσης σαρκὸς ἀνορύττειν, καὶ μετακινεῖν τὰ ὀστᾶ τῶν κειμένων, κόσμον τινὰ λαβεῖν ἐκεῖθεν ζητοῦντα συντεθειμένον τοῖς τελευτήσασι· τοῦτο τοίνυν τὸ εἶδος τῆς τυμβωρυχίας, ὁμοίως τῇ ψιλῇ πορνείᾳ καταδικάζεσθαι λέγει· ψιλὴν δὲ πορνείαν, τὴν εἰς ἐλευθέραν ἀνδρὸς γυναῖκα μίξιν ὠνόμασε· κἀνταῦθα δὲ τῷ οἰκονομοῦντι τὸν μετανοοῦντα δίδωσι τὸ συντεμεῖν ἴσως τὸν τοῦ ἐπιτιμίου καιρὸν, εἰ ὁρᾷ θερμὴν αὐτοῦ τὴν μετάνοιαν. Ἀλλὰ ταῦτα μέν φησι περὶ τυμβωρύχων ὁ ἅγιος. Ὁ δὲ πολιτικὸς νόμος ἐν βιβλίῳ ξʹ. τίτλῳ κγʹ. ταυτὶ διατάττεται· Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· καὶ πάλιν· Τὸ τῆς τυμβωρυχίας ἔγκλημα, ἀτιμίαν ἐπιφέρει·

(1) Χ. Τρ. Σ. Ρ. — εἰς συγγνωστόν τε οἱ λοιποί. — (2) Χ. Τρ. Σ. Ρ. — καὶ ὁ Ε. δὲ καὶ Βευερ. τὴν γραφὴν ταύτην ὑποτιθέασι μεταφράζοντες λατινιστὶ lapidibus aliquot ex iis qui ante sepulchrum positi sunt· οἱ δὲ λοιποὶ, τῶν ἐν τάφῳ βεβλημένων.

(1) ιέ, Βασιλικ. Ξʹ, 23. — (2) αʹ, Βασιλικ. αὐτόθι. — (3) ιδʹ, Βασιλικ. αὐτόθι.

καὶ αὖθις· Ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται ἢ λίθους, ἢ κίονας, ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι νομίσματα χρυσίου τῷ δημοσίῳ καταβάλλει, καὶ τὰ ἑξῆς.

ΣΥΝΟΨ. Ὁ τυμβωρυχήσας, εἰ μὲν ὥστε λίθον εἰς οἰκοδομὴν λαβεῖν, συγγνωστέος διὰ τὴν συνήθειαν· εἰ δὲ πρὸς τὸ λαβεῖν τι τῶν συνταφέντων, τῷ τῆς ψιλῆς πορνείας ὑπόκειται κρίματι, κἀνταῦθα τῆς σπουδῆς σκοπουμένης.

## Κανὼν Η'.

Ἡ δὲ ἱεροσυλία, παρὰ μὲν τῇ ἀρχαίᾳ Γραφῇ οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα· ὁμοίως γὰρ ὅ,τε ἐπὶ φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον(1). Ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας, οὐκ οἶδ' ὅπως συγκατάβασίς τις ἐγένετο καὶ συμπεριφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν Πατέρων παράδοσις. Πανταχοῦ δὲ ἐν πλημμελήματος εἴδει καθορᾷν τοῦτο προσήκει πρὸ πάντων, οἵα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, καὶ μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν, (τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο;) ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς θεραπεύοντος.

Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. Σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς· χρεωστεῖς γὰρ, ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ Θεόν σε γεννήσαντι τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελευούσαν, τιμᾷν τοὺς γονέας, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς

(1) Ἰησ. Ζ', 25.

γῆς(1). Δῆλον δὲ, ὅτι ὡς σύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον, κἄν τι μικρότερον τῆς σῆς μεγαλοφυΐας ᾖ.

---

ΖΩΝΑΡ. Εἰπὼν περὶ κλοπῆς καὶ τυμβωρυχίας, νῦν καὶ περὶ ἱεροσυλίας φησίν· ὅτι ἡ μὲν Παλαιὰ Γραφὴ, ἐπίσης τόν τε φονέα καὶ τὸν κλέψαντα τὰ ἀνατεθειμένα τῷ Θεῷ κολάζει, λίθοις ἀναιρεῖσθαι αὐτοὺς διαταξαμένη· ὅπερ ἐπὶ τοῦ Ἄχαρ ἐγένετο, ὑφελομένου ἐκ τῶν τῆς Ἱεριχοῦς λαφύρων χρυσόν τε καὶ ὕφασμα. Ἡ δὲ ἐκκλησία οὐχ ὁμοίως ἐπιτιμᾷ τῷ φονεῖ καὶ τῷ ἱεροσύλῳ, ἀλλὰ συγκαταβατικώτερον διετέθη πρὸς τὸν ἱερόσυλον· τὰ δὲ ἑξῆς τοῦ κανόνος, δῆλα. Ἠπόρηται δέ μοι, πῶς ὁ ἅγιος οὗτος, τὸ τῆς πλεονεξίας πάθος ἀθεράπευτον ἔφη παρὰ τῶν Πατέρων καταλειφθῆναι, καὶ ταῦτα τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ ἐν τῷ τρίτῳ τῶν αὐτοῦ κανόνων ταῦτα λέγοντος· Δεινὴ δὲ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον φευκτὸν καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν, καὶ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ, καὶ πᾶς ὁ τοιοῦτος, ἐκκήρυκτος ἐκκλησίας Θεοῦ. Πῶς οὖν ἀθεράπευτον περιώφθη τὸ ἐκκήρυκτον ἐκκλησίας Θεοῦ ποιεῖν κεκριμένον; Ὅτι δὲ ἐκράτει ὁ κανὼν οὗτος τοῦ Θαυματουργοῦ, δῆλον ἀπὸ τῆς πρὸς Μηνᾶν ἐπίσκοπον ἐπιστολῆς Θεοφίλου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας γράψαντος, νόμιμον πρᾶγμα πεποιηκέναι τοὺς χωρίσαντας τῆς συνάξεως τὴν ἀδικοῦσαν γυναῖκα, καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν.

ΒΑΛΣ. Εἰπὼν περὶ τῆς κλοπῆς καὶ τῆς τυμβωρυχίας, νῦν καὶ περὶ ἱεροσυλίας διδάσκει, καί φησιν, ὅτι ἡ μὲν Παλαιὰ Γραφὴ ἐπίσης τὸν φονέα καὶ τὸν κλέψαντα τὰ τῷ Θεῷ ἀνατεθειμένα ἐκόλασε, λίθοις αὐτοὺς ἀναιρεῖσθαι διαταξαμένη, ὅπερ ἐπὶ τοῦ Ἄχαρ ἐγένετο, ὑφελομένου ἐκ τῶν τῆς Ἱεριχοῦς λαφύρων, ἃ πάντα τῷ Θεῷ ἀνετέθησαν, χρυσόν τε καὶ ὕφασμα· λίθοις γὰρ βληθεὶς, παγγενεὶ ἐξωλοθρεύθη. Ἡ δὲ ἐκκλησία οὐχ ὁμοίως

(1) Ἐξόδ. Κ', 12.

ἐπιτιμᾷ τῷ φονεῖ καὶ τῷ ἱεροσύλῳ· ἀλλὰ συγκαταβατικώτερον διετέθη πρὸς τὸν ἱερόσυλον, οὐκ οἶδά πως, φησὶν, ἀντὶ τοῦ, τὸν λόγον ἀγνοῶ· παραδέδοται γὰρ, φησὶ, παρὰ τῶν Πατέρων, ἥττονι χρόνῳ παρὰ τὴν μοιχείαν τὸ ἐπιτίμιον τῇ ἱεροσυλίᾳ ὁρίζεσθαι· ἐν πάσῃ δὲ ἁμαρτίᾳ δεῖ πρὸ πάντων σκοπεῖν τὴν τοῦ μετανοοῦντος καὶ θεραπευομένου διάθεσιν, καὶ μὴ τῷ χρόνῳ τοῦ ἐπιτιμίου ἀνατιθέναι τὸ πᾶν, ὡς ἀρκοῦντι πρὸς κάθαρσιν· ὁ γὰρ χρόνος, ὅσος ἂν παρέλθῃ, οὐδὲν ὠφελήσει πρὸς ἴασιν. Ἀλλὰ τὴν προαίρεσιν δεῖ σκοπεῖν τοῦ μετανοοῦντος, καὶ τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδήν· ὥστε, εἰ μὲν προσήκουσαν τῷ ἁμαρτήματι καὶ ἀνάλογον ἐνδείκνυται τὴν μετάνοιαν, συντέμνειν τὸν τοῦ ἐπιτιμίου καιρόν· εἰ δὲ ἀνειμένως διάκειται, καὶ ἀμελέστερον διατίθεται, καὶ προστιθέναι τῷ καιρῷ τοῦ ἐπιτιμίου. Ἠπόρηται δέ μοι, πῶς ὁ ἅγιος οὗτος, τὸ τῆς πλεονεξίας πάθος ἀθεράπευτον ἔφη παρὰ τῶν Πατέρων καταλειφθῆναι, καὶ ταῦτα τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ ἐν τῷ τρίτῳ τῶν αὐτοῦ κανόνων ταῦτα λέγοντος· Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς μιᾶς*(1) παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον φευκτὸν καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν, καὶ τὸ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς ὁ τοιοῦτος, ἐκκήρυκτος ἐκκλησίας Θεοῦ· πῶς οὖν ἀθεράπευτον περιώφθη τὸ, ἐκκήρυκτον ἐκκλησίας Θεοῦ ποιεῖν κεκριμένον. Ὅτι δὲ ἐκράτει ὁ κανὼν οὗτος τοῦ Θαυματουργοῦ, δῆλον ἀπὸ τῆς πρὸς Μηνᾶν ἐπίσκοπον ἐπιστολῆς Θεοφίλου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, γράψαντος, νόμιμον πρᾶγμα πεποιηκέναι τοὺς χωρίσαντας τῆς συνάξεως τὴν ἀδικοῦσαν γυναῖκα, καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν.

ΣΥΝΟΨ. Ἡ ἱεροσυλία, τῇ μὲν Παλαιᾷ Γραφῇ ταυτὸν ἐνομίσθη τῷ φόνῳ, καὶ ἐπ' ἀμφοτέρων ὁ διὰ λίθων ὡρίσθη θάνατος. Τῇ δὲ ἐκκλησίᾳ ἔδοξεν ἐλάττονι παρὰ τὴν μοιχείαν γίνεσθαι χρόνῳ τὸ τῆς ἱεροσυλίας καθάρσιον. Δεῖ δὲ ἐν παντὶ τῇ διαθέσει προσέχειν, ἀλλὰ μὴ τῷ χρόνῳ.

(1) Χ. Γρ. — τὸ, μιᾶς οὐ κεῖται παρὰ Βευηρ. καὶ Ε. ἀναγινώσκεται δὲ παρ' αὐτοῖς, περιθέσθαι, ἀντὶ τοῦ, παραθέσθαι.



# ΑΠΟΚΡΙΣΕΙΣ ΚΑΝΟΝΙΚΑΙ
## ΤΙΜΟΘΕΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ
### ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

ἑνὸς τῶν ρν'. Πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων ἐπισκόπων καὶ κληρικῶν (1).

*Ἐρώτησις Α'.*

ΕΑΝ παιδίον κατηχούμενον, ὡς ἐτῶν ἑπτὰ, ἢ ἄνθρωπος τέλειος, εὐκαιρήσῃ που προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβῃ, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ;

*Ἀπόκρισις.*

Φωτισθῆναι ὀφείλει, παρὰ Θεοῦ γὰρ κέκληται.

ΒΑΛΣ. Ἠρωτήθη ὁ Πατὴρ οὗτος, ὅτι ἐὰν παιδίον, ἢ καὶ ἀνὴρ τέλειος, ἐν κατηχουμένοις τεταγμένος, καὶ μήπω τοῦ ἁγίου τυχὼν βαπτίσματος, προσφορᾶς γινομένης, ἤτοι θυσίας μυστικῆς προσαγομένης, εὐκαιρήσῃ, ἀντὶ τοῦ, καιροῦ τύχῃ ἐπιτηδείου, καὶ μεταλάβῃ τῶν ἁγιασμάτων, ἀγνοῶν ὅτι οὐ δεῖ αὐτὸν μεταλαβεῖν πρὸ τοῦ βαπτίσματος, ἀλλ' οὐχὶ καταφρονητικῶς διατιθέμενος, τί ὀφείλει γενέσθαι, καὶ ἀπεκρίθη, ὅτι βαπτισθῆναι ὀφείλει. Ἐπεὶ γὰρ ἀπονήρως προσῆλθε τῇ κοινωνίᾳ τῶν ἁγίων δώρων, καὶ εὐκαιρίας ἔτυχε μὴ κωλυθεὶς ὑπό τινος, ἀγνοησάντων ἴσως τῶν παρόντων πιστῶν, καὶ αὐτοῦ τοῦ μεταδιδόντος, ὅτι κατηχούμενός ἐστι, δοκεῖ παρὰ τοῦ Θεοῦ προσκληθῆναι· καὶ ὅπερ ὁ ἅγιος Ἀπόστολος Πέτρος ἔφη περὶ τοῦ Κορνηλίου καὶ τῶν περὶ αὐτὸν, ὅτε κατηχουμένων ἐκείνων ἐπέπεσεν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐλάλουν γλώσσαις, καὶ ἐμεγάλυνον τὸν Θεὸν, ὡς ἐν τῇ βίβλῳ τῶν Πράξεων γέγραπται(2)·

(1) Ἐν Η. προηγοῦνται τῶν ἐρωταποκρίσεων τοῦ Τιμοθέου οἱ στίχοι τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, καὶ οἱ τοῦ ἁγίου Ἀμφιλοχίου, ἕπονται δὲ αὐτοῖς ἔν τε Χ. Γρ. καὶ παρὰ Βευηρ. — (2) Πράξ. Ι', 47.

Μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἳ τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς, τοῦτο μονονουχὶ καὶ ὁ Τιμόθεος εἶπεν, ὅτι παρὰ Θεοῦ κληθεὶς, καὶ ἄξιος νομισθεὶς τῶν ἁγιασμάτων, φωτισθῆναι ὀφείλει.

ΣΥΝΟΨ. Παῖς ἢ ἀνὴρ κατηχούμενος, εἰ μεταλάβοι ἀγνοῶν, φωτιζέσθω· παρὰ Θεοῦ γὰρ κέκληται.

*Ἐρώτησις Β'.*

Ἐὰν δαιμονιζόμενος κατηχούμενος ᾖ, καὶ θελήσῃ (1) αὐτὸς ἢ οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, εἰ ὀφείλει (2) λαβεῖν, ἢ οὔ, καὶ μάλιστα ἐὰν περὶ τὸν θάνατον ἐστίν;

*Ἀπόκρισις.*

Ἐὰν ὁ δαιμονιζόμενος μὴ καθαρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον βάπτισμα· περὶ δὲ τὴν ἔξοδον βαπτίζεται.

ΒΑΛΣ. Ὁ δαιμονιζόμενος, δαίμονος εἶναι δοκεῖ οἰκητήριον· κρίνεται τοίνυν, ὡς, εἰ μὴ ἄξιον ἑαυτοῦ τὸν ἄνθρωπον εὗρε τὸ ἀκάθαρτον πνεῦμα κατοικητήριον, οὐκ ἂν ἐνῴκησεν αὐτῷ (3)· ὁ δὲ βαπτιζόμενος, διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου Πνεύματος δέχεται ἐνοικοῦσαν αὐτῷ. Πῶς οὖν ἐνταυτῷ δυνατόν ἐστι τὸν αὐτὸν δύο ἐναντίων δεκτικὸν γενέσθαι; Διὰ τοῦτο τὸν κατηχούμενον καὶ μὴ ἀπαλλαγέντα τοῦ ἐνοχλοῦντος αὐτῷ δαίμονος, οὐκ ἔκρινεν ὁ Πατὴρ τοῦ θείου βαπτίσματος ἄξιον. Εἰ δὲ τελευτᾷ, φησὶ, βαπτισθήσεται, ἵνα μὴ ἀμέτοχος τῆς χάριτος τοῦ βαπτίσματος τοῦ βίου ἐξελθὼν, τοιούτου στερηθῇ ἐφοδίου, καὶ ἀσήμαντος ἀπέλθῃ.

ΣΥΝΟΨ. Ὁ δαιμονῶν, εἰ μὴ καθαρθῇ, οὐ βαπτίζεται, εἰ μὴ ἐξοδεύοι.

*Ἐρώτησις Γ'.*

Ἐὰν πιστός τις ὢν δαιμονίζηται, εἰ ὀφείλει (4) μεταλαμβάνειν (5) τῶν ἁγίων μυστηρίων, ἢ οὔ;

(1) καὶ θέλει Σ. Ῥ. — (2) Χ. Τρ. Σ. Ῥ. — ἄνευ τοῦ, εἰ, Π. Βευερ. Ἐ. — (3) Χ. Τρ. — οὐκ ἂν ᾤκησεν ἐν αὐτῷ Βευερ. — (4) Σ. Ῥ. Χ. Τρ. — ἄνευ τοῦ εἰ, Βευερ. Π. — (5) Σ. Ῥ. Χ. Τρ. — μεταλαβεῖν Π. Βευερ.



*Ἀπόκρισις.*

Ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω, μὴ μέν τοι καθ' ἑκάστην· ἀρκεῖ γὰρ αὐτῷ κατὰ Κυριακὴν (1) μόνον.

ΒΑΛΣ. Ὁ Ἰούδας ἐξαγορεῦσαι λέγεται τὸ μυστήριον, ὡς ἐδιδάχθη παρὰ τοῦ Κυρίου ἐκκαλύψας τοῖς Ἰουδαίοις, οἷα διαπιστῶν αὐτοῖς, καὶ μηδὲ τῷ ταῦτα διδάσκοντι ὡς Θεῷ προσέχων, ἀλλ' ὡς ἀνθρώπῳ ψιλῷ. Ὁ δὲ δαιμονιζόμενος, εἰ μὲν διόλου μαίνεται, οὔτε τῶν ἁγιασμάτων ἀξιωθήσεται, οὔτε τὸ μυστήριον ἐξαγορεύων καὶ βλασφημῶν κατακριθήσεται, ὡς μὴ εἰδὼς ὃ ποιεῖ· εἰ δὲ διαλείμματα ἔχει, καὶ ἐν τῷ καιρῷ, ᾧ σωφρονεῖ, διασύρει τὸ μυστήριον καὶ βλασφημεῖ, οὐ μόνον τῶν ἁγιασμάτων οὐ μεθέξει, ἀλλ' οὐδὲ πιστοῖς συνεύξεται, ἢ συναριθμηθήσεται· ὥστε ὁ θεῖος οὗτος Πατὴρ περὶ δαιμονιζομένου καὶ διαλείμματα ἔχοντος λέγει. Ἐὰν οὖν, ὅτε οὐκ ἐνεργεῖται ὑπὸ τοῦ δαίμονος, οὐδὲν κατὰ τῆς πίστεως λέγῃ, μεταλήψεται τῶν ἁγιασμάτων.

ΣΥΝΟΨ. Ὁ δαιμονῶν πιστὸς, εἰ μὴ ἐξαγορεύοι τὸ μυστήριον, ἢ ἄλλως βλασφημείη, μεταλαμβανέτω· μὴ μέν τοι καθ' ἑκάστην, ἀρκεῖ γὰρ αὐτῷ κατὰ Κυριακὴν μόνον.

*Ἐρώτησις Δ'.*

Ἐάν τις κατηχούμενος ὢν, ἀσθενῶν γένηται ἐκφρενὴς, καὶ μὴ δύνηται ἑαυτῷ (2) ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλῶσιν οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα ἕως ζῇ, εἰ ὀφείλει λαβεῖν, ἢ οὔ;

*Ἀπόκρισις.*

Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται.

ΒΑΛΣ. Ἡ ἐρώτησις ἦν περὶ κατηχουμένου καὶ ἐκ νόσου ἔξω φρενῶν γενομένου, ὥστε μὴ δύνασθαι αὐτὸν ἐρωτώμενον, τὰς ἐν τῷ βαπτίσματι ἀποκρίσεις ἀποκρίνασθαι (3), εἰ δεῖ τοῦτον βα-

(1) Σ. Ῥ. Χ. Τρ. Π. — κατὰ καιροὺς Βευερ. — (2) Χ. Τρ. Σ. Ῥ. — αὐτὸς Βευερ. Π. — (3) ἐρωτήσεις ἀποκρίνασθαι Χ. Τρ.

πτίζεσθαι; Ἡ δὲ ἀπόκρισις, ὅτι δεῖ βαπτίζεσθαι αὐτὸν καὶ οὕτως ἔχοντα, καὶ εἰκότως· ἐπεὶ γὰρ κατηχούμενος ἣν ἔδειξε προαίρεσιν, ὅτι ἀσπάζεται τὴν πίστιν, καί, κἂν μὴ ἐν τῷ βαπτίζεσθαι ἀποκρίνηται, ἔφθασε δεῖξαι τὴν οἰκείαν προαίρεσιν. Εἰ δὲ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζεται, οὐ βαπτισθήσεται, φησίν, ἀλλὰ γενήσεται αὐτῷ καθὼς ἀνωτέρω εἴρηται.

ΣΥΝΟΨ. Ὁ κατηχούμενος ἀσθενήσας, καὶ γενόμενος ἔκφρων, βαπτιζέσθω, εἰ μὴ δαιμονᾷ.

*Ἐρώτησις Ε'.*

Ἐὰν γυνὴ συγγένηται μετὰ τοῦ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἢ ἀνὴρ μετὰ τῆς γυναικός, καὶ γένηται σύναξις, εἰ ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ;

*Ἀπόκρισις.*

Οὐκ ὀφείλουσι, τοῦ Ἀποστόλου βοῶντος, Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν(1).

ΒΑΛΣ. Περὶ τῶν ἐννόμως συνευναζομένων ἡ ἐρώτησις, εἰ ὀφείλουσι μεταλαβεῖν κατὰ τὴν νύκτα ἐκείνην συνελθόντες ἀλλήλοις· ἡ δὲ ἀπόκρισις, ὅτι οὐκ ὀφείλουσι· καὶ εἰς σύστασιν τοῦ οἰκείου λόγου, τοῖς τοῦ μεγάλου Παύλου ῥήμασιν ἐχρήσατο.

ΣΥΝΟΨ. Οἱ συγγενόμενοι σύνοικοι, οὐ μεταλήψονται.

*Ἐρώτησις Ϛ'.*

Ἐὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς, ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὰ κατ' ἔθος τῶν γυναικῶν, εἰ ὀφείλει φωτισθῆναι αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι, καὶ πόσον ὑπερθέσθαι;

*Ἀπόκρισις.*

Ὑπερθέσθαι ὀφείλει ἕως οὗ καθαρισθῇ.

ΣΥΝΟΨ. Ἡ κατηχουμένη, ἐὰν ῥύσει γένηται, ἕως καθαρθῇ οὐ βαπτίζεται.

(1) α', Κορ. Ζ', 5.



*Ἐρώτησις Ζ'.*

Ἐὰν γυνὴ ἴδῃ τὰ κατ' ἔθος τῶν γυναικείων αὐτῆς, εἰ ὀφείλει προσέρχεσθαι τοῖς μυστηρίοις αὐτῇ τῇ ἡμέρᾳ, ἢ οὔ;

*Ἀπόκρισις.*

Οὐκ ὀφείλει ἕως οὗ καθαρισθῇ.

ΒΑΛΣ. Οἱ μέλλοντες καταξιοῦσθαι τοῦ θείου βαπτίσματος, ἀπεγράφοντο παρὰ τῶν ἐν τῇ ἐκκλησίᾳ ἐνεργούντων. Ἐὰν οὖν γυνή, φησίν, ἀπογραφεῖσα ὡς μέλλουσα βαπτισθῆναι, γένηται ἐν ῥύσει τῶν ἐμμήνων, πότε δεῖ αὐτὴν φωτισθῆναι, καὶ ἀπεκρίθη πρὸς τοῦτο ὁ θεῖος οὗτος Πατήρ, ὅτι, ὅτε καθαρθῇ· ἕως γὰρ αἱ νενομισμέναι παρέλθωσιν ἡμέραι, ἐν ἀκαθαρσίᾳ κρίνεται εἶναι, καὶ οὔτε βαπτισθήσεται, οὔτε τῶν θείων μυστηρίων ἀξιωθήσεται.

ΣΥΝΟΨ. Ἡ ἐν ἀφέδρῳ οὐ μεταλήψεται, ἕως καθαρθῇ.

*Ἐρώτησις Η'.*

Γυνὴ ἐὰν γεννήσῃ τὸ Πάσχα, εἰ ὀφείλει νηστεῦσαι καὶ μὴ πιεῖν οἶνον, ἢ ἀπολύεται τῆς νηστείας καὶ τοῦ μὴ πιεῖν οἶνον διὰ τὸ γεννῆσαι;

*Ἀπόκρισις.*

Ἡ νηστεία ἐπενοήθη διὰ τὸ τὸ σῶμα ταπεινῶσαι. Εἰ οὖν τὸ σῶμα ἐν ταπεινώσει ἐστὶ καὶ ἀσθενείᾳ, ὀφείλει μεταλαβεῖν, καθὼς βούλεται καὶ δύναται βαστάσαι, τροφῆς καὶ ποτοῦ.

ΒΑΛΣ. Ἠρωτήθη, εἰ ὀφείλει γυνὴ τεκοῦσα κατὰ τὴν Τεσσαρακοστὴν τοῦ Πάσχα, πιεῖν οἶνον, καὶ τῆς νηστείας λυθῆναι· καὶ ἀπεκρίθη, ὅτι ἡ νηστεία διὰ ταπείνωσιν τοῦ σώματος ὡρίσθη· ἐὰν δὲ τὸ σῶμα τεταπεινωμένον καὶ ἀσθενὲς ᾖ ἄλλοθεν, οὐ δεῖται τῆς ἐκ τῆς νηστείας παιδαγωγίας, ἀλλὰ μᾶλλον συστάσεως χρῄζει καὶ ἀνακτήσεως. Ὀφείλει οὖν ἡ τεκοῦσα γυνὴ κατὰ τὸ Πάσχα, ἤγουν ἐν τῇ διὰ τὸ Πάσχα γινομένῃ νηστείᾳ, καὶ οἴνῳ χρήσασθαι καὶ βρώμασι.

ΣΥΝΟΨ. Ἡ ἐν τῷ ἁγίῳ Πάσχα, τουτέστιν ἐν μεγάλῃ ἑβδο-

μάδι γεννήσασα, ὀφείλει μεταλαβεῖν, καθ' ὃ δύναται βαστάσαι, καὶ τροφῆς, καὶ πότου.

*Ἐρώτησις Θ'.*

Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων Ἀρειανῶν, ἢ ἄλλων αἱρετικῶν, ἢ εἰ οὐδὲν αὐτὸν βλάπτει ὁπόταν αὐτὸς ποιῇ τὴν εὐχὴν, ἤγουν τὴν προσφοράν;

*Ἀπόκρισις.*

Ἐν τῇ θείᾳ ἀναφορᾷ ὁ διάκονος προφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ· Οἱ ἀκοινώνητοι περιπατήσατε· οὐκ ὀφείλουσιν οὖν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΒΑΛΣ. Ἡ ἐρώτησις περὶ κληρικοῦ, εἰ ὀφείλει εὔχεσθαι παρόντων αἱρετικῶν, ἤγουν προσφέρειν τὴν ἀναίμακτον θυσίαν· καὶ ἀπεκρίθη, ὅτι, ὅτε μέλλουσι προσάγεσθαι τῇ ἱερᾷ τραπέζῃ τὰ ἅγια, λέγεται τοῖς ἀμυήτοις· Οἱ ἀκοινώνητοι περιπατήσατε, ἤγουν, Οἱ κατηχούμενοι προέλθετε. Εἰ οὖν οἱ κατηχούμενοι οὐκ ἐῶνται παρεῖναι τελουμένης τῆς θείας θυσίας, πῶς αἱρετικοὶ ἐαθήσονται, εἰ μή που ἐπαγγέλλονται, φησὶ, μετανοεῖν, καὶ ἀφίστασθαι τῆς αἱρέσεως. Καὶ τότε δὲ, οἶμαι, οὐκ ἐντὸς τοῦ ναοῦ παραχωρηθήσονται εἶναι, ἀλλ' ἔξω μετὰ τῶν κατηχουμένων· ὡς, εἰ μὴ ἐπαγγέλλονται ἀφίστασθαι τῆς αἱρέσεως, οὐδὲ τοῖς κατηχουμένοις συστήσονται, ἀλλ' ἐκδιωχθήσονται.

ΣΥΝΟΨ. Προσφορᾶς γινομένης οὐκ ὀφείλουσι παρεῖναι αἱρετικοὶ, εἰ μή τι ἂν ἐπαγγέλλωνται μετανοεῖν, καὶ φεύγειν τὴν αἵρεσιν.

*Ἐρώτησις Γ'.*

Ἐάν τις ᾖ ἀσθενῶν, καὶ ἐκταχείς πάνυ ἀπὸ τῆς πολλῆς ἀσθενείας, καὶ ἔλθῃ τὸ ἅγιον Πάσχα, εἰ πάντως ὀφείλει νηστεῦσαι, ἢ ἀπολύει αὐτὸν ὁ κληρικὸς λαμβάνειν ὃ δύναται, ἢ καὶ ἔλαιον, καὶ οἶνον, διὰ τὴν πολλὴν αὐτοῦ ἀσθένειαν;

*Ἀπόκρισις.*

Ἀπολύεσθαι ὀφείλει μεταλαμβάνειν καὶ τῆς τροφῆς(1) καὶ τοῦ ποτοῦ ὁ ἀσθενῶν, πρὸς ὃ δύναται βαστάσαι· τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα, δίκαιον ἐστίν.

ΒΑΛΣ. Περὶ νοσοῦντος καὶ ἐκτακέντος ὑπὸ τῆς νόσου ἡ ἐρώτησις, εἰ ὀφείλει ἐν τῇ διὰ τὸ Πάσχα νηστείᾳ πάντως νηστεῦσαι, ἀντὶ τοῦ, ἀπαραιτήτως, ἀσυμπαθῶς, ἢ μεταλαβεῖν (2) οἴνου καὶ ἐλαίου διὰ τὴν ἀσθένειαν; Ἡ δὲ ἀπόκρισις λέγει, ὅτι τὸν ἐκτακέντα ἐκ νόσου δίκαιον καὶ οἴνου καὶ ἐλαίου μεταλαμβάνειν, ὡς δύναται ὑπομεῖναι, ἤγουν, ἢ διόλου, ἢ ἐν ἡμέραις τισὶ κατὰ τὴν κρίσιν τοῦ οἰκονομοῦντος αὐτόν. Σημειωτέον οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τοῦ η', ὅτι ἡ νηστεία τῆς Τεσσαρακοστῆς τοῦ Πάσχα ξηροφαγία ἐστὶν, ἀλλὰ καὶ οἴνου ἀποχή. Τινὲς δὲ ἐν ἀμφοῖν τοῖς κανόσι τούτοις, τὴν ἐν τῷ Πάσχα νηστείαν, τὴν τῶν ἁγίων παθῶν ἑβδομάδα λέγουσιν εἶναι, καὶ οὐ πᾶσαν τὴν Τεσσαρακοστήν (3).

ΣΥΝΟΨ. Ὁ ἄκρως ὑπ' ἀσθενείας κατατακεὶς, καὶ ἐν τῷ Πάσχα μεταλαμβάνει καὶ οἴνου καὶ ἐλαίου.

*Ἐρώτησις ΙΑ'.*

Ἐάν τις καλέσῃ κληρικὸν εἰς τὸ ζεῦξαι γάμον, ἀκούσῃ δὲ τὸν γάμον παράνομον, ἢ θειογαμίαν, ἢ γοῦν ἀδελφὴν τελευτησάσης γυναικὸς τὴν μέλλουσαν ζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ κληρικὸς, ἢ προσφορὰν ποιῆσαι;

*Ἀπόκρισις.*

Ἅπαξ εἴπατε, ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον· εἰ οὖν ὁ γάμος παράνομός ἐστιν, οὐκ ὀφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις (4).

ΒΑΛΣ. Τοὺς κληρικοὺς δεῖ, φησὶ, καλουμένους εἰς γάμων τελετὴν ὥστε εὔξασθαι, καὶ συζεῦξαι τοὺς νυμφευομένους, εἰ

(1) καὶ τῶν τροφῶν Σ. Ρ. Χ. Τρ. — (2) ἢ μετασχεῖν Βευερ. Ε. — (3) τὰ ἀπὸ τοῦ, Τινὲς δὲ ἐν ἀμφοῖν, ἕως τοῦ τέλους τῆς ἑρμηνείας, οὐ κεῖται ἐν Χ. Τρ. — (4) Ἅπαξ εἶπον· Ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον, οὐκ ὀφείλει κοινωνεῖν ἀλλοτρίαις ἁμαρτίαις, καθώς φησιν ὁ Ἀπόστολος. Σ. Ρ.

ἀκούσουσι παράνομον εἶναι τὸν γάμον, μὴ ἀπέρχεσθαι, μήτε εὔχεσθαι, μήτε προσφέρειν, καὶ οὕτω κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις.

ΣΥΝΟΨ. Κληρικὸς κληθεὶς εἰς τὸ ζεῦξαι γάμον, μαθὼν ὅτι παράνομος, ἀλλοτρίαις ἁμαρτίαις μὴ ἐπικοινωνείτω.

*Ἐρώτησις ΙΒ'.*

Ἐὰν ὀνειρασθεὶς ὁ λαϊκὸς ἐρωτήσῃ κληρικὸν, εἰ ὀφείλει ἐπιτρέψαι αὐτῷ κοινωνῆσαι, ἢ οὔ;

*Ἀπόκρισις.*

Εἰ μὲν ὑπόκειται ἐπιθυμία γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῆς κοινωνίας τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι, ἐπεὶ οὐ παύσεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνεῖν, ἐπιτιθέμενος αὐτῷ.

ΒΑΛΣ. Περὶ τῶν ἐν ὀνείροις φανταζομένων, οἷς καὶ σπέρματος ἴσως ἐπιγίνεται ἐκροὴ, φησὶν ὁ Πατὴρ οὗτος, ὅτι εἰ μὲν πρὸ τούτου προσέβαλε τῷ ὀνειρασθέντι ἐπιθυμίας γυναικὸς λογισμὸς, καὶ ἐνέμεινεν ὁ νοῦς ἐπὶ τῇ ἐπιθυμίᾳ, καὶ ἐνεφιλοχώρησε ταύτῃ, κἀντεῦθεν ἡ φαντασία ἐπῆλθε καὶ ἡ ῥύσις τοῦ σπέρματος, οὐκ ὀφείλει μεταλαβεῖν, καὶ εἰκότως· ἡ γὰρ συγκατάθεσις ἐμόλυνε τὸν λογισμὸν τοῦ ὀνειρασθέντος, καὶ πῶς μετὰ τοιούτου λογισμοῦ προσελεύσεται τοῖς ἁγίοις; Εἰ δὲ οὐδὲν τοιοῦτον προηγήσατο, τοῦ διαβόλου, φησὶν, ἐστὶ πεῖρα, ἵνα οὕτως ἀποξενῶται αὐτὸν τῆς θείας κοινωνίας, καὶ δεῖ αὐτὸν κοινωνεῖν. Εἰ γὰρ ἴδῃ ὁ πονηρὸς οὕτω κατορθούμενον τὸ μὴ μετέχειν αὐτὸν τῶν ἁγιασμάτων, οὐ παύσεται ἐπιβουλεύων τῷ ἀνθρώπῳ, ὁσάκις ἂν γνῷ αὐτὸν θέλοντα μεταλαβεῖν.

ΣΥΝΟΨ. Ὁ ὀνειρασθεὶς, εἰ μὲν ἐξ ἔρωτος, οὐ μεταλήψεται· εἰ δὲ πειρασμῷ δαιμονικῷ, μεταλήψεται, ἵνα μὴ δῶμεν χώραν τῷ σατανᾷ τῶν ἁγιασμάτων εἴργειν ἡμᾶς.

*Ἐρώτησις ΙΓ'.*

Τοῖς ζευγνυμένοις εἰς γάμου κοινωνίαν, περὶ ποίων ἡμερῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ, ἀπέχεσθαι τῆς πρὸς ἀλλήλους κοινωνίας, καὶ ποίας ἔχειν ἐπ' ἐξουσίας;



*Ἀπόκρισις.*

Ὃ προείρηκα(1) καὶ νῦν λέγω. Ὁ Ἀπόστολος λέγει· Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν(2). Ἐξ ἀνάγκης δὲ τὸ σάββατον καὶ τὴν Κυριακὴν ἀπέχεσθαι δεῖ, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Κυρίῳ.

ΣΥΝΟΨ. Τοῖς συνοικοῦσιν ὁ Ἀπόστολος λέγει· Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. Ἐξ ἀνάγκης δὲ σαββάτου καὶ Κυριακῆς ἀφέξονται, διὰ τὸ ἐν ταύταις τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Θεῷ.

*Ἐρώτησις ΙΔ'.*

Ἐάν τις μὴ ἔχων ἑαυτὸν χειρίσηται, ἢ κρημνίσῃ ἑαυτὸν, εἰ γίνεται προσφορὰ ὑπὲρ αὐτοῦ(3), ἢ οὔ;

*Ἀπόκρισις.*

Ὑπὲρ αὐτοῦ (4) διακρίναι ὀφείλει ὁ κληρικὸς, εἰ τὸ ἀληθὲς ἐκφρενὴς ὢν πεποίηκε τοῦτο. Πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες ἐπιτυχεῖν(5) τῆς προσφορᾶς, καὶ τῆς ὑπὲρ αὐτοῦ εὐχῆς, καταψεύδονται, καὶ λέγουσιν, ὅτι οὐκ εἶχεν ἑαυτόν. Ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων, ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποίηκε(6) τοῦτο, καὶ οὐ χρὴ προσφορὰν ἐπάνω αὐτοῦ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστί. Δεῖ οὖν πάντως τὸν κληρικὸν μετ' ἀκριβείας ἐρευνῆσαι, ἵνα μὴ ὑπὸ κρίμα πέσῃ.

ΒΑΛΣ. Ἐρωτηθεὶς, ὡς εἰ μὴ ἔχων τις ὑγιᾶ τὸν λογισμὸν, ἀλλὰ παρατραπεὶς τὰς φρένας, αὐτόχειρ γένηται ἑαυτοῦ, ἢ κατὰ

(1) Σ. Ρ. — ἄνευ τοῦ, ὃ, οἱ λοιποί. — ἃ Π. — (2) ά, Κορ. Ζ', Б. — (3) Χ. Τρ. Σ. Ρ. — περὶ αὐτοῦ Π. — ἄνευ τοῦ, ὑπὲρ αὐτοῦ, οἱ λοιποί. — (4) ἄνευ τοῦ, ὑπὲρ αὐτοῦ Ξ. Ρ. — (5) Σ. Ρ. Χ. Τρ. — τυχεῖν, οἱ λοιποί. — (6) Π. Χ. Τρ. Σ. Ρ. — πεποιηκέναι Βεύρ. Ε.

κρημνοῦ ὠθήσει ἑαυτὸν, ἐὰν χρὴ ὑπὲρ αὐτοῦ εὐχὴν γενέσθαι ἢ προσφορὰν, εἶπεν, ὅτι ἐὰν ἀληθῶς ἔξω φρενῶν γενόμενος ὁ ἄνθρωπος, καὶ μὴ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτὸν, ἢ ἐκρήμνισεν, ἢ ἄλλως διέφθειρε, γενήσεται ὑπὲρ αὐτοῦ δέησις καὶ πρόσφορά. Δεῖ δὲ τοὺς εἰς εὐχὴν προσκαλουμένους, ἀκριβοῦσθαι περὶ τούτου, μήποτε ἢ ἐκ μικροψυχίας, ἢ ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἄλλως πως, ἑκὼν καὶ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτόν· ὑπὲρ γὰρ τοῦ τοιούτου οὐ δεῖ οὔτε εὔχεσθαι, οὔτε προσφέρειν, ὅτι αὐτοφονευτής ἐστί.

ΣΥΝΟΨ. Ὑπὲρ τοῦ ἀνελόντος ἑαυτὸν οὐκ ἔσται προσφορὰ, εἰ μὴ ταῖς ἀληθείαις ἔκφρων ἦν.

*Ἐρώτησις ΙΕ'.*

Ἐάν τινος γυνὴ πνευματιᾷ, ὥστε καὶ σίδηρα φορεῖν, ὁ δὲ ἀνὴρ λέγει, ὅτι οὐ δύναμαι ἐγκρατεύεσθαι, καὶ θέλει λαβεῖν ἄλλην, εἰ ὀφείλει λαβεῖν ἑτέραν, ἢ οὔ;

*Ἀπόκρισις.*

Μοιχεία μεσολαβεῖ τῷ πράγματι, καὶ περὶ τούτου τί ἀποκρίνασθαι οὐκ ἔχω, οὐδὲ ἐφευρίσκω· κατὰ δὲ πνευματικὴν ἀπόφασιν, οὐκ ὀφείλει (1).

ΒΑΛΣ. Περὶ ἀνδρὸς ἡ ἐρώτησις ἔχοντος γυναῖκα πνευματιῶσαν, ἤγουν πνεύματι πονηρῷ συνεχομένην, καὶ οὕτω μαινομένην, ὡς καὶ σιδήροις δεσμεῖσθαι, ἵνα μὴ ἑαυτὴν ἀπολέσῃ, ἢ καὶ ἑτέρους βλάψῃ, ἢ συνελθεῖν αὐτὸν ἀδύνατον, καὶ λέγοντος, μὴ δύνασθαι σωφρονεῖν, θέλοντός τε λαβεῖν γυναῖκα ἑτέραν νομίμως. Ἡ δὲ ἀπόκρισις, ὅτι οὐ δύναμαί τι εἰπεῖν· μοιχεία γάρ ἐστι τὸ ἔτι συνισταμένου τοῦ γάμου ἑτέραν ἀγαγέσθαι τὸν ἄνδρα γυναῖκα εἰς συμβίωσιν. Ἐκ δὲ τῆς νεαρᾶς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου, δέδοται τῷ ἀνδρὶ μαινομένης διηνεκῆ μανίαν τῆς γυναικὸς, λύειν τὸν γάμον· τοῦ δὲ γάμου λυθέντος, ἔξεστι τῷ ἀνδρὶ ἑτέραν νομίμως εἰσοικίσασθαι (2).

(1) Σ. Ρ. — κατὰ δὲ πνευματικὴν ἀπόφασιν οὐκ ὀφείλει, οὐ κεῖται παρ' ἄλλοις, εἰ μὴ λατιν. παρὰ Ε. — (2) Νεαρ. Λέοντ. ριά.



ΣΥΝΟΨ. Ὁ δαιμονῶσαν ἔχων, ἄλλην οὐ λήψεται.

*Ἐρώτησις Ιϛ'.*

Ἐὰν νηστεύων τις ἐπὶ τῷ κοινωνῆσαι, νιπτόμενος τὸ στόμα, ἢ ἐν τῷ βαλανείῳ κατέπιεν ὕδωρ μὴ θέλων, εἰ ὀφείλει κοινωνῆσαι;

*Ἀπόκρισις.*

Ναί· ἐπεὶ εὑρὼν ὁ σατανᾶς ἀφορμὴν τοῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, συχνότερον τοῦτο ποιήσει.

*Ἐρώτησις ΙΖ'.*

Συχνῶς ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ μὴ ποιοῦντες, ἆρα ὑπὸ κατάκρισιν ἐσμέν;

*Ἀπόκρισις.*

Εἰ καὶ μὴ ποιοῦμεν, ἀλλ' οὐκ ἐνδέχεται μὴ μέμφεσθαι ἑαυτοὺς, ὅτι ἀκούοντες παρακούομεν. Μέρος δὲ σωτηρίας ἐστὶ, καὶ τὸ μέμφεσθαι ἑαυτούς.

*Ἐρώτησις ΙΗ'.*

Ἐκ ποίας χεῖρας κρίνονται παρὰ Θεοῦ τὰ ἁμαρτήματα;

*Ἀπόκρισις.*

Πρὸς τὴν γνῶσιν καὶ τὴν φρόνησιν ἑκάστου, οἱ μὲν ἀπὸ δεκαετοῦς (1) χεῖρας, οἱ δὲ καὶ μείζονος.

ΒΑΛΣ. Πρὸς τὴν γνῶσιν ἑκάστου, καὶ τὸ φρόνημα, ἔφη κρίνεσθαι τῷ Θεῷ τὰ ἁμαρτήματα. Οἱ μὲν γὰρ ὀξυτέρας φύσεως ὄντες τῶν παίδων καὶ μᾶλλον ἐγρηγορυίας, συντομώτερον διακρίνουσι τὸ καλὸν καὶ τὸ χεῖρον· οἱ δὲ νωθροτέρας τυχόντες καὶ ἀναπεπτωκυίας ἕξεως, βραδεῖς εἰσι πρὸς τὴν γνῶσιν τοῦ δέοντος· διὸ τοῖς μὲν, ἀπὸ δεκάτου (2) ἐνιαυτοῦ τῆς ἡλικίας αὐτῶν λογίζεσθαι εἶπε τὰ ἁμαρτήματα, τοῖς δὲ, ἐκ μείζονος καὶ τελεωτέρας.

(1) δωδεκαετοῦς Χ. Τρ. — (2) ἀπὸ δωδεκάτου Χ. Τρ. Ε.

# ΘΕΟΦΙΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΠΡΟΣΦΩΝΗΣΙΣ, ΤΩΝ ΑΓΙΩΝ ΘΕΟΦΑΝΕΙΩΝ ΕΠΙΣΤΑΝΤΩΝ ΕΝ ΚΥΡΙΑΚΗ.

### Κανὼν Α'(1).

ΚΑΙ τὸ ἔθος, καὶ τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ πᾶσαν Κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδή περ ἐν ταύτῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκ νεκρῶν Ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε· διὸ ἐν ταῖς ἱεραῖς Γραφαῖς καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα, καὶ ὀγδόη, ἅτε δὴ ὑπερανα6ε6ηκυῖα (2) τὸν τῶν Ἰουδαίων σα66ατισμόν. Ἐπεὶ οὖν συνέ6η τὴν τῶν ἁγίων Θεοφανείων νήστιμον ἡμέραν εἶναι, ταύτην οἰκονομήσωμεν, καὶ πρὸς ἑκάτερον ἐπιστημόνως χωρήσωμεν· ἵνα μεταλαμ6άνοντες ὀλίγων φοινίκων, ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέραν, καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένοντες τὴν ἑσπερινὴν σύναξιν, ἥτις ἐνταῦθα, Θεοῦ θέλοντος, τελεῖται(3). Συναχθῶμεν τοίνυν ἀπὸ ὥρας ἐννάτης ἐνταῦθα.

---

ΣΥΝΟΨ. Ἡ Κυριακὴ ἡμέρα τιμᾶται καὶ πανηγυρίζεται διὰ τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος Ἀνάστασιν, καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς, καὶ ὀγδόη, ὡς ὑπεραναβᾶσα τὸν τῶν Ἰουδαίων σα66ατισμόν. Ἐπεὶ δὲ ταύτῃ συνέδραμεν ἡ τῶν Θεοφανείων νήστιμος, οἰκονομήσωμεν ἐπιστημόνως, καὶ μεταλαβόντες ὀλίγων φοινίκων εἰς τιμὴν τῆς ἀναστασίμου, περιμείνωμεν τὴν ἑσπερινὴν σύναξιν, καὶ περὶ ὥραν ἐννάτην συναχθῶμεν.

---

(1) ἄνευ ἀριθμοῦ ἐν Σ. Ρ. — (2) Π. Χ. Τρ. Σ. Ρ. — ὑπερβεβηκυῖα, οἱ λοιποί. — (3) ἐπιτελεῖται Σ. Ρ.



# ΤΟΥ ΑΥΤΟΥ

## ΥΠΟΜΝΗΣΤΙΚΟΝ, ΟΠΕΡ ΕΛΑΒΕΝ ΑΜΜΩΝ ΔΙΑ ΤΗΝ ΛΥΚΩ.

### Κανὼν Β'(1).

ΠΕΡΙ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς, καὶ μέχρι τοῦ νῦν τὰς ἐκκλησίας κατεχόντων, ὡς ἔχει τὸ ἔθος γινέσθω. Οὕτω μέν τοι, ὥςε ἑτέρους καταστῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ, κἀκείνους αὐλίζεσθαι(2)· οὕτως οἰκονομουμένων καὶ τούτων, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν τῇ Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι, οἱ καταστάντες παρὰ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν, εἴ γε γνώμῃ ἑαυτῶν πεποιήκασι τοῦτο. Εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, αὐλιζέσθωσαν (3) ὡς μὴ(4) ἐπεγνωκότες τὸ εὔλογον(5). Καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποποιοῦνται μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μετ' ἐκείνων οἷς κεκοινωνήκασι, ταύτης καὶ οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ᾗ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ὀρθόδοξοι ἐπίσκοποι.

---

ΣΥΝΟΨ. Οἱ κοινωνήσαντες τοῖς Ἀρειανοῖς καὶ μέχρι νῦν τὰς ἐκκλησίας κατέχοντες, ἐξωσθήτωσαν, ἄλλων ἀντικαταστάντων, ὀρθοδόξων δηλονότι. Ὀρθόδοξοι δὲ ἐπίσκοποι οἱ καταστάντες παρὰ Ἀπόλλωνος ἐπισκόπου, κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν, εἰ ἀφ' ἑαυτῶν τοῦτο πεποιήκασιν· εἰ δὲ γνώμῃ τοῦ ἐπισκόπου, αὐλιζέσθωσαν, ὡς μὴ ἐπεγνωκότες τὸ εὔλογον. Κἂν μὲν ἀποποιῶνται ὑπὸ τῶν λαῶν, ἄλλοι χειροτονείσθωσαν· ἐὰν δὲ στέργωνται, κρατείτω ἡ ἐν Θηβαΐδι σύνοδος.

---

(1) Καν. Α'. ἐν Σ. Ρ. — (2) ἀλίζεσθαι Σ. Ρ. — (3) ἀλιζέσθωσαν Σ. Ρ. — (4) καὶ μὴ Βενετ. Ἐ. — (5) τὸ ἄλογον Ω.

## Κανὼν Γ'.

Περὶ Βίστου καταστάντος ἐν Ἐρέβῃ πρεσβυτέρου, ζητητέον· καὶ εἰ μὲν ἀποταξαμένην τινὰ ζῶντος τοῦ ἀνδρὸς ἐβιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος, ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν. Οὐ φέρει δὲ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας αὐτὸν κατέστησε, τῆς ἁγίας συνόδου κελευσάσης, τοὺς ἀναξίους μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἐγκλήματι ἐκβάλλεσθαι.

---

ΒΑΛΣ. Ὁ Βίςος παρὰ Ἀπόλλωνος ἐπισκόπου κατέςη πρεσβύτερος ἐν Ἐρέβῃ· χώρα δὲ αὕτη Αἰγυπτίων ἐστὶν, ὥσπερ καὶ ἡ Λυκώ. Ἐλέγετο δὲ περὶ ἐκείνου, ὅτι πρὸ τῆς χειροτονίας γυναῖκα ἐβιάσατο ἀποταξαμένην ἔτι ζῶντος τοῦ ἀνδρός. Περὶ τούτου οὖν ἐρωτηθεὶς ὁ Θεόφιλος ἔφη, ὅτι ἐρευνηθήτω, καὶ εἰ ἀληθές ἐστι τὸ βιάσασθαι αὐτὸν τὴν γυναῖκα, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος· πῶς γὰρ εἴη ἂν πρεσβύτερος, ὃς οὐδὲ λαϊκὸς συγχωρεῖται εἰσιέναι εἰς ἐκκλησίαν, ἀφοριζόμενος διὰ τὸ ἁμάρτημα; ἐξωθεῖ γὰρ τοὺς τοιούτους ἡ ἐκκλησία, καὶ χωρίζει ἀπὸ τῶν πιςῶν. Τοῦτο δὲ οὐ κανονικῶς τῷ Θεοφίλῳ εἴρηται· ὅ,τε γὰρ τῶν ἁγίων Ἀποστόλων κέ. κανὼν, καὶ ὁ τοῦ μεγάλου Βασιλείου γ'. καὶ ὁ λβ'., καὶ ὁ τῆς ἐν Καρθαγένῃ κζ'. τοὺς κληρικοὺς ἁμαρτήσαντας καὶ καθαιρεθέντας, τῆς κοινωνίας οὐκ ἀπείργουσι. Τὸ δὲ χειροτονηθῆναι αὐτὸν οὐ φέρει βλάβην τῷ χειροτονήσαντι αὐτὸν ἐπισκόπῳ ἐξ ἀγνοίας τοῦ ἁμαρτήματος· ἡ γὰρ σύνοδος ὥρισε τοὺς ἐλεγχομένους ἐπὶ ἐγκλήμασι, καὶ μετὰ τὴν χειροτονίαν ἐκβάλλεσθαι· τοῦτο δὲ τῆς ἐν Νικαίᾳ συνόδου πρώτης ἐστὶ κανὼν ἔννατος. Τὸ δὲ ἀποταξαμένην ζῶντος τοῦ ἀνδρὸς, τοῦ φάκτου ἐστὶ, διὰ τοῦτο καὶ τὸ, τινὰ, πρόκειται, ὥσπερ καὶ τὸ, ἐβιάσατο· κἂν γὰρ ἁπλῶς ἄλλῃ συνεφθάρῃ γυναικὶ καὶ μὴ ἀποταξαμένῃ, καὶ οὕτως ἡ καθαίρεσις αὐτῷ ἐπήγετο, κἂν μὴ ἐβιάσατο αὐτήν.

ΣΥΝΟΨ. Βίστος, εἰ ἐβιάσατο τὴν ἀποταξαμένην ζῶντος τοῦ



ἀνδρὸς, μήτε πρεσβύτερον εἶναι συγχωρείσθω, μήτε ὡς λαϊκὸς συναγέσθω.

## Κανὼν Δ'.

Περὶ δὲ Σοὺρ, ἐπειδὴ ὁ ἐπίσκοπος Ἀπόλλων διεβεβαιώσατο καὶ ἀπεσταλκέναι τοῦτον, καὶ ἀλλότριον τῆς ἐκκλησίας πεποιηκέναι, ἔστω οὕτως ὡς ἀπεφήνατο ὁ ἐπίσκοπος, χρωμένου ἐκείνου ταῖς οἰκείαις δικαιολογίαις, εἴ γε βούλεται καὶ μέμφεται τὴν ἀπόφασιν τοῦ ἐπισκόπου.

---

ΒΑΛΣ. Κληρικὸς ἦν ὁ Σοὺρ τοῦ ἐπισκόπου Ἀπόλλωνος· ὃν ὁ ἐπίσκοπος αὐτοῦ ἀπεσταλκέναι τοῦ κλήρου διεβεβαιώσατο, ἀντὶ τοῦ, ἐκβεβληκέναι. Ἔστω οὖν, φησὶ, κατὰ τὴν ἐπ' αὐτῷ κρίσιν τοῦ ἐπισκόπου, τοῦ κλήρου ἀλλότριος· εἰ δὲ αἰτιᾶται τὴν τοῦ ἐπισκόπου ἀπόφασιν, χράσθω ταῖς οἰκείαις δικαιολογίαις παρὰ τῇ συνόδῳ πάντως ἐξ ἧς ἦν καὶ ὁ ἐπίσκοπος.

ΣΥΝΟΨ. Σοὺρ, ἀλλότριος τοῦ κλήρου γεγονὼς ὑπὸ τοῦ ἐπισκόπου Ἀπόλλωνος, οὕτως ἔστω. Εἰ δὲ τὴν ἀπόφασιν αἰτιᾶται, δικαιολογείσθω.

## Κανὼν Ε'.

Περὶ δὲ Πανοὺφ τοῦ καταστάντος διακόνου ἐν τῇ Λυκῷ, δεῖ(1) ζητῆσαι· καὶ εἰ μὲν εὑρεθείη οὗτος ἔτι κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον ἀχθεὶς, μενέτω ἐν τῷ κλήρῳ, εἴ γε κεκοίμηται ἐκείνη, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐκοινώνησεν αὐτῇ. Εἰ δὲ πιςὸς τυγχάνων τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν ἐδέξατο, ἔστω τοῦ κλήρου ἀλλότριος· οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ φέρει Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν.

---

ΒΑΛΣ. Ὁ Πανοὺφ ἐλέγετο, πρὸ τοῦ βαπτισθῆναι, τὴν οἰκείαν ἀδελφιδῆν εἰς γυναῖκα λαβεῖν· βαπτισθεὶς δὲ ἐκεχειροτόνητο διά-

---

(1) Ἐ. Βαυσρ. — χρὴ Π. — ἄνευ τοῦ, δεῖ, Χ. Γρ. Σ. Ρ.

κανος. Λέγει οὖν ὁ Θεόφιλος, ὅτι ἐὰν ἡ γυνὴ ἐτελεύτησε, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐχρήσατο αὐτῇ, μενέτω διάκονος, ὡς τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου καθάραντος ἁμαρτήματα· εἰ δὲ πιςὸς ὤν, ἤγουν μετὰ τὸ βάπτισμα ἔσχεν αὐτήν, ἐκβληθήτω τοῦ κλήρου· τῷ δὲ ἐξ ἀγνοίας αὐτὸν χειροτονήσαντι, ἐκ τούτου βλάβη οὐ προσγενήσεται. Τὸ δὲ, εἰ κεκοίμηται ἡ γυνὴ, εἶπεν, ὡς οὕτω συμβεβηκέναι λεγόμενον· ἐπείτοι γε κἂν ζῶσα ἦν, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἔγνω αὐτὴν ὁ Πανοὺφ, ἀλλὰ καὶ ἀπεπέμψατο αὐτήν, ἠδύνατο καὶ οὕτως εἶναι διάκονος.

ΣΥΝΟΨ. Πανοὺφ, εἰ ἔτι κατηχούμενος τὴν ἀδελφιδῆν πρὸς γάμον ἔλαβε, μετὰ δὲ τὸ βάπτισμα κεκλήρωται, μενέτω ἐν τῷ κλήρῳ, εἴπερ ἐκείνη κεκοίμηται, καὶ μετὰ τὸ βάπτισμα εἰ οὐκ ἔσχεν αὐτήν· εἰ δὲ πιστὸς τυγχάνων ἔλαβε, τοῦ κλήρου ἀλλότριος ἔσται.

## Κανὼν ς'.

Περὶ Ἰακὼβ χρὴ ζητῆσαι, εἰ ἀναγνώστης ὤν, ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα κεχειροτόνηται, οὗτος ἐκβαλλέσθω, ἀκριβοῦς ἐξετάσεως γενομένης, καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης. Εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ· οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

---

ΒΑΛΣ. Ἰακὼβ τις ἀναγνώστης ἐλέγετο εἶναι· καὶ ἐπὶ πορνείᾳ διαβληθῆναι, καὶ ἐκβληθῆναι τοῦ κλήρου· εἶτα εἰς μείζονα χειροτονηθῆναι βαθμόν. Γράφει οὖν ὁ Θεόφιλος, ὅτι ἐξετάσεως ἀκριβοῦς γενομένης, ἐὰν εὑρεθῇ ἡμαρτηκώς, ἐκβληθήτω τοῦ κλήρου· οὐ δεῖ γὰρ ἐκ ψιθυρισμῶν, ἤτοι λαθραίας καταλαλιᾶς, ἢ κακολογιῶν, ἤτοι λοιδοριῶν φανερῶν ὑποψίας γενομένης, κατακρίνεσθαί τινα· εἰ δὲ τῆς ὑποθέσεως ἐξεταζομένης ἀνεύθυνος εὑρεθείη, μενέτω ἐν τῷ κλήρῳ.

ΣΥΝΟΨ. Ἰακὼβ, εἰ ἀναγνώστης ὢν πεπόρνευκε, καὶ παρὰ τῶν πρεσβυτέρων ἐκβληθεὶς, αὖθις ἐχειροτονήθη, ἐκβαλέσθω ἐλεγχθείς· εἰ δὲ μὴ, μενέτω ἐν τῷ κλήρῳ· ματαίαις γὰρ οὐ δεῖ προσέχειν διαβολαῖς.



## Κανὼν Ζ'.

Περὶ τῶν ὀφειλόντων(1) χειροτονεῖσθαι, οὗτος ἔστω (2) τύπος, ὥστε πᾶν τὸ ἱερατεῖον συμφωνεῖν καὶ αἱρεῖσθαι, καὶ τότε τὸν ἐπίσκοπον δοκιμάζειν, καὶ (3), συναινοῦντος αὐτῷ τοῦ ἱερατείου, χειροτονεῖν ἐν μέσῃ τῇ ἐκκλησίᾳ, παρόντος τοῦ λαοῦ καὶ προσφωνοῦντος τοῦ ἐπισκόπου, εἰ καὶ ὁ λαὸς δύναται αὐτῷ μαρτυρεῖν. Χειροτονία δὲ λαθραίως μὴ γινέσθω· τῆς γὰρ ἐκκλησίας εἰρήνην ἐχούσης, πρέπει παρόντων(4) τῶν ἁγίων τὰς χειροτονίας ἐπὶ τῆς ἐκκλησίας γίνεσθαι. Ἐν δὲ τῇ ἐνορίᾳ, εἰ μὲν κοινωνήσαντές εἰσί τινες ταῖς τῶν κοινωνησάντων γνώμαις, μὴ ἄλλως χειροτονείσθωσαν, ἀλλὰ τῶν ἀληθῶς ὀρθοδόξων κληρικῶν δοκιμαζόντων, παρόντος πάλιν τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος παρόντι τῷ λαῷ, μόνον ἵνα μὴ περιδρομή τις γένηται (5).

---

ΒΑΛΣ. Περὶ τῶν μελλόντων χειροτονεῖσθαι ἐν κλήρῳ, δίδωσι τύπον, καί φησιν, ὅτι δεῖ τὸν μέλλοντα χειροτονεῖσθαι, παρὰ παντὸς τοῦ ἱερατείου αἱρεῖσθαι, ἀντὶ τοῦ, προκρίνεσθαι συμφώνως· οὕτω δὲ προκριθέντα, τότε δοκιμάζεσθαι αὐτὸν παρὰ τοῦ ἐπισκόπου· καὶ ὅτε κἀκείνῳ δόξει ὁ ἄνθρωπος ἐπιτήδειος εἰς χειροτονίαν, τότε χειροτονεῖν(6), συναινέσει τοῦ ἱερατείου, παρόντος καὶ τοῦ λαοῦ. Διὰ τί δ' εἶπε, χειροτονεῖν αὐτὸν συναινέσει τοῦ ἱερατείου; Ἐπεὶ γὰρ ἐξελέγη παρὰ τοῦ ἱερατείου, ἡ ἐπὶ τῇ χειροτονίᾳ συναίνεσις δοκεῖ μὴ ἀναγκαία εἶναι· ἀλλ' εἰκὸς καιρόν τινα μετὰ τὴν ἐκλογὴν παρελθεῖν, καὶ ἐν τῷ μέσῳ γνῶναί τι τοὺς προκρίναντας τὸν μέλλοντα χειροτονηθῆναι κωλύον αὐτῷ τὴν χειροτονίαν. Διὰ τοῦτο οὖν συναινεῖν αὐτοὺς καὶ χειροτονουμένου(7) αὐτοῦ εἶπε, καὶ τὸν ἐπίσκοπον καὶ τότε προσφωνεῖν τῷ λαῷ ἐρωτῶντα, εἰ μαρτυρεῖ αὐτὸν πρὸς χειροτονίαν

(1) τῶν μελλόντων Π Ἐ. Βευερ. — (2) ἔσται Χ. Τρ. — (3) ἢ καὶ, Βευερ. Ε. — (4) πρέπει πάντων, Χ Ρ. — (5) ἵνα μὴ μέσον περιδρομή τις γένηται. Βευερ. — μόνον εἰ μὴ παραδρομή τις Π — μόνον εἰ μὴ περιδρομή τις Ἐ. — (6) Χ. Τρ. — χειροτονεῖσθαι Βευερ. Ἐ. — (7) Χ. Τρ. — κεχειροτονουμένου Ἐ. Βευερ.

ἄξιον. Λαθραίας δὲ χειροτονίας γίνεσθαι ἀποτρέπει. Ἐπεὶ γὰρ, φησὶν, εἰρήνη ἐστὶ παρὰ τῇ ἐκκλησίᾳ, ἤγουν, ἐπεὶ νῦν οὐ μεμέρισται ὁ λαὸς, παυθεισῶν τῶν αἱρέσεων, ἀλλὰ πάντες τῆς ὀρθοδόξου μοίρας εἰσὶ, πάντες μιᾶς ἔσονται γνώμης, καὶ διὰ παρουσίας τῶν ἁγίων, ἤτοι τῶν πιστῶν, τὰς χειροτονίας γίνεσθαι ἐπ' ἐκκλησίας· ἁγίους δὲ, τοὺς πιστοὺς ἐκάλεσεν, ἐκ τοῦ θεσπεσίου Παύλου τοῦτο παραλαβών· οὕτω γὰρ κἀκεῖνος ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ τοὺς πιστοὺς ὀνομάζει(1). Ταῦτα μὲν οὖν περὶ τῶν ἐν πόλεσιν ὄντων ἔοικε λέγειν. Περὶ δὲ τῶν ἐν τῇ ἐνορίᾳ, ἤτοι τῶν ἐν τῇ χώρᾳ, φησὶν, ὅτι, ἐπεὶ πολλοὶ τοῖς αἱρετικοῖς ἐκοινώνουν καὶ ἄκοντες, τῶν τοιούτων δὲ πολλοὶ τῶν πιστῶν ἐκοινώνουν ταῖς γνώμαις, ἤγουν συγκατέβαινον, καὶ συνῄνουν, εἰ ἐκ τούτων μέλλει τις χειροτονεῖσθαι εἰς τὸν κλῆρον, μὴ ἄλλως χειροτονεῖσθαι, εἰ μὴ μετὰ δοκιμασίας τῶν ὁμολογουμένως ὀρθοδόξων κληρικῶν, παρόντος καὶ τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος τῷ λαῷ, ὡς ἄνωθεν εἴρηται. Ταῦτα δὲ λέγει γίνεσθαι, ἵνα μὴ μέσον(2) γένηταί τις περιδρομὴ, ἤγουν ἀπάτη καὶ συναρπαγὴ, καὶ χειροτονηθῇ τις μὴ ὑγιῶς ἔχων περὶ τὴν πίστιν.

ΣΥΝΟΨ. Περὶ τῶν ὀφειλόντων χειροτονεῖσθαι, πᾶν τὸ ἱερατεῖον συμφωνείτω· καὶ τότε ὁ ἐπίσκοπος δοκιμαζέτω, καὶ, παρόντος τοῦ λαοῦ καὶ συμμαρτυροῦντος, χειροτονείτω. Χειροτονία δὲ λαθραίως μὴ γινέσθω.

## Κανὼν Η'.

Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανεμέσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ, καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί.

---

ΒΑΛΣ. Εἴ τινα περιττεύουσι τῶν εἰς θυσίαν προσαγομένων παρὰ τῶν πιστῶν, μετὰ τὰ δαπανώμενα εἰς τὰ θεῖα μυστήρια, τοῖς κληρικοῖς δεῖ ταῦτα, φησὶ, διανέμεσθαι, ὥστε παρ' αὐτῶν ἐσθίεσθαι καὶ πίνεσθαι, καὶ παρὰ τῶν πιστῶν λαϊκῶν· τοῖς δὲ κατηχουμένοις μηδὲν ἐξ αὐτῶν δίδοσθαι. Ἐπεὶ γὰρ προσήχθησαν τῷ θυσιαστηρίῳ, καὶ ἐξ αὐτῶν μερίδες ἐλήφθησαν εἰς τὰ θεῖα δῶρα, κἀκεῖνα ἡγιάσθησαν, πῶς ἐκ τούτων τοῖς ἀτελεστέροις (1) δοθήσονται δαπανηθησόμενα; Τὰ δὲ εἰς θυσίαν προσαγόμενα, ἄρτος καὶ οἶνος εἰσίν· ἕτερον γάρ τι προσάγεσθαι εἰς θυσιαστήριον οὐκ ἐφεῖται. Ἀνάγνωθι τὸν γ'. ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τῆς λεγομένης ς'. κανόνα κη'.

ΣΥΝΟΨ. Τὰ προσφερόμενα εἰς θυσίαν, μετὰ τὰ ἀναλισκόμενα οἱ κληρικοὶ διανεμέσθωσαν· κατηχούμενοι δὲ τούτων μὴ γευέσθωσαν, ἀλλὰ πιστοί.

## Κανὼν Θ'.

Ἐπειδὴ Ἱέραξ τόνδε, ὡσανεὶ ἐπὶ πορνείᾳ διαβαλλόμενον, οὐκ ὀφείλειν λέγει ἐν τῷ κλήρῳ εἶναι· ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίσατο, τηνικαῦτα μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξεταζέσθω καὶ οὗτος· καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγκλημα ἀποδείκνυται, φερομένων ἀξιοπίστων μαρτύρων, τῆς ἐκκλησίας ἐκβαλλέσθω· εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

---

ΒΑΛΣ. Ἐχειροτονήθη τις κληρικὸς, εἶτα διεβλήθη ὡς πορνεύσας. Ἔλεγεν οὖν Ἱέραξ τις, μὴ δεῖν αὐτὸν ἐν κλήρῳ εἶναι· ὁ δὲ χειροτονήσας αὐτὸν διϊσχυρίζετο, ἤτοι ἐνίστατο, μὴ κατηγορηθῆναι αὐτὸν παρά τινος. Ἔφη οὖν ὁ Θεόφιλος, ὅτι ἐξεταζέσθω ὁ ἄνθρωπος, καὶ εἰ μὲν εὑρίσκεταί τις κατήγορος πίστεως ἄξιος, ἤγουν δεκτὸς εἰς κατηγορίαν, (οὐ γὰρ παντὶ ἐφεῖται κατηγορεῖν ἱερωμένων κατὰ τὸν ς'. κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, καὶ τὸν κανόνα κά. τῆς δ'. οἰκουμενικῆς συνόδου,* καὶ κατὰ τὸν ρκη'. καὶ τὸν ρκθ'. τῆς ἐν Καρθαγένῃ συνόδου, ) καὶ ἐλέγχεται διὰ μαρτύρων ἀξίων πιστεύεσθαι* (2), ἐκβληθήτω τῆς ἐκκλησίας (3)· εἰ δὲ οὐδὲν τοιοῦτον ἀποδείκνυται, μενέτω ἐν τῷ κλήρῳ.

ΣΥΝΟΨ. Ἱέραξ, ὡς ἐπὶ πορνείᾳ τοῦ κλήρου ἐκβληθεὶς, ἐξε-

(1) α'. Κορ. ς'. 2. — (2) Βευερ. 'Ε. — ἵνα μὴ μόνον Χ. Τρ.

(1) ἀτελέστοις Χ. Τρ. — (2) Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ 'Ε. ἀλλ' ἐν Χ. Τρ. — (3) μετὰ ἀπόδειξιν Βευερ. 'Ε.

τασθήτω· καὶ εἰ μὲν ἀποδειχθείη τὸ ἔγκλημα δι' ἀξιολόγων μαρτύρων, ἐκβεβλήσθω· εἰ δὲ σώφρων μαρτυρηθῇ, μενέτω.

## Κανὼν Ι'.

Ὥστε γνώμῃ παντὸς τοῦ ἱερατείου οἰκονόμον ἀποδειχθῆναι ἕτερον, ἐφ' ᾧ συντέθειται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων, πρὸς τὸ τὰ τῆς ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

---

ΒΑΛΣ. Ὁ αὐτὸς γνώμην δέδωκε, κρίσει παντὸς τοῦ ἱερατείου τὸν οἰκονόμον τῆς ἐπισκοπῆς γίνεσθαι, εἰ καὶ ὁ ἐπίσκοπος συγκατατίθεται τῇ κρίσει τοῦ κλήρου· γίνεσθαι δὲ οἰκονόμον, ἵνα τὰ τῆς ἐκκλησίας εἰς δέον δαπανῶνται φροντίδι ἐκείνου. Τὴν δὲ εἰς δέον δαπάνην, τὸ ἑξῆς δηλοῖ κεφάλαιον, ἥτις ἐστὶ, τὰ εἰς χήρας, καὶ ξένους, καὶ πένητας ἀναλώματα· ἰδιοποιεῖσθαι γὰρ τὰ τῆς ἐκκλησίας τινὶ οὐκ ἐφεῖται, ὅτι ἀφιλάργυρον δεῖ εἶναι τὸν λειτουργὸν τοῦ Θεοῦ, καὶ οὐδὲ εἰς οἰκείαν χρῆσιν τοῖς τῆς ἐπισκοπῆς πράγμασι κεχρῆσθαι τῷ ἐπισκόπῳ συγκεχώρηται, εἰ μὴ εἰς τὰ πάνυ ἀναγκαῖα, καὶ τότε, ὅτε οἴκοθεν οὐκ εὐπορεῖ τούτων ὁ ἐπίσκοπος, κατὰ τὸν μά. κανόνα τῶν ἁγίων Ἀποστόλων. Ζήτει τὰ ἐν ἐκείνῳ γεγραμμένα, καὶ τὸν κδ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΣΥΝΟΨ. Παντὸς τοῦ ἱερατείου συμφωνοῦντος, ἄλλος οἰκονόμος ἀποδειχθήτω, πρὸς τὸ δεόντως τὰ τῆς ἐκκλησίας ἀναλίσκεσθαι.

## Κανὼν ΙΑ'.

Αἱ χῆραι, καὶ οἱ πένητες, καὶ οἱ παρεπιδημοῦντες ξένοι, πάσης ἀναπαύσεως ἀπολαυέτωσαν· καὶ μή τις τὰ τῆς ἐκκλησίας ἰδιοποιείσθω (1).

---

ΣΥΝΟΨ. Αἱ χῆραι, καὶ οἱ πένητες, καὶ οἱ παρεπιδημοῦντες ξένοι, θεραπευέσθωσαν, καὶ μηδεὶς τὰ τῆς ἐκκλησίας οἰκειούσθω· ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν λειτουργὸν τοῦ Θεοῦ.

---

(1) καὶ μή τις τὰ τῆς ἐκκλησίας ἰδιοποιείσθω, ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν λειτουργὸν τοῦ Θεοῦ, Χ. Τρ.



# ΤΟΥ ΑΥΤΟΥ

## ΑΦΗΓΗΣΙΣ (1) ΠΕΡΙ ΤΩΝ ΛΕΓΟΜΕΝΩΝ ΚΑΘΑΡΩΝ.

## Κανὼν ΙΒ'.

ΔΕΔΗΛΩΚΕ ΜΟΙ ἡ σὴ εὐλάβεια, ὥς τινες τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς, προσελθεῖν βούλονται τῇ ἐκκλησίᾳ. Ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων Πατέρων ἡμῶν ὥρισεν, ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον, τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ ἐκκλησίᾳ, χειροτονεῖν, εἴ γε ὁ βίος αὐτῶν ὀρθός ἐστι καὶ μηδὲν τούτοις ἀντίκειται.

---

ΒΑΛΣ. Περὶ τῶν Ναυατιανῶν ἠρωτήθη, (οὗτοι γάρ εἰσιν οἱ λεγόμενοι Καθαροὶ) καὶ ἀπεκρίθη, ὅτι εἰ προσέρχονται τῇ ἐκκλησίᾳ, ἐπεὶ ἡ μεγάλη σύνοδος ἡ ἐν Νικαίᾳ, ἤγουν ἡ πρώτη, ὥρισε χειροτονεῖσθαι αὐτοὺς, ποίει καὶ σὺ κατὰ τὸν τύπον, ἤτοι κατὰ τὸν κανόνα τοῦτον, καὶ χειροτόνει τοὺς προσερχομένους, εἰ μή τι κώλυμα ἀπὸ τοῦ βίου αὐτῶν αὐτοῖς ἐναντιοῦται. Ὁ δὲ περὶ τῶν Ναυατιανῶν κανὼν, ὄγδοός ἐστι τῆς πρώτης συνόδου.

ΣΥΝΟΨ. Τοὺς ὑπὸ τῶν λεγομένων Καθαρῶν προσιέναι μέλλοντας τῇ ἐκκλησίᾳ, θέλησον χειροτονῆσαι κατὰ τὸ δόξαν τοῖς ἐν Νικαίᾳ, εἰ ὁ βίος τούτων ὀρθὸς εἴη, καὶ μηδὲν ἀντίκειται.

---

(1) Ὁ Κανὼν οὗτος ἐν Π. ἐπιγράφεται οὕτω· Τοῦ αὐτοῦ Ἀφυγγίῳ ἐπισκόπῳ περὶ τῶν λεγομένων Καθαρῶν. — Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἀφύγγιον ἐπίσκοπον ἐπιστολῆς. Σ. Ρ.

# ΤΟΥ ΑΥΤΟΥ

## ΑΓΑΘΩΝΙ ΕΠΙΣΚΟΠΩ.

### Κανὼν ΙΓ'.

Ἀγνοῶν τοὺς τῆς ἐκκλησίας νόμους Μάξιμος, δυσχυρίσατο παρανόμῳ συμβιώτει συνῆφθαι. Καὶ ἐπειδὴ θορυβεῖ αὐτὸν τὸ ἀσύνακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφώνου ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, κἀκείνης ἀγαπώσης τοῦτο. Ἐὰν τοίνυν δοκιμάσῃς, ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφώνου, καὶ μὴ ἀπατῶσιν, ἐπειδὴ δεκαέτης ἐστὶ χρόνος, εἰ σκοπεῖς μετὰ κατηχουμένων αὐτοὺς συνάγεσθαι τέως, οὕτω διοίκησον. Εἰ δὲ συνορᾷς, ὅτι ἀπατῆσαι βούλονται, καὶ δεῖται τὰ κατ' αὐτοὺς ἔτι στύψεως, ὅπερ ὁ Θεὸς ὑποβάλλει σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος· ἐπὶ γὰρ τῶν τόπων τυγχάνων, τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

ΒΑΛΣ. Μάξιμός τις, ὡς παρανόμῳ γάμῳ συναφθεὶς γυναικί, ἀφωρίσθη, καὶ τῆς συνάξεως τῆς μετὰ τῶν πιστῶν εἴργετο. Ὁ δὲ ἔλεγεν, ὅτι ἐν ἀγνοίᾳ ἐποίησε τὸ παράνομον, καὶ ἕτοιμός ἐστιν ἀποστῆναι τοῦ γάμου, τοῦτο καὶ τῆς γυναικὸς βουλομένης, καὶ ἐζήτει ἀφισταμένης δεχθῆναι. Πρὸς ταῦτα οὖν ἔφη ὁ Θεόφιλος, ὡς ἐὰν ἐξετάσας εὑρήσῃς, ὅτι ἐκ συμφώνου, ἀντὶ τοῦ, ἐκ κοινῆς βουλῆς, ἀφίστανται τοῦ γάμου, καὶ οὐκ ἀπατῶσι, δεκαετίαν συνοικήσαντες ἀλλήλοις, * τὸν δὲ χρόνον τῆς συνοικήσεως προσέθετο, δηλῶν ὅτι, ἐπεὶ τοσοῦτον χρόνον συνεβίουν ἀλλήλοις*, (1) δυσχερὲς ἴσως ἂν λογίζοιτο αὐτοῖς ἡ διάζευξις, καὶ μήποτε ἀπατῶσιν, εἰ σκοπεῖς, ἀντὶ τοῦ, εἰ κρίνεις μετὰ τῶν κατηχουμένων αὐτοὺς ἵστασθαι τέως, ἤγουν πρὸς τὸ παρόν, οὕτως αὐτοὺς (2) οἰκονόμησον. Εἰ δὲ νοεῖς, φησίν, ὅτι κατὰ ἀπάτην λέγουσι ταῦτα, καὶ ὅτι ἔτι δέονται στύψεως, ἤτοι αὐστηροτέρων ἐπιτιμίων, ποίησον ὅπερ ἂν ὁ Θεὸς ὑποβάλῃ σοι, ἀντὶ τοῦ, ἐνηχήσῃ τῷ λογισμῷ σου, ὅπερ ὁ Θεὸς ἐνθυμήσῃ σε, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος, ἤγουν πρὸς τὸ ἐπικρατοῦν, ἢ τὸ κατεπεῖγον.

ΣΥΝΟΨ. Μάξιμον ἐπαγγελλόμενον ἀποσχέσθαι ἐκ συμφωνίας τῆς παρανόμως βιούσης, εἰ γνῷς μὴ πρὸς ἀπάτην ἀλλ' ἐκ συμφωνίας τοῦτο ποιοῦντας, συναγέσθωσαν μετὰ τῶν κατηχουμένων, εἰ καὶ σοὶ δοκεῖ. Εἰ δέ τι δεῖται τὰ κατ' αὐτοὺς στύψεως, ὡς συνορᾷς, οὕτω ποίησον· ἐπὶ τῶν τόπων γὰρ ὤν, μᾶλλον τὰς γνώμας αὐτῶν εἰδέναι δύνασαι.

(1) Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἐ. ἀλλ' ἐν Χ. Τρ. — (2) Χ. Τρ. — αὐτὸν Βευερ. Ἐ.

## ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΑι ΕΠΙΣΚΟΠΩ.

### Κανὼν ΙΔ' (1).

ΝΟΜΙΜΟΝ πρᾶγμα πεποιήκασιν οἱ πρεσβύτεροι ἐν Γεμίνῳ τῇ κώμῃ, εἰ ἀληθεύει ἡ κομίζουσα τὸ γράμμα Εὐσταθία(2)· φάσκει γὰρ, ὅτι Κυράδιον ἀδικοῦσαν καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν, ἐχώρισαν τῆς συνάξεως. Ἐπειδὴ τοίνυν εὗρον, ὡς τὸ ἑαυτῆς κακὸν θεραπεύσασα βούλεται συναχθῆναι, θέλησον παρασκευάσαι αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, καὶ πεῖσαι μετανοῆσαι, ἵν' οὕτως, εἰ συνίδοις, ὅτι νόμῳ Θεοῦ προσέρχεται τῆς συνάξεως ὀρεγομένη, ἐπιτρέψῃς αὐτῇ μετὰ τῶν λαῶν συνάγεσθαι.

ΒΑΛΣ. Γυναῖκά τινα Κυράδιον λεγομένην καὶ ἀδικοῦσαν, οἱ ἐν Γεμίνῳ πρεσβύτεροι ἀφώρισαν τῆς ἐκκλησίας, μὴ ἀπεχομένην τῆς ἀδικίας· ἡ δὲ, διὰ τὸν ἀφορισμὸν, ὑπισχνεῖτο θεραπεῦσαι τὴν ἀδικίαν, καὶ ἤθελε δεχθῆναι. Γράφει οὖν ὁ Θεόφιλος πρὸς τὸν τῆς χώρας ἐπίσκοπον, ὅτι παρασκεύασον αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, ἤγουν ἀποδοῦναι ἃ ἀδίκως ἐκτήσατο, καὶ μετανοῆσαι, ἀντὶ τοῦ, ἐπὶ τῇ ἁμαρτίᾳ τῆς ἀδικίας μεταμεληθῆναι, καὶ δεηθῆναι τοῦ Θεοῦ ἀφεθῆναι αὐτῇ τὸ ἁμάρτημα· καὶ ταῦτα ποιησάσης αὐτῆς, εἰ συνίδοις, τουτέστι γνῷς, ὅτι νόμῳ Θεοῦ προσέρχεται, ἤγουν ἀγαθῇ συνειδήσει, μὴ ἀνεχομένη κεχωρίσθαι τῆς τῶν πιστῶν συνάξεως, διὰ τὸν Θεὸν, καὶ μὴ δι' αἰσχύνην ἀνθρώπων, τότε ἐπιτρέψεις (3) αὐτῇ τὴν μετὰ τῶν πιστῶν λαῶν σύναξιν καὶ σύστασιν ἐν τοῖς ὕμνοις.

ΣΥΝΟΨ. Οἱ ἐν Γεμίνῳ πρεσβύτεροι, Κυραδίαν ἀδικοῦσαν, καὶ τὴν ἀδικίαν ἀναστεῖλαι μὴ θέλουσαν, νομίμως ἐχώρισαν τῆς συνάξεως. Εἰ οὖν ἀπόθηται τὴν ἀδικίαν, συναγέσθω.

(1) ἐν Σ. Ῥ. καὶ παρὰ Βευερ. ἄνευ ἀριθμοῦ κανόνος· ἐν δὲ Σ. Ῥ. ὑπάρχει ἡ ἑξῆς ἐπιγραφή· Περὶ λαϊκῶν διὰ ἀδικίαν ἀκοινωνήτων γινομένων· καὶ περὶ τοῦ μὴ διδάσκειν λαϊκούς. — (2) Π. Χ. Τρ. — τὸ πρᾶγμα Εὐσταθία Σ. Ῥ. — τὸ γράμμα Εὐσταθοῦς. Βευερ. Ἐ. — (3) Χ. Τρ. — ἐπίτρεψον Βευερ. Ἐ.



# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
# ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
## ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ (1).

### ΚΥΡΙΛΛΟΣ ΠΡΟΣ ΔΟΜΝΟΝ.

### Κανὼν Α'(2).

ΕΚΑΣΤΑ τῶν καθ' ἡμᾶς πραγμάτων, ὅταν εὐθὺ φέρηται κανονικῆς εὐταξίας, οὐδένα μὲν ἡμῖν ἐντίκτει θόρυβον, ἀπαλλάττει δὲ καὶ τῆς παρά τινων δυσφημίας, μᾶλλον δὲ καὶ τὰς παρὰ τῶν εὖ φρονούντων εὐφημίας ἡμῖν προξενεῖ. Τίς γὰρ οὐκ ἂν ἀποδέξαιτο ψῆφον ἀπροσκλινῆ, ἥπερ(3) ἂν γένοιτο παρά τινων; ἢ πῶς τὸ κρίνειν ὀρθῶς καὶ ἐννόμως οὐκ ἀνεπίπληκτον ἔσται, μᾶλλον δὲ παντὸς ἐπαίνου μεστόν; Καὶ ταῦτα γράφω νυνὶ, τῆς σῆς θεοσεβείας ἐν τοῖς ἑαυτῆς γράμμασι, τοῖς σταλεῖσι πρὸς ἐμέ τε καὶ τὸν ὁσιώτατον καὶ θεοφιλέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Πρόκλον, ἐπίσκοπον μὲν ὀνομαζούσης τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον Πέτρον, αὐτοῦ κλαίοντος, καὶ τῆς ἐκνεμηθείσης αὐτῷ ἐκκλησίας παραλόγως κεκινῆσθαι λέγοντος. Ἦν δ' ἀκόλουθον, ἢ τὸ τῆς ἱερωσύνης ὄνομα μετὰ τοῦ πράγματος ἔχειν αὐτὸν, ἤγουν, εἴπερ μὴ ἦν ἄξιος τοῦ προεσπάναι θείου θυσιαστηρίου, μηδ' αὐτῇ τιμᾶσθαι τῇ κλήσει τῆς ἐπισκοπῆς. Ἀλλ' ἴσως δόξειεν ἂν τῇ σῇ θεοσεβείᾳ (4) σκληρὸς εἶναί τις καὶ ἀφιλάλληλος ὁ παρ' ἐμοῦ λόγος· ἔχει δὲ οὐχ οὕτω κατὰ τὸ ἀληθές. Ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην (5), μόνην αὐτῷ τὴν

(1) ἐν τοῖς ὕμνοις. Βευερ. Ἐ. — (2) Π. Σ. Ῥ. — ἄνευ ἀριθμοῦ κανόνος Βευερ. Ἐ. Χ. Τρ. — (3) Χ. Τρ. Σ. Ῥ. Π. — εἴπερ Βευερ. Ἐ. — (4) θεοφιλίᾳ Βευερ. Ἐ. — (5) τὸν πρεσβύτερον Χ. Τρ.

κλῆσιν ἀφέντες. Μακρῷ δὲ ἦν ἄμεινον ἐννοῆσαι καὶ τὸ ἕτερον· φάσκει γὰρ δύνασθαι μὲν συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, οὐ λαβεῖν δὲ καιρὸν ἀπολογίας, οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθῆναι κανονικήν. Εἰ δ' ἐγεγόνει τι τοιοῦτον, αὐτὴ τῶν ὑπομνημάτων ἡ σύστασις διήλεγξεν ἂν αὐτὸν, ἢ ἁλόντα τοῖς αἰτιάμασιν ἔνοχον (1) ἀποπεφασμένον, καὶ οὐδὲν ἔχοντα λοιπὸν εἰπεῖν ὡς ἠδικημένον, ἢ γοῦν ἐλεύθερον ἀποφήνασα πάλιν ἐδίδου τὸ προεστάναι τῆς ἐκκλησίας, ἧ καὶ ὑπὸ χεῖρα γέγονε τὴν ἑαυτοῦ. Οὐδενὸς δὲ πεπραγμένου τοιούτου, καταβοᾷ τοῦ πράγματος, καὶ ἀδικίαν ἀφόρητον ὑποστῆναί φησι, καὶ ἀθέσμως ἐκβεβλῆσθαι, προσεπάγων, ὅτι καὶ ἡρπάγη πάντα τὰ προσόντα αὐτῷ χρήματα(2). Ἡ σὴ τοιγαροῦν ὁσιότης ἐννοοῦσα καὶ τὸ τοῖς θείοις κανόσι δοκοῦν, καὶ τὸ πρέπον τῇ ἐκκλησίᾳ, καὶ τοῖς τεταγμένοις εἰς ἱερὰν λειτουργίαν, ἔτι τε πρὸς τούτοις καὶ τὰ παρ' ἡμῶν δυσωπηθεῖσα γράμματα, στησάτω τοῦ πρεσβύτου τὸ δάκρυον. Καὶ εἰ μὲν ἕλοιτο δικάσασθαι πρὸς τοὺς ἐπάγοντας αὐτῷ τὰς αἰτίας, δικαζέσθω κατὰ τὸ εἰωθὸς ἐπὶ τῆς σῆς θεοσεβείας, συμπαρόντων δηλονότι τῶν ὑπὸ τὴν αὐτῆς χεῖρα θεοσεβεστάτων ἐπισκόπων, ἐκτὸς εἰ μὴ παραιτοῖτό τινας ὡς ὑπόπτους. Οὐδένα μὲν γὰρ τῶν θεοσεβεστάτων ἐπισκόπων ἐχθρὰ φρονεῖν ἀδελφῷ πιστεύομεν. Ἵνα δὲ μὴ πρόφασις αὕτη γένηται, τὴν ἐσομένην ἐπ' αὐτῷ κρίσιν παραλύουσα, πρὸς τὸ μὴ ἐν δίκῃ πεποιῆσθαι δοκεῖν, οὐδέν ἐστι τὸ λυποῦν ἀπεῖναι τοῦ συνεδρίου τῶν ἐν ὑποψίᾳ τινάς.

---

ΒΑΛΣ. Τὸ προοίμιον τῆς ἐπιστολῆς, τοιαύτης ἐστὶν ἐννοίας. Φησὶν ὁ ἅγιος, ὅτι τὰ καθ' ἡμᾶς πράγματα, τὰ ἐκκλησιαστικὰ δηλονότι, ἢ ἁπλῶς τὰ ἀνθρώπινα, ὅταν κατ' εὐθύτητα κανονικὴν διεξάγωνται, οὔτε θόρυβον ἡμῖν ἐπάγουσιν, οὔτε δυσ-

(1) Χ. Τρ. Σ. Ῥ. Η. — ἢ ἔνοχον Βενεφ. Ἑ. — (2) πράγματα Βενεφ. Ἑ.



φημίαν παρά τινων, ἀλλὰ μᾶλλον ἐπαίνους ἡμῖν προξενεῖ· ἡ γὰρ ἀπροσκλινὴς κρίσις, ἡ ἀῤῥεπὴς, ἡ εὐθυτάτη, πᾶσίν ἐστιν ἀποδεκτέα· καὶ οὐ μόνον ἀνεπίπληκτόν ἐστιν, ἤγουν ἀκαταιτίατον, οὐκ ἐπιπλήξεως ἄξιον, τὸ κρίνειν ὀρθῶς; ἀλλὰ καὶ ἐπαινούμενον. Οὕτω δὲ προοιμιασάμενος φησὶν, ὅτι ταῦτα γράφω, διότι σὺ ἀπέστειλας ἡμῖν τὸν εὐλαβέστατον πρεσβύτερον(1) ἐπίσκοπον ὀνομάσας, καὶ ταῦτα αὐτοῦ κλαίοντος, καὶ λέγοντος κεκινῆσθαι τῆς νεμηθείσης αὐτῷ ἐκκλησίας, ἤγουν ἐκβεβλῆσθαι τῆς δοθείσης αὐτῷ ἐπισκοπῆς. Ἦν δὲ ἀκόλουθον, ἢ καὶ τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐτὸν καὶ τὸ πρᾶγμα, ἤγουν τὴν ἐπισκοπὴν, καὶ τὴν ἐνέργειαν τοῦ ἐπισκόπου· ἢ, εἰ μὴ ἦν ἄξιος προΐστασθαι τοῦ θυσιαστηρίου, μηδὲ ἐπίσκοπον λέγεσθαι. Ἀλλ' ἴσως τοῦτο τὸ λεγόμενον ἂν σοι δόξῃ σκληρὸν, κἀγὼ ὁ λέγων αὐτὸ ἀφιλάλληλος. Οὐκ ἔστι δὲ τοῦτο· ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην. Εἰσάγει δὲ ἐνταῦθα τὸν λόγον πληθυντικῶς, ὥσπερ καὶ περὶ ἑαυτοῦ λέγων ἃ λέγει, ἵνα ἀνεπαχθέστερος οὕτως εἴη ὁ λόγος, καὶ μὴ εἰς καταδρομὴν μόνον ἐκείνου δοκῇ γίνεσθαι· καὶ ὡς ἐλεούντων ἡμῶν αὐτὸν, φησὶ, μόνη αὐτῷ κατελείφθη ἡ κλῆσις τοῦ ἐπισκόπου. Πολλῷ δὲ ἦν κρεῖσσον ἐννοῆσαι καὶ τὸ ἕτερον. Ποῖον τοῦτο; Τὸ δοθῆναι αὐτῷ καιρὸν ἀπολογίας, καὶ ἀκρόασιν προτεθῆναι κανονικὴν, ἤγουν δικαστήριον συνοδικόν(2). Λέγει γὰρ δύνασθαι συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, ἀντὶ τοῦ, ἀναίτιον ἑαυτὸν ἀποδεῖξαι. Εἰ δὲ ἐγένετο ταῦτα, αὐτὰ τὰ ὑπομνήματα τὰ ἐπὶ τῇ ἐξετάσει γενόμενα ἤλεγξαν ἂν αὐτὸν ἢ κεκρατημένον καὶ ἔνοχον τοῖς αἰτιάμασι, καὶ μὴ δυνάμενον λέγειν ὅτι ἠδίκηται, ἢ, ἐὰν ἀνεύθυνος ἐφάνη, πάλιν ἐδίδοτο αὐτῷ ἡ προστασία τῆς ἐκκλησίας. Ὅτι δὲ οὐκ ἐγένετο τοιοῦτόν τι, καταβοᾷ ὡς ἀδικηθεὶς καὶ παρανόμως ἐκβληθεὶς, λέγων, ὅτι καὶ ἡρπάγησαν ὅσα εἶχε χρήματα. Σὺ τοίνυν, τῷ Δόμνῳ γράφει ὁ ἅγιος, ὁ εἰδὼς καὶ τοὺς θείους κανόνας, καὶ τὸ πρέπον τῇ ἐκκλησίᾳ καὶ τοῖς λειτουργοῖς τοῦ Θεοῦ, ἤγουν τὸ δικαιοπραγεῖν, δυσωπηθεὶς δὲ καὶ τὴν ἡμετέραν γραφὴν, στῆσον τοῦ πρεσβύτου τὸ δάκρυον, καὶ εἰ θελήσει συνδικασθῆναι τοῖς

(1) εὐλαβέστατον Πέτρον Χ. Τρ. — (2) συνοδικὸν, κατὰ κανόνα διαγινώσκον Χ. Τρ.

κατηγόροις αὐτοῦ, δικασάσθω(1) παρὰ σοὶ καὶ τοῖς ὑπὸ σὲ ἐπισκόποις. Εἰ δέ τινας ὑπόπτους ἔχει τῶν ἐπισκόπων ὡς μὴ καλῶς διακειμένους πρὸς αὐτὸν, καὶ παραιτεῖται αὐτοὺς, ἐκεῖνοι μὴ παρήτωσαν εἰς τὸ δικαστήριον. Ἡμεῖς μὲν γὰρ, φησὶν, οὐδένα τῶν ἐπισκόπων ἔχθραν ἔχειν πιστεύομεν κατὰ ἀδελφοῦ, οὐδὲ διὰ τοῦτο κωλύομεν αὐτοὺς συνδικάσαι ὑμῖν· ἵνα δὲ μὴ τοῦτο ἀφορμὴ γένηται τοῦ μὴ δικασθῆναι αὐτὸν, ἐκεῖνοι ἀπήτωσαν τοῦ συνεδρίου.

ΣΥΝΟΨ. Πέτρον κληρικὸν καλούμενον ἐχρῆν καὶ εἶναι, ἢ μηδὲ λέγεσθαι, καὶ ταῦτα φάσκοντα δύνασθαι μὲν συστῆναι τῇ ἰδίᾳ ὑπολήψει, μὴ λαβεῖν δὲ καιρὸν εἰς ἀπολογίαν, ἢ κανονικὴν ἀκρόασιν, ἢ γὰρ ἂν, εἰ ἀναίτιον γνωσθέντα, μηδὲν ἔχειν λέγειν ὡς ἠδικημένον· προστίθησι δὲ, ὅτι καὶ τὰ ὄντα διήρπασται. Στῆσον οὖν τῷ πρεσβυτέρῳ τὰ δάκρυα, δικασαμένῳ πρὸς τοὺς τὰς αἰτίας ἐπάγοντας ἐπὶ τῆς σῆς θεοσεβείας καὶ τῶν ὑπ' αὐτὴν ἐπισκόπων, πλὴν εἰ μή τινας ὡς ὑπόπτους παραιτοῖτο.

## Κανὼν Β'.

Τὰ δὲ ἀδίκως ληφθέντα παρ' αὐτοῦ χρήματα, ἀναδοθῆναι δίκαιον κατὰ δύο τρόπους. Πρῶτον μὲν, ὅτι οὐδὲ ἐχρῆν ὅλως γενέσθαι τι τοιοῦτον, καὶ ὅτι λυπεῖ σφόδρα, καὶ εἰς ἐσχάτην ἀκηδίαν καταφέρει τοὺς ἁπανταχόσε γῆς ὄντας θεοσεβεστάτους ἐπισκόπους, τὸ ἀπαιτεῖσθαι λόγους τῆς οἰκονομίας τῶν παραπιπτόντων αὐτοῖς ἀναλωμάτων, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτ' οὖν καὶ ἀπὸ τῆς τινῶν καρποφορίας. Ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ πάντων κριτῇ. Κειμήλια μὲν γὰρ καὶ κτήσεις ἀκινήτους, ἀνεκποιήτους ταῖς ἐκκλησίαις σώζεσθαι χρή· θαρσεῖσθαι δὲ τοῖς κατὰ καιρὸν τὴν θείαν διέπουσιν ἱερωσύνην, τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν.

---

ΒΑΛΣ. Ἃ δὲ, φησὶν, ἀφῃρέθη πράγματα, δίκαιόν ἐστιν ἀποδοθῆναι αὐτῷ κατὰ δύο τρόπους· ἕνα μὲν, ὅτι καὶ τὸ ὅλως γενέσθαι τὴν ἀφαίρεσιν αὐτῶν ἄδικον ἐστίν· ἕτερον δὲ, ὅτι πάντας τοὺς ἐπισκόπους σφόδρα λυπεῖ, καὶ εἰς ἀκηδίαν ἐμβάλλει τὸ λογοπραγεῖσθαι αὐτοὺς ἐπὶ τῇ οἰκονομίᾳ τῶν παραπιπτόντων, ἤτοι συμβαινόντων ἀναλωμάτων, ὅθεν ἂν τὰ χρήματα περιέλθωσιν, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτε καρποφορίας, εἴτε ἐκ προσαγωγῆς τινῶν. Ἕκαστος γὰρ, φησὶ, τῶν ἐπισκόπων ἡμῶν, τῷ Θεῷ(1) δώσει λόγον περὶ τῆς διοικήσεως τῶν πραγμάτων τῆς ἐκκλησίας αὐτοῦ ὑπὲρ τῶν ἰδίων καιρῶν, τουτέστιν ὑπὲρ τοῦ καιροῦ καθ' ὃν ἦν ἐπίσκοπος. Τὰ μὲν γὰρ κειμήλια τῶν ἐκκλησιῶν, ἤτοι τὰ ἱερὰ καὶ τὰ λοιπὰ ἀναθήματα, καὶ τὰς ἀκινήτους κτήσεις, ἀνεκποιήτους ἐνδέχεται εἶναι, καὶ φυλάττεσθαι ταῖς ἐκκλησίαις· τὴν δὲ οἰκονομίαν τῶν ἐξόδων τῶν ἐν ταῖς ἐκκλησίαις θαρσεῖσθαι, ἀντὶ τοῦ, μετὰ θάρσους ἐμπιστεύεσθαι τοῖς κατὰ καιροὺς ἐπισκόποις.

ΣΥΝΟΨ. Κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποιήτους ταῖς ἐκκλησίαις σώζεσθαι χρή· θαῤῥεῖσθαι δὲ τοὺς κατὰ καιρὸν τὴν ἱερωσύνην διέποντας, τὴν οἰκονομίαν τῶν παραπιπτόντων ἀναλωμάτων· ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ πάντων κριτῇ.

## Κανὼν Γ'.

Τοὺς(2) δὲ τῆς παραιτήσεως λιβέλλους, οὐ κατὰ προαίρεσιν οἰκείαν, ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ φόβου, καὶ τῆς τινῶν ἀπειλῆς, ἐπιδοῦναι φησί· καὶ ἑτέρως(3) δὲ πρᾶγμά ἐστιν οὔτε τοῖς τῆς ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεων προσάγειν τινὰς τῶν ἱερουργῶν. Εἰ γάρ εἰσιν ἄξιοι τοῦ λειτουργεῖν, ἔστωσαν ἐν τούτῳ· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο τὴν καταβοὴν, ὡς ἔξω τρεχόντων (4) πάσης ἀκολουθίας. Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα. Σὲ ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

---

(1) Χ. Τρ. — δικασθήτω Βευερ. Ἑ.

(1) Τῷ Θεῷ, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Σ. Ρ. Χ. Τρ. Π. — τὸ δὲ Ἑ. Βευερ. — (3) Χ. Τρ. Σ. Ρ. — καὶ ἕτερον Ἑ. Βευερ. — (4) παραιτήσεως Σ. Ρ. Χ. Τρ. — (5) Χ. Τρ. Σ. Ρ. ὡς ἔξω τε ἐχόντων Ἑ. Βευερ.

ΒΑΛΣ. Καὶ παραίτησις ἐφέρετο (1) τοῦ ἐπισκόπου, περὶ οὗ ἔγραψεν ὁ μέγας οὗτος Πατήρ. Λέγει οὖν καὶ περὶ τούτου, ὅτι φησὶν ὁ ἐπίσκοπος, ὡς οὐχ ἑκουσίως τὸ τῆς παραιτήσεως ἔγγραφον δέδωκεν, ἀλλ' ἐξ ἀνάγκης διὰ φόβον καὶ ἀπειλάς τινῶν. Εἶτα ἐπάγει, ὅτι καὶ ἄλλως δὲ, ἤγουν κἂν δῶμεν(2) ὡς ἑκὼν παρῃτήσατο, καὶ τοῦτο ἀνίσχυρόν ἐστιν, ὡς μὴ τοῖς θεσμοῖς τῆς ἐκκλησίας ἀρέσκον, τὸ παραιτεῖσθαι τοὺς ἱερουργοὺς τὰς ἐκκλησίας αὐτῶν. Ἄξιοι μὲν γὰρ, φησὶν, ὄντες τοῦ ἱερουργεῖν, ἔστωσαν ἐν τούτῳ, καὶ μὴ παραδεχέσθωσαν παραιτούμενοι. Ἀνάξιοι δὲ ὄντες, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, μηδὲ ὑποχωρείτωσαν ὡς παραιτούμενοι, ἀλλ' ὡς κατεγνωσμένοι ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο καταβοὴν, τουτέστιν ἀξίων καταβοᾶσθαι * καὶ κατηγορεῖσθαι * (3), ὡς μὴ τηρούντων ἀκρίβειαν καὶ ἀκολουθίαν ἐκκλησιαστικήν· ἢ τὸ, ὧν πολλήν τις ποιήσαιτο καταβοὴν, περὶ τῶν παραιτουμένων μᾶλλον εἰρῆσθαι νοηθήσεται. * Ζήτει ἀναγκαίως καὶ τὸν ις' κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης πρώτης καὶ δευτέρας συνόδου* (4).

ΣΥΝΟΨ. Παρὰ τοὺς ἐκκλησιαστικούς ἐστι θεσμοὺς, τὸ λιβέλλους παραιτήσεως προσάγειν τινὰς τῶν ἱερουργῶν. Εἰ γὰρ ἄξιοι, λειτουργείτωσαν, εἰ δὲ μὴ, μὴ παραιτείσθωσαν· ἀλλὰ καταγινωσκόμενοι ἐπ' ἀτόποις, ἐξίτωσαν· ὁπότε Πρόκλος καὶ ἐξ ἀνάγκης καὶ φόβου καὶ ἀπειλῆς τινων παρῃτήσατο.

---

(1) προεφέρετο Χ. Τρ. — (2) Χ. Τρ. — κἂν δοκῶμεν Βευερ. — (3) Χ. Τρ. — (4) Χ. Τρ. — Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ.



# ΤΟΥ ΑΥΤΟΥ

## ΤΟΙΣ ΚΑΤΑ ΛΙΒΥΗΝ ΚΑΙ ΠΕΝΤΑΠΟΛΙΝ ΕΠΙΣΚΟΠΟΙΣ.

### Κανὼν Δ'.

ΠΑΝΤΟΣ τοῦ χρησίμου καὶ ἀναγκαίου πρὸς οἰκοδομὴν τῶν λαῶν, τελοῦντος δὲ καὶ εἰς ὑπόληψιν τῶν ἁγίων ἐκκλησιῶν, φροντίδα ποιεῖσθαι χρή. Γέγραπται γὰρ, ὅτι εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ(1). Μοναστηρίων τοίνυν Πατέρες τῶν κατὰ τὴν Θηβαίων ἐπαρχίαν, ἄνδρες εὐλαβεῖς (2) καὶ οὐκ ἀθαύμαστον ἔχοντες πολιτείαν, ἐλθόντες ἐν Ἀλεξανδρείᾳ, ἐρωτώμενοί τε παρ' ἐμοῦ τὴν κατάστασιν τῶν αὐτόσε μοναστηρίων, ἐδίδασκον ὅτι σκανδαλίζονται πολλοὶ διὰ τοιαύτην (3) αἰτίαν. Νεωστὶ γεγαμηκότες τινὲς, καὶ οἷον ἐξ αὐτῶν καταβάντες τῶν νυμφώνων, συναρπάζουσί τινας τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ οὐδενὸς τάχα που τὰ κατ' αὐτοὺς καταγγέλλοντος, χειροτονοῦνται κληρικοί, ἤγουν πρεσβύτεροι. Ἕτεροι δέ τινες ἐξ αὐτῶν τῶν μοναστηρίων ὡς ἄτακτοι ἐκβαλλόμενοι, πάλιν ὑποτρέχουσι τὰς χειροτονίας, καὶ γενόμενοι κληρικοί, εἰσέρχονται καὶ ἐν αὐτοῖς τοῖς μοναστηρίοις, ὅθεν ἐκβέβληνται· καὶ βούλονται προσφέρειν, καὶ ὅσα κληρικοῖς ἔθος πληροῦν, καὶ ταῦτα δρᾷν, ὡς καί τινας τῶν εἰδότων αὐτοὺς παραιτεῖσθαι καὶ τὰς συνάξεις, καὶ μὴ ἀνέχεσθαι κοινωνεῖν λειτουργούντων ἐκείνων. Ἐπειδὴ τοίνυν πρὸς οἰκοδομὴν, ὡς ἔφην, τῶν λαῶν πάντα χρὴ πράττεσθαι παρ' ἡμῶν, ἐπιτηρείτω ταῦτα ἡ θεοσέβεια ὑμῶν. Καὶ εἰ μέλλει τις χειροτονεῖσθαι κληρικὸς, περιεργαζέσθω τὸν βίον αὐτοῦ· καὶ πότερόν ποτε γαμε-

---

(1) Λευϊτ. ΙΕ, 31. — (2) εὐσεβεῖς Π. — (3) Χ. Τρ. — τὴν τοιαύτην, εἰ λαιπεῖ.

τὴν ἔχει, ἢ οὔ· καὶ πῶς, καὶ πότε ἠγάγετο· καὶ εἰ ἀπέσχετο (1)· καὶ εἰ μή τίς ἐστι τῶν ἐκβεβλημένων (2) ἢ παρ' ἑτέρου θεοσεβεστάτου ἐπισκόπου, ἢ ἐκ μοναστηρίου· καὶ τότε χειροτονείτω, ἀδιάβλητον εὑρεθέντα. Τηρήσομεν γὰρ οὕτω καθαρὸν καὶ τὸ ἑαυτῶν συνειδὸς, καὶ ἀδιάβλητον τὴν ἱερὰν καὶ σεπτὴν λειτουργίαν.

ΣΥΝΟΨ. Εἴ τις μέλλει χειροτονεῖσθαι κληρικὸς, ἐρευνάσθω ὁ βίος αὐτοῦ, εἰ γαμετὴν ἔχει, ἢ μὴ, καὶ πῶς, ἢ πότε ἠγάγετο· καὶ εἰ μὴ ἐκβέβληται ἢ παρὰ κληρικοῦ, ἢ ἐκ μοναστηρίων· ἀδιάβλητος εὑρεθεὶς, χειροτονείσθω.

## Κανὼν Ε'.

Ἐὰν δὲ (3) χωρισμὸν ὑπομείνωσί τινες ἐπιτιμηθέντες πταισμάτων ἕνεκα, εἶτα μέλλωσι τελευτᾶν, κατηχούμενοι ὄντες, βαπτιζέσθωσαν, καὶ μὴ ἀποδημείτωσαν τῶν ἀνθρωπίνων ἀμέτοχοι τῆς χάριτος, ἤγουν ἀκοινώνητοι· δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς ἐκκλησίας θεσμοῖς. Προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα. Ὑμᾶς ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

—

ΒΑΛΣ. Τὸ ἀκοινώνητον ἐνταῦθα ὁ ἅγιος, οὐ μόνον περὶ τῆς ἁγίας μεταλήψεως λέγει, οὐ γὰρ ἀξιωθήσεται τῶν θείων μυστηρίων πρὸ τοῦ βαπτίσματος, ἀλλὰ καὶ περὶ αὐτοῦ φησὶ τοῦ βαπτίσματος. Ἐπεὶ πρὸ τοῦ βαπτισθῆναι, οὐδὲ τῆς μετὰ τῶν πιστῶν συστάσεως τεύξεται, ἥτις καὶ αὐτὴ κοινωνία ἐν διαφόροις εἴρηται κανόσι· διὸ καὶ τὸ, δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς ἐκκλησίας θεσμοῖς, προσέθετο· καὶ τοῦτο γὰρ, φησὶ, νόμιμον καὶ ἐκκλησιαστικόν ἐστι, τὸ μὴ συνίστασθαι τοῖς πιστοῖς ἐν ταῖς εὐχαῖς διόλου τοὺς κατηχουμένους, ἢ τοὺς ἐπιτετιμημένους.

ΣΥΝΟΨ. Ἐὰν χωρισθῶσί τινες ἐπιτιμηθέντες ἐπὶ πταίσμασιν, εἶτα τελευτᾶν μέλλωσιν ὄντες κατηχούμενοι, βαπτιζέσθωσαν, καὶ μὴ τελευτάτωσαν ἀκοινώνητοι, καὶ τῆς θείας ἀμέτοχοι χάριτος.

---

(1) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (2) τῶν ἐκβαλλομένων Χ. Τρ. Βευερ. Ἑ. — (3) Π. Χ. Τρ. — παρὰ δὲ Ἑ. καὶ Βευερ. συνέχεται μετὰ τοῦ προηγουμένου.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ
## ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ,
### ΕΚ ΤΩΝ ΕΜΜΕΤΡΩΝ ΑΥΤΟΥ ΠΟΙΗΜΑΤΩΝ, ΠΕΡΙ ΤΟΥ ΤΙΝΑ ΧΡΗ ΑΝΑΓΙΝΩΣΚΕΣΘΑΙ ΒΙΒΛΙΑ ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΚΑΙ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ.

Οφρα δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι,
Πολλαὶ γὰρ τελέθουσι παρέγγραπτοι κακότητες (1),
Δέχνυσο τοῦτον ἐμοῖο τὸν ἔγκριτον, ὦ φίλ', ἀριθμόν.
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι
Τῆς ἀρχαιοτέρης Ἑβραϊκῆς σοφίης.
Πρωτίστη Γένεσις· εἶτ' Ἔξοδος, Λευϊτικόν τε·
Ἔπειτ' Ἀριθμοί· εἶτα Δεύτερος νόμος·
Ἔπειτ' Ἰησοῦς, καὶ Κριταί· Ῥοὺθ, ὀγδόη·
Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι, πράξεις Βασιλήων (2),
Καὶ Παραλειπόμεναι· ἔσχατον Ἔσδραν ἔχεις.
Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτός γ' Ἰώβ·
Ἔπειτα Δαυίδ, εἶτα τρεῖς Σολομώντειαι,
Ἐκκλησιαστής, Ἆσμα, καὶ Παροιμίαι·
Καὶ πένθ' ὁμοίως Πνεύματος προφητικοῦ.
Μίαν μέν εἰσιν ἐς γραφὴν οἱ δώδεκα,
Ὠσηὲ, κ' Ἀμὼς, καὶ Μιχαίας ὁ τρίτος·
Ἔπειτ' Ἰωὴλ, εἶτ' Ἰωνᾶς, Ἀβδίας,
Ναούμ τε, Ἀββακούμ τε, καὶ Σοφονίας,
Ἀγγαῖος, εἶτα Ζαχαρίας, καὶ Μαλαχίας.
Μία μὲν οἵδε· δευτέρα δ' Ἡσαΐας.
Ἔπειθ' ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους·

(1) Π. Χ. Τρ. Βενετ. Ἐ. ἐκδ. Παρισ. 1630. — κακότητος ἐκδ. Κολων. 1590. καὶ Λειψ. 1690. — (2) Βασιλειῶν Π.

Εἶτ' Ἰεζεκιὴλ, καὶ Δανιήλου χάρις.
Ἀρχαίας μὲν ἔθηκα δύω καὶ εἴκοσι βίβλους,
Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἤδη δ' ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν Ἑβραίοις θαύματα Χριστοῦ·
Μάρκος δ' Ἰταλίῃ, Λουκᾶς Ἀχαϊάδι·
Πᾶσι δ' Ἰωάννης κήρυξ μέγας, οὐρανοφοίτης.
Ἔπειτα Πράξεις τῶν σοφῶν Ἀποστόλων.
Δέκα δὲ Παύλου τέσσαρές τ' ἐπιστολαί.
Ἑπτὰ δὲ καθολικαί· ὧν, Ἰακώβου μία,
Δύω δὲ Πέτρου, τρεῖς δ' Ἰωάννου πάλιν·
Ἰούδα δ' ἐστὶν ἑβδόμη· πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίαις(1).

ΒΑΛΣ. Ἵνα δὲ μὴ ἀλλοτρίαις τὸν νοῦν ἀπατᾷ βίβλοις, πολλὰ γάρ εἰσι ψευδῶς γεγραμμένα, δέχου τοῦτον ἐμοῦ τὸν δεδοκιμασμένον, ἢ κεκυρωμένον, ὦ φίλε, ἀριθμόν. Ἱςορίας μὲν περιέχουσαι βίβλοι δώδεκά εἰσι, τῆς Παλαιᾶς δηλονότι Γραφῆς, καὶ αἱ βίβλοι τῶν Βασιλειῶν, εἰ [καὶ] τέσσαρές εἰσιν, ἀλλ' εἰς δύο παραλαμβάνονται καὶ ἀριθμοῦνται· καὶ αἱ δώδεκα βίβλοι τῶν ἀπηριθμημένων Προφητῶν, μία, φησὶ, λογίζονται· τέσσαρες δὲ αἱ τῶν ἄλλων Προφητῶν, ἑκάστη μία λογιζομένη. Τῆς μέν τοι ἀρχαίας ἤτοι τῆς Παλαιᾶς Γραφῆς ἔγραψε βίβλους κβ'. τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους, ἤγουν ἰσοθέτους καὶ ἰσαρίθμους· λαμβάνεται γὰρ ἡ ἀντὶ πρόθεσις καὶ ἐπὶ τοῦ ἴσου, ὥσπερ λέγομεν ἀντίτεχνον, τὸν ὁμότεχνον· στοιχεῖα δὲ παρὰ τοῖς Ἑβραίοις κβ'. λέγονται εἶναι. Ἀπαριθμήσας μέν τοι καὶ τὰ τῆς Νέας Γραφῆς βιβλία ὁ ἅγιος, ἐπήνεγκεν, ὅτι, εἴ τι τούτων τῶν ἀπηριθμημένων ἔξω ἐστὶν, οὐ γνήσιον λογίζεται, ἀλλὰ νόθον.

(1) Τὰ αὐτὰ καὶ ἐν τῇ Συνόψει.



# ΤΟΥ ΑΓΙΟΥ ΑΜΦΙΛΟΧΙΟΥ
## ΕΠΙΣΚΟΠΟΥ, ΕΚ ΤΩΝ ΠΡΟΣ ΣΕΛΕΥΚΟΝ ΙΑΜΒΩΝ ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΥΠΟΘΕΣΕΩΣ.

ΠΛΗΝ ἀλλ' ἐκεῖνο προσμαθεῖν μάλιστά σοι
Προσῆκον. Οὐχ ἅπασα βίβλος ἀσφαλὴς,
Ἡ σεμνὸν ὄνομα τῆς Γραφῆς κεκτημένη.
Εἰσὶ γὰρ εἰσὶν ἔσθ' ὅτε ψευδώνυμοι
Βίβλοι, τινὲς μὲν ἔμμεσοι καὶ γείτονες,
Ὡς ἄν τις εἴποι, τῶν ἀληθείας λόγων·
Αἱ δ' ἄρα νόθοι τε καὶ λίαν ἐπισφαλεῖς,
Ὥσπερ παράσημα καὶ νόθα νομίσματα,
Ἃ βασιλέως μὲν τὴν ἐπιγραφὴν ἔχει,
Κίβδηλα δ' ἐστὶ, ταῖς ὕλαις δολούμενα.
Τούτου χάριν σοι τῶν θεοπνεύστων ἐρῶ
Βίβλον ἑκάστην. Ὡς δ' ἂν εὐκρινῶς μάθῃς,
Τὰς τῆς Παλαιᾶς πρῶτα Διαθήκης ἐρῶ.
Ἡ Πεντάτευχος τὴν Κτίσιν, εἶτ' Ἔξοδον,
Λευϊτικόν τε τὴν μέσην ἔχει βίβλον·
Μεθ' ἣν Ἀριθμοὺς, εἶτα Δευτερονόμιον.
Τούτοις Ἰησοῦν προστίθει καὶ τοὺς Κριτάς.
Ἔπειτα τὴν Ῥούθ· Βασιλειῶν τε τέσσαρας
Βίβλους· Παραλειπομένων δέ γε δύω βίβλοι(1)·
Ἔσδρας ἐπ' αὐταῖς πρῶτος, εἶθ' ὁ δεύτερος.
Ἑξῆς στιχηρὰς πέντε σοι βίβλους ἐρῶ·
Στεφθέντα (2) τ' ἄθλοις ποικίλων παθῶν Ἰὼβ,
Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῶν ἄκος.
Τρεῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ· Παροιμίαι,
Ἐκκλησιαστὴς, Ἆσμα τ' αὖ τῶν ᾀσμάτων.
Ταύταις Προφήτας προστίθει τοὺς δώδεκα·

(1) ἀντὶ, δύω βίβλοι, ξυνωρίδα, ἐν τῇ ἐκδ. — (2) στεφθέντος ἐν τῇ ἐκδ,

Ὠσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον,
Μιχαίαν, Ἰωὴλ, Ἀβδίαν, καὶ τὸν τύπον
Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους·
Ναοὺμ μετ' αὐτούς· Ἀββακοὺμ εἶτ' ἔννατον·
Σοφονίαν, Ἀγγαῖόν τε, καὶ Ζαχαρίαν·
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς Προφήτας μάνθανε τοὺς τέσσαρας,
Παῤῥησιαστὴν τὸν μέγαν Ἠσαίαν·
Ἱερεμίαν τε συμπαθῆ, καὶ μυστικὸν
Ἰεζεκιὴλ, ἔσχατον δὲ Δανιὴλ,
Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθὴρ τινές.
Καινῆς Διαθήκης ὥρα μοι βίβλους λέγειν.
Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους,
Ματθαῖον, εἶτα Μάρκον, οἷς Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν εἰκότως τοῦτον καλῶ,
Μέγιστον ἠχήσαντα τῷ Θεοῦ λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν,
Τὴν τῶν καθολικῶν Πράξεων Ἀποστόλων.
Τὸ σκεῦος ἑξῆς προστίθει τῆς ἐκλογῆς,
Τὸν τῶν ἐθνῶν κήρυκα, τὸν Ἀπόστολον
Παῦλον, σοφῶς γράψαντα ταῖς ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτά· Ῥωμαίοις μίαν,
Ἧ χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας, τήν τε πρὸς Ἐφεσίους,
Μεθ' ἣν τὴν ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην
Κολοσσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ δὲ καὶ Φιλήμονι,
Μίαν ἑκάστῳ, καὶ πρὸς Ἑβραίους μίαν.
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,

Οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις.
Εἶεν. Τί λοιπόν; καθολικὰς ἐπιστολὰς
Τινὲς μὲν ἑπτά φασιν· οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
Μίαν τε Πέτρου, τοῦ τ' Ἰωάννου μίαν.
Τινὲς δὲ τὰς τρεῖς, καὶ πρὸς αὐταῖς τὰς δύο
Πέτρου δέχονται, τὴν Ἰούδα δ' ἑβδόμην.
Τὴν δ' Ἀποκάλυψιν τοῦ Ἰωάννου πάλιν,
Τινὲς μὲν ἐγκρίνουσιν· οἱ πλείους δέ γε
Νόθον λέγουσιν. Οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων Γραφῶν (1).

---

(1) Τὰ αὐτὰ καὶ ἐν τῇ Συνόψει.

# ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ
## ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ
### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΚΑΙ ΤΗΣ ΣΥΝ ΑΥΤΩ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ,
### ΠΡΟΣ ΑΠΑΝΤΑΣ ΤΟΥΣ ΟΣΙΩΤΑΤΟΥΣ ΜΗΤΡΟΠΟΛΙΤΑΣ, ΚΑΙ ΠΡΟΣ ΤΟΝ ΠΑΠΑΝ ΡΩΜΗΣ (1).

Τῷ θεοφιλεστάτῳ συλλειτουργῷ (τῷδε), Γεννάδιος καὶ ἡ ἐνδημοῦσα τῇ βασιλίδι Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, ἁγία σύνοδος.

Ο ΔΕΣΠΟΤΗΣ ἡμῶν καὶ Θεὸς, καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς, ἐγχειρίσας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ διδασκάλους τούτους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαρρήδην, ἣν εἰλήφασι παρ' αὐτοῦ δωρεὰν, ταύτην καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεὰν, μὴ κτωμένους ὑπὲρ αὐτῆς χαλκὸν, ἢ ἄργυρον, ἢ χρυσὸν, ἤ τινα περιουσίαν ἄλλην ὅλως, ὑλικὴν ἢ γεώδη· μὴ γὰρ εἶναι τῶν ἐπουρανίων καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν τὰ γεηρὰ καὶ ἐπίκηρα. Ταύτην τὴν ἐντολὴν, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι' ἐκείνων ἐνετείλατο· οὓς εἰς τὸν οἰκεῖον βαθμόν τε καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε. Καὶ δεῖ, καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε καὶ παρατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἄσοφα, μηδὲ κύβον ἀναῤῥιπτεῖν ἐπικίνδυνον. Δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. Μὴ κτήσησθε χαλκὸν, μηδὲ ἄργυρον, μήτε χρυσὸν εἰς τὰς ζώνας ὑμῶν(2). Ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστὶν, οὐδὲν ποικίλον ἔχων οὐδὲ δυσέφικτον,

(1) Χ. Τρ. Ε. Βευερ. Π. Λαῦγκλ. — ἐν δὲ Σ. Ρ. οὐ κεῖται τὸ, πρὸς τὸν Πάπαν Ῥώμης, προστίθεται δὲ, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν. — (2) Ματθ. ί, 8,

οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως. Παρ' ἐμοῦ, φησὶν, ἐδέξασθε τὸ τῆς ἱερωσύνης ἀξίωμα· εἰ μὲν ὑπὲρ αὐτοῦ μοι μικρὸν ἢ μέγα τι κατεβάλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ' ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό· εἰ δὲ δωρεὰν εἰλήφατε, δότε καὶ ὑμεῖς δωρεάν. Τί τῆς ἐντολῆς ταύτης σαφέστερον; Τί δὲ τοῖς πειθαρχοῦσι λυσιτελέστερον; Οὐαὶ τῷ ὄντι τοῖς κτήσασθαι τὴν τοῦ Θεοῦ δωρεὰν, ἢ διδόναι ταύτην διὰ χρημάτων ὑπειληφόσιν· εἰς γὰρ χολὴν πικρίας, καὶ σύνδεσμον ἀδικίας οἱ τοιοῦτοι κατὰ τὴν ἀπόφασιν τοῦ ἁγίου Πέτρου ὑπάρχουσι, συλληφθέντες ὑπὸ τῆς ἑαυτῶν φιλαργυρίας· ὅθεν καὶ τῶν ὁσίων καὶ μακαρίων Πατέρων τῶν τῆς ἁγίας καὶ μεγάλης οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συναχθείσης, τῷ δεσποτικῷ τούτῳ νόμῳ συνᾴδων ὁ περὶ τούτου κανὼν, ἡμῖν σαφῶς οὑτωσὶ λέξεσιν αὐταῖς ἐκπεφώνηται. Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κλήρου, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τούτῳ ἐπιχειρήσας, ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμὸν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς αἰσχροῖς τούτοις καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω.

Κάλλιστα καὶ λίαν εὐσεβῆ τοῦ κανόνος τῶν ἁγίων Πατέρων ὑπάρχει τὰ παραγγέλματα, πᾶσαν ἔφοδον σατανικὴν, καὶ πᾶν ἐγχείρημα διαβολικὸν, κατὰ τῆς πνευματικῆς φερόμενον δωρεᾶς, ἀπωθούμενά τε καὶ ἀνακόπτοντα· οὐ

βούλεται γὰρ οὐδαμῶς διὰ χρημάτων γίνεσθαι τῆς χειροτονίας τὴν προβολὴν, ἢ ὑποδέχεσθαι, οὔτε παρὰ τοῦ ταύτην ἐνεργοῦντος, οὔτε παρὰ τοῦ τῆς χειροτονίας τὴν προβολὴν ὑποδεχομένου. Ἀλλ' οὐδὲ πρὸ τοῦ καιροῦ τῆς χειροτονίας, οὐδὲ μετὰ τὸν καιρὸν τῆς χειροτονίας, οὐδὲ κατὰ τὸν καιρὸν αὐτὸν τῆς χειροτονίας(1), ὑπὲρ τῆς χειροτονίας δίδοσθαι χρήματα συγχωρεῖ· καθόλου γὰρ τὴν ἐπὶ τῷ πράγματι τούτῳ δωροδοκίαν ἀπέφησεν(2). Ὅμως ἐπειδὴ νῦν, καίτοι προδήλως τούτων οὕτω κεκωλυμένων, ἐφωράθησάν τινες κατὰ τὴν (3) Γαλατῶν, ὀλιγωροῦντες καὶ παραβαίνοντες δι' αἰσχροκέρδειαν καὶ φιλαργυρίαν τὰ σωτήρια ταῦτα καὶ φιλάνθρωπα παραγγέλματα, εὖ ἔχειν ἔδοξε καὶ ἡμῖν, αὐτὰ ταῦτα πάλιν ἀνανεώσασθαι μετὰ τῆς ἁγίας συνόδου τῆς ἐνδημούσης ἐν ταύτῃ τῇ βασιλευούσῃ νέᾳ Ῥώμῃ (4), ὥστε δίχα πάσης ἐπινοίας, καὶ πάσης προφάσεως, καὶ παντὸς σοφισμοῦ, τὴν ἀσεβῆ καὶ βδελυρὰν ταύτην (5), οὐκ οἶδ' ὅπως, ἐπεισελθοῦσαν συνήθειαν ταῖς ἁγιωτάταις ἐκκλησίαις, παντελῶς ἐκτεμεῖν, ἵνα ἀληθῶς ἀκαπηλεύτου καὶ καθαρᾶς παρὰ τῶν ἀρχιερέων τῆς ἐπὶ τῶν χειροτονουμένων ἀναρρήσεως γινομένης, ἄνωθεν ἡ τοῦ ἁγίου Πνεύματος χάρις ἐπιφοιτᾷ· ὡς(6) νῦν γε, οὐκ οἶδα, εἰ διὰ χρημάτων τὴν προβολὴν ποιουμένων, καὶ οὐ τῆς χειρὸς καθαρῶς ἐνεργούσης, ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τοῦ κηρύγματος, καὶ οὐχὶ συστέλλεται μᾶλλον ἡ τοῦ ἁγίου Πνεύματος χάρις. Ἴσθι τοίνυν, τὰ πάντα (7) θεοσεβέστατε, πάντα τὸν ὀντιναοῦν ἁλισκόμενον ἐπὶ τοιούτῳ τινὶ ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον ὀντιναδήποτε τοῦ κανόνος, ἢ λαϊκὸν, κοινῷ δόγματι τῶν ἀρχιερέων καταxεκρίσθαι, καὶ κοινῇ ψήφῳ, καθὼς περὶ τούτου καὶ ὁ τῶν ἁγίων Πατέρων κανὼν φθάσας διαλαλεῖ· δεῖ γὰρ εἶναι χάριν τὴν χάριν, καὶ μηδαμοῦ παρ' αὐτῇ μεσιτεύειν ἀργύριον. Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ,τε ταύτην κτᾶσθαι διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν· οὐ γὰρ οἷόν τε συμβιβασθῆναι ποτὲ τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι Θεῷ· δεσποτικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ (1). Τούτοις ἐπιθαῤῥοῦντες ἡμεῖς κατὰ δύναμιν, καὶ τούτοις ὑπείκοντες, μετὰ τοῦ ταῦτα φήσαντος, κατὰ τῶν ταῦτα παρανομούντων τὴν ἀπόφασιν πεποιήμεθα. Φροντισάτω δὲ καὶ ἡ σὴ ὁσιότης, ταῦτα διὰ πάσης φυλακῆς ποιουμένη, δῆλα καταστῆσαι δι' ἀντιγράφων, καὶ τοῖς ὑπὸ σὲ θεοφιλεστάτοις ἐπισκόποις καὶ περιοδευταῖς, καὶ τοῖς ἄλλοις ἅπασιν· ἵνα ἐν ἑνὶ πνεύματι, καὶ μιᾷ ψυχῇ πάντες ὁμοῦ Χριστιανοὶ συμφραξάμενοι κατὰ τοῦ κοινοῦ δυσμενοῦς, ἰσχύσωμεν σὺν Θεῷ τὴν ὑπ' ἐκείνου φυτευθεῖσαν ἐν ἡμῖν τῆς φιλαργυρίας ῥίζαν, ἅμα πᾶσιν αὐτῆς τῶν κακῶν τοῖς βλαστήμασιν ἐκτεμεῖν. Πᾶσαν τὴν σὺν σοὶ ἐν Χριστῷ ἀδελφότητα προσαγορεύομεν. Ἐῤῥωμένος ἐν Κυρίῳ ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ (2).

Γεννάδιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ὑπ.
Ἰωάννης ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα.
Ἀναστάσιος ἐπίσκοπος μητροπολίτης Ἀγκύρας ὑπ.
Εὐνόμιος μητροπολίτης Νικομηδείας ὑπ.

(1) ἐν Π. παραλείπεται τὸ, οὐδὲ κατὰ τὸν καιρὸν κτλ. — (2) ἀπέφυγεν Χ. Τρ. — (3) τῶν, Ἑ. Βευερ. — τὰ, Χ. Τρ. — (4) νέᾳ Ῥώμῃ Κωνσταντινουπόλει Σ. Ῥ. — (5) Σ. Ῥ. Ἑ. Βευερ. — ἄνευ τοῦ, ταύτην, Χ. Τρ. Π. — (6) Π. Χ. Τρ. ὃ νῦν γε Σ. Ῥ. ὧν Ἑ. Βευερ. (7) ἴσ. τὰ πάντα ἁγιώτατε καὶ, Ἑ. Λατιν.

(1) Ματθ. ς', 24. — (2) ἐνταῦθα ἕπονται τὰ ἑξῆς παρὰ Βευερ. Ἑ. Π. Τούτῳ τῷ ἐπιστολιμαίῳ λόγῳ, σὺν αὐτῷ δὴ τῷ Γενναδίῳ ὑπέγραψαν καὶ οἱ ογ'. (ἢ ὀγδοήκοντα καὶ εἷς, ὡς παρά τε Λεϋγκλαβίῳ καὶ ἐν Σ. Ῥ. ἰδεῖν ἐστί.)

Πέτρος μητροπολίτης Νικαίας ὑπ.
Περγάμιος μητροπολίτης Ἀντιοχείας τῆς Πισιδίας ὑπ.
Παῦλος μητροπολίτης Μαρκιανουπόλεως ὑπ.
Νουνέχιος μητροπολίτης Λαοδικείας ὑπ.
Πέτρος μητροπολίτης Γαγγρῶν ὑπ.
Καρτέριος μητροπολίτης Κλαυδιουπόλεως ὑπ.
Ἀγαπητὸς μητροπολίτης Ῥόδου ὑπ.
Ἐλευθέριος μητροπολίτης Χαλκηδόνος ὑπ.
Στέφανος μητροπολίτης Ἱεραπόλεως τῆς Εὐφρατησίας ὑπ.
Γρηγόριος μητροπολίτης Ἀδριανουπόλεως ὑπ.
Λουκιανὸς μητροπολίτης Βιζύης ὑπ.
Εὐνόῖος μητροπολίτης Μιτυλήνης ὑπ.
Θαλάσσιος μητροπολίτης Παρίου ὑπ.
Μάξιμος μητροπολίτης Λαοδικείας Συρίας ὑπ.
Γερόντιος μητροπολίτης Σελευκείας ὑπ.
Εὐστάθιος ἐπίσκοπος Παρνασοῦ ὑπ.
Νετίρας ἐπίσκοπος Γάζης ὑπ.
Θεοδόσιος ἐπίσκοπος Κανώθας ὑπ.
Ἀνατόλιος ἐπίσκοπος Ἀθηνῶν ὑπ.
Στέφανος ἐπίσκοπος Προυσαέων ὑπ.
Κυριακὸς ἐπίσκοπος Ἀπολλωνιατῶν ὑπ.
Ἀκάκιος ἐπίσκοπος Ἀντανδρῶν ὑπ.
Πλούταρχος ἐπίσκοπος Πλαταιῶν ὑπ.
Κυριακὸς ἐπίσκοπος Καρφίων ὑπ.
Ἀφόβιος ἐπίσκοπος Κορωνείας ὑπ.
Μακεδὼν ἐπίσκοπος Μαγύδων ὑπ.
Ῥουφῖνος ἐπίσκοπος Αἰγαίων ὑπ.
Παλλάδιος ἐπίσκοπος Ἄνδρου ὑπ.
Φωτεινὸς ἐπίσκοπος Ὄτρου ὑπ.
Εὐτρόπιος ἐπίσκοπος Αὐρηλιουπόλεως ὑπ.
Ἰωάννης ἐπίσκοπος Κελεσηνῆς ὑπ.
Φωτεινὸς ἐπίσκοπος τῶν Θέρμων ὑπ.

Ὑπάτιος ἐπίσκοπος Γερμηνῶν ὑπ.
Σαββάτιος ἐπίσκοπος ὑπ.
Εὐδόξιος ἐπίσκοπος Βοσπόρου ὑπ.
Βασίλειος ἐπίσκοπος Ναυκλαίων ὑπ.
Ποιμὴν ἐπίσκοπος Κλύσματος ὑπ.
Ἀπόλλων ἐπίσκοπος Πιθανίας ὑπ.
Ἡσαίας ἐπίσκοπος Ναυκρατιτῶν ὑπ.
Ἰσαὰκ ἐπίσκοπος Θυνέως ὑπ.
Ἐλπίδιος ἐπίσκοπος Ταμιάνθεως ὑπ.
Λαρίων ἐπίσκοπος Κυνέων ὑπ.
Θεότεκνος ἐπίσκοπος Ἀσηνῆς ὑπ.
Ἄτταλος ἐπίσκοπος Μαληνῶν ὑπ.
Θεότιμος ἐπίσκοπος Ἀκμονίας ὑπ.
Χαρίτων ἐπίσκοπος Ἀππίας ὑπ.
Σερῖνος ἐπίσκοπος τῆς μητροπόλεως Μαξιμιανουπόλεως ὑπ.
Μάξιμος ἐπίσκοπος Ζαγυλέως ὑπ.
Ἀθανάσιος ἐπίσκοπος τῆς Ξοιτῶν ὑπ.
Πλουσάμμων ἐπίσκοπος τῆς Νικιωτῶν ὑπ.
Πάπας ἐπίσκοπος τῆς Ἐλεϊτῶν ὑπ.
Θεωνᾶς ἐπίσκοπος Βουτιτῶν ὑπ.
Ἀπολλὼς ἐπίσκοπος Ἀντιφρῶν ὑπ.
Ἀγαθὸς ἐπίσκοπος Περιοικίδος ὑπ.
Πέτρος ἐπίσκοπος Ἡφαίστου ὑπ.
Ἀπολλώνιος ἐπίσκοπος Ἀθριβέας ὑπ.
Πέτρος ἐπίσκοπος Θυσθέως ὑπ.
Ἁρποκρᾶς ἐπίσκοπος Τάνεως ὑπ.
Παῦλος ἐπίσκοπος Σεβεννύτου ὑπ.
Ἀριστοτέλης ἐπίσκοπος Ἐχινεατῶν ὑπ.
Φωτεινὸς ἐπίσκοπος Βαβυλῶνος ὑπ.
Αὐγουστῖνος ἐπίσκοπος νέας Μαρκιανῆς ὑπ.
Ἰωάννης ἐπίσκοπος Νικοπόλεως Ἀρμενίας ὑπ.
Ἰουλιανὸς ἐπίσκοπος Κώου ὑπ.

Σαββάτιος ἐπίσκοπος Ἀγχιάλου ὑπ.
Στρατοκλῆς ἐπίσκοπος Προικονήσου ὑπ.
Ἰωάννης ἐπίσκοπος Τρανουπόλεως ὑπ.
Μάξιμος ἐπίσκοπος Λιβύης ὑπ.
Θεόδουλος ἐπίσκοπος Τραϊκνουπόλεως ὑπ.
Μαρῖνος ἐπίσκοπος Ἐπιφανείας ὑπ.
Βασίλειος ἐπίσκοπος Ἀλεξανδρείας ὑπ.
Ἰωάννης ἐπίσκοπος Γερμανικείας ὑπ.
Ἴνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως ὑπ.
Τιμόθεος ἐπίσκοπος Δολιχῆς ὑπ.
Ποντιανὸς ἐπίσκοπος Ἀγαλασσοῦ ὑπ.
Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας ὑπ.
Νοβῖνος ἐπίσκοπος Λιβελτοῦ ὑπ.

ΣΥΝΟΨ. Τοὺς Ἀποστόλους τῷ κόσμῳ διδασκάλους ἀποστείλας ὁ Κύριος, ἣν ἔλαβον παρ' αὐτοῦ δωρεὰν διδόναι τοῖς ἀνθρώποις προσέταξε, μὴ κτωμένους ὑπὲρ αὐτῆς χρυσόν, ἢ ἄργυρον, ἢ χαλκόν, ἢ ἄλλο τι γεῶδες καὶ ὑλικόν. Τὴν αὐτὴν ἡμῖν ἐντολὴν δι' ἐκείνων [δίδωσι] καταςάσει βαθμῶν· Εἰ ἠγοράσατε παρ' ἐμοῦ, πωλεῖτε· εἰ δωρεὰν ἐλάβετε, δωρεὰν δότε. Οὐαὶ τῷ ὄντι τοῖς ἢ λαβεῖν, ἢ δοῦναι τὴν τοῦ Θεοῦ δωρεὰν διὰ χρημάτων ὑπειληφόσιν· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὑπὸ τῆς φιλαργυρίας συνελήφθησαν· ὅθεν καὶ κανὼν ὑπὸ τῶν ἐν Χαλκηδόνι θείων Πατέρων ἐξεφωνήθη. Καὶ ζήτει τὸν β'. κανόνα τῆς ἐν Χαλκηδόνι θείας συνόδου. Κάλλιστον καὶ εὐσεβὲς τὸ τῶν Πατέρων παράγγελμα· οὐκ ἔστι πρὸ χειροτονίας λαβεῖν· οὐκ ἐπ' αὐτῇ, οὐ μετ' αὐτήν, οὐχ ὁτεδήποτε δι' αὐτήν. Ἰστέον τοίνυν, πάντα τὸν ἁλισκόμενον ἐπὶ τοιούτῳ τινὶ ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτήν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον τινὰ κανονικόν, ἢ λαϊκόν, κοινῷ δόγματι, καὶ κοινῇ ψήφῳ κατακεκρίμεθα· δεῖ γὰρ εἶναι [χάριν] τὴν χάριν, καὶ μηδαμοῦ μεσιτεύειν ἀργύριον. Ἔστω τοίνυν ἐκκήρυκτος ὅ,τε κτᾶσθαι τὴν θείαν χάριν, ὅ,τε παρέχειν διὰ χρημάτων ἐπιχειρῶν, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκός, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο.

# ΕΠΙΣΤΟΛΗ ΤΑΡΑΣΙΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ, ΠΡΟΣ ΑΔΡΙΑΝΟΝ ΠΑΠΑΝ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ.

Περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας (1).

Τῷ (2) ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Ἀδριανῷ, Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος (3) ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, ἐν Κυρίῳ χαίρειν.

Πολυμερῶς καὶ πολυτρόπως, εὐαγγελικῶς, ἀποςολικῶς τε καὶ πατρικῶς διδασκόμεθα, ἀφιλάργυρον τὸν τρόπον ἔχειν ἐν τῇ τῆς ἱερωσύνης ἁγιστείᾳ, καὶ μὴ χρυσίζεσθαι, ἢ ἀργυρίζεσθαι, ἤ τι σφετερίζεσθαι (4) ἐπὶ χειροτονίᾳ παντὸς ἱερατικοῦ ἀνδρὸς, ὡς ὑποδείξομεν ἐν ταῖς καθυποτεταγμέναις χρήσεσιν ἀπό τε γραφικῶν θεηγοριῶν, καὶ πατρικῶν διδασκαλιῶν. Οἱ γὰρ ἐπιτιθέντες χεῖρας, ὑπηρέται τοῦ Πνεύματός εἰσιν, οὐχὶ πρᾶται τοῦ Πνεύματος (5)· δωρεὰν γὰρ λαμβάνοντες τὴν χάριν τοῦ Πνεύματος, δωρεὰν δίδοσθαι (6) τοῖς παρ' αὐτῶν μεταλαμβάνουσιν ἀπεφήναντο, ἐκ τῆς Κυριακῆς φωνῆς ταύτην τὴν ἐλευθεριότητα (7) εἰληφότες (8). Εἰ δέ τις ἐλεγχθείη χρυσίῳ ταύτην ὠνησάμενος, ἀποκήρυκτον διαγορεύουσι (9) τὸν τοιοῦτον

(1) Ἡ ἐπιστολὴ αὕτη εὕρηται ἐν Χ. Τρ. μετὰ τὴν Ζ'. οἰκουμενικὴν σύνοδον. — (2) τῷ τὰ πάντα ἁγιωτάτῳ Σ. Ῥ. — (3) Ταράσιος ἀνάξιος ἐπίσκοπος Σ. Ῥ. — (4) Χ. Τρ. Σ. Ῥ. — τὸ, ἤ τι σφετερίζεσθαι, οὐ κεῖται παρὰ τοῖς λοιποῖς. — (5) πρᾶται τούτου. Π. Χ. Τρ. — (6) διδόναι — (7) Χ. Τρ. Σ. Ῥ. — τὴν ἐλευθερίαν ταύτην Π. Βευερ. Λεύγκλ. (8) Ματθ. Ι, 8. (9) διαγορεύουσιν εἶναι Χ. Τρ.

τῆς ἱερατικῆς τάξεως. Εἰ γὰρ καὶ ὀνόματι τὴν ἱερωσύνην κεκλήρωται, ἀλλ' οὖν διαψεύδεται ὁ λόγος ἐπὶ τῷ πράγματι· Οὐδεὶς γὰρ Θεῷ δουλεύειν δύναται καὶ μαμωνᾷ, ὡς εὐαγγελικῶς ἐμάθομεν (1). Καὶ ἐπειδὴ ἠκούσαμεν προφητικῶς τοῦ Θεοῦ βοῶντος· Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ (2), αὖθίς τε ἐπαπειλοῦντος καὶ λέγοντος· Ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω (3), φόβῳ τοῦ τῆς σιωπῆς παραγγέλματος ἢ κατακρίματος, ἀναγγέλλομεν τοῖς προέδροις πᾶσι τῶν καθ' ἡμᾶς ἐκκλησιῶν, ἵνα μετα παῤῥησίας κατὰ τὸν Θεῖον Ἀπόστολον εἴπωμεν, Καθαροί ἐσμεν (4) ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, καὶ πάνυ γε μᾶλλον τῶν ἐπὶ χρήμασι χειροτονησάντων, ἢ χειροτονηθέντων, Πέτρου τοῦ θείου Ἀποστόλου, οὗ καὶ τὴν καθέδραν ἐκληρώσατο ἡ ἀδελφικὴ ὑμῶν ἁγιότης, ὡς Σίμωνα τὸν μάγον, τούτους καθελόντος· τούτου ἕνεκεν, οὐχ ὑποστελλόμεθα τοῦ ἀναγγέλλειν τὴν ἀλήθειαν, φυλάττοντες καὶ κρατοῦντες τὰ παρὰ τῶν ἁγίων Ἀποστόλων, καὶ τῶν ἀοιδίμων Πατέρων ἡμῶν κανονικῶς ἐκδοθέντα, καὶ εἴ τι τούτων παρεβάθη ὑπό τινων, βδελυττόμεθα. Ἡ γοῦν ἀδελφικὴ ὑμῶν ἱεροπρεπὴς ἀρχιερωσύνη (5), ἡ ἐνθέσμως καὶ κατὰ Θεοῦ βούλησιν πρυτανεύουσα τὴν ἱεραρχικὴν ἁγιστείαν, διαβόητον ἔχει τὴν δόξαν. Εἴρηκε γὰρ διὰ τοῦ Προφήτου ὁ μέγας καὶ πρῶτος ἀρχιερεὺς Χριστὸς ὁ Θεὸς ἡμῶν· Ζῶ ἐγὼ, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω (6). Οἶδας γὰρ, ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, ὅτι φορητοτέρα μᾶλλόν ἐστι Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν Πνευματομάχων ἡ δυσσεβὴς αἵρεσις· ἐκείνων γὰρ κτίσμα

(1) Ματθ. ς', 24. — (2) Ἡσ. Μ', 2. — (3) Ἰεζ. ΛΓ', 6. — (4) Πράξ. Κ', 26. — (5) ἀρχιεροπρεπὴς ἁγιωσύνη Σ. Ρ. — (6) α', Βασιλ. Β', 30.

καὶ δοῦλον τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἅγιον Πνεῦμα ληρῳδούντων, οὗτοι ἑαυτῶν, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσι. Πᾶς γὰρ δεσπότης, ὅ,τι ἂν ἔχοι, εἰ βούλοιτο, πιπράσκει, εἴτε οἰκέτην, εἴτε ἕτερον, ὃ (1) κέκτηται· ὡσαύτως καὶ ὁ ἀγοράζων, δεσπότης βουλόμενος εἶναι τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται. Οὕτως οἱ ταύτην τὴν ἄθεσμον πρᾶξιν ἐργαζόμενοι, καταβιβάζουσι τὸ Πνεῦμα τὸ ἅγιον, ἴσα ἁμαρτάνοντες τοῖς βλασφημοῦσιν ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστόν (2)· ἢ τό γε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις Ἰουδαίοις, τιμῆς ἀργυρίου τὸν Χριστὸν (3) ἀπεμπολήσατο. Ὡς οὖν τὸ ἅγιον Πνεῦμα ὁμοούσιόν ἐστι Χριστῷ τῷ Θεῷ ἡμῶν, τῆς αὐτῆς, παντί που δῆλον, ἔσονται μερίδος, ὡς ἀποδέδεικται. Εἰ δὲ οὐ πιπράσκεται (4), (πρόδηλον γὰρ ὅτι οὐδαμῶς,) ἀναμφιλέκτως οὐκ ἔστιν ἐν αὐτοῖς ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ἤτοι ἡ τῆς ἱερωσύνης ἁγιστεία· καὶ εἰ οὐκ ἔλαβον(5), οὐδὲ ἔχουσι. Μνησθήτωσαν γὰρ τοῦ ἁγίου Πέτρου πρὸς τὸν τοῦτο ἐπιτηδεύσαντα οὕτω λέγοντος· Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ (6). Εἰ γὰρ ἀπεμπολεῖται ἡ τῆς ἱερωσύνης ἀξία, ἄρα περιττὴ αὐτοῖς ἡ κατὰ τὸν βίον σεμνὴ πολιτεία, καὶ ἡ ἐν ἁγνείᾳ καὶ ἀρετῇ ἀναστροφή. Περιττὸς κατ' αὐτοὺς καὶ Παῦλος ὁ θεῖος Ἀπόστολος διδάσκων, δεῖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, σώφρονα, κόσμιον, διδακτικὸν, ἐγκρατῆ, νηφάλιον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν(7). Οἴχεται τοίνυν ταῦτα πάντα ἐκ τοῦ πράτου καὶ ἀγοραστοῦ τῆς ἱερωσύνης. Αἱ οὖν ὑποκείμεναι ἁγιόλεκτοι χρήσεις, ἀλλότριον πάντη τῆς ἱερωσύνης ἀπο-

(1) Χ. Τρ. Σ. Ρ. — ὧν Π. — ἐν Βενερ. — (2) Ματθ. Θ', 34. — (3) τὸν Κύριον Χ. Τρ. — (4) εἰ δὲ πιπράσκεται Π. — (5) Χ. Τρ. — καὶ ὃ οὐκ ἔλαβον Σ. Ρ. — καὶ οὐκ ἔλαβον Π. Βενερ. Ἐ. — (6) Πράξ. Η', 21. — (7) α', Τιμόθ. Γ', 1.

φαίνονται τὸν ποτὲ διδόντα ἢ λαμβάνοντα, ἐν οἱῳδήποτε χρόνῳ, εἴτε καὶ πρὸ τῆς χειροτονίας, εἴτε καὶ μετὰ τὴν χειροτονίαν· λαβεῖν γάρ ἐστι, τὸ λαβεῖν ὁτεδήποτε. Ἀλλὰ καὶ πάσας τὰς προβολὰς τὰς ἐκκλησιαστικὰς ἀφαιροῦσιν ἐπὶ τῇ τῶν χρημάτων δόσει.

Κανὼν ΚΘʹ. τῶν ἁγίων Ἀποστόλων.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτός, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ᾿ ἐμοῦ Πέτρου.

Ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων (1).

Ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

Ἐκ τῆς τρίτης τῶν Βασιλειῶν (2).

Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλά. Καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοάμ, καὶ εἰς ὄλεθρον, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

(1) Πράξ. Η', 18. — (2) ΙΓ', 33, 34.

Ἐκ τῆς τετάρτης τῶν Βασιλειῶν (2).

Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ἐλισσαιὲ αὐτὸς, καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπεν· Ἰδοὺ δὴ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ἰσραήλ· καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. Καὶ εἶπεν Ἐλισσαιέ· Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι· καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. Καὶ μετ' ὀλίγα· Καὶ εἶπε Γιεζῆ τὸ παιδάριον Ἐλισσαιέ· Ἰδοὺ ἐφείσατο ὁ Κύριός μου Νεεμὰν τοῦ Σύρου, τοῦ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ἃ ἐνήνοχε· ζῇ Κύριος, εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι παρ' αὐτοῦ τι. Καὶ ἐδίωξε Γιεζῆ ὀπίσω Νεεμάν. Καὶ μετὰ βραχέα· Καὶ εἶπε Νεεμάν· Λάβε διτάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλάκοις, καὶ δύο ἀλλασσομένας στολάς. Καὶ μεθ' ἕτερα· Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιέ· Πόθεν Γιεζῆ; Καὶ εἶπε Γιεζῆ· Οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιέ· Οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ; Καὶ οἶδα ὅτι ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συνάντησίν σου· καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες τὰ ἱμάτια, καὶ λήψῃ ἐν αὐτῷ κήπους, καὶ ἀμπελῶνας, καὶ ἐλαιῶνας, καὶ πρόβατα, καὶ βόας, καὶ παῖδας, καὶ παιδίσκας, καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοὶ, καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. Καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς εἰς τὸν Ἡσαΐαν ἑρμηνείας.

Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν, οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ· οὗτος δὲ ὁ νόμος οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἐγγα-

(1) Ε, 15, — 27.

στριμύθου· οὐ γὰρ πρὸς ἀπάτην ἐπινενόηται ὥσπερ ἐκεῖνα, ἀλλ' ἀληθείας ἐστὶ διδάσκαλος· κἀκεῖνοι μὲν ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ κέρδους οἱ ἀπατώμενοι· τὸ δὲ ῥῆμα τοῦ νόμου οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ· οὐδεὶς γὰρ τὴν χάριν ἀποδίδοται· Δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. Ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ Σίμωνι, ἀργύριον ἐπὶ τῆς τοῦ Πνεύματος χάριτος προσκομίσαντι· Τὸ ἀργύριόν σου σὺν σοὶ, φησὶν, εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστιν οὖν ὁ τοῦ Εὐαγγελίου λόγος, ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. Τί γὰρ ἄν τις δῴη ἄξιον αὐτοῦ ἀντάλλαγμα; Ἄκουε τοῦ Δαυὶδ διαποροῦντος καὶ λέγοντος· Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς ἀπ' αὐτοῦ χάριτος· ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος· ὁ δοὺς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασι.

Νομίζουσι μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐστιν ὁτεδήποτε τὸ λαβεῖν. Παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύναντες τοῖς τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν τὰ ἅγια μυστήρια.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος, ὁ κατήγορος τῶν ἓξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. Προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. Ἐπὶ τούτοις ἱκέτευε, λέγων· Ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον

μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοφιλίας, σήμερον παρ' αὐτὰ δοῦναί με τοὺς μάρτυρας· εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ὁ ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες. Ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα· καὶ ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῶν πρῴην πραχθέντων ὑπομνημάτων. Εἰσῆλθον οἱ μάρτυρες· εἰσῆλθον καὶ οἱ ἐξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. Ἐν ἀρχῇ ἠρνοῦντο· ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ πρεσβυτέρων, οἷς ἔδοξαν τεθαῤῥηκέναι, πρῶτον μὲν ἠρνοῦντο· ὡς δὲ οἱ μάρτυρες ἤλεγχον, τόπων αὐτοὺς ὑπομιμνήσκοντες καὶ καιρῶν, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λέγοντες, καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῶν διακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης, ὅτι δεδώκαμεν καὶ γεγόναμεν τοιαύτην νομίσαντες ἀκολουθίαν εἶναι, καὶ ἵνα τῆς λειτουργίας τῆς δημοσίας ἐλευθερωθῶμεν (1)· καὶ νῦν δεόμεθα, εἰ μή ἐστιν ὅσιον ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας, ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν, ἵνα λάβωμεν· τῶν γὰρ γυναικῶν ἡμῶν δεδώκαμέν τινα σκεύη. Ὁ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς ἀπαλλάξω, ἀξιώσας τὸν βασιλέα· ὑμεῖς δὲ προστάξατε λαβεῖν αὐτούς, ὃ δεδώκασι, παρὰ τῶν Ἀντωνίνου κληρονόμων. Προσέταξεν ἡ σύνοδος τὸ μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν κληρονόμων τοῦ Ἀντωνίνου· κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, εἶναι δὲ ἀπὸ ἱερέων, ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος γένηται Ἰουδαϊκὸν, ἢ Αἰγύπτιον, τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. Φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων, κατ' ἔτος

(1) ἵνα δόξωμεν τῆς βουλῆς τῆς δημοσίας ἐλευθεροῦσθαι Σ. Ἱ.

ἀμείβειν ἢ παρ' ἔτος τοὺς ἀρχισυναγώγους, ἐπὶ συλλογῇ τοῦ ἀργυρίου· ὁμοίως καὶ τὸν ζηλωτὴν τούτου, τὸν Αἰγυπτίων πατριάρχην, ἵνα πληρωθῇ τὸ προφητικόν· Οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίνοντο, καὶ οἱ Προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο (1).

Ἐκ τῶν κανόνων τῶν χλ'. ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας, ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις καὶ μεσιτεύων φανῇ τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ, εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω.

Ἐκ τῆς ἐγκυκλ. ἐπιστολῆς Γενναδίου τοῦ ἁγιωτ. ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς σὺν αὐτῷ συνόδου.

Ἔστω τοίνυν, καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ,τε κτᾶσθαι ταύτην τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν· οὐ γὰρ οἷόν τε συμβιβασθῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας, δουλεῦσαι Θεῷ. Δεσποτικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ (2).

---

(1) Μιχ. Γ', 11. — (2) Ματθ. ς', 24.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ϛʹ. συνόδου.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, ἢ οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

Ἀκούσωμεν ταῦτα πάντες, καὶ ἐνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς, ἀλλὰ καὶ οἱ ἐν τῷ κλήρῳ καταριθμούμενοι, καὶ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν(1)· ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ, ἠγοράσθημεν ἐκ τῆς ματαίας πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ(2). Οὕτω καὶ ἡμᾶς δίδαξον, ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς γραφικοῖς καὶ εὐαγγελικοῖς καὶ ἀποστολικοῖς κανονικοῖς τε καὶ πατρικοῖς παραγγέλμασι· πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν. Ἐπὶ τῶν ὑψηλῶν ἀνάβηθι· ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου(3)· πορεύθητι ἐν πλατυσμῷ· κήρυξον μετὰ παῤῥησίας, ὅπως ἐξαρθῇ, καὶ εἰς ἀφανισμὸν οἰχήσεται ἡ διὰ χρημάτων χειροθεσία· καὶ πᾶν εἴ τι διὰ φιλαργυρίαν ταύτῃ ἀδικίαν τε καὶ ἐμπορίαν αἰσχροκερδῶς παρέπεται· ταύτης γὰρ μετὰ τῶν συστοιχούντων αὐτῇ ἐξαιρουμένης ἐκ τοῦ περιουσίου λαοῦ, τοῦ τῷ ὀνόματι τοῦ Χριστοῦ κεκλημένου, καὶ δωρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ συνεπόμενα μιάσματα πρόῤῥιζα συνεκτμηθήσονται, καὶ οἱ ἱερεῖς ὡς φοίνιξ ἀνθήσουσι, Χριστοῦ εὐωδίαν τοῖς σωζομένοις ἐμπνέοντες, καὶ τῇ ἐκκλησίᾳ ἐπινικίως προσᾴδοντες· Περιεῖλε Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου(4)· ἔτι δὲ καὶ τοὺς δρεπομένους καρποὺς γλυκάζοντες, πληθύνοντές τε αὐτοὺς ἐν γήρει πίονι, τῆς μακαρίας ἐκείνης, λέγω, καὶ ἀκηράτου ζωῆς κληρονόμους ἀναδεικνύοντες.

ΒΑΛΣ. Ἡ ἐπιστολὴ αὕτη κατεσκευάσθη ἀπὸ γραφικῶν καὶ κανονικῶν ἀποδείξεων, διαλαμβάνουσα, χεῖρον τῶν Πνευματο-

(1) Ἑβρ. Βʹ, 1. — (2) α. Πέτρ. Αʹ, 18. (3) Ἡσαΐ. Μʹ, 9. (4) Σοφον. Γʹ, 16.

μάχων ἁμαρτάνειν τοὺς ποιοῦντας χειροτονίας διὰ χρημάτων, καὶ πωλοῦντας τὴν χάριν τοῦ ἁγίου Πνεύματος· οἱ μὲν γὰρ δοῦλον τοῦ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγουσιν· οὗτοι δὲ δοῦλον ἑαυτῶν ποιοῦσι τοῦτο διὰ τὴν πρᾶσιν· ἐκεῖνα γάρ τις πωλεῖ, τὰ οἰκεῖα· παρεικάζει δὲ τούτους καὶ τῷ προδότῃ Ἰούδᾳ, ὡς τολμῶντας πωλεῖν τὸ ἅγιον Πνεῦμα, τὸ ὁμοούσιον τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν. Ὀφείλεις δὲ εἰδέναι, ὅτι τὸ, Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, ἐκ τῆς προφητείας ἐστὶ τοῦ Ἠσαΐου· τὸ, Ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν, καὶ τὰ ἑξῆς, τοῦ Ἰεζεκιήλ· τὸ, Καθαροί ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων, ἤτοι ἐκ τῆς πρὸς τοὺς πρεσβυτέρους διαταγῆς τοῦ μεγάλου Παύλου· τὸ, Ὡς τὸν Σίμωνα τὸν μάγον κατακρίνεσθαι τοὺς διὰ χρημάτων χειροτονουμένους, ἐξελήφθη ἀπὸ τοῦ κθ'. ἀποστολικοῦ κανόνος· τὸ, Νῦν φησι Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, ἀπὸ τῆς ἀρχῆς τῆς πρώτης τῶν Βασιλειῶν· τὸ, Ὃ οὐκ ἔλαβον οὐδὲ ἔχουσιν, ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· τὸ, Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ, ἀπὸ τῶν Πράξεων τῶν Ἀποστόλων· τὸ, Δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, ἀπὸ τῆς πρὸς Τιμόθεον πρώτης ἐπιστολῆς· τὸ, Ἀκούσωμεν ταῦτα πάντα, καὶ ἐνωτισώμεθα, ἀπὸ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς· τὸ, Οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθημεν, ἀπὸ τῆς πρώτης Καθολικῆς ἐπιστολῆς Πέτρου· τὸ, Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι, ἐκ τοῦ Ἠσαΐου καὶ τοῦ Ὠσηέ· τὸ, Οἱ ἱερεῖς ὡς φοίνιξ ἀνθήσουσι, ἐκ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς· καὶ τὸ, Περιεῖλε Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου, ἐκ τοῦ Σοφονίου.

ΣΥΝΟΨ. Οἱ χειροθέται ὑπηρέται τοῦ ἁγίου Πνεύματος εἰσὶν, ἀλλ' οὐχὶ πρᾶται· δωρεὰν γὰρ λαβόντες, κατὰ τὴν Κυρίου φωνὴν, δωρεὰν διδόναι ὀφείλουσιν· ὁ δὲ χρυσίῳ τὴν χάριν τοῦ ἁγίου Πνεύματος πειρώμενος κτήσασθαι, ἐκκήρυκτος, ὅτι μηδὲ δυνατὸν Θεῷ δουλεύειν καὶ μαμωνᾷ, καὶ ὅτι δυσσεβεστέρα Μακεδονίου καὶ τῶν λοιπῶν Πνευματομάχων ἡ ἔκφυλος αὕτη αἵρεσις· ἐκείνων γὰρ δοῦλον τοῦ Θεοῦ βλασφημούντων τὸ Πνεῦμα τὸ ἅγιον, οὗτοι δοῦλον ἑαυτῶν ποιοῦσι, τολμῶντες πιπράσκειν ὡς τὰ ἀνδράποδα, καὶ τῷ Ἰούδᾳ ἴσοι εἰσίν.



*Ἐκ τῶν Πράξεων.*

Εἶπε Παῦλος πρὸς Σίμωνα προσάγοντα χρήματα ἵνα λάβῃ τὸ Πνεῦμα τὸ ἅγιον· Τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν εἴη, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτήσασθαι.

*Ἐκ τῆς γ'. τῶν Βασιλειῶν.*

Ὁ βουλόμενος ἐπλήρου τὰς χεῖρας Ἱεροβοάμ, καὶ ἐγένετο ἱερεὺς, καὶ ἐγένετο εἰς ἁμαρτίαν τοῦτο, καὶ ἀφανισμὸν, καὶ ὄλεθρον τοῦ οἴκου Ἱεροβοάμ.

*Ἐκ τῆς δ'.*

Εἶπεν Ἐλισσαιὲ πρὸς Γιεζῆ· Ναὶ ἔλαβες τὸ ἀργύριον Νεεμὰν καὶ τὰ ἱμάτια, ἀλλὰ καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεταί σοι καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα.

*Ἐκ τῆς εἰς τὸν Ἡσαΐαν ἑρμηνείας τοῦ Μεγάλου Βασιλείου.*

Οὐδεὶς τὴν χάριν τοῦ Θεοῦ χρυσίῳ ἀποδίδοται· Δωρεὰν γὰρ ἐλάβετε, δωρεὰν δότε. Ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος κατὰ Σίμωνος· Τὸ ἀργύριον, φησὶ, σὺν σοὶ εἰς ἀπώλειαν, ὅτι τὴν χάριν τοῦ Θεοῦ διὰ χρημάτων ἤλπισας κτήσασθαι.

*Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἐπιστολῆς.*

Νομίζουσιν οἱ χειροτονοῦντες ἐπὶ χρήμασι μὴ ἁμαρτάνειν τῷ μὴ προλαμβάνειν ἢ ἅμα λαμβάνειν, ἀλλὰ μεταλαμβάνειν· ἀλλ' ἴστωσαν ὅτι λαβεῖν ἐστι τὸ λαβεῖν ὁτεδήποτε. Παρακαλῶ οὖν ἀποθέσθαι τὴν ἐπὶ τὴν γέενναν ταύτην προσαγωγήν.

*Ἐκ τοῦ βίου τοῦ Χρυσοστόμου.*

Προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον, τοὺς χειροτονηθέντας ἐπὶ χρήμασι παρὰ τῶν κληρονόμων τοῦ χειροτονήσαντος Ἀντωνίνου λαβεῖν, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, πλὴν εἶναι ἀπὸ ἱερέων, ἵνα μὴ, τούτων συγχωρηθέντων, ἔθος Ἰουδαϊκὸν καὶ Αἰγύπτιον γένηται πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. Καὶ ζήτει κανόνα β'. τῶν ἐν Χαλκηδόνι συνελθόντων ἁγίων Πατέρων.

*Γενναδίου Κωνσταντινουπόλεως.*

Ἔστω ἐκκήρυκτος, καὶ πάσης λειτουργίας ἱερατικῆς ἀλλότριος, καὶ τῷ ἀναθέματι ὑποκείμενος ὁ, τε κτᾶσθαι τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ παρέχειν ταύτην ἐπαγγελλόμενος. Ζήτει καὶ κανόνα κβ'. τῆς ς'. συνόδου.

## ΕΚ ΤΗΣ ΠΡΟΣ ΝΙΚΟΠΟΛΙΤΑΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ (1).

Η ΕΠΙΣΤΟΛΗ *διαλέγεται περὶ τοῦ ὑπομένειν καὶ εὐχαρίστως φέρειν τοὺς πειρασμούς· εἶτα ἐπάγει·*

Τί πεπόνθαμεν δεινόν, εἰ μὴ τάχα τοῦτο λυπηρόν, ὅτι μηδὲν πεπόνθαμεν, μηδὲ ἐνομίσθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων; Εἰ δὲ ὅτι δεινὰ (2) κατέχει τὸν οἶκον τῆς προσευχῆς, ὑμεῖς δὲ ἐν τῷ ὑπαίθρῳ προσκυνεῖτε τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν (3), τοῦτο ὑμᾶς ἀνιᾷ, ἐνθυμήθητε, ὅτι οἱ μὲν ἕνδεκα μαθηταὶ ἐν τῷ ὑπερῴῳ ἦσαν ἀποκεκλεισμένοι, οἱ δὲ σταυρώσαντες τὸν Κύριον ἐν τῷ περιβοήτῳ ναῷ τὴν Ἰουδαϊκὴν λατρείαν ἐπλήρουν. Ἰούδας γὰρ τὸν δι' ἀγχόνης θάνατον τοῦ μετ' αἰσχύνης ζῆν προτιμήσας, ἔδειξε τάχα τῶν νῦν ἀπερυθριασάντων πρὸς πᾶσαν ἀνθρώπων κατάγνωσιν, καὶ διὰ τοῦτο ἀναιδῶς πρὸς τὰ αἰσχρὰ διακειμένων, ἑαυτὸν αἱρετώτερον. Μόνον μὴ ἐξαπατηθῆτε (4) ταῖς ψευδολογίαις αὐτῶν, ἐπαγγελλομένων ὀρθότητα πίστεως. Χριστέμποροι γὰρ οἱ τοιοῦτοι, καὶ οὐχὶ Χριστιανοί, τὸ ἀεὶ κατὰ τὸν βίον αὐτοῖς λυσιτελοῦν, τοῦ κατὰ ἀλήθειαν ζῆν προτιμῶντες. Ὅτε (5) ἐνόμισαν κτᾶσθαι τὴν κενὴν ταύτην ἀρχήν, προσέθεντο τοῖς ἐχθροῖς τοῦ Θεοῦ (6)· ὅτε εἶδον τοὺς λαοὺς ἀγριαίνοντας, σχηματίζονται πάλιν τὴν ὀρθότητα. Οὐκ οἶδα εἰ ἐπίσκοποι εἶεν (7), μηδὲ ἀριθμήσαιμι ἐν ἱερεῦσι Χριστοῦ τὸν παρὰ τῶν βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. Αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. Ὑμεῖς δέ, εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, τὰ αὐτὰ ἡμῖν φρονήσετε δηλονότι· εἰ δὲ ἀφ' ἑαυτῶν βουλεύεσθε, τῆς ἰδίας γνώμης ἐστὶν ἕκαστος κύριος· ἡμεῖς ἀθῶοι ἀπὸ τοῦ αἵματος τούτου.

(1) Ἡ ἐπιστολὴ αὕτη οὐ κεῖται ἐν Π. ἀλλ' ἐν Χ. Τρ. παρὰ Ἑ. καὶ Βευερ.— (2) Χ. Τρ. Ἑ. — ὅτι ὁ δεῖνα κατέχει Βευερ. Βασιλ. Ἄπ. — (3) δεσπότην Βασιλ. Ἄπ. — (4) Χ. Τρ. Βασιλ. Ἄπ. — ἀπατηθῆτε Βευερ. Ἑ. — (5) Χ. Τρ. Βασιλ. Ἄπ. ὅτι δὲ Βευερ. Ἑ. (6) τοῦ Χριστοῦ Βασιλ. Ἄπ. (7) οὐκ οἶδα ἐπίσκοπον Ἄπ. Βασ.



## ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

### Κεφάλαιον Κανονικόν (1).

ΟΥΧ ἁπλῶς πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μή ποτε ῥάψαι τὸ διεῤῥωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν· οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι, καὶ τὸ πλέον τῇ τοῦ κόσμου δεδεμένοι τρυφῇ, ἔτι καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρὸν ἐν οἷς ἂν ἁμάρτωσιν ἐπιστρεφόμενοι, δύναιντ' ἄν, εἰ καὶ μὴ τέλεον, ἀλλ' οὖν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν. Ἐὰν δὲ ἀθρόον τις ἐπαναγάγῃ τὴν παίδευσιν, ἐκ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. Ψυχὴ γάρ, ἐπειδὰν ἀπερυθριάσαι βιασθῇ, εἰς ἀνελπιστίαν ἐκπίπτει· καὶ οὔτε προσηνέσι λόγοις εἴκει λοιπόν, οὔτε ἀπειλῇ κάμπτεται, οὔτε εὐεργεσίᾳ προτρέπεται· ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ Προφήτης κακίζων, ἔλεγεν· Ὄψις πόρνης ἐγένετό σοι, καὶ ἀπηναισχύντησας πρὸς πάντας (1). Διὰ τοῦτο πολλῆς δεῖται συνέσεως τῷ ποιμένι πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοί, καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων, οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μεῖζον ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς, καταλλήλως τὰ παρ' ἑαυτοῦ προσάγειν τὸν ἱερωμένον, ἵνα μὴ ματαίως αὐτῷ γίνηται ἡ σπουδή.

(1) ἐκ τοῦ Χ. Τρ. — παρὰ δὲ Βευερ. ἢ Ἑ. οὐ κεῖνται τὰ τεμάχια ταῦτα.

## ΤΟΥ ΑΓΙΟΥ ΑΝΑΣΤΑΣΙΟΥ,

### Ἐρωτηθέντος, πότερον καλὸν, τὸ συνεχῶς κοινωνεῖν, ἢ ἐκ διαλειμμάτων;

### Ἀπόκρισις.

ΤΟΥ Ἀποστόλου λέγοντος· Δοκιμαζέτω ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν(1), εὔδηλον, ὅτι χρὴ προαγνίζειν καὶ προκαθαίρειν ἑαυτοὺς ἀπὸ πάσης ἐναντίας πράξεως, καὶ οὕτω προσιέναι τῇ θείᾳ μυσταγωγίᾳ, ἵνα μὴ εἰς ὄλεθρον ψυχῆς καὶ σώματος γένηται. Φησὶ γὰρ ὁ Θεὸς διὰ Μωσέως πρὸς τὸν Ἰσραήλ· Πᾶς ἄνθρωπος ὃς ἂν ἔλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτῶν ἐπ' αὐτοῖς, ἐξολοθρεύσει Κύριος τὴν ψυχὴν ἐκείνην(2). Καὶ πάλιν· Εὐλαβεῖς ποιήσατε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκηνήν μου. Ἔνθεν γὰρ ὁ Ἀπόστολος λέγει πρὸς τοὺς ἀναξίως κοινωνοῦντας, ὡς εἴρηται, ὅτι διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοὶ, τουτέστιν ἀσθενοῦσι καὶ τελευτῶσι· διὸ δὴ καὶ ὁ θεῖος Δαυὶδ, ὅτε ἔμελλεν ἐσθίειν καὶ οἱ σὺν αὐτῷ τοὺς ἄρτους τῆς προθέσεως, οἵτινες ὑπῆρχον προτύπωσις τοῦ σώματος τοῦ Χριστοῦ, τοῦτο εὐθὺς ἠρώτησεν ὁ ἀρχιερεὺς τῷ Δαυὶδ, εἰ καθαροί εἰσιν ἀπὸ κοίτης γυναικὸς, καὶ τότε δέδωκεν αὐτοῖς τοὺς ἄρτους.

---

(1) ά, Κορ. ΙΑ', 28, 29. — (2) Ἐξόδ. ΙΘ', 10, 11.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

### Ἐκ τῆς πρὸς Καισαρίαν Πατρικίαν ἐπιστολῆς.

Τὸ κοινωνεῖν καθ' ἑκάστην ἡμέραν, καὶ μεταλαμβάνειν τῶν θείων μυστηρίων, καλὸν καὶ ἐπωφελὲς, αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον (1). Ἡμεῖς μέντοι τέταρτον καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, τῇ Κυριακῇ, τῇ τετράδι, τῇ παρασκευῇ, καὶ τῷ σαββάτῳ, καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνήμη ἁγίου τινός.

Τὸ δὲ ἐν τοῖς τοῦ διωγμοῦ καιροῖς ἀναγκάζεσθαί τινα, μὴ παρόντος ἱερέως ἢ λειτουργοῦ, τὴν κοινωνίαν ἰδίᾳ χειρὶ λαμβάνειν, μηδαμῶς εἶναι βαρὺ περιττόν ἐστιν ἀποδεικνύναι, διὰ τὸ καὶ τὴν μακρὰν συνήθειαν τοῦτο δι' αὐτῶν τῶν πραγμάτων πιστώσασθαι. Πάντες γὰρ οἱ κατὰ τὰς ἐρήμους σχολάζοντες, ἔνθα μή ἐστιν ἱερεὺς, κοινωνίαν οἴκοι κατέχοντες, ἀφ' ἑαυτῶν μεταλαμβάνουσιν. Ἐν Ἀλεξανδρείᾳ δὲ, καὶ ἐν Αἰγύπτῳ, ἕκαστος καὶ τῶν ἐν λαῷ τελούντων ὡς ἐπὶ τὸ πλεῖστον ἔχει κοινωνίαν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὅτε βούλεται μεταλαμβάνει δι' ἑαυτοῦ· ἅπαξ γὰρ τοῦ ἱερέως τὴν θυσίαν τελειώσαντος καὶ δεδωκότος, ὁ λαβὼν αὐτὴν καὶ μεταλαμβάνων, ὡς παρὰ τοῦ ἱερέως μεταλαμβάνειν πιςεύειν ὀφείλει (2). Καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ ἱερεὺς ἐπιδίδωσι τὴν μερίδα, καὶ κατέχει αὐτὴν ὁ ὑποδεξάμενος μετ' ἐξουσίας ἁπάσης, καὶ οὕτω προσάγει τῷ στόματι τῇ ἰδίᾳ χειρί. Ταυτὸν οὖν ἐστι τῇ δυνάμει, εἴτε μίαν μερίδα δέξεταί τις παρὰ τοῦ ἱερέως, εἴτε πολλὰς μερίδας ὁμοῦ.

---

(1) Ἰω. ς', 56. — (2) Χ. Τρ. — ἅπαξ γὰρ τοῦ ἱερέως τελειώσαντος καὶ δεδωκότος, ὁ λαβὼν αὐτὴν ὡς ὅλην ὁμοῦ, καθ' ἑκάστην μεταλαμβάνων, παρὰ τοῦ δεδωκότος εἰκότως μεταλαμβάνειν καὶ ὑποδέχεσθαι πιστεύειν ὀφείλει. Βασιλ. Ἀπ.

## ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς τοὺς Ἐφεσίους ἐπιστολῆς.

Πολλοὺς ὁρῶ τοῦ σώματος τοῦ Χριστοῦ μετέχοντας ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ συνηθείᾳ μᾶλλον καὶ νόμῳ, ἢ λογισμῷ καὶ διανοίᾳ καθαρᾷ ἑπόμενοι μετέχουσιν. Ἂν ἐπιστῇ, φησὶν, ὁ τῆς ἁγίας Τεσσαρακοστῆς καὶ τοῦ Πάσχα καιρὸς, οἷος ἂν ᾖ τις, μετέχει τῶν μυστηρίων. Ἀλλ' οὐ χρὴ ἑορτὰς ἐπιτηρεῖν, ἀλλὰ συνειδὸς καθαίρειν, καὶ τότε μετέχειν· ὁ γὰρ ἀκάθαρτος καὶ ἀνάξιος, οὐδὲ ἐν ἑορτῇ δίκαιος ἂν εἴη μετέχειν τῆς ἁγίας καὶ φρικωδεστάτης σαρκός. Ἐννόησον γὰρ, ὅτι οἱ τῆς παλαιᾶς θυσίας μετέχοντες πολλὴν ἐκέκτηντο τὴν φειδώ· προηγνίζοντό τε, καὶ πάντοθεν ἐκαθαίροντο. Σὺ δὲ θυσίᾳ προσιὼν, ἣν καὶ ἄγγελοι φρίττουσι, καιρῶν περιόδοις τὸ πρᾶγμα περιορίζεις, καὶ μιαραῖς χερσὶ καὶ χείλεσι κατατολμᾷς τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ; Καὶ βασιλέα μὲν, οὐκ ἂν ἕλοιο καταφιλῆσαι, ὀδωδότος σου τοῦ στόματος· τὸν δὲ βασιλέα τοῦ οὐρανοῦ ψυχῇ καταφιλεῖς ὀδωδυίᾳ; ὕβρις τὸ πρᾶγμα ἐστίν. Οὐκοῦν εἰ τῆς μεταλήψεως οὐκ εἶ ἄξιος, οὐδὲ τῆς εὐχῆς καὶ τῆς συστάσεως τῶν ἀξίων. Ἄκουσον γὰρ καὶ τοῦ Κυρίου λέγοντος· Οἱ ἐν μετανοίᾳ προσέλθετε· ὅσοι δὲ μὴ μετέχουσιν, οὐκ ἐν μετανοίᾳ εἰσίν.

Ἐκ τῆς πρὸς Ἑβραίους.

Πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ τοῦ ἐνιαυτοῦ μεταλαμβάνουσιν· ἕτεροι δίς· ἄλλοι πολλάκις· πρὸς οὓς ἅπαντας ἡμῖν ὁ λόγος ἐστίν. Οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους· ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο ποιοῦσι. Τίνας οὖν χρὴ ἐπαινέσαι, τοὺς ἅπαξ, τοὺς πολλάκις, ἢ τοὺς ὀλιγάκις; Οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ βίου ἀλήπτου. Οἱ

τοιοῦτοι ἀεὶ προσίτωσαν, οἱ δὲ μὴ τοιοῦτοι μηδ' ἅπαξ. Τί δήποτε; Ὅτι κρῖμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα, καὶ κόλασιν, καὶ τιμωρίαν. Καὶ μὴ θαυμάσῃς· ὥσπερ γὰρ ἡ τροφὴ, φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόχυμον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμὴ, οὕτω δὴ καὶ τὰ τῶν ἁγίων μυστήρια. Τραπέζης ἀπολαύεις πνευματικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; Μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων; Τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρισμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου, καὶ πάλιν, ἑβδομάδος παρελθούσης, ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν ἐκδίδως τοῖς νοσοποιοῖς σιτίοις, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας, καὶ ἑαυτὸν μειζόνως ἔβλαψας; Εἰ γὰρ τὰ φυσικὰ μεθίστανται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Ἡμέρας τεσσαράκοντα απονέμεις τῇ ὑγείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; Παίζεις; εἰπέ μοι. Οὐκοῦν διὰ τοῦτο καὶ ὁ διάκονος ἐπιφωνεῖ, λέγων· Τὰ ἅγια τοῖς ἁγίοις· τουτέστιν, ὃς οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. Οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρὸς, ἀλλὰ ἅγιος.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

### Παράγγελμα πρὸς τὸν ἱερέα περὶ τῆς θείας χάριτος.

Σπούδασον, ὦ ἱερεῦ, σαυτὸν παραστῆσαι ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Μηδέποτε στῇς εἰς σύναξιν, ἔχθραν ἔχων κατά τινος, ἵνα μὴ φυγαδεύσῃς τὸν Παράκλητον ἐν ἡμέρᾳ συνάξεως. Μὴ δικάζου, μὴ φιλονείκει, ἀλλ' ἐν τῇ ἐκκλησίᾳ μένων προσεύχου, καὶ ἀναγίνωσκε μέχρι τῆς ὥρας, ἐν ᾗ δεῖ σε τελέσαι τὴν θείαν μυσταγωγίαν, καὶ οὕτω παράστηθι ἐν κατανύξει καὶ καθαρᾷ καρδίᾳ τῷ ἁγίῳ θυσιαστηρίῳ, μὴ περιβλέπων

ἔνθεν κἀκεῖθεν, ἀλλὰ φρίκῃ καὶ φόβῳ παριστάμενος τῷ ἐπουρανίῳ βασιλεῖ. Μὴ διὰ θεραπείαν ἀνθρωπίνην ἐπισπεύσῃς τὰς εὐχὰς ἢ συντέμῃς, μηδὲ λάβῃς πρόσωπον ἀνθρώπου, ἀλλ' ὅρα πρὸς μόνον τὸν προκείμενον βασιλέα, καὶ τὰς παρεστώσας κύκλῳ δυνάμεις. Ἄξιον σαυτὸν ποίησον τῶν ἱερῶν κανόνων. Μὴ συλλειτούργει οἷς ἀπηγόρευται. Βλέπε τίνι παρέστηκας, πῶς ἱερουργεῖς, καὶ τίσι μεταδίδως. Μὴ ἐπιλάθῃ τῆς δεσποτικῆς ἐντολῆς καὶ τῆς τῶν ἁγίων Ἀποστόλων· Μὴ δότε γάρ, φησί, τὰ ἅγια τοῖς κυσί, καὶ τοὺς μαργαρίτας μὴ βάλητε ἔμπροσθεν τῶν χοίρων(1). Βλέπετε τοὺς κύνας, καὶ τὰ ἑξῆς. Ὅρα μὴ πτοηθῇς ἄνθρωπον εἰς πτῶσίν σου· μὴ παραδῷς τὸν Υἱὸν τοῦ Θεοῦ εἰς χεῖρας ἀναξίων. Μὴ ἐντραπῇς τινα τῶν ἐνδόξων τῆς γῆς, μηδ' αὐτὸν τὸν τὸ διάδημα περικείμενον, ἐν τῇ ὥρᾳ ἐκείνῃ. Τοῖς δὲ τῆς θείας μεταλήψεως ἀξίοις μεταδίδου δωρεάν, ὡς καὶ αὐτὸς ἔλαβες. Οἷς οἱ θεῖοι κανόνες οὐκ ἐπιτρέπουσι, μὴ μεταδίδου, ὡς ἐθνικοὶ γὰρ ἐλογίσθησαν· καὶ ἐὰν μὴ ἐπιστρέψωσιν, οὐαὶ καὶ αὐτοῖς, καὶ τοῖς μεταδιδοῦσιν αὐτοῖς. Ὅρα, ἐγὼ πρᾶγμα οὐκ ἔχω, σὺ ὄψει, μὴ ἐξ ἀμελείας σῆς, μῦς ἢ ἄλλο τι ἅψηται τῶν θείων μυστηρίων, μηδὲ νοτισθῶσιν, ἢ καπνισθῶσιν, ἢ χειρισθῶσιν ὑπὸ ἀνιέρων καὶ ἀναξίων. Ταῦτα καὶ τὰ τοιαῦτα φυλάσσων, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου (2).

(1) Ματθ. Ζ', 6.— (2) Τὸ παράγγελμα τοῦτο ἀναγινώσκεται παρὰ Βευηρ. ἐν τῷ τέλει τῆς ἑπομένης Συνόψεως τῶν Κανόνων. Ἀλλ' ἡμεῖς δημοσιεύομεν αὐτὸ ἐνταῦθα, ἑπόμενοι κἂν τούτῳ τῇ ἐν τῷ Τραπεζουντίῳ Κώδικι τάξει.



# ΣΥΝΟΨΙΣ ΤΩΝ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ (1).

## ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

*Περὶ τοῦ πότε χρὴ τῷ μεγάλῳ σαββάτῳ ἀπονηστίζεσθαι.*

Οἱ ἍΓΙΟΙ Εὐαγγελισταὶ περὶ μὲν τοῦ καιροῦ τῆς τοῦ Κυρίου Ἀναστάσεως εἶπον οὐδέν· διαφόρους δὲ τὰς τῶν παραβαλλόντων τῷ τάφῳ ἀφίξεις ἀπήγγειλαν· Ὀψὲ σαββάτων, ὅπερ δηλοῖ βαθείας νυκτός, ὁ Ματθαῖος· Πρωΐ, σκοτίας ἔτι οὔσης, ὁ Ἰωάννης· Ὄρθρου βαθέος, ὁ Λουκᾶς· καί, Λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, ὁ Μάρκος· καὶ πάντες προεγηγέρθαι τὸν Κύριον ἔφησαν. Τοῖς οὖν ἐρωτῶσι, κατὰ ποίαν ὥραν ἄρχεσθαι δεῖ τῆς ἐπὶ τῇ ἐγέρσει τοῦ Κυρίου χαρᾶς, ἀποκριθῇς, ὅτι τοὺς μὲν πρὸ νυκτὸς ἀνιέντας, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς αἰτιώμεθα, τοὺς δὲ μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας ἀποδεχόμεθα· τοῖς μεταξὺ δὲ οὐκ ἐνοχλοῦμεν.

*Τοῦ αὐτοῦ περὶ τῶν ἀκοινωνήτων μενόντων, φόβῳ δὲ θανάτου κοινωνούντων, εἶτα ἐπιβιούντων.*

α'. Τοὺς προσδοκίᾳ θανάτου λυθέντας τῆς ἀκοινωνησίας, ἄλογον, ἂν ἐπιβιῶεν, αὖθις δεσμεῖν, μηδὲν ἐν τῷ μεταξὺ ἐργασαμένους. Εἰ μέντοι μετὰ τὸ ῥαΐσαι φαίνοιτό τις πλείονος δεόμενος ἐπιστροφῆς, καὶ νουθετούμενος ταπεινοῦν καὶ κακοῦν καὶ συστέλλειν ἑαυτὸν μὴ πείθοιτο, ἀλλ' ἀντιλέγει, τοῦτο αὐτῷ ἔγκλημα πρὸς δεύτερον ἀφορισμόν.

*Περὶ ἀκαθαρσίας.*

β'. Αἱ ἐν ἀφέδρῳ, καὶ θείων ναῶν, καὶ ἱερῶν μυστηρίων εἰργέσθωσαν.

γ'. Καὶ οἱ γεγαμηκότες, ἐκ συμφωνίας ἀλλήλων ἀπεχέσθωσαν, ἵνα σχολάζωσι τῇ προσευχῇ, καὶ πάλιν συνῶσιν.

(1) Τὰ ἑπόμενα τεμάχια τῆς Συνόψεως τῶν Ἱερῶν Κανόνων, ἅτινα εὕρηνται ἐν παραρτήματι τοῦ Συνοδικοῦ τοῦ Βευερηγίου, δημοσιεύονται κατὰ τὸν αὐτὸν τρόπον ἐνταῦθα, πρὸς συμπλήρωσιν τῆς κοινῶς λεγομένης Συνόψεως τοῦ Ἀριστηνοῦ, ἐκτὸς εἰνων δημοσιευθέντων ἤδη ὑπὸ τοὺς ἀντιστοιχοῦντας Κανόνας.

δ'. Οἱ ἀπροαιρέτως ῥύσιν νυκτερινὴν ὑφιστάμενοι, τῷ οἰκείῳ συνειδότι ἀκολουθείτωσαν, καὶ ἑαυτοὺς σκοπείτωσαν, εἰ διακρίνοιντο, ἢ μή· ὡς γὰρ ἐπὶ τῶν βρωμάτων, οὕτω κἀνταῦθα ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται.

## ΠΕΤΡΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΙΕΡΟΜΑΡΤΥΡΟΣ.

ά. Τεσσάρων ἤδη χρόνων ἐπιπαρῳχηκότων τῷ διωγμῷ, ἀποφαινόμεθα τοὺς μὲν πολλὰ παθόντας, εἶτα τῶν βασάνων ἡττηθέντας καὶ Χριστὸν ἀρνησαμένους, ἔπειτα μεταγνόντας καὶ καταπενθοῦντας τρίτον ἔτος μετὰ τὴν προσέλευσιν, ἄλλας τεσσαράκοντα ἡμέρας ἐπιτιμηθῆναι.

β'. Τοῖς φυλακῇ μόνον ἐμβληθεῖσι καὶ παραπεσοῦσι, πρὸς τῷ παρελθόντι χρόνῳ ἐνιαυτὸς ἀρκέσει.

γ'. Τοῖς μηδὲν ὅλως παθοῦσιν, ἀλλ' αὐτομολήσασι πρὸς τὴν ἀσέβειαν, νῦν δὲ μετανοοῦσιν, ὁρίζομεν τετραετίαν, κατὰ τὴν ἐν Εὐαγγελίῳ συκῆν, ἐπὶ τρία ἔτη μένουσαν ἄκαρπον ἐκτμηθῆναί τε μέλλουσαν, καὶ συγχωρηθεῖσαν ἔτι ἐνιαυτόν.

δ'. Εἰ καὶ μετὰ τὸ ἐκπεσεῖν ἀμετανόητοι, ἔστωσαν ὡς βάρβαροι.

έ. Τοῖς ὑποκριναμένοις καὶ παίξασι τοὺς βιαστὰς, οὕτω τε διαφυγοῦσι τὸ θῦσαι τοῖς δαίμοσιν, ἑξάμηνον ἐπιτιμηθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς.

ς'. Ἐπειδή τινες ἠνάγκασαν τοὺς ἑαυτῶν δούλους θῦσαι ἀνθ' ἑαυτῶν, οἱ μὲν ἀναγκασθέντες, ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα ἐπιδειξάσθωσαν, οἱ δὲ ἀναγκάσαντες, ἐν τρισίν.

ζ'. Τοῖς παραδοθεῖσι καὶ ἀρνησαμένοις, εἶτα τὴν ἧτταν ἀνακαλεσαμένοις, γενναίως τε ἀγωνισαμένοις, μετὰ πάσης χαρᾶς καὶ εὐφροσύνης ἐν ἅπασι κοινωνήσωμεν, ἵνα εὐφρανθέντες εὐτονώτεροι γένωνται.

ή. Καὶ τοῖς εἰς τοὺς ἀγῶνας αὐτομολήσασι κοινωνητέον· ὑπὲρ Χριστοῦ γὰρ πεποιήκασιν, εἰ καὶ μὴ κατὰ Χριστόν. Φεύγειν γὰρ διωκομένους, ἐκεῖνος ἐκέλευσεν.

θ'. Οἱ ἀπὸ κλήρου αὐτομολήσαντες, καὶ τῶν βασάνων ἡττηθέντες, τὴν λειτουργίαν οὐχ ἕξουσι· πῶς γάρ; οἵ γε κατέλιπον τὸ ποίμνιον, ὃ μηδεὶς τῶν Ἀποστόλων ἐποίησε.

ί. Τοῖς αὐθαιρέτως ὑπελθοῦσι τὸν ἀγῶνα, καὶ μετὰ ταῦτα

μεταγνοῦσι, καὶ τὸ πραχθὲν ἀποδυρομένοις, καὶ μάλιστα εἰ ἀπολίτευτοι ἐν τῷ βίῳ αὐτῶν ἐγένοντο, καὶ συνευχόμεθα, καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν.

ιά. Τοῖς δοῦσι χρήματα πρὸς τὸ φυγεῖν βασάνους οὐκ ἔστιν ἔγκλημα· εἵλοντο γὰρ χρήματα ζημιωθῆναι ἢ ψυχήν· καὶ λύτρον ἀνδρὸς ὁ ἴδιος πλοῦτος.

ιϐ'. Οὐδὲ τοῖς φυγῇ τὴν σωτηρίαν πορισαμένοις ἐςὶν ἐγκαλεῖν, κἂν ἀντ' αὐτῶν ἕτεροι κατεσχέθησαν· ἠδύναντο γὰρ κἀκεῖνοι φυγεῖν.

ιγ'. Οἱ πολλὴν βίαν καὶ ἀνάγκην παθόντες, καὶ τέλεον ἐκβιασθέντες θῦσαι, ἀκουσίως τὰς αὐτῶν χεῖρας προσενεγκόντων τῶν βιαστῶν τῇ ἀνιέρῳ θυσίᾳ, οὐ μόνον ἐν τῇ λειτουργίᾳ μενοῦσιν, ἀλλὰ καὶ ἐν τοῖς ὁμολογηταῖς τάξονται.

ιδ'. Τετράδα καὶ παρασκευὴν νηστεύομεν· τῇ μὲν, ὅτι τὸ κατὰ Χριστοῦ τῆς προδοσίας συμβούλιον, τῇ δὲ τὸ σωτήριον γέγονε πάθος· τῇ δὲ Κυριακῇ χαίροντες διὰ τὴν Ἀνάστασιν οὐδὲ γόνυ κλίνομεν.

## ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ,

*Περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν βαρβάρων γενομένων.*

ά. Τοὺς αἰχμαλωτισθέντας ὑπὸ τῶν καταδραμόντων τὴν ἡμετέραν βαρβάρων, οὐδὲν βαρεῖ τὸ φαγεῖν τὰ δοθέντα παρ' ἐκείνων βρώματα· μάλιστα, ὅτι παρὰ πάντων λέγεται τοὺς βαρβάρους μὴ τεθυκέναι εἰδώλοις.

ϐ'. Καὶ αἱ διαφθαρεῖσαι δὲ ὑπ' αὐτῶν, εἰ μὲν βίον εἶχον καὶ πρότερον κατεγνωσμένον, ὕποπτος καὶ νῦν ἡ πορνικὴ αὐτῶν ἕξις, καὶ οὐ κοινωνήσουσιν ἡμῖν τῶν εὐχῶν· εἰ δὲ βίον ἔχουσαι σώφρονα καὶ καθαρὸν ὑβρίσθησαν, οὐκ ἔστιν αὐταῖς ἁμάρτημα.

γ'. Οὐ τὸ ληστεύειν μόνον φευκτὸν καὶ φρικτὸν, ἀλλὰ καὶ τὸ πλεονεκτεῖν, καὶ τῶν ἀλλοτρίων αἰσχροκερδῶς ἐφάπτεσθαι· πᾶς οὖν ὁ τοιοῦτος τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐκκήρυκτος.

δ'. Οἱ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ τὰ τῶν ὁμοφύλων ἁρπάσαντες, σφόδρα ἀσεβεῖς εἰσι καὶ θεοστυγεῖς, καὶ πολλὴν ὑπερβολὴν ἀτοπίας ἔχοντες. Ἔστωσαν οὖν ἐκκήρυκτοι, μήποτε συναπολέσῃ ὁ ἀσεβὴς τὸν δίκαιον.

ε΄. Εἰ καὶ Ἄχαρ μόνος ἥψατο τοῦ ἀναθέματος, ἀλλ' ἐπὶ πᾶσαν ἦλθε τὴν συναγωγὴν ἡ ὀργή. Καὶ ἡμῖν οὖν πᾶν τὸ μὴ ἡμέτερον ἀλλὰ ἀλλότριον, ἀνάθεμα νενομίσθαι προσήκει.

ς΄. Οὐδὲ ὡς εὑρόντα κερδαίνειν ἔξεστι τὰ τῶν ἀδελφῶν· Συνάξεις γάρ, φησὶ τὸ Δευτερονόμιον, καὶ ἔσται μετὰ σοῦ ἕως ἐξαιτήσῃ ὁ ἀδελφός σου (1).

ζ΄. Εἰ τὰ τοῦ ἀμελοῦντος τῶν ἰδίων κερδαίνειν οὐκ ἔξεστι, πόσῳ μᾶλλον τοῦ δυστυχοῦντος καὶ πολεμίους φεύγοντος, καὶ τῶν ἰδίων ἐκδιωκομένου.

η΄. Καὶ οἱ ἀνθ' ὧν αὐτοὶ ἀπώλεσαν ἀλλότρια κατέχοντες, ἑαυτοὺς ἐξαπατῶσιν· ὑπὸ Βοράδων γὰρ καὶ Γότθων παθόντες, Βοράδες καὶ Γότθοι τοῖς ἄλλοις γίνονται.

θ΄. Οἱ τοὺς διαφυγόντας βίᾳ κατέχοντες αἰχμαλώτους, ἄπιστοι καὶ ἀσεβεῖς, καὶ μηδὲ τὸ ὄνομα τοῦ Κυρίου γινώσκοντες. Φοβοῦμαι μὴ καὶ σκηπτοὶ ἐπ' αὐτοὺς πέσωσιν.

ι΄. Οἱ τὰ τῶν βαρβάρων φρονήσαντες αἰχμάλωτοι, φονεύοντές τε τοὺς ὁμοφύλους, καὶ ὁδοὺς καὶ οἰκίας τοῖς βαρβάροις ὑποδεικνύοντες, καὶ τῆς ἀκροάσεως εἰργέσθωσαν, ἕως ἕτερόν τι δόξῃ συνελθοῦσιν ἁγίοις.

ια΄. Οἱ ἀλλοτρίοις οἴκοις ἐπελθόντες, κατηγορηθέντες μὲν καὶ ἐλεγχθέντες, μηδὲ ἀκροάσεως ἀξιούσθωσαν· ἐθελοντὶ δὲ ἐξειπόντες, ὑποπιπτέτωσαν.

ιβ΄. Οἱ ἐν πεδίῳ εὑρόντες τὰ ἀλλότρια, ἢ ἐν ταῖς ἰδίαις οἰκίαις, ὑπὸ τῶν βαρβάρων, ὡς εἰκός, κατενεχθέντα, εἰ μὲν ἐλεγχθῶσιν, ὑποπιπτέτωσαν, εἰ δὲ εἴπωσι καὶ ἀποδῶσωσι, τῆς εὐχῆς ἀξιούσθωσαν.

ιγ΄. Οὐ δεῖ μήνυτρα, ἢ σῶστρα, ἢ εὕρετρα, ἢ ὁτιοῦν λαμβάνειν, ἀλλὰ καθαρῶς πληροῦν τὴν ἐντολήν.

## ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ ΠΡΟΣ ΑΜΜΟΥΝ ΜΟΝΑΖΟΝΤΑ,

### *Περὶ ἐνυπνιαζομένων.*

Εἰπέ μοι, εὐλαβέστατε, τί ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἀπροαίρετος ἔκκρισις, εἰ μή τις ἐγκαλεῖν ἐθέλοι καὶ τὰ διὰ ῥινός, καὶ στόματος, καὶ τῆς γαστρὸς ἐκφερόμενα. Τότε μόνον

(1) Δευτερον. ΚΒ΄, 2.



μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα· ἔκκρισις δὲ φυσική, ἀβουλήτως γινομένη, τῆς φύσεως ἔργον· κἂν τινες ἀλόγως καὶ ῥητὸν εὐαγγελικὸν βιάζωνται τὸ λέγον, Τὰ ἐξερχόμενα κοινοῦν τὸν ἄνθρωπον (1)· ἐπάγεται γὰρ τῷ ῥητῷ, τὰ πόθεν ἐξερχόμενα, ὅτι τὰ ἀπὸ καρδίας, ἔνθα οἱ πονηροὶ καὶ βέβηλοι λογισμοί.

### *Ἄλλο.*

Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Γήμας κατὰ νόμον οὐχ ἥμαρτεν, οὐ μὴν τοσαῦτα χαρίσματα λήψεται· λήψεται γάρ, φέρων καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα. Ὁ δὲ τὴν ὑπερκόσμιον ἑλόμενος βιοτὴν τὴν ἐν παρθενίᾳ, θαυμάσια ἔχει χαρίσματα, φέρει γὰρ τέλειον καρπὸν τὸν τῶν ἑκατόν.

### *Ἄλλο τοῦ ἁγίου Μαξίμου.*

Τινὲς μέν φασιν, ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους, κινοῦσι τὸ τῆς ῥεύσεως πάθος· εἶτα τὸ πάθος κινούμενον ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ μνήμης ἐπὶ τὸν νοῦν. Τινὲς δέ, ὅτι τῷ μὲν νῷ ἐν σχήματι γυναικὸς φαίνονται, τῶν δὲ μορίων τοῦ σώματος καθαπτόμενοι, κινοῦσι τὴν ὄρεξιν, καὶ οὕτω γίνονται αἱ φαντασίαι. Ἑτέρα δὲ πάλιν· ἐν τῷ πλησιάζοντι δαίμονι κινεῖται τὸ πάθος, καὶ οὕτως ἀνάπτεται πρὸς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὰς διὰ τῆς μνήμης, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν ὁμοίως. Οἱ μὲν οὕτως, οἱ δὲ οὕτως ἐπισυμβαίνειν φασίν· πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπων ἰσχύουσι πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ ψυχῇ ἀγάπης καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ.

Τὰ τῆς Παλαιᾶς Διαθήκης βιβλία κβ΄. εἰσίν, ὅσα καὶ τὰ παρ' Ἑβραίοις στοιχεῖα· Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον, Ἰησοῦς, Κριταί, Ῥούθ, Βασιλειῶν δ΄. βίβλοι β΄, Παραλειπομένων β΄. βίβλος μία, Ἔσδρα β΄. βιβλίον ά. Ψαλμοί, Παροιμίαι, Προφῆται ιβ΄. βιβλίον ἕν· εἶτα Ἠσαΐας, Ἱερεμίας σὺν Βαρούχ, Θρήνοις, καὶ Ἐπιστολαῖς, Ἰεζεκιήλ, καὶ Δανιήλ. Τῆς δὲ Καινῆς

(1) Ματθ. ΙΕ΄, 11, 18.

Διαθήκης ταῦτα· Εὐαγγέλια δ'. Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου· Πράξεις Ἀποστόλων· Ἐπιστολαὶ καθολικαὶ τῶν Ἀποστόλων ζ'.·Ἰακώβου ά, Πέτρου β', Ἰωάννου γ', Ἰούδα α', Παύλου ιδ'. Ἰωάννου Ἀποκάλυψις. Βιβλία ἀκανόνιστα μὲν, ἀναγινωσκόμενα δέ· Σοφία Σολομῶντος, Σειρὰχ, Ἐσθὴρ, Ἰουδὴθ, Τωβίας, ἡ καλουμένη Διδαχὴ τῶν Ἀποστόλων, καὶ ὁ Ποιμήν.

## ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

### *Πρὸς Μάξιμον διάκονον.*

Τοῖς νῦν συντρέχουσι τῇ ὀρθῇ πίστει ἀμνησικάκησον περὶ τῶν παρελθόντων. Κἂν γὰρ συνηρπάγησαν τῇ Νεστορίου κακίᾳ, βουλόμεθα μᾶλλον ἀρνουμένους αὐτοὺς ὁρᾷν, ἤπερ ἀναισχύντῳ γνώμῃ συνηγοροῦντας. Οἰκονομίας οὖν δεῖται τὸ πρᾶγμα.

### *Τοῦ αὐτοῦ πρὸς Γεννάδιον Ἀρχιμανδρίτην.*

Ὥσπερ οἱ ἐν θαλάσσῃ χειμαζόμενοι ἀποφορτίζουσί τινα εἰς τὸ σῶσαι τὰ λοιπὰ, οὕτω καὶ ἡμεῖς παρορῶμέν τινα, ἵνα μὴ τὸ πᾶν ζημιωθῶμεν.

### *Εὐλογίου Ἀλεξανδρείας.*

Εἴ τις τῶν δοκούντων τοῖς θεοφόροις Πατράσι σκλεύοι τι, οὐκ ἔστι τοῦτο οἰκονομία κλητέον, ἀλλὰ παράβασις καὶ προδοσία δόγματος, καὶ περὶ τὸ Θεῖον ἀσέβεια.

## ΓΡΑΦΗ ΑΠΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΜΑΡΤΥΡΙῼ ΑΝΤΙΟΧΕΙΑΣ,

### *Περὶ τοῦ πῶς δεκτέον τοὺς αἱρετικοὺς προσιόντας τῇ ἐκκλησίᾳ.*

Ἀρειανοὺς, Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς, καὶ Καθαριωτέρους, καὶ Τεσσαρεσκαιδεκατίτας, εἴτουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα, διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς ἡ καθολικὴ ἐκκλησία, χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ, μέτωπον, ῥῖνας, ὦτα, στῆθος, καὶ πάσας τὰς αἰσθήσεις· χρίοντες δὲ λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Εἶτα ὡς σπουδαῖοι λαϊκοὶ χειροτονοῦνται ὃ ἦσαν, εἴτε πρεσβύτεροι, εἴτε διάκονοι, εἴτε τι ἄλλο.



### *Ἄλλο.*

Εὐνομιανοὺς μέντοι τοὺς μιᾷ καταδύσει βαπτιζομένους, καὶ Μοντανιστὰς, καὶ Σαβελλιανοὺς, καὶ τὰς ἄλλας αἱρέσεις, ὡς ἕλληνας δεχόμεθα, καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δευτέραν κατηχουμένους, καὶ τὴν τρίτην ἐξορκίζομεν μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον καὶ τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ ΠΡΟΣ ῬΟΥΦΙΝΙΑΝΟΝ ΕΠΙΣΚΟΠΟΝ.

Ἤρεσε περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας, συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ κλήρου τόπον· τοῖς δὲ παρασυρεῖσι μὲν δι' ἀνάγκην καὶ βίαν, μὴ αὐθεντοῦσι δὲ τῆς ἀσεβείας, δίδοσθαι καὶ συγγνώμην· ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου· μάλιστα ὅτι πιθανῶς ἀπελογήσαντο, φήσαντες μὴ μεταβεβλῆσθαι πρὸς ἀσέβειαν, ἀλλ' ἑλέσθαι συνδραμεῖν τῇ βίᾳ ἵνα μὴ ἀσεβέστατοί τινες ἀντικαταστάντες διαφθείρωσι τὴν ἐκκλησίαν· τούτου τοίνυν ἕνεκα συγγνωστέοι πρὸς τὸν κλῆρον γεγόνασι. Τοῖς δὲ ἀπατηθεῖσι, καὶ βίαν παθοῦσι, συγγνώμη δίδοται.

## ΤΟΥ ΑΓΙΟΥ ΠΑΧΩΜΙΟΥ ΚΑΝΟΝΕΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ ΙΖ'.

ά. Οἱ πρώτως προσιόντες τῇ ἀσεβείᾳ, ὑπὸ τῶν διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις, καὶ ἐξεταζέσθω ἡ αἰτία δι' ἣν προσῆλθον· ἀκριβωσάμενοι δὲ τὰ κατ' αὐτοὺς οἱ προσάγοντες, μαρτυρείτωσαν. Ἐξεταζέσθω καὶ ὁ βίος, καὶ ὁ τρόπος, εἰ δοῦλοι, ἢ ἐλεύθεροι· κἂν δοῦλος ᾖ τις, καὶ μαρτυρηθῇ παρὰ τοῦ δεσπότου, προσδεχέσθω· εἰ δὲ μὴ, ἀποβαλλέσθω, ἕως ἄξιος φανεὶς τῷ δεσπότῃ μαρτυρηθῇ.

β'. Οἱ οἰκέται εὐαρεστείτωσαν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος. Οἱ συνημμένοι ἑαυτοῖς ἀρκείσθωσαν· Οἱ ἄγαμοι σωφρονείτωσαν, ἢ γαμείτωσαν ἐννόμως.

γ'. Δεσπότης μὴ ζευγνὺς δοῦλον, ἢ δούλην, εἰδὼς ὅτι πορ-

νεύει, ἀφοριζέσθω. Δαιμονῶν διδασκέσθω τὴν εὐσέβειαν· μὴ κοινωνείτω δὲ, ἕως οὗ καθαρθῇ. Εἰ δὲ θάνατος ἐπείγει, καὶ κοινωνείτω.

δ'. Πορνοβοσκὸς, εἰ μὴ παύσοιτο, ἀποβαλλέσθω.

έ. Καὶ πόρνη προσιοῦσα, εἰ μὴ παύοιτο, ἀπωθείσθω.

ς'. Ἡνίοχος, ἢ μονομάχος, ἢ σταδιοδρόμος, ἢ λουδεμπιστὴς, ἢ λουδεπάκτης, ἤτοι παιγνίων ἄρχων, ἢ Ὀλυμπικὸς, ἢ χοραύλης, ἢ κιθαριστὴς, ἢ ὀρχιστὴς, ἢ κάπηλος, ἢ παυσάσθωσαν, ἢ ἀποβαλλέσθωσαν.

ζ'. Καὶ εἰδωλοποιὸς προσιὼν, ἢ παυσάσθω, ἢ ἀποβαλλέσθω.

ή. Στρατιώτης προσιὼν, διδασκέσθω μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι τοῖς διδομένοις ὀψωνίοις· ἀπειθῶν δὲ ἀποβαλλέσθω.

θ'. Ἀρρητοποιὸς, κίναιδος, βλὰξ, ἤγουν προβατώδης, μάγος, ὀχλαγωγὸς, ἐπαοιδὸς, λώταξ, ὅ ἐστι θυμελικὸς, περικαθαίρων, οἰωνιστὴς, συμβολοδείκτης, παλμῶν ἑρμηνεὺς, φυλαττόμενοι ἐν συναντήσει λώβας ὄψεως, ἢ ὀρνίθων, ἢ γαλῶν, ἢ ἐπιφωνήσεων, ἢ παρακροαμάτων, χρόνῳ δοκιμαζέσθωσαν, καὶ παυσάμενοι, προσευχέσθωσαν, εἰ δὲ μὴ, ἀποβαλλέσθωσαν.

ί. Δούλη ἀπίστου δεσπότου παλλακὴ μόνῳ σχολάζουσα, προσδεχέσθω· ἀσελγαίνουσα δὲ καὶ πρὸς ἄλλους, ἀποβαλλέσθω.

ιά. Πιστὸς, δούλην παλλακὴν ἔχων, ἢ παυσάσθω, ἢ νόμῳ αὐτὴν ἐχέτω· ἐλευθέραν δὲ, ἢ νόμῳ γαμείτω, ἢ ἀποβαλλέσθω.

ιβ'. Ὁ ἑλληνίζων, ἢ ἰουδαΐζων, ἢ μετατιθέσθω, ἢ ἀποβαλλέσθω.

ιγ'. Ὁ θεάτροις, ἢ κυνηγίοις, ἢ ἱπποδρομίοις προσκείμενος, εἰ μὴ παύσαιτο, ἀποβαλλέσθω.

ιδ'. Κατηχούμενος, τριετίᾳ κατηχείσθω. Ἂν δὲ σπουδαῖος, προσδεχέσθω, οὐ τοῦ χρόνου ἀλλὰ τοῦ τρόπου σκοπουμένου.

ιέ. Ὁ δυνάμενος διδάσκειν ἀμέμπτως, εἰ καὶ λαϊκὸς εἴη, διδασκέτω.



ις'. Οἱ πιστοὶ ἐξ ὕπνου νιπτόμενοι, προσευχέσθωσαν. Εἰ δὲ κατήχησις εἴη, ταύτην παντὸς ἔργου προτιμάτωσαν.

ὁ ιζ'. ἔλλειπεν.

## ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ,
### *Κανόνες ιζ'.*

ά. Πέντε ἡμέρας οἱ λαοὶ ἐργαζέσθωσαν, σαββάτῳ δὲ καὶ Κυριακῇ τῇ ἐκκλησίᾳ σχολαζέτωσαν, διδασκόμενοι τὴν εὐσέβειαν· τὸ μὲν γὰρ δημιουργίας ἔχει τρόπον, ἡ δὲ, Ἀναστάσεως.

β'. Τὴν μεγάλην ἑβδομάδα καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν· ἡ μὲν γὰρ, πάθους, ἡ δὲ, Ἀναστάσεως· καὶ διδασκέσθωσαν, τίς ὁ παθὼν καὶ ἀναστάς.

γ'. Καὶ τὴν Ἀνάληψιν, πέρας γὰρ τῆς κατὰ Χριστὸν οἰκονομίας.

δ'. Καὶ τὴν Πεντηκοστὴν, διὰ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν.

έ. Καὶ τὴν τῶν Γενεθλίων ἑορτὴν, διὰ τὴν ἐκ Παρθένου τοῦ Κυρίου γέννησιν.

ς'. Καὶ τὴν τῶν Θεοφανείων, διὰ τὴν ἀνάδειξιν τῆς θεότητος· Πατὴρ γὰρ ἐμαρτύρησε τῷ Υἱῷ, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς ἐφάνη.

ζ'. Καὶ τὰς ἡμέρας τῶν Ἀποστόλων καὶ διδασκάλων, καὶ Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων, τῶν τῆς ζωῆς Χριστὸν προτιμησάντων.

ή. Εὐχέσθωσαν ὄρθρῳ, τρίτῃ ὥρᾳ, ἕκτῃ, ἐννάτῃ, ἑσπέρᾳ, καὶ ἀλεκτοροφωνίᾳ· ὄρθρῳ, εὐχαριστοῦντες τῷ Θεῷ, ὅτι παρῆλθεν ἡ νὺξ, ἐπελθούσης ἡμέρας· τρίτῃ, ὅτι ἐν αὐτῇ γέγονεν ἡ τοῦ Κυρίου ἀπόφασις· ἐν τῇ ς'. ἐσταυρώθη· τῇ θ'. τὰ πάντα ἐκινήθη, φρίττοντα τὴν τόλμαν τῶν Ἰουδαίων, καὶ μὴ φέροντα τὴν ὕβριν τοῦ Κυρίου· τῇ ἑσπέρᾳ, εὐχαριστοῦντες καὶ τῷ Θεῷ, ὅτι δέδωκεν εἰς ἀνάπαυσιν τῶν ἡμερινῶν κόπων τὴν νύκτα· ἀλεκτοροφωνίᾳ, ὅτι εὐαγγελίζεται τὴν ἡμέραν πρὸς ἐργασίαν τῶν ἔργων τοῦ φωτός.

θ'. Ἵνα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν, κατ' οἰ-

κον συνακτέον· οὐ γὰρ ὁ τόπος τὸν ἄνθρωπον, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον ἁγιάζει.

ί. Φευκτέος σοι ὁ ὑπ' ἀσεβῶν βεβηλωθεὶς τόπος· ὡς γὰρ ὅσιοι ἁγιάζουσιν, οὕτως ἐναγεῖς μιαίνουσιν.

ιά. Εἰ μήτε ἐν οἴκῳ, μήτε ἐν ἐκκλησίᾳ ἀθροισθῆναι δυνατὸν, ἕκαστος ἑαυτῷ ψαλλέτω, ἀναγινωσκέτω, προσευχέσθω, ἢ καὶ ἅμα δύο, ἢ τρεῖς.

ιβ'. Πιςὸς κατηχουμένῳ μηδὲ κατ' οἶκον συνευχέσθω. Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ἢ ποία μερὶς πιστῷ μετὰ ἀπίστου;

ιγ'. Πιστὸς, ἢ πιστοὶ, δούλοις συναφθέντες, ἢ ἀφιστάσθωσαν, ἢ ἀποβαλλέσθωσαν.

ιδ'. Ἐπιτελείσθω τοῖς κεκοιμημένοις τρίτα, διὰ τὸν ἀναςάντα τριήμερον, καὶ ἔννατα, εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, καὶ τεσσαράκοντα, καθὼς καὶ ὁ Ἰουδαϊκὸς λαὸς ἐπένθησε Μωσῆν, καὶ ἐνιαύσια ἐκ τῶν ὑπαρχόντων αὐτοῖς διδόσθω, εἰς ἀνάμνησιν αὐτῶν. Ἀσεβεῖς δὲ, οὐδ' ὁ κόσμος ὅλος ὀνήσει δοθεὶς ὑπὲρ αὐτῶν.

ιέ. Ἐν ταῖς μνείαις αὐτοῦ, οἱ καλούμενοι πρεσβύτεροι καὶ διάκονοι, εὐτάκτως καὶ σὺν φόβῳ Θεοῦ ἑστιάσθωσαν, ὡς καὶ δυνάμενοι πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων.

ις'. Οἱ δυνάσται, φησὶ, θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρίνειν μὴ δύνανται. Καὶ οἱ πρεσβύτεροι τοίνυν καὶ διάκονοι μετὰ τὸν Παντοκράτορα Θεὸν, καὶ τὸν ἠγαπημένον Υἱὸν αὐτοῦ, δυνάσται τῆς ἐκκλησίας εἰσίν. Οἶνον οὖν οὗτοι μὴ πινέτωσαν, ἵνα μὴ ὑβρίζωσι τὸ παρὰ τοῦ Θεοῦ γεγονός· ἀλλὰ μὴ παροινείτωσαν. Καὶ πᾶς δὲ Χριστιανὸς φυλαττέσθω παροινεῖν.

ιζ'. Τοὺς διωκομένους διὰ πίστιν ὑποδέχεσθε, καὶ τὰ πρὸς χρείαν χορηγεῖτε.

*Κοινῶς τῶν Ἀποστόλων πάντων κανόνες β'.*

ά. Ἕκαστος ἐν τῇ δοθείσῃ αὐτῷ τάξει μενέτω, καὶ μὴ ὑπερβαινέτω τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ Θεοῦ, καθώς φησιν ὁ Κύριος· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαντός με(1).



β'. Καὶ οἱ ἁρπάζοντες τὰ μὴ δεδομένα, παροξύνουσι τὸν Θεὸν, ὡς υἱοὶ τοῦ Κορὲ, καὶ Ὀζίας. Οὔτε οὖν διάκονον θυσίαν προσφέρειν θεμιτὸν, ἢ βαπτίζειν, ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην ποιεῖσθαι, οὔτε πρεσβύτερον χειροτονίαν ἐπιτελεῖν, καὶ ἀναστρέφειν τὴν τάξιν· ὥσπερ οἱ τολμῶντες οὐχ ἡμᾶς πολεμοῦσιν, ἀλλὰ τὸν μέγαν ἀρχιερέα Χριστόν. Καὶ Φίλιππος γὰρ τὸν εὐνοῦχον βαπτίσας, καὶ Ἀνανίας ἐμὲ τὸν Παῦλον, οὐχ ἑαυτοῖς ἥρπασαν τὸ ἱερατικὸν ἀξίωμα, ἀλλ' ἐκ Θεοῦ ἔλαβον τοῦ ἀσυγκρίτου ἱερέως.

## ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ ΧΡΥΣΟΒΟΥΛΛΟΥ ΤΟΥ ΙΟΥΣΤΙΝΙΑΝΟΥ,

*Περὶ τῶν προσφύγων δούλων.*

ά. Εἴ τις ἐλεύθερος δούλωσιν ὑφιστάμενος τῇ ἐκκλησίᾳ προσδράμῃ, μετακαλείσθω δὶς ὁ ἐγκαλούμενος, καὶ εἰ μὴ ἥξει, ἡ τρίτη ἀποστολὴ διὰ τριῶν γινέσθω τῆς ἐκκλησίας πρεσβυτέρων, ἢ διακόνων, εἰς μαρτύριον τῶν γινομένων· καὶ εἰ μὴ ἔλθῃ, ἐλευθερίας ἀξιούσθω ὁ φυγάς.

β'. Εἴ τις τῶν οἰκετῶν, λιμῷ καὶ γυμνότητι πιεζόμενος γνώμῃ δεσπότου, τῇ ἐκκλησίᾳ προσδράμῃ, εἰ μὴ κατὰ τὸ δυνατὸν αὐτῷ ἀμφότερα διορθοῦται, πιπρασκέσθω ὁ δοῦλος ἄλλῳ δεσπότῃ, ἵνα μὴ ὑπεροψίᾳ διαφθείροιτο.

γ'. Εἴ τις τῶν πρεσβυτέρων, ἢ διακόνων, ἕξει δίκην μετά τινος, προσκαλείσθω οὗτος· καὶ μὴ ὑπείκων, καταδικαζέσθω.

δ'. Δοῦλος μάτην τῇ ἐκκλησίᾳ προσχωρήσας, ἀξίως παιδευέσθω, καὶ τῷ ἰδίῳ διδόσθω Κυρίῳ.

έ. Εἴ ποτε δοῦλος φυγὰς, αὐτὸν ἐλθεῖν τὸν κύριον ἀπονοίᾳ ἐπιζητοίη, ὁ δὲ τῶν αὐτοῦ τὸν πιστότατον ἀποστείλοι, μὴ ἀναγκαζέσθω αὐτὸς σκύλλεσθαι· μάλιστα παραθέμενος τὸν ἀντ' αὐτοῦ ἀπεσταλμένον, ᾧ καὶ παραδίδοσθαι τὸν δοῦλον ἐξόν.

(1) Λουκ. Ι', 16.

ς'. Διὰ παντὸς οἱ πρόσφυγες ἐρευνάσθωσαν, καὶ ὧν ἂν ὦσι, μηνυέσθωσαν οἱ κύριοι αὐτῶν ἐπανελέσθαι αὐτούς· ἐπιμένοντες γὰρ καὶ πληθυνόμενοι, καὶ τὰ τῶν περιβολῶν ἀναλίσκουσι, καὶ τοὺς παρατυγχάνοντας ἐνεδρεύοντες βλάπτουσι, καὶ τοῖς δεσπόζουσιν ἐπανιστάμενοι, ὕβρεις κατ᾽ αὐτῶν ἀφιᾶσι, τὸ χαλεπώτατον, ἐφ᾽ ᾧ καὶ κατ᾽ ἀξίαν αὐτοὺς παιδεύεσθαι ἄμεινον.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

### *Περὶ τίτλου καὶ χρόνου ἁμαρτημάτων.*

ά. Ὁ χειροτονῶν ὑπερόρια, καθαιρείσθω.

β'. Ὁ ἐπὶ χρήμασι χειροτονῶν, σὺν τῷ χειροτονουμένῳ καθαιρείσθω.

γ'. Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

δ'. Κληρικὸς τόκους λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

έ. Ἱερεὺς πιστὸν, ἢ ἄπιστον τύπτων, καθαιρείσθω.

ς'. Γυναῖκα οὐ δεῖ ἐν θυσιαστηρίῳ εἰσιέναι.

ζ'. Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα, ἔχει ἐπιτίμιον ἔτη ιέ.

ή. Οἱ μαντευόμενοι ἐπὶ ἀνευρέσει τινῶν, ἔτη ἕξ.

θ'. Ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς, ἔτη κ'.

ί. Ὁ τὸν Χριστὸν ἀρνησάμενος, ἐν τῷ τέλει τοῦ βίου ἀξιούσθω τῶν ἁγιασμάτων.

ιά. Ὁ χωρὶς ἀνάγκης τινὸς τὴν εἰς Θεὸν παραβὰς πίστιν, ἔτη ιβ'.

ιβ'. Ὁ γοητείαν καὶ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

ιγ'. Ὁ ἀκρωτηριάζων ἑαυτὸν, κληρικὸς μὲν, καθαιρείσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω ἔτη τρία, καὶ κληρικὸς μὴ γινέσθω.

ιδ'. Ἡ κατ᾽ ἐπιτήδευσιν φθαρεῖσα, ἔτη ι'.

ιέ. Ὁ ἑκουσίως φονεύων, ἔτη κ'.

ις'. Ὁ ἀκουσίως, ἔτη ι'. καὶ κληρικὸς μὴ γινέσθω.

ιζ'. Ὁ μοιχεύων, ἔτη ιέ.

ιη'. Ὁ τὴν συνημμένην ἀπωθούμενος, καὶ ἄλλην ἀγόμενος, ἔτη ιέ.

ιθ'. Ὁ εἰς ἐλεύθερον σῶμα πορνεύων πόρνος, ἔτη ζ'.



κ'. Ὁ ἀρρενοκοίτης ἔτη ιέ.

κά. Ὁ κτηνοβάτης . . .

κβ'. Ἡ ἀδελφομιξία ἔτη κ'.

κγ'. Ὁ ἰδίᾳ ἀδελφῇ συμμιαινόμενος, χωριζόμενος δηλονότι τῆς πράξεως, ἔτη ιβ'.

κδ'. Ὁ κλέπτης, ἔτη β'.

κέ. Ὁ ἐπίορκος, ἔτη ι'.

κς'. Ὁ τυμβωρύχος, ἔτη ι'.

### *Τοῦ αὐτοῦ πόσοι τόποι τῶν ἐπιτιμίων.*

Τέσσαρές εἰσιν οἱ τῶν ἐπιτιμίων τόποι· ὁ τοῦ προσκλαίοντος, ὁ τοῦ ἀκροωμένου, ὁ τοῦ ὑποπίπτοντος, καὶ ὁ τοῦ συνεστῶτος.

ά. Πρόσκλαυσίς ἐστι, τὸ, ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ἱστάμενον τὸν ἡμαρτηκότα, ἕκαστον τῶν εἰσερχομένων αἰτεῖν, μετὰ κλαυθμοῦ προσπίπτοντα, εὔχεσθαι ὑπὲρ αὐτοῦ· ὁ γὰρ προσκλαίων, ἔξω τοῦ νάρθηκος τῆς ἐκκλησίας ἐξωθεῖται, ὅσον ἂν ὁρισθῇ χρόνον.

β'. Ἀκρόασίς ἐστι, τὸ τῶν θείων ἀκροᾶσθαι Γραφῶν, παρὰ τοῖς βασιλικοῖς ἑστῶτα πυλῶσιν· ὁ γὰρ ἀκροώμενος, ἔσω μὲν νάρθηκος ἵσταται, περαιτέρω δὲ εἰσελθεῖν οὐ συγχωρεῖται, ἕως πληρώσῃ τοὺς ὁρισθέντας χρόνους.

γ'. Ὑπόπτωσίς ἐστιν, ἡ ἔσω τοῦ περιβολαίου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος στάσις· ὁ γὰρ ὑποπίπτων συνίσταται μὲν ἐν τῷ ναῷ· ἔξεισι δὲ καὶ αὐτὸς μετὰ τῶν κατηχουμένων.

δ'. Σύστασίς ἐστιν, ἡ μέχρι συμπληρώσεως τῆς θείας μυσταγωγίας μετὰ τῶν πιστῶν στάσις· συνίσταται μὲν γὰρ, οὐκ ἀξιοῦται δὲ τῆς κοινωνίας, ἕως πληρώσῃ τὸν ὡρισμένον χρόνον.

Καὶ τελευταῖον ἡ μέθεξις τῶν ἁγιασμάτων.

## ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ,

### *Περὶ ὀρθοδοξίας κεφάλαια ιβ'. κατὰ Νεστορίου.*

ά. Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο Θεοτόκον τὴν ἁγίαν Παρθένον Μαρίαν, γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν τοῦ Θεοῦ Λόγον ἀνάθεμα ἔστω.

β'. Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόςασιν ἡνῶσθαι τὸν τοῦ Θεοῦ Πατρὸς Λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.

γ'. Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν αὐθεντίαν ἢ δυναστείαν, καὶ οὐχὶ δὲ μᾶλλον τῇ καθ' ἕνωσιν φυσικὴν συνόδῳ, ἀνάθεμα ἔστω.

δ'. Εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τὰς ἐν τοῖς ἀποστολικοῖς καὶ εὐαγγελικοῖς γράμμασι διανέμει φωνὰς, ἢ ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ αὐτῶν· καὶ τὰς μὲν, ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ Λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς δὲ θεοπρεπεῖς τῷ ἐκ Θεοῦ Πατρὸς Λόγῳ, ἀνάθεμα ἔστω.

ε'. Εἴ τις τολμᾷ λέγειν τὸν Χριστὸν θεοφόρον ἄνθρωπον, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ ἀλήθειαν, ὡς Υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ Λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκὸς, ἀνάθεμα ἔστω.

ϛ'. Εἴ τις λέγει Θεὸν εἶναι ἢ δεσπότην τοῦ Χριστοῦ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ οὐχὶ δὴ μᾶλλον αὐτὸν ὁμολογεῖ Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ Λόγου κατὰ τὰς Γραφὰς, ἀνάθεμα ἔστω.

ζ'. Εἴ τίς φησιν ὡς ἄνθρωπον ἐνεργεῖσθαι παρὰ Θεοῦ Λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς ἑτέρου παρ' αὐτοῦ ὑπάρχοντος, ἔστω ἀνάθεμα.

η'. Εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ Λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν Θεὸν ὡς ἕτερον ἑτέρῳ (ἡ γὰρ σὺν πρόθεσις, ἀεὶ προστιθεμένη, τοῦτο νοεῖν ἀναγκάσει) καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν Ἐμμανουὴλ, καὶ μίαν τὴν δοξολογίαν αὐτῷ συνάπτει, καθὸ γέγονε σὰρξ ὁ Λόγος, ἀνάθεμα ἔστω.

θ'. Εἴ τίς φησι τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ Πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ ἰδίᾳ αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατά τε πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ Πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

ι. Ἀρχιερέα καὶ Ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν, ἡ θεία Γραφὴ λέγει, προσενέγκαι δὲ ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Εἴ τις τοίνυν ἀρχιερέα καὶ Ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, ὅτι γέγονε σὰρξ, καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπος ἐκ γυναικός· ἢ, εἴ τις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν ἑαυτὸν τὴν προσφορὰν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν, οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἀνάθεμα ἔστω.

ια. Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ Κυρίου σάρκα ζωοποιὸν, καὶ ἰδίαν αὐτοῦ τοῦ Θεοῦ Πατρὸς Λόγου εἶναι, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ Λόγου, τοῦ καὶ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

ιβ'. Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ Λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα δὲ πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς, ὡς Θεὸς, ἀνάθεμα ἔστω.

## ΔΗΜΗΤΡΙΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΖΙΚΟΥ,

### *Περὶ Ἰακωβιτῶν καὶ Χατζιτζαρίων.*

Ἰακωβῖται οἱ αὐτοί εἰσι τοῖς τὰ Εὐτυχοῦς νοσοῦσι, τοῖς καὶ Μονοθελίταις, καὶ Μονοφυσίταις· σφάλλονται γὰρ περὶ τὴν ἐν σαρκὶ οἰκονομίαν, καὶ τὰς φύσεις συγχέοντες, Θεοπασχῖται δείκνυνται. Καλοῦνται δὲ Ἰακωβῖται ἀπὸ τοῦ τὴν αἵρεσιν ταύτην πλατύναντος Ἰακώβου τινὸς, διὰ τὴν ἄγαν εὐτέλειαν Τζαντζάλου καλουμένου. Οὗτοι τῷ τρισαγίῳ ὕμνῳ, τὸ, Ὁ σταυρωθεὶς παρενείρουσιν· ἑνὶ δακτύλῳ σφραγίζονται ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιά· τὴν προσφορὰν αὐτῶν ἐλαίῳ ἀναμάττουσιν· οἶνον οὐχ ἑνοῦσι· μεταλαβεῖν, εἴτε καὶ μὴ, καὶ προσκυνῆσαι, εἴτε καὶ μὴ, παρ' αὐτοῖς ἀδιάφορον· τῇ Τυροφάγῳ κρεωφαγοῦσι.

Μελχῖται ἐκλήθησαν οἱ τῷ εὐσεβεῖ βασιλεῖ Μαρκιανῷ ἀκολουθήσαντες· μελχὶ γὰρ ὁ βασιλεὺς ἑρμηνεύεται.

Χατζιτζάριοί εἰσιν, οἱ τὸν σταυρὸν μόνον σέβοντες· κατζὶ γὰρ ὁ σταυρὸς παρ' αὐτοῖς. Περονοῦσι δὲ τοῦτον ἥλῳ, ὡς παθητὴν τὴν θεότητα δογματίζοντες, καὶ προσκυνοῦσιν ὡς δυνατώτερον Χριστοῦ, καὶ ἀναιρέτην αὐτοῦ· τὰς εἰκόνας ἀποστρέφονται· εἰσὶν ἐν ταυτῷ καὶ Θεοπασχῖται καὶ Νεστοριανοί· τὸ μὲν, ὡς τὸ, Ὁ σταυρωθεὶς τῷ τρισαγίῳ παρενείροντες, τὸ δὲ, ὡς ἐπὶ Χριστοῦ δύο πρόσωπα λέγοντες· ἐν τῷ ἁγίῳ μὲν σαββάτῳ καὶ Κυριακῇ γάλα καὶ τυρὸν καὶ ὠὰ ἐσθίουσιν· οἶνον οὐχ ἑνοῦσι· καὶ τοὺς σταυροὺς κατά τινας ῥητῶς βαπτίζουσι.

### *Περὶ Μασσαλιανῶν τῶν νῦν Βογομίλων.*

Οἱ Μασσαλιανοὶ τὰ τῶν Μανιχαίων νοσοῦντες, ἐξεῦρον καὶ ἄλλα μιαρώτερα. Φλυαροῦσι γὰρ τὸν νοῦν τῶν ἀνθρώπων ὑπὸ τῶν δαιμόνων κατέχεσθαι· τὴν ἀνθρωπίνην φύσιν τῶν δαιμόνων εἶναι κοινωνικήν· τὸ βάπτισμα μὴ τελειοῦν τὸν ἄνθρωπον, μηδὲ τὴν θείαν μετάληψιν, ἀλλὰ μόνον τὴν παρ' αὐτοῖς εὐχήν· φύσει εἶναι τὰ κακὰ ἐν ἡμῖν· τῆς κοινωνίας τοῦ νυμφίου αἰσθάνεσθαι τὴν ψυχὴν, ὡς ἡ γυνὴ τῆς συνουσίας τοῦ ἀνδρός· τὸν σταυρὸν βδελύττονται· τὴν Θεοτόκον οὐ τιμῶσιν· οἱ βουλόμενοι ἀποτέμνονται· ὀμνύουσιν ἀδεῶς, ἐπιορκοῦσιν, ἀναθεματίζουσι τὴν αἵρεσιν αὐτῶν. Ταύτης τῆς λύμης ὑποπλησθεὶς καὶ Ἐλευθέριος ὁ Παφλαγὼν, προσεπεξεῦρεν ἄξια ἑαυτοῦ, τὸν μοναχὸν δυσὶ συνευνάζεσθαι γυναιξὶ, καὶ χρόνον μὲν ἕνα ἐγκρατεύεσθαι, τὸ λοιπὸν ἀδεῶς χρῆσθαι, καὶ ταῖς συγγενέσι μηδὲν διαστέλλοντα.

## ΠΕΤΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ,

### *Πρὸς τὸν Βενετίας· γέγονε δὲ γ' οὗτος ἐπὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου.*

Οὐδαμοῦ γέγραπται τὸν πρόεδρον Ἀκυληΐας, ἤτοι Βενετίας, πατριάρχην ὀνομάζεσθαι· πέντε γὰρ ἐν ὅλῳ τῷ Κόσμῳ πατριάρχας ἐγνώκαμεν, τὸν Ῥώμης, τὸν Κωνσταντινουπόλεως, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων. Ὡς γὰρ τὸ σῶμα τὸ ἡμέτερον πέντε αἰσθήσεσιν οἰκονομεῖται, οὕτω καὶ τὸ



τοῦ Χριστοῦ σῶμα, ἡ ἐκκλησία τῶν πιστῶν, ὡς ὑπὸ ε. αἰσθήσεων, τῶν πέντε θρόνων οἰκονομεῖται.

Τὸ μετέχειν ἀζύμων, τῆς παλαιᾶς θυσίας μετέχειν ἐστὶν, οὐ τῆς Καινῆς Διαθήκης· οὐ γὰρ ἄζυμον ὁ Χριστὸς ἀλλ' ἄρτον λαβὼν, εὐλόγησε καὶ εἶπε· Λάβετε, φάγετε, ὡς λέγουσι συμφώνως οἱ τέσσαρες Εὐαγγελισταί(1), καὶ ὁ μέγας Παῦλος· Ἐγὼ παρέλαβον ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε· Λάβετε, φάγετε(2) Ἡμεῖς δὲ σάρκα Χριςοῦ ζῶσαν καὶ τεθεωμένην ἐσθίοντες, οὐκ ἔτι ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· ὁ δὲ νόμος ὅσα λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Οἱ δὲ τὰ ἄζυμα ἐσθίειν βουλόμενοι, διὰ τὸ λέγειν ὅτι καὶ Χριςὸς, καὶ περιτεμνέσθωσαν, ἐπεὶ καὶ Χριστός. Ἀλλὰ βοᾷ Παῦλος· Λέγω ὑμῖν, ἐὰν περιτέμνεσθε, Χριστὸς ὑμᾶς οὐκ ὠφελήσει(3). Ὅπου γε καὶ πρόδηλον, ὅτι πρὸ τοῦ νομικοῦ Πάσχα τὸ δεῖπνον γέγονε τοῦ Χριστοῦ· φησὶ γὰρ ὁ Εὐαγγελιστὴς Ἰωάννης· Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ Πραιτώριον, ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ Πραιτώριον ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα(4)· νόμιμον οὐκοῦν ἐσθίειν τὰ ἄζυμα.

## ΛΕΟΝΤΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ,

### *Ἐκ τῶν τριῶν ἐπιστολῶν τῶν περὶ ἀζύμων.*

### *Ἀπὸ τῆς ά.*

Οἱ τὰ σάββατα μετὰ τῶν ἀζύμων φυλάττοντες, Χριστιανοὶ εἶναι λέγοντες, οὔτε Ἰουδαῖοι, οὔτε Χριστιανοί εἰσιν, ὅμοιοι ὄντες δορᾷ παρδάλεως, ὡς ὁ μέγας λέγει Βασίλειος, ἧς ἡ θρὶξ οὔτε μέλαινά ἐστιν, οὔτε διόλου λευκή.

### *Πρὸς τοὺς λέγοντας ὡς ἡ Ῥώμη πρῶτος θρόνος.*

Εἰ ἡ Ῥώμη, ὅτι ἐδέξατο τὸν Κορυφαῖον ἐπίσκοπον, πρώτη, ἡ Ἀντιόχεια μᾶλλον ἕξει τὸ πρωτεῖον· καὶ γὰρ ἢ πρὸ τῆς Ῥώμης ὁ Ἀπόστολος Πέτρος ἐπεσκόπησεν ἐν Ἀντιοχείᾳ.

Ἔτι εἰ διὰ τὸν Κορυφαῖον τῶν Ἀποστόλων ἡ Ῥώμη . . . καὶ

---

(1) Ματθ. Κς', 26 — 28. — Μάρκ. ΙΔ', 22. — Λουκ. ΚΒ', 19. Ἰω. Ϛ', 53. — (2) ά. Κορ. ΙΑ', 23, 24. — (3) Γαλ. Έ, 2. — (4) Ἰω. ΙΗ', 28.

τὸν μαρτυρικὸν πρώτως τελειώσαντα δρόμον, πολλῷ δικαιότερον τὰ Ἱεροσόλυμα τῆς Ῥώμης πρωτεύειν.

Ἔτι εἰ ἀπὸ τῆς τῶν προσώπων ποιότητος τὸ πρωτεύειν τοῖς θρόνοις περίεστι, πῶς οὐ λαμπρῶς κατὰ πάντων τὰ Ἱεροσόλυμα τὸ κράτος ἕξει; Αὐτὸς γὰρ ὁ καὶ Πέτρου καὶ ἡμῶν ἁπάντων κοινὸς πλάστης καὶ δεσπότης, ὁ πρῶτος καὶ μέγας Ἀρχιερεύς, ἡ πηγὴ πάσης ζωῆς καὶ ἀρχιερατικῆς τάξεως, ἐν αὐτοῖς καὶ τὴν γέννησιν καὶ τὴν διατριβὴν ἔσχε, καὶ ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἑκὼν ἱεράτευσεν.

Ἔτι εἰ διὰ τὸν Κορυφαῖον ἡ Ῥώμη ζητεῖ τὸ πρωτεύειν, δι' Ἀνδρέαν τὸν Πρωτόκλητον, καὶ γενέσει πρότερον ἀδελφόν, τὸ Βυζάντιον πρῶτον. Οὐκ ὀλίγοις γὰρ ἔτεσι τοῦ Βυζαντίου τὴν ἐπισκοπὴν ἔφθασε προλαβών, πρὶν ἢ τὸν ἀδελφὸν Ῥωμαίων ἐπισκοπῆσαι.

Εἰ δὲ προφέρεις μοι τό, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν(1), καὶ τὰ ἑξῆς, ἴσθι ὡς οὐ διὰ τὴν ἐν Ῥώμῃ ἐκκλησίαν εἴρηται· ἄπαγε· Ἰουδαϊκὸν γὰρ τοῦτο καὶ ταπεινόν, τὴν χάριν καὶ τὴν θειότητα αὐτῆς μέρεσί τισι καὶ τόποις περιγράφειν, ἀλλὰ μὴ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ὁμοίως ἐνεργεῖν. Ἀλλὰ καὶ τό, ἐν ταύτῃ τῇ πέτρᾳ, πῶς ἄν τις κἂν λίαν θρασὺς ᾖ, καὶ τὸ μὴ αἰσχύνεσθαι κλέος ἔχων, ἐκβιάσοιτο ἐπὶ τῆς ἐν Ῥώμῃ ἐκκλησίας εἰρῆσθαι; Εἴρηται δὲ δῆλον ἐπὶ τῇ θεολογησάσῃ τὸν Χριστὸν ὁμολογίας πέτρᾳ, καὶ δι' αὐτῆς ἐφ' ὅλῃ τῇ εἰς τὰ πέρατα τῆς γῆς ταῖς διδαχαῖς τῶν Ἀποστόλων ἐξαπλωθείσῃ καὶ θεμελιωθείσῃ ἐκκλησίᾳ, εἰς ἣν καὶ τὸ πανάγιον Πνεῦμα διὰ τῶν προφητικῶν σαλπίγγων κατὰ τὴν ὑφήγησιν τοῦ ἱερωτάτου καὶ σεβασμίου ὅρου ἀνομολογοῦμεν λελαληκέναι, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν ἱερολογοῦντες εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, οὐ Πετριανήν, ἢ Ῥωμαϊκήν, ὡς τὸ φιλόκενον τῆς Ῥωμαϊκῆς ἀπαιδευσίας βούλεται.

Ἔτι, εἴ τις ἐξ οὗ ἔδοξεν ἡ Ῥώμη προὔχειν ἐπισκέψαιτο, (ἄλλοθι γὰρ ἐξ ὧν εἴρηται οὐκ ἔστιν εὑρεῖν) εἰς τὸν ἔσχατον αὐτὴν βαθμὸν μόλις αὐτὴν συγχωρήσει, εἴπερ Ἑλλήνων ψῆφος ἐν

(1) Ματθ. Ιϛ', 18.



ἐκκλησίᾳ Θεοῦ παντελῶς ἄτοπος· Αὐρηλιανοῦ γὰρ τοῦ τὰ Ἑλλήνων θρησκεύοντος, (ἐβασίλευε δὲ κατ' ἐκεῖνο καιροῦ τῆς Ῥώμης,) τούτου κρίσει σεμνύνεσθαι αὕτη λάβοι τοῖς πρωτείοις. Ἔτυχε μὲν γὰρ οὗτος ὁ Αὐρηλιανὸς ἐπὶ στρατείαν ἀνιών, καὶ τὴν Ἀντιόχειαν παροδεύειν, τὸν δὲ Σαμοσατέα Παῦλον, ὃς ἐπεσκόπει ταύτης, ψήφῳ τῶν ἀθροισθέντων ἐπισκόπων καὶ τῆς τιμῆς τῶν ἱερέων καὶ τοῦ θρόνου διαπεπτωκέναι, καὶ στασιάζειν, καὶ βιάζεσθαι ἐπαναλαβεῖν τὰ ἀφῃρημένα, μὴ συγχωρεῖν δὲ τοὺς ἀφελομένους. Πολλῆς δὲ τῆς μεταξὺ ἔριδός τε καὶ φιλονεικίας ἀτόπου ῥαγείσης, ἑκατέρα μοῖρα πρὸς μόνην λοιπὸν ἀπέβλεπε τὴν κοσμικήν τε καὶ βιάσασθαι δυναμένην χεῖρα, οἱ μέν, ὅπως παύσωσι τὴν τυραννίδα Παύλου, ὁ δέ, ὅπως σχοίη καὶ τὰς ἐκείνων ψήφους ἀθετεῖν, καὶ τυραννεῖν ἀδεῶς θεσμοὺς πατρῴους. Δέονται οὖν, τῆς χρείας βιαζομένης, εἰ καὶ ἀνὰ μέρος καὶ χωρίς, ἑκάτεροι τῆς βασιλικῆς συγχερείας· ὁ δὲ τὰ μεταξὺ παρίσως μὴ συνιέναι φάμενος, ὅσα ἐν σφίσι διαφιλονεικοῦσι, ὥστε μηδὲ τῶν παρ' αὐτῶν δικαίαν ἔχειν τὴν γνῶσιν, ἐπὶ τὸν Ῥώμης ἄγειν τὴν δίκην ἐκέλευε, καὶ στέργειν μὴ βουλομένους ἃ ἂν ἐκεῖνος δικάσειεν, ἤδη μέχρι τούτου καὶ τούτου πεπεισμένος ἄλλοθεν ὡς τῆς αὐτῆς θρησκείας, καθεστήκει ἐν Ῥώμῃ, οἷς καὶ δόξειε τὰ πρῶτα φέρειν τοῖς ὅλοις, καὶ εἰς τυραννίδα πάντων τὴν ἀρχιερωσύνην προβάλλεσθαι. Τοῖς δέ γε Χριστοῦ μαθηταῖς καὶ τὸ Χριστιανοὺς εἶναι μὴ καταψευδομένοις, πῶς ἂν εἴη περὶ πρωτείων ἀγών, καὶ τότε ἱερεῦσιν οὖσι; Τὸ δέ, Ὅστις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔσω ὑμῶν διάκονος (1), ποῦ θήσομεν;

Ἔτι ἡ πρώτη σύνοδος ἑκάστῃ ἐπαρχίᾳ ἐκανόνισε τὰ οἰκεῖα δίκαια προσεῖναι, καὶ μηδέτερον ἑτέρου ἐπεισπηδᾶν τοῖς ὁρίοις, μηδὲ τὰς ἀλλοτρίας ὑποσπᾷν τε καὶ ἑαυτῶν ποιεῖσθαι διοικήσεις.

Ἡ δὲ δευτέρα σύνοδος διὰ τὸ βασιλείᾳ τὴν Ῥώμην λαμπρυνθῆναι προὔχειν ἀποφηναμένη, οὐ διὰ τοὺς κορυφαίους Πέτρον καὶ Παῦλον· ὁμοίως καὶ τὴν Κωνσταντινούπολιν, ὡς βασιλείᾳ τιμηθεῖσαν, τὰ ἴσα μετ' ἐκείνην ἔχειν προνόμια ἐψηφίσατο.

(1) Λουκ. ΚΒ', 26.

Ἡ δὲ τετάρτη προκρίνει πᾶσι τὴν Κωνσταντινούπολιν, μὴ ἀνασχομένη προκαθίσαι Βιγίλιον, ἐξ οὗ καὶ αταξίαι κατὰ Μηνᾶ ἐποιήθησαν, καὶ ποινὴν παιδικὴν ὁ Βιγίλιος ἔτισεν.

Ἔτι καὶ πρὸ Βιγιλίου Ἰωάννης ὁ τῆς Ῥώμης ἀνελθὼν, οὐδὲν περὶ πρωτείων διηνέχθη (ἐβασίλευε δὲ καὶ τότε Ἰουστινιανὸς) ἀλλὰ τὴν ἱερατικὴν στολὴν ὡς ἔθος τοῖς ἐν Κωνσταντινουπόλει περιβαλὼν, πρὸς τοῖς εὐωνύμοις μέρεσι τοῦ κατ᾽ ἐκεῖνο καιροῦ πατριαρχοῦντος Ἐπιφανίου καθεσθεὶς, οὐδὲν ἐδυσχέρανεν. Ἀνῆλθε δὲ καὶ πρὸ Ἰωάννου ἐπὶ τῆς αὐτῆς βασιλείας ὁ περιώνυμος Ἀγαπητὸς, καὶ τὸν βίον ἐν Κωνσταντινουπόλει ἀπέλιπεν.

Εἰ δὲ λέγεις, ὅτι ἡ ἐν Σαρδικῇ διατάσσεται, τὸν Ῥώμης ἐξετάζειν τὰς τῶν ἑτέρων ἐνοριῶν ψήφους, πολλαχόθεν ἔχει τὸ εὐκατάλυτον.

Πρῶτον μὲν, ὅτι τοπικὴ οὖσα ἀνατέτραπται ὑπὸ τῆς οἰκουμενικῆς δ΄. συνόδου· αὕτη γὰρ τῷ Κωνσταντινουπόλεως ἀρχιερεῖ μᾶλλον τὰς ἑτέρων κρίσεις ἐξετάζειν ἀπένειμε.

Δεύτερον, ὅτι ὁ ταύτης προεδρεύσας ὅσιος Κουδρούβης, τῷ Ἀρειανισμῷ ἐπὶ τέλει τοῦ βίου, καὶ τῇ τοῦ ἁγίου Ἀθανασίου καθαιρέσει ὑπέγραψεν, ἐναντία τῇ τε οἰκείᾳ χειρογραφίᾳ, καὶ τῇ γνώμῃ ἣν ἔχειν ἐν Σαρδικῇ ἐγνωρίζετο διαπραξάμενος.

Ἄλλως τε ὅτι οὗτος ὁ Κουδρούβης τῆς Ῥωμαϊκῆς προεδρίας ἐπέχων τὸ πρόσωπον, καὶ τοῦ δικαίου μείζονα τὴν χάριν αὐτῇ συνεισενέγκας μάλιστα τηνικαῦτα, οὐ μόνον οὐ παρόντος τοῦ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ αἱρέσει προσανακειμένου, οὐ τὴν τυχοῦσαν σπουδὴν ἐπεποίητο· πλὴν εἰ αὕτη τὰς ἔμπροσθεν οἰκουμενικὰς συνόδους, καὶ μάλιστα τὴν πρώτην, ἣ ἑκάστῃ ἐπαρχίᾳ τὰ οἰκεῖα διασώζεσθαι ἀβίαστα παντελῶς κανονίζει δίκαια. Εἰ οὖν αὕτη τοπικὴ οὖσα τὴν οἰκουμενικὴν ὑπερορᾷ, ἐν αὐτῷ μάλιστα τῷ μέρει τούτῳ, τίς ἂν αὐτῇ ἐπιβλέψειε;

Τρίτον, ὅτι Μάρκελλον καὶ ἄλλους τινὰς αἱρεσιώτας, εἰ καὶ τῆς ἀκριβείας ἀγνοίᾳ, ὅμως ἀθώους ἀποφηναμένη, αἰσχύνην ὦφλησε. Καὶ γὰρ ἡ ἐκκλησία τοῦ Θεοῦ τὰς ἐκείνης ἀλογήσασα ὑπὲρ αὐτῶν ὡς ἀμαθεῖς καὶ ἀνεξετάστους ψήφους, πάσης αὐτοὺς ἱερωσύνης εἰς τέλος ἐξεκήρυξε.

Τέταρτον, ὅτι μερισθέντες οἱ συνελθεῖν ὁμολογήσαντες ἀλλή-



λοις, οἱ μὲν τὴν Σαρδικὴν, οἱ δὲ τοὺς Φιλίππους κατέλαβον, καὶ καταστασιάζοντες ἀλλήλων, καθαιρέσεις καὶ ἀναθεματισμοὺς ἐψηφίζοντο.

Πέμπτον, ὅτι ἡ ἐν Καρθαγένῃ σύνοδος μικροῦ ἔτη δυοκαίδεκα εἰς ἀκρίβειαν ἐξαναλώσασα τῶν ζητουμένων, οὐ μόνον οὐδὲν αἰδέσιμον ἀπένειμε τῇ ἐν Σαρδικῇ, ἀλλ᾽ οὐδ᾽ ὅτι γέγονεν εἰδέναι ἠξίωσεν. Εἰς δὲ τοὺς κανόνας ἐγκύψασα τῆς πρώτης συνόδου, γράφει ἀποτόμως πρὸς Κελεστῖνον, (ἤδη γὰρ οὗτος τρίτος ἀπὸ Ζωσίμου τὸν θρόνον ἐγχειρίζετο τῆς Ῥώμης,) μηκέτι τολμᾶν τὸν ἀρχιερέα Ῥώμης τὰς ἑτέρων ἀναψηλαφᾶν ψήφους, ὡς μηδενὸς κανόνος τοῦτο κελεύοντος.

Ὅτι καὶ ἡ ἐν Βενεθάλοις σύνοδος πάλιν τοῖς τῆς πρώτης ἐξακολουθήσασα κανόσι, τοὺς μὲν ὑπὸ τὸν Ῥώμης ἐπισκόπους ταῖς ἐκείνων συνοδικαῖς ψήφοις ὑπείκειν ἐκέλευσε, τοὺς δὲ ὑπὸ τὸν Ἀλεξανδρείας, τοῦ σφῶν ἀρχιερέως, καὶ τοὺς ἄλλους ὁμοίως.

Ὅτι πολλάκις οἱ Ῥωμαῖοι κατὰ Θεοῦ ἀρχιερέων ἀλόγως ὁρμήσαντες, ἐκείνους μὲν μικρὸν ἢ οὐδὲν παρελύπησαν, ἑαυτοὺς δὲ αἰσχύνης μεγάλης ἐνέπλησαν· ὡς κατὰ Φλαβιανοῦ τοῦ Ἀντιοχείας, ἐπὶ ἔτη οὐκ ὀλίγα, ἀλλ᾽ ἐξῆς διαδοχὴν ἐκκηρύττοντες καὶ ἀναθεματίζοντες, εἰ καὶ ὁ τούτου τελευταῖος ἄμεινον τῶν ἄλλων εἰ καὶ ἄκων συνελαθεὶς, τὴν ἄλογον ἔχθραν εἰς φιλίαν ἐλύσατο.

Εἶτα Εὐθύμιον καὶ Μακεδόνιον οἱ Ῥωμαῖοι Θεοῦ ἀρχιερεῦσιν οὐδαμῶς συντάσσουσιν, ἀλλ᾽ οὐδὲν ἧττον αὐτῶν ἡ μνήμη καὶ τὸ ὄνομα ἀνὰ πᾶσαν ἐκκλησίαν ἀνακηρύττεται, λαμπρὸν ἐπὶ λαμπροῖς ἀγωνίσμασιν.

Ὅτι καθαιρεθέντα παραλογώτατον τὸν θαυμάσιον καὶ θεῖον Ἰωάννην τὸν Χρυσόστομον, ὁ μὲν Ῥωμαίων πρόεδρος Ἰννοκέντιος πολλὰ σπουδάσας εἰς τὴν οἰκείαν ἐπαναγαγεῖν τιμὴν, οὐδὲν ἴσχυσεν. Ὁ δὲ Κωνσταντινουπόλεως Ἀττικὸς, πολλὰ τοῦ Ἀλεξανδρείας δυσανασχετοῦντος, εἰς τὴν τῶν ἀρχιερέων τιμὴν ἐπανήγαγε, τοῖς ἱεροῖς διπτύχοις ἐντάξας αὐτοῦ τὸ ὄνομα· ἕκαστος γὰρ οἰκείῳ θρόνῳ τῶν ἄλλων ἐστὶν ἐπικρατέστερος.

Ὅτι Νεκτάριος Μάξιμον, εἰ καὶ παραλόγως, ὅμως πρὸ αὐτοῦ χειροτονηθέντα καθεῖλε, καὶ Μηνᾶς ὁμοίως Ἄνθιμον τὸν Τραπεζούντιον· εἰ βούλει δὲ καὶ Ἀνατόλιος τὸν Διόσκορον, ὃς ἐκεῖθεν

τε τὴν χειροτονίαν εἶχε, καὶ ταῖς Διοσκόρου σπουδαῖς τὸν Κωνσταντινουπόλεως ἐνεχειρίσθη θρόνον.

Ὅτι Μάξιμον τὸν ὁμολογητὴν ὡς ὀρθόδοξον οἱ αἱρετικοὶ καθεῖλον, ἀντεκατέστησαν δὲ Κύριλλον τοῖς Ἱεροσολύμοις ὑπονοούμενον ἀρειανίζειν. Ὀρθοδοξῶν δὲ γνωρισθεὶς ὑπὸ Ἀκακίας τοῦ Καισαρείας, καὶ αὐτοῦ ὀρθοδοξίας μὴ ἀθετοῦντος, συσκευὴν ὑπομένει· ὕστερον μέν τοι καὶ ὑπ' Ἀρειανῶν καθῃρέθη. Μάξιμον δ' οὖν καὶ Κύριλλον ὁμοίως ἡ ἐκκλησία τοῦ Θεοῦ τιμᾶται διαπαντός.

Ὅτι Μελέτιος ὁ θεῖος, τοῦ θαυμαστοῦ Εὐσταθίου παρὰ πάντα θεσμὸν ὑπὸ Ἀρειανῶν συσκευασθέντος, καὶ τοῦ θρόνου ἀπελαθέντος, τῇ Ἀντιοχέων ἐνθρονίζεται· φανερῶς δὲ εὐσέβειαν κηρύξας, ὑπὸ τῶν αἱρετικῶν καὶ αὐτὸς ἐξορίζεται· χρόνῳ δὲ ὕστερον τῇ Ἀντιοχέων ἀποκαθίσταται· καὶ ἑκάτερος αὐτῶν ὡς ἀρχιερεὺς Ἀντιοχείας καὶ τιμᾶται, καὶ μεγαλύνεται.

Ὅτι καὶ Ἠλία τοῦ Ἱεροσολύμων δι' εὐσεβείας τοῦ θρόνου ἐκβληθέντος, Ἰωάννης ὑπὸ τῶν αἱρετικῶν ἀντικαθίσταται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνακηρύξας, παρὰ τῆς ὀρθοδοξούσης ἐκκλησίας μετὰ τῶν ἀρχιερέων συντάττεται, μηδὲν τῆς τιμῆς καὶ δίκης ἐλαττουμένης τοῦ ἐν ἁγίοις Ἠλία. Οὕτω πανταχοῦ ἡ ἐκκλησία τὰ τῆς εἰρήνης μεταδιώκει.

Ὅτι Εὐθύμιος, ὡς ὀρθόδοξος, τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ἀπελαύνεται, καὶ Μακεδόνιος ὁ τούτου σκευοφύλαξ ἀντεισάγεται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνομολογήσας, εἴπερ τις ἄλλος, τῇ ἐκκλησίᾳ τετίμηται, θαυμάζουσι καὶ διὰ τιμῆς ἄγουσι καὶ τὸν γενναῖον Εὐθύμιον.

Ὅτι Εὐτύχιος παραλόγως ἀπηλάθη τοῦ θρόνου, ἀντικατέστη δὲ Ἰωάννης, ὁμοίως Εὐτυχίῳ τὰ ὀρθὰ κρατύνων δόγματα, καὶ ἑκάτερον ἡ ἐκκλησία τῶν ἴσων γερῶν ἀξίους ψηφίζεται.

Ὅτι Ἀναστάσιος ὁ Θεουπόλεως, παρὰ πάντα θεσμὸν παρὰ Ἰουστίνου τῆς Ἀντιοχέων ἀπελήλαται, ἀνὴρ τά τε ἄλλα δεξιός, καὶ ἰσχυρογνώμων τὰ τῆς πίστεως· ἀντ' αὐτοῦ δὲ χειροτονεῖται Γρηγόριος ὁ θαυμάσιος, καὶ ἐπέκεινα τῶν κ'. ἐτῶν τῇ ἀρχιερωσύνῃ διαπρέπων ἐτελεύτησε· καὶ ἀποκαθίσταται πάλιν Ἀναστάσιος, Μαυρικίου τὰ Ῥωμαίων σκῆπτρα διέποντος καὶ ἰθύνοντος, καὶ ἑκάτερον αὐτῶν ἡ ἐκκλησία ἀποδέχεται.



Ὅτι τὴν τῶν σαββάτων νηστείαν Ἀμβρόσιόν φασι τοῖς Ῥωμαίοις παραδεδωκέναι, καὶ Γρηγόριον τὸν Θεολόγον, καὶ Λέοντα τὸν μέγαν, καὶ Ἰννοκέντιον. Κομίζουσι δὲ εἰς ἀπόδειξιν τοῦ δεῖν νηστεύειν τὰ σάββατα, τὸν Κορυφαῖον Ἀπόστολον Πέτρον νηστεύσαντα ἐν σαββάτῳ, καὶ καθελόντα Σίμωνα.

Ὅτι τοῦ ξυρᾶσθαι ἀπολογεῖσθαί φασι τοὺς Ῥωμαίους, ὡς ἐκ τῆς κατὰ μακάριον Ἰὼβ μιμήσεως, καὶ γάρ φασιν αὐτὸν ξυρίσασθαι ἐπὶ ταῖς συμφοραῖς, ὥς φασι πένθους ὑπάρχειν ἐνδεικτικόν· καὶ ἡμεῖς χρώμεθα αὐτῷ καθ' ὁμοιότητα πενθοῦντες τὰς ἡμῶν ἁμαρτίας.

Ὅτι τὴν τοῦ κρέως ἀπόθεσιν ποιοῦνται, καθ' ἣν ἡμεῖς τὸν τυρόν· τὸν δὲ τυρὸν, καθ' ἣν ἄγομεν τὴν πρώτην τῶν νηστειῶν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

*Περὶ τῶν καταφρονούντων τῶν ἐπιτιμίων.*

Ὃν οὐ σωφρονίζει τὰ κοινὰ ἐπιτίμια, ἀνάγκη τοῖς ὑπὸ τοῦ Κυρίου ῥηθεῖσι κανόσιν ὑποβάλλεσθαι. Ἔλεγξον, φησὶ, τὸν ἁμαρτόντα ἀδελφόν σου μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε ἄλλον ἕνα· ἐὰν δὲ μηδὲ οὕτως, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Εἰ οὖν ἅπαξ ἐκλήθη, ἐπὶ δύο ἠλέγχθη, ἐπὶ τῆς ἐκκλησίας διεμαρτυρήθη, καὶ ἐπεὶ οὐ κατεδέξατο, ἔσται ἐκκήρυκτος, καὶ διαγγελθήτω πανταχοῦ ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοινωνίαν χρήσεως βιωτικῆς, ὅπως ἐκ τοῦ μὴ συναναμίγνυσθαι ἡμᾶς αὐτῷ γένηται τοῦ διαβόλου κατάβρωμα.

## ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ,

*Ἐκ τῆς πρὸς Κορινθίους ἐπιστολῆς.*

Ἡ γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.

*Ἑρμηνεία.*

Τουτέστιν ὁμοπίστῳ, εὐσεβεῖ, σωφρόνως, ἐννόμως. Ἐλευθέραν δὲ αὐτὴν εἰπὼν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν, ἔδειξε πρὸ τούτου δούλην αὐτὴν οὖσαν· καὶ οὐκ εἶπε, γαμείσθω, ἵνα μὴ δόξῃ βιάζεσθαι, ἀλλ' ᾧ θέλει γαμηθῆναι, ἤγουν ἐν τῇ προαιρέσει τέθεικεν.

### *Ἄλλη ἑρμηνεία.*

Οὐκ εἶπεν ὁ Ἀπόστολος, ἐὰν ἀποθάνῃ, ἀλλ' ἐὰν κοιμηθῇ, μονονουχὶ παραμυθούμενος τῇ χηρείᾳ, καὶ πείθων αὐτὴν μὴ γαμεῖσθαι. Οὐκ ἐτελεύτησέ σου, φησὶν, ὁ ἀνὴρ, ἀλλ' ἀπεδήμησεν, ἀλλὰ καθεύδει. Τίς οὖν καθεύδοντα ἄνδρα οὐκ ἀναμένει; ὥστε, κἂν βιβλίον ἀποστασίου δῷ, κἂν τὴν οἰκείαν ἀφῇ, κἂν πρὸς ἄλλην ἀπέλθῃ, τῷ νόμῳ δέδεται, καὶ μοιχαλίς ἐστιν ἡ τοιαύτη ζῶντος αὐτοῦ.

### *Ἐκ τῆς ἐπιστολῆς Γενναδίου.*

Εἴ τις ἁρπάσει, ἢ ὑπονοθεύσει, ἢ διαφθείρει ἀσκήτριαν, ἢ διακόνισσαν, ἢ μονάστριαν, ἢ ἄλλην οἱανοῦν γυναῖκα εὐλαβῆ βίον καὶ σχῆμα ἔχουσαν, κεφαλικῶς τιμωρείσθω μετὰ τῶν μετασχόντων τοῦ ἐγκλήματος, τῆς γυναικὸς ἅμα τοῖς οἰκείοις πράγμασιν εἰς ἀσφαλέστερον μοναστήριον ἐμβαλλομένης.

# ΕΡΩΤΗΣΕΙΣ

## ΜΟΝΑΧΩΝ ΤΙΝΩΝ ΕΞΩ ΤΗΣ ΠΟΛΕΩΣ ΑΣΚΟΥΜΕΝΩΝ,

Καὶ ἀποκρίσεις ἐπ' αὐτῶν γενόμεναι παρὰ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Νικολάου, βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐφ' αἷς καὶ ἑρμηνεῖαι ἐξεφωνήθησαν παρὰ τοῦ πατριάρχου Ἀντιοχείας Θεοδώρου τοῦ Βαλσαμὼν (1).

*Ἐρώτησις Α'.*

Εἰ χρὴ μοναχὸν εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον; κωλύει γὰρ τοῦτο ὁ λγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας συνόδου, ὃς καὶ οὐ παραχωρεῖ ἐπὶ ἄμβωνος ψάλλειν ἢ ἀναγινώσκειν(2) ἀσφράγιστόν τινα ἢ μοναχόν· ὁμοίως καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ιέ. καὶ ὁ κά., καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον κανὼν ιδ'.

*Ἀπόκρισις.*

Τὸ μὲν δίχα χειροθεσίας(3) ἐπὶ ἄμβωνος ὡς ἀναγνώστην ποιῆσαι τὸν μοναχὸν τὰς τοῦ ἀναγνώστου ὑπηρεσίας, κεκώλυται· τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι, χάριν ὑφάψεως κηρίου ἢ κανδήλας, τὸν μηδενὶ ἐγκλήματι γενόμενον ἔνοχον, οὐκ οἶμαι δεῖν κωλυθῆναι, διὰ τὴν τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

*Ἑρμηνεία.* Καλῶς καὶ κατὰ τὴν τῶν θείων κανόνων παράδοσιν

(1) ἐφ' αἷς καὶ ἑρμηνεῖαι .... τοῦ Βαλσαμὼν, οὐ κεῖται ἐν Χ. Τρ. ἐν Χ. V. τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς αὐλικῆς βιβλιοθήκης, καὶ παρὰ Ε. ἀλλὰ παρὰ Βευερ. — Αἱ ἐρωταποκρίσεις αὗται ἀναγινώσκονται ἐν Χ. Τρ. καὶ παρὰ Ε. μετὰ τὸν νομοκάνονα· παρὰ δὲ Βευερ. ἐν παραρτήματι. Ἐν Πηδαλίῳ αἱ ἐρωταποκρίσεις ἐξεδόθησαν ἐν μεταφράσει κατὰ τὴν κοινὴν διάλεκτον. — (2) Χ. Τρ. Π. — ἀναγινώσκειν ἢ ψάλλειν Ἑ. Βευερ. — (3) χειροτονίας Χ. V.

ἀποκριναμένης τῆς ἁγίας συνόδου πρὸς τὴν ἐρώτησιν, εἶπόν τινες, ὡς τὸ μὲν μὴ ἀναγινώσκειν ἐπ' ἄμβωνος τοὺς μὴ λαβόντας ἀναγνώστου σφραγῖδα μοναχοὺς, ἀδιάστικτον ἐστί· τὸ δὲ ἐκχωρηθῆναι πάντα περιβεβλημένον σχῆμα μοναχικὸν εἰσιέναι εἰς τὸ θυσιαστήριον, οὐκ ἀδιαστίκτως παραληφθήσεται. Ἀλλ' ἐπεὶ ὁ ξθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται ἄβατον εἶναι τοῖς λαϊκοῖς τὸ ἅγιον θυσιαστήριον, εἰ μὲν ὁ τοῦ μοναχικοῦ σχήματος καταξιωθεὶς, καὶ ἀποκάρσεως ἔτυχεν, ἀκωλύτως εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον· εἰ δὲ διὰ δοκιμασίαν κατὰ τοὺς κανόνας τὰ μοναχικὰ ἐνεδύσατο, ἃ καὶ ἀποτίθεσθαι ἐντὸς τριετίας ἐξεχωρήθη, οὐκ εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον χάριν(1) οἱασδήποτε ὑποθέσεως, ὡς μηδὲ μετὰ τῶν μοναχῶν συνταττόμενος, ἀλλ' ἔτι ὢν λαϊκός. Ἐμοὶ δὲ δοκεῖ, ὅτι οὐ δύναταί τις τὰ μοναχικὰ ὁπωσδήποτε περιβαλλόμενος ἄμφια ῥῖψαι καὶ διαπαῖξαι αὐτά· οὐ γὰρ μετὰ μοναχικῶν ἀμφίων ὀφείλει δοκιμάζεσθαι, ἀλλὰ μετὰ σχήματος λαϊκοῦ· διὸ καὶ πᾶσι τοῖς τὸ ἱερὸν σχῆμα ἠμφιεσμένοις ἀποκριμάτιστος ἔσται ἡ εἰς τὸ ἅγιον θυσιαστήριον εἴσελευσις, ὡς μηδὲ δυναμένοις εἰς τόπον ἐλθεῖν λαϊκοῦ. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιδ'. κανόνα τῆς ζ'. συνόδου.

### *Ἐρώτησις Β'.*

**Εἰ χρὴ μὴ (1) κλίνειν ἐν σαββάτῳ γόνυ, ὥσπερ οὐδὲ ἐν Κυριακῇ, ἢ Πεντηκοστῇ.**

*Ἀπόκρισις.*

Ἀπὸ τοῦ κανόνος μὲν οὐ κεκώλυται· οἱ πολλοὶ δὲ διὰ τὸ μὴ ἐπακολουθεῖν ἐν σαββάτῳ νηστείαν, οὐδὲ γόνυ κλίνουσιν.

*Ἑρμ.* Ἡ προσκυνητέα ἀπόκρισις δι' ὀλίγου πολλὰς ἀντιλογίας ἔλυσεν. Εἶπε γὰρ, ὡς ἐπεὶ παρὰ τῶν ἁγίων Πατέρων οὐκ ἐκωλύθη ῥητῶς τὸ γόνυ κάμπτειν κατὰ τὰ σάββατα, ὥσπερ τὸ νηστεύειν κεκώλυται, ὁ γόνυ κάμπτων οὐ λογισθήσεται ταῖς ἐκκλησιαστικαῖς ἐναντιούμενος παραδόσεσι, καὶ μᾶλλον, εἴπερ

(1) Χ. Τρ. καὶ Χ. V. — χωρὶς Ἑ. Βευερ. — (2) Χ. Τρ. — μὲν Ἑ. Βευερ.



τοῦτο ποιεῖ διὰ ἄσκησιν. Ὅτι δὲ παρὰ τῶν ἁγίων Πατέρων ἐξισώθησαν διόλου σχεδὸν ταῖς Κυριακαῖς τὰ σάββατα, καὶ οἱ νηστεύοντες ἐν τούτοις κολάζονται, οὐδὲ ὁ γόνυ μὴ κάμπτων προκριματισθήσεται· ἐρεῖ γὰρ νομικόν τι παράγγελμα, οὕτω διεξιόν· Οὐ πᾶν τὸ μὴ κεκωλυμένον ἐπιτέτραπται.

### *Ἐρώτησις Γ'.*

**Εἰ χρὴ τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν.**

*Ἀπόκρισις.*

Ἦν ἡ νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ· μετετέθη δὲ διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις. Πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν.

*Ἑρμ.* Τὸ περὶ τῆς νηστείας ταύτης ἐζητήθη ποτὲ ἐνώπιον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κατὰ παρουσίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, καὶ τῶν παρευρεθέντων ἀρχιερέων. Καί τινες μὲν εἶπον μὴ ὀφείλειν νηστεύειν ἡμᾶς διὰ τὴν ἐν τῇ ἀποκρίσει δηλουμένην μετάθεσιν· ἕτεροι δὲ ἀντέθεντο, ὡς, ἐπεὶ ἡ ἁγία σύνοδος ἀνενδοιάστως φησὶ νηστείαν μὴ γίνεσθαι πρότερον κατὰ ταύτας τὰς ἡμέρας, μετατεθῆναι δὲ ταύτην, οὐ δηλοῦται δὲ, ὅπως καὶ ὅπου ἡ μετάθεσις γέγονεν, ὀφείλομεν ἐξ ἀνάγκης νηστεύειν. Ὁ δὲ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἀπεφήναντο, ἀπαραίτητον εἶναι τὴν νηστείαν τοῦ Αὐγούστου μηνὸς, καὶ εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν ἐχρῶντο καὶ τῷ τόμῳ τῆς ἑνώσεως τῷ διαλαμβάνοντι, τοὺς τριγάμους τρὶς τοῦ ἔτους μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων, κατὰ τὸ μέγα Πάσχα δηλαδὴ, κατὰ τὴν ἑορτὴν τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, καὶ κατὰ τὴν Γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Ἀμφιβαλλόντων δὲ καὶ εἰσέτι τότε τινῶν, διὰ τὸ μὴ εὑρίσκεσθαι ὁπουδήποτε ὡρισμένην *(1) τὴν ποσότητα τῶν ἡμερῶν τῆς τοιαύτης νηστείας, εἶπεν ὁ αὐτὸς ἁγιώτατος πατριάρχης, ὡς τῶν ἡμερῶν ταύ-

(1) Χ. Τρ. — τὸ, ὡρισμένην, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. εἰ μὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ.

της τε καὶ τῆς τελουμένης νηστείας πρὸ τῆς ἑορτῆς τῆς Γεννήσεως τοῦ Χριστοῦ μὴ δηλουμένων ἔκ τινος ἐγγράφου, ἀναγκαζόμεθα ἕπεσθαι τῇ ἀγράφῳ ἐκκλησιαστικῇ παραδόσει, καὶ ὀφείλομεν νηστεύειν ἀπὸ τῆς πρώτης τοῦ Αὐγούστου μηνὸς, καὶ ἀπὸ τῆς ιδ'. τοῦ Νοεμβρίου μηνός. Εἰ δὲ καταλῦσαι διὰ σωματικὴν ἀσθένειαν ἀναγκαζόμεθα, ἐκ προτροπῆς ἐπισκοπικῆς αἱ δηλωθεῖσαι ἡμέραι τῶν νηστειῶν στενοχωρηθήσονται, ὅτι καὶ τοῦτο δέδοκται ἐξ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως. Καὶ τότε μὲν ἐλαλήθησαν ταῦτα. Ἐγὼ δὲ μετὰ τοῦτο σκοπήσας ὅθεν καὶ ὅπως παρεδόθησαν αἱ δύο αὗται νηστεῖαι, ἤγουν ἡ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ ἡ τῆς Γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἀλλὰ μὴν καὶ ἡ πρὸ τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων τελουμένη νηστεία, καὶ ἡ πρὸ τῆς Μεταμορφώσεως νηστεία, καὶ εἰ ἐξ ἀνάγκης ὀφείλομεν κατὰ ταύτας νηστεύειν, καὶ ἐπὶ πόσας ἡμέρας, λέγω, τὴν μὲν νηστείαν τῶν τοιούτων τεσσάρων ἑορτῶν ἀπαραίτητον εἶναι, τὴν δὲ ποσότητα τῶν ἡμερῶν ταύτης μὴ εἶναι εἰς πάντας ἰσάριθμον, ὅπερ εἰς τὴν μεγάλην ἐστὶ Τεσσαρακοστήν· ἀλλὰ πρὸ μὲν ἑπτὰ ἡμερῶν ἑκάστης τῶν τοιούτων ἑορτῶν πάντες οἱ πιστοὶ, λαϊκοὶ δηλονότι καὶ μοναχοὶ, ἀναγκάζονται νηστεύειν κατὰ τὸ ἀπαραίτητον, καὶ οἱ μὴ οὕτω ποιοῦντες, ἐκ τῆς κοινωνίας τῶν ὀρθοδόξων Χριστιανῶν ἀλλοτριωθήσονται. Οἱ δὲ ἀπὸ τῶν κτητορικῶν τυπικῶν (1) συνωθούμενοι μοναχοὶ νηστεύειν ἐπὶ πλέον, ἤγουν ἀπὸ τῆς ἑορτῆς τῶν Ἁγίων Πάντων, καὶ ἀπὸ τῆς ιδ'. τοῦ Νοεμβρίου μηνὸς, καὶ ἄκοντες ἀναγκασθήσονται τοῖς κτητορικοῖς αὐτῶν τυπικοῖς (2) ἀκολουθεῖν, ὅτι τοῦτο κανονικὸν καὶ σωτηριῶδές ἐστιν· ὥσπερ καὶ οἱ λαϊκοὶ οὕτως ἑκοντὶ νηστεύοντες εὐχαριστίας ἀξιωθήσονται. Ἐπεὶ δὲ τὰς αἰτίας τούτων πάντων γραφικοῖς θείοις δόγμασι καὶ διδάγμασιν εὐδοκοῦντος Θεοῦ κατησφαλισάμεθα (3), καὶ δι' ἐπιστολῆς παρεστησάμεθα γραφείσης πρὸς τὸν ἐν τῷ Βουνῷ τοῦ ἁγίου Αὐξεντίου ἐγκλειόμενον τιμιώτατον μοναχὸν κῦρον Θεοδόσιον τὸν Σαρπειώπην, ἀνάγνωθι καὶ ταύτην· ἐνταῦθα γὰρ ὡς πολύστιχος οὐ κατεστρώθη.

(1) Χ. Τρ. καὶ Χ. V. — ἀπὸ τῶν κτητορικῶν τοπικῶν Βευερ. — παρὰ δὲ Ἑ. οὐ κεῖται ὅλως τὰ ἀπὸ τοῦ, Καὶ τότε μὲν ἐλαλήθησαν ταῦτα, μέχρι τέλους τῆς ἑρμηνείας. (2) Χ. Τρ. καὶ Χ. V. — τοπικοῖς Βευερ. — (3) κατασφαλισάμενος Χ. V.



Ἡ αὐτὴ δὲ ἐπιστολὴ ἐγράφη ἀπαραλλάκτως καὶ πρὸς τοὺς ἐν τῷ Θρόνῳ τῆς μεγάλης Ἀντιοχείας κληρικοὺς καὶ λοιπούς.

*Ἐρώτησις Δ'.*

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῶν ἁγιασμάτων· ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως (1), καὶ οἱ ἅγιοι Ἀπόστολοι ἄλλως, καὶ οἱ μεταγενέστεροι ἄλλως (2).

*Ἀπόκρισις.*

Εἰ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ τις, ὡς δαιμονᾷν δοκεῖν, οὐ κωλυθήσεται· εἰ δὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστιν, ἥκιστα τῶν ἁγιασμάτων ἀξιωθήσεται, ὅτι οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος.

*Ἑρμ.* Ἐμοὶ δοκεῖ καὶ τῷ ἐκ διαλείμματος δαιμονῶντι παρὰ τοῦ ἁγίου Τιμοθέου ἐκχωρηθῆναι τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν, καθ' ὃν νήφει πάντως καιρὸν, καὶ μᾶλλον, ἐὰν κατὰ τὴν μανίαν οὐ βλασφημῇ κατὰ τῶν ἁγίων. Ὥσπερ γὰρ ὁ ἀπὸ χυμοῦ μελαγχολικωτέρου ὀχλούμενος, ἐὰν οὐκ οἶδε τὴν χάριν τῶν ἁγιασμάτων, ἐπὶ πλέον δὲ καὶ βλασφημῇ, οὐ παραχωρηθήσεται μεταλαβεῖν, ἵνα μὴ ἐντεῦθεν περιϋβρίζωνται τὰ θεῖα, οὕτω καὶ ὁ ἐκ διαλείμματος μαινόμενος, ἐὰν ἄξιός ἐστι, καὶ οὐδὲ βλασφημῇ κατὰ τὸν τῆς μετανοίας καιρὸν κατὰ τῶν θείων μυστηρίων, οὐκ ἐμποδισθήσεται αὐτῶν μετασχεῖν, καθ' ὃν νήφει καιρόν. Κατὰ δὲ τὰς τελευταίας ἀναπνοὰς, οἴομαι πάντας ὀφείλειν ἀξιοῦσθαι τοῦ θείου καὶ ἁγίου ἐφοδίου, ὅτι καὶ ὁ ἅγιος Τιμόθεος, βαπτίζεσθαι τούτους τηνικαῦτα διορίζεται, μὴ προβαπτισθέντας (3).

*Ἐρώτησις Ε'.*

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ ἐκκλησίᾳ, οἷον προσφορὰς καὶ νάματα, ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα, καὶ ὡς βούλεται

(1) εἶπεν ἁπλῶς Χ. Τρ. — (2) καὶ οἱ μεταγενέστεροι ἄλλως, οὐ κεῖται ἐν Χ. V. —(3) Βευερ. — μήπω βαπτισθέντας Χ. V. — μὴ προβαπτισθέντας, οὐ κεῖται ἐν Χ. Τρ. καὶ παρὰ Ἑ.

καὶ εἰ ὡς ἄρτον κοινὸν ὀφείλει ταῦτα ἐσθίειν· καὶ εἰ πολλὰ τοιαῦτα συναχθείη, τί δεῖ ταῦτα ποιεῖν;

*Ἀπόκρισις.*

Τὰ μὲν τῆς ὑψωθείσης κλάσματα οὐχί· ἀλλ᾽ ἐν τῇ ἐκκλησίᾳ μόνῃ ἐσθίειν, ἕς τ᾽ ἂν ἅπαντα δαπανήσωσι· τὰ δὲ περιττὰ τῶν ἄλλων μὴ μετὰ γάλακτος, καὶ τυροῦ, καὶ ὠῶν, καὶ ἰχθύων, ἀλλ᾽ ἀποτεταγμένως, καὶ ἰδιαζόντως.

*Ἑρμ.* Ἀκολούθως τῷ ζ΄. κανόνι τοῦ ἁγίου Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας, τῷ κειμένῳ εἰς τὸν προσφωνηματικὸν αὐτοῦ λόγον τὸν εἰς τὰ ἅγια Θεοφάνεια, καὶ διοριζομένῳ ταῦτα ῥητῶς· Τὰ προσφερόμενα εἰς λόγον θυσίας μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν ἁγίων χρείαν, οἱ κληρικοὶ διανεμέσθωσαν· καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω, ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοί, καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί, ἀπεκρίνατο ἡ ἁγία σύνοδος. Πλὴν ὁ μὲν κανὼν οὐ διεστείλατό τι (1) χάριν τῶν περιττευόντων κλασμάτων ἀπὸ τοῦ ὑψωθέντος ἁγίου ἄρτου, καὶ τῶν λοιπῶν, οὐδ᾽ ὅπως τούτοις δεῖ χρῆσθαι παρεκελεύσατο· ἡ δὲ ἀπόκρισις διεῖλεν εἰς δύο τὴν τούτων δαπάνην. Περὶ μέντοι τοῦ προσφερομένου οἴνου, ἡ μὲν ἁγία σύνοδος οὐδέν τι ἀπελογήσατο· ὁ δὲ ἅγιος καὶ τοῦτον παρομοίως τοῖς ἄρτοις δαπανᾶσθαι διωρίσατο, καὶ ὡς νομίζω, καλῶς· οὐδὲ γὰρ ὑψοῦται ὁ οἶνος, ἀλλὰ μόνον ἁγιάζεται. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα οϐ΄. καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ζ΄. καὶ ή. Σημείωσαι δὲ τὰ ἐν τῇ παρούσῃ ἀποκρίσει περιεχόμενα, καὶ θρήνησον, πῶς καταφρονεῖται σχεδὸν ἀπὸ πάντων τῶν ἱερέων ἡ δαπάνη τῶν μὴ ὑψουμένων προσφορῶν· οἱ πλείους γὰρ καὶ μετὰ κρεάτων ἐσθίουσιν αὐτάς, καὶ ἀλλοτρόπως κοινοποιοῦσιν (2).

*Ἐρώτησις Ϛ΄.*

Εἰ ὁπουδήποτε ἀποκαρεὶς μοναχός τις βλάπτεται κατά τι συμϐὰν ψυχικῶς, καὶ βουλόμενος ὑποχωρῆσαι δεσμηθῇ

(1) οὐ διέστειλε τότε Χ. Τρ. — (2) Βευερ. Χ. V. — τὰ ἀπὸ τοῦ, Σημείωσαι δὲ, οὐ κεῖται παρὰ Β, τὸ δὲ, καὶ ἀλλοτρόπως κοινοποιοῦσιν, οὐ κεῖται ἐν Χ. Τρ.



παρὰ τοῦ οἰκείου προεστῶτος, τί ποιήσει; τῆς βλάϐης καταφρονήσει, ἢ τοῦ δεσμοῦ;

*Ἀπόκρισις.*

Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι δι᾽ ὃ βλάπτεται· καὶ εἰ ἔστι προφανὴς κίνδυνος ἐκ τούτου, ὑποχωρεῖν ἐκεῖθεν, καὶ μὴ τοῦ δεσμοῦ φροντίζειν.

*Ἑρμ.* Ὁ τρίτος κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης πρώτης καὶ δευτέρας συνόδου, ἀφορίζεσθαι διορίζεται τὸν καθηγούμενον, μὴ ἀναζητοῦντα μετὰ ἐπιμελείας τὸν ἀποδιδράσκοντα μοναχὸν αὐτοῦ. Καὶ ὁ δ΄. κανὼν τῆς αὐτῆς συνόδου, ἀφορίζει τὸν χωρὶς εὐλόγου αἰτίας μεταπίπτοντα μοναχόν, καὶ τὸν δεχόμενον αὐτόν. Ὅθεν καὶ ἡ ἁγία σύνοδος ἀπελογήσατο, μὴ ἀπεριμερίμνως καὶ κατὰ τὸ δόξαν σκάνδαλον ἑνὶ ἑκάστῳ τῶν μοναχῶν ὑποχωρεῖν ἐξ ἧς ἀπεκάρη μονῆς, ἀλλὰ ἀναδιδάσκειν τοῦτον τὸν καθηγούμενον, καὶ εἰ μὴ τύχοι διορθώσεως, ὑποχωρεῖν ἀπὸ τῆς μονῆς, καὶ μὴ ἐπιστρέφεσθαι τοῦ ἡγουμενικοῦ δεσμοῦ. Ἐκλαϐοῦ δὲ τὸ μὴ ἐπιστρέφεσθαι αὐτὸν τοῦ δεσμοῦ, εἰς τὸ μὴ ὑποπτεύειν κίνδυνον ἐκ τοῦ ὑποχωρῆσαι πρὸ τοῦ λυθῆναι τὸν δεσμὸν, μὴ μέντοι γε καὶ εἰς τὸ γενέσθαι αὐτόλυτον· ἀναγκασθήσεται γὰρ προσελθεῖν τῷ κατὰ χώραν ἐπισκόπῳ, καὶ λυθῆναι τοῦ δεσμοῦ, ἢ κατὰ παρουσίαν τοῦ ἐπαγαγόντος αὐτὸν, ἢ καὶ ἐκείνου δίχα, μετὰ τὴν μετάκλησιν μὴ παρουσιάσαντος.

*Ἐρώτησις Ζ΄.*

Ἡγούμενος τελευτῶν, κατέλιπεν ἕτερον ἀνθ᾽ ἑαυτοῦ, δεσμήσας αὐτὸν μὴ ὑποχωρῆσαι· ἀλλ᾽ ὁ τοιοῦτος καταγνοὺς ἑαυτοῦ ἀσθένειαν, ὑπεχώρησε. Τί γοῦν χρὴ ποιῆσαι περὶ τοῦ δεσμοῦ;

*Ἀπόκρισις.*

Ἄλογος ὁ δεσμὸς, καὶ διὰ τοῦτο ἀνίσχυρος, καὶ ὁ δεσμευθεὶς ἀπολυθήσεται ἀρχιερεῖ προσελθὼν, καὶ τὰ καθ᾽ ἑαυτὸν ἀπαγγείλας.

*Ἑρμ.* Ὁ λδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων φησὶ, τὸν ἀφορισθέντα παρ' ἐπισκόπου μὴ δέχεσθαι παρ' ἑτέρου, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ κατὰ συγκυρίαν τελευτήσει ὁ ἀφορίσας τοῦτον. Κατὰ γοῦν τὴν τούτου περίληψιν ἀπελογήσατο ἡ ἁγία σύνοδος, τὸν ἀνεύλογον δεσμὸν τοῦ τελευτήσαντος καθηγουμένου λύεσθαι παρὰ ἀρχιερέως, πάντως τοῦ κατὰ χώραν· οὐδὲ γὰρ ἐνεδόθη ἑτέρας ἐνορίας ἀρχιερεῖ λύειν δεσμὸν καθηγουμένου μὴ ὑποκειμένου αὐτῷ. Καὶ ὁ μὲν παράλογος ἀφορισμὸς οὕτω λυθήσεται· περὶ δὲ τοῦ ἐπιτιμηθέντος διὰ ἀδύνατον ἢ καὶ προφανῶς παράνομον καὶ ἀκανόνιστον αἰτίαν, σκοπητέον· καὶ ζήτει θέμα ι. τοῦ έ. κεφ. τοῦ ά. τίτλου τοῦ ιά. βιβλίου τῶν βασιλικῶν.

### *Ἐρώτησις Η'.*

**Εἰ χρὴ τὸν ἐπὶ ἐγκλήματι καθαιρεθέντα ἱερέα, ἢ ἑκουσίως τὴν ἱερωσύνην καταλείψαντα, καταγνόντα ἑαυτοῦ, προλέγειν, τὸ, Εὐλογητὸς ὁ Θεὸς, καὶ τὸ, Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ τὸ, Χριστὸς ὁ ἀληθινὸς, ἢ θυμιᾷν μετὰ θυμιατοῦ (1), ἢ μεταλαμβάνειν ἔνδον τοῦ θυσιαστηρίου;**

### *Ἀπόκρισις.*

**Οὐχί· εἰς γὰρ τὸν τῶν λαϊκῶν τόπον ταχθήσεται.**

*Ἑρμ.* Ὁ κζ'. κανὼν τοῦ ἁγίου Βασιλείου τὸν ἀθεμιτογαμήσαντα ἱερέα ἐν ἀγνοίᾳ, μόνης καθέδρας διὰ τὴν ἄγνοιαν ἀξιοῦσθαι φησὶν, εὐλογεῖν δὲ ἑτέρους οὐ παραχωρεῖ. Ὁ θ'. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου φησὶ ταῦτα ῥητῶς· Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς διὰ τὴν ἄλλην σπουδήν. Καὶ ἡ οθ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου διορίζεται, τὸν μετὰ τὴν χειροτονίαν συναπτόμενον γυναικὶ, καθαιρεῖσθαι μὲν, τοῦ σχήματος δὲ τῶν κληρικῶν, καὶ τῆς ἄλλης τῆς ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι. Δοκεῖ μοι οὖν ταῦτα συμβιβάζεσθαι, κατὰ τὴν

(1) Κ. Beuer. — θυμιάματος Χ. Τρ.



διαφορὰν τῆς ἐκκλησιαστικῆς ἐνεργείας. Καὶ οἱ οὕτω μὴ ἐνεργοῦντες, τῶν μὲν ἀνηκόντων τοῖς ἱερεῦσι διὰ τῆς εἰς τὸ ἅγιον θυσιαστήριον εἰσελεύσεως στερηθήσονται, τῶν δὲ ἀνηκουσῶν ἐνεργειῶν τοῖς ἔξω τοῦ βήματος οὖσι κληρικοῖς, οὐ στερηθήσονται (1).

### *Ἐρώτησις Θ'.*

**Ὅπερ λέγει ὁ ἅγιος Βασίλειος ἐν τοῖς μικροῖς ἐπιτιμίοις, Ἔστω ἀπὸ εὐλογίας κατὰ τὴν ἀναλογίαν τοῦ σφάλματος, τί ἐστιν;**

### *Ἀπόκρισις.*

**Τὸ ἀποστερηθῆναί τινα τῆς διδομένης εὐλογίας ἐν τῇ ἐκκλησίᾳ.**

*Ἑρμ.* Ἐκκλησιαστικαὶ εὐλογίαι εἰσὶ, πάντα τὰ παρὰ τῶν ἐπισκόπων καὶ τῶν ἱερέων ἐπ' ἐκκλησίας γινόμενα, ἢ διδόμενα εἰς εὐχὴν καὶ στηριγμὸν τοῦ πιστοῦ λαοῦ. Ἕκαστος γοῦν κατὰ τὴν ἀναλογίαν τοῦ οἰκείου σφάλματος στερηθείη τῆς ἐκκλησιαστικῆς εὐλογίας.

### *Ἐρώτησις Ι'.*

**Τοὺς κεκωλυμένους ἀπὸ τῆς ἁγίας δωρεᾶς, εἰ χρὴ ἐσθίειν ὑψωμένας προσφοράς;**

### *Ἀπόκρισις.*

**Εὑρίσκομεν ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδώρου τοῦ Συκεώτου τοὺς τοιούτους κεκωλυμένους.**

### *Ἐρώτησις ΙΑ'.*

**Εἰ χρὴ κατὰ τὸ Κανονικὸν τοῦ Νηστευτοῦ κανονίζειν τινάς;**

### *Ἀπόκρισις.*

**Τὸ τοιοῦτον Κανονικὸν πολλῇ συγκαταβάσει χρησάμενον πολλοὺς ἀπώλεσε· διὸ οἱ ἐν γνώσει τοῦ καλοῦ ὄντες, καὶ ἐκ τούτου σφαλλόμενοι, ἐπανορθωθήσονται.**

(1) τῶν δὲ . . . οὐ στερηθήσονται, οὐ κεῖται ἐν Χ. V, ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Βευερ.

*Ἑρμ.* Αἱ δύο ἀποκρίσεις αὗται σαφεῖς εἰσί. Βλέπομεν δὲ, ὅτι οἱ πλείους τῶν δεχομένων μοναχῶν(1) λογισμοὺς ἀνθρώπων μετὰ τοῦ τοιούτου Κανονικοῦ κανονίζουσι. Ζήτει οὖν κατὰ τὴν παροῦσαν σωτήριον γενέσθαι ἀπόκρισιν. Τὸ μέν τοι μὴ λαμβάνειν κλάσμα ὑψουμένου ἄρτου τοὺς μεταλαμβάνειν κωλυθέντας τῶν θείων ἁγιασμάτων, πραγματικῶς γινόμενον βλέπομεν. Νομίζω δὲ ὅτι αἱ γυναῖκες, κἂν κωλυθῶσι τῆς μεταλήψεως τῶν ἁγιασμάτων, οὐκ ἐμποδισθήσονται λαμβάνειν κλάσμα ὑψωθέντος ἄρτου, διότι ἐν διαφόροις κανόσι φησὶν ὁ ἅγιος Βασίλειος, τὰς ὀλισθησάσας γυναῖκας, καὶ διὰ τοῦτο ἐπιτιμίῳ ἀκοινωνησίας ἐκκλησιαστικῆς καθυποβληθείσας, τῆς μὲν ἁγίας μεταλήψεως ἀπαλλοτριοῦσθαι, τῆς δὲ ἐκκλησιαστικῆς συνάξεως μὴ ἀποξενοῦσθαι, ὥσπερ τοὺς ἄνδρας, ἵνα μὴ γένωνται ἐν ὑπολήψει οὐκ ἀγαθῇ, καὶ παρὰ τοῦτο θριαμβευθῶσιν. Εἰ γοῦν οὐ δοθείη αὐταῖς ἐκκλησιαζούσαις κλάσμα ἄρτου ὑψωθέντος, διαγνωσθείη ἑτοίμως τὸ κακὸν, δι' ὃ οὐκ ἀξιοῦνται τῆς ἁγίας μεταλήψεως, ὅπερ οὐ βούλεται ὁ ἅγιος(2).

---

(1) Χ. Τρ. — τὸ, μοναχῶν οὐ κεῖται ἐν Χ. V παρὰ Βευερ. καὶ Ε. εἰ μὴ λατινιστὶ παρὰ τούτῳ. — (2) Ὧδε τέλος τῶν Ἐρωτήσεων. Χ. V.



## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
# ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ
## ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ,

Κανόνες ἐκ τῶν ἐκκλησιαστικῶν αὐτοῦ συντάξεων (1) καὶ τῶν σὺν αὐτῷ ἁγίων Πατέρων.

α΄. ΕΑΝ κατὰ ἄγνοιαν πλυθῇ ἀντιμίνσιον, οὐκ ἀποτίθεται τὸν ἁγιασμὸν, οὐδὲ βέβηλον γίνεται.

β΄. Ὁ δίγαμος οὐ στεφανοῦται· ἀλλὰ καὶ ἐπιτιμᾶται μὴ μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων ἔτη δύο· ὁ δὲ τρίγαμος, ἔτη πέντε.

γ΄. Ὁ ἐξ ἀνάγκης ἐπ' ὀλίγον χρόνον ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας καταμονὴν ποιησάμενος, οὐ κατακρίνεται. Ἐὰν δὲ χρονίσῃ, αὐτὸς μὲν μετ' ἐπιτιμίων ἐκβληθήσεται, ὁ δὲ ναὸς ἀπολήψεται τὰ οἰκεῖα.

δ΄. Τῶν ἀδιαθέτως τελευτώντων, χρὴ δέχεσθαι τὰς ὑπὲρ αὐτῶν γινομένας εὐποιΐας· εἴγε καὶ ζῶντες πρόθεσιν εἶχον τοῦ οὕτω ταύτας τελεσθῆναι.

ε΄. Ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ Πέμπτῃ, ἢ τῇ μεγάλῃ Παρασκευῇ, οὐχ ἁμαρτάνομεν οἴνου τηνικαῦτα μεταλαμβάνοντες καὶ ἰχθύων.

ϛ΄. Ὁ ἔχων εὐχὴν ἡγουμένου, πρεσβύτερος ὢν, χειροτονεῖ ἀναγνώστην καὶ ὑποδιάκονον ἐν τῇ ἰδίᾳ μονῇ.

ζ΄. Ἐάν τις ἐν ἀσωτείᾳ ἔζησε μέχρις ἐτῶν εἴκοσιν, ἢ καὶ ἐπέκεινα, εἶτα φανῇ ποιῶν ἔργα ἀρετῆς, οὐ χρὴ αὐτὸν χειροτονεῖσθαι· τὸ γὰρ ἱερὸν ἀμόλυντον εἶναι δεῖ.

η΄. Οἱ ἀπὸ παλλακίδος, ἢ διγάμων, ἢ τριγάμων τικτόμενοι παῖδες, ἐὰν ἄξιον ἱερωσύνης ἐπιδείξωνται βίον, χειροτονοῦνται.

---

(1) Π. — διατάξεων Κοτελλ. τόμ. Γ΄, σελ. 446.

θ'. Δεῖ μεταδιδόναι τῆς θείας κοινωνίας τῷ ἀσθενοῦντι, ἀποθανεῖν κινδυνεύοντι, καὶ μετὰ τὸ γεύσασθαι βρώσεως.

ι'. Χρὴ χάριν ἀσπασμοῦ κλίνειν γόνυ ἐν Κυριακῇ, καὶ ἐν ὅλῃ τῇ Πεντηκοστῇ, οὐ μὴν τὰς ἐξ ἔθους γονυκλισίας ποιεῖν.

ιά. Οὐχ ἁμαρτάνει τις ὑπὲρ τριῶν ἀνθρώπων μίαν προσκομίζων προσφορὰν, ἢ μίαν ἅπτων κανδήλαν.

ιβ'. Ὅτι οὐ χρὴ σφραγίδα ποιεῖν ἐν τῇ εὐχῇ τοῦ σκευοφυλακίου, ἐπὶ τὸ ἅγιον ποτήριον.

ιγ'. Ὅτι οὐ χρὴ ἄνευ θερμοῦ λειτουργῆσαι πρεσβύτερον, εἰ μὴ κατὰ πολλὴν περίστασιν, καὶ εἰ οὐδαμῶς εὑρίσκεται θερμόν.

ιδ'. Τὸν ἀθετήσαντα μοναχὸν τὸ σχῆμα, καὶ πάλιν ἐπιστρέψαντα, δεῖ πάλιν ἐνδύειν αὐτὸν ἣν ἀπεδύσατο μοναχικὴν στολὴν, χωρὶς τῶν τεταγμένων εὐχῶν.

ιέ. Δεῖ τὰς μοναζούσας εἰσιέναι εἰς τὸ ἅγιον Θυσιαστήριον, καὶ ἅπτειν κηρὸν καὶ κανδήλαν, καὶ κοσμεῖν αὐτὸ, καὶ σαροῦν.

ιϛ'. Οὐ χρὴ τοὺς μοναχοὺς τῇ μεγάλῃ Παρασκευῇ ἔργα γεωργικὰ μετιέναι, καὶ προφάσει τούτων εἰς οἶνον καταλύειν καὶ ἔλαιον· ταῦτα γὰρ γαστριμαργίας εἰσὶν ἐπιτηδεύματα.

ιζ'. Διὰ τρεῖς αἰτίας ἐφεῖται τῷ μοναχῷ τῆς ἰδίας ἀναχωρεῖν μονῆς· ἐὰν ᾖ ὁ ἡγούμενος αἱρετικός· ἐὰν εἴσοδος γυναικῶν εἰς τὴν μονὴν γίνεται· καὶ ἐὰν παιδία κοσμικὰ ἐν τῷ κοινοβίῳ μανθάνωσιν.

ιή. Ἄτοπον γὰρ τὰ ἐν τῇ μονῇ πραττόμενα, δι' αὐτῶν δημοσιεύεσθαι.

ιθ'. Τοὺς ὄντας ἐν ἐπιτιμίοις μοναχοὺς, χρὴ συνεσθίειν τοῖς λοιποῖς καὶ συνεύχεσθαι· μετέχειν δὲ καὶ εὐλογίας ἤτοι κατακλαστοῦ, ἅμα τῇ αὐτῶν ἐξομολογήσει.

κ'. Τῇ τῶν ἁγίων Ἀποστόλων νηστείᾳ, καὶ τῇ τοῦ

ἁγίου Φιλίππου, χρὴ τοὺς ἐν τῇ μονῇ καθημένους μοναχοὺς, τετράδος καὶ παρασκευῆς ἅπαξ πρὸς ἑσπέραν σιτεῖσθαι· τοὺς δὲ ἐργαζομένους, μετὰ τὴν ἕκτην γεύεσθαι ὥραν, καὶ ἑσπέρας δειπνεῖν.

κά. Ἐὰν φθαρῇ μονάστρια ὑπὸ βαρβάρων ἢ ἀτάκτων ἀνδρῶν, καὶ ἦν ὁ προτοῦ βίος αὐτῆς ἄμεμπτος, εἰς τεσσαράκοντα ἡμέρας ἐπιτιμᾶται· εἰ δὲ ὁ πρώην αὐτῆς βίος μεμολυσμένος ἦν, τὸ τῆς μοιχείας ἐπιτίμιον ἐκπληροῖ.

κβ'. Ὁ τὸ μοναχικὸν ἐνδὺς σχῆμα, φόβῳ στρατείας ἢ ἄλλῃ τινὶ πανουργίᾳ, ὡς δῆθεν τούτου καταγελῶν, καὶ τοῦτο μετὰ τὴν ἀνάγκην ἢ τὴν ὑπόκρισιν ἀποθέμενος, εἰς τεσσαρακοστὰς τρεῖς ἡμερῶν ἐπιτιμᾶται, καὶ οὕτω τῇ ἁγίᾳ πρόσεισι κοινωνίᾳ.

κγ'. Μοναχοῦ πρεσβυτέρου νέου μοναστρίαις ὑπηρετοῦντος, καὶ μεταδιδόντος αὐταῖς, οὐ χρὴ κοινωνεῖν ἐξ αὐτοῦ.

κδ'. Ὅτι οὐ χρὴ τὸν ἡγούμενον τὸ κουκούλιον τοῦ μαθητοῦ ἐκβάλλειν, καὶ διώκειν αὐτόν.

κέ. Τὸν ἀθετήσαντα τὸ ἅγιον σχῆμα, καὶ μὴ διορθούμενον, οὐ χρὴ ὑπὸ στέγην ἄγειν, ἢ χαίρειν λέγειν αὐτῷ.

κς'. Ἐάν τις ἀσθενὴς ᾖ, καὶ ἐπιζητῇ τὸ ἅγιον βάπτισμα, ἢ τὸ ἅγιον σχῆμα, χρὴ διδόναι ἀνυπερθέτως, καὶ μὴ κωλύειν τὴν χάριν.

κζ'. Ὅτι οὐ χρὴ λειτουργῆσαι πρεσβύτερον μοναχὸν ἄνευ μανδύου.

κή. Τοὺς ἄδηλα πταίσματα ἐξομολογουμένους, τῆς μὲν κοινωνίας ἀπείργειν δεῖ τὸν δεχόμενον τὴν ἐκείνων ἐξομολόγησιν· εἰς δὲ τὴν ἐκκλησίαν αὐτοὺς εἰσέρχεσθαι μὴ κωλύειν, μηδὲ θριαμβεύειν τὰ κατ' αὐτούς· ἀλλ' ἐπιεικῶς τούτους νουθετεῖν, τῇ μετανοίᾳ προσανέχειν καὶ προσευχῇ· καὶ οἰκονομεῖν τὰ προσήκοντα τούτοις ἐπιτίμια, κατὰ τὴν ἑκάστου προαίρεσιν.

κθ'. Μοιχοί, καὶ κτηνοβάται, καὶ ἀνδροφόνοι, καὶ οἱ τοιοῦτοι, ἐὰν οἴκοθεν τὴν ἰδίαν ἐξομολογήσωνται ἀνομίαν, ἄδηλον τοῖς πολλοῖς ἔτι τυγχάνουσαν, τῆς κοινωνίας μὲν κωλύονται, καὶ τὰ ἐπιτίμια δέχονται· εἰς τὴν ἐκκλησίαν δὲ εἰσερχόμενοι, ἵστανται μέχρι τῆς τῶν κατηχουμένων εὐχῆς. Ἐὰν δὲ δῆλα τὰ τούτων ὦσι πταίσματα, τότε λοιπὸν κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν ἐκπληροῦσι τὰ ἐπιτίμια.

λ'. Ἐὰν ἐξομολογήσηται λαϊκὸς τὰ ἑαυτοῦ σφάλματα ἐκ προαιρέσεως, δύναται ποιῆσαι οἰκονομίαν ὁ δεχόμενος.

λά. Κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου ποιεῖ σταυροπήγιον καὶ πρεσβύτερος.

λϐ'. Ὅτι οὐ χρὴ μεταδιδόναι τοῖς λαμβάνουσι τόκον, ἢ συνεσθίειν αὐτοῖς, ἐπιμένουσι τῇ παρανομίᾳ.

λγ'. Δεῖ νηστεύειν τοὺς μοναχοὺς τῇ τετράδι τῆς Τυροφάγου, καὶ τῇ παρασκευῇ· καὶ μετὰ τὴν τῶν προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρὸν, ὅπη ἂν ἐπιχωριάζωσιν, εἰς ἀνατροπὴν τοῦ δόγματος τοῦ Ἰακώϐου καὶ τῆς τῶν Τετραδιτῶν αἱρέσεως.

λδ'. Εἴ τις παλλακὴν κεκτημένος, οὐ βούλεται ἢ καταλιπεῖν αὐτὴν, ἢ εὐλογηθῆναι, καὶ μετὰ ἱερολογίας ἔχειν, οὐ χρὴ δέχεσθαι τὰ παρ' αὐτοῦ προσφερόμενα τῇ ἐκκλησίᾳ, ἧς τοὺς θείους θεσμοὺς διὰ τῶν ἔργων καταφρονῶν ἐνυϐρίζει.

λέ. Ἐὰν μοναχὸς τὸ ἅγιον ἀποθέμενος σχῆμα κρεωφαγήσῃ, καὶ γυναῖκα λάϐῃ, δεῖ μὴ ἐπιστρέφοντα τοῦτον ἀναθέματι καθυποϐληθῆναι, καὶ ἄκοντα τὰ μοναχικὰ ἐνδυθῆναι, καὶ μοναστηρίῳ ἐγκατακλεισθῆναι.

λϛ'. Οὐ δεῖ τὸν ἅπαξ πορνεύσαντα χειροτονεῖσθαι, εἰ καὶ τοῦ πάθους ἀπέστη· φησὶ γὰρ ὁ μέγας Βασίλειος· Εἰ καὶ νεκροὺς ἀνιστᾷ ὁ τοιοῦτος, ἱερεὺς οὐ γενήσεται.

λζ'. Ὁ Ἀπόστολος λέγων, Εἴ τις ἀδελφὸς ὀνομαζόμε-

νος ἢ πόρνος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν, οὐχ ὃν ὁ δεῖνα καὶ ὁ δεῖνα εἶδε πορνεύοντα λέγειν δοκεῖ, ἀλλὰ τὸν ὀνομαζόμενον, ἤτοι πᾶσι γινωσκόμενον. Τὰ γὰρ ἀναισχύντως πλημμελούμενα, πλείονα τὴν τιμωρίαν ἐφέλκεται.

λή. Ἐὰν, γυναικὸς γεννησάσης, τὸ βρέφος κινδυνεύῃ ἀπὸ ἡμερῶν τριῶν, ἢ πέντε, τὸ μὲν βρέφος βαπτιζέσθω, ἄλλην δὲ γυναῖκα βεβαπτισμένην καὶ καθαρὰν δέον θηλάζειν αὐτό· τὴν δὲ τούτου μητέρα, ἐν ᾧ τὸ βρέφος κεῖται κοιτῶνι, μὴ εἰσιέναι, μήτε ἅπτεσθαι ὅλως αὐτοῦ, ἕως ἡμέρας τεσσαράκοντα, ἐφ' ᾧ εἰς τέλος καθαρθῆναι, καὶ λαβεῖν παρὰ τοῦ ἱερέως εὐχήν.

## ΤΟΥ ΑΥΤΟΥ ΚΑΝΟΝΕΣ Ζ' (1).

ά. Ὅτι οὐ δεῖ ὁδοιπορεῖν ἄνευ ἀνάγκης ἢ βίας ἐν Κυριακῇ.

β'. Τὴν Ἀποκάλυψιν τοῦ Παύλου, καὶ τὰ λεγόμενα βροντολόγια, καὶ σεληνοδρόμια, ἢ καλανδολόγια, οὐ χρὴ δέχεσθαι· βέβηλα γὰρ πάντα.

γ'. Τὴν Ἀποκάλυψιν Ἔσδρα καὶ Ζωσιμᾶ, καὶ τὰ δύο μαρτύρια τοῦ ἁγίου Γεωργίου, καὶ τῶν ἁγίων μαρτύρων Κηρύκου καὶ Ἰουλίττης, καὶ τὴν βίβλον Μάρκου καὶ Διαδόχου οὐ χρὴ δέχεσθαι· ἀπόβλητα γὰρ, καὶ οὐ δεκτά.

δ'. Ὅτι οὐ δεῖ ἐργάζεσθαι τὴν ἑβδομάδα τῆς Διακαινησίμου, οὐδὲ τῷ σαββάτῳ τῆς ἀπολυσίμου ψάλλειν τὸν ἄμωμον, οὐδὲ τὰς πέμπτας φυλάττειν.

έ. Ὁ χειρισάμενος τὸν ἑαυτοῦ πατέρα, καὶ ἀποκτείνας ἑκουσίως, τὰ τοῦ φόνου ἐπιτίμια τελέσει ἔτη τριάκοντα πέντε.

ς'. Κατὰ περίστασιν καὶ μοναχὸς λιτὸς βαπτίζει. Ὡσαύτως καὶ διάκονος κατὰ περίστασιν βαπτίζει.

ζ'. Χρὴ τὰ ἀβάπτιστα νήπια, ἐὰν εὑρεθῇ τις εἰς τόπον μὴ ὄντος ἱερέως, βαπτισθῆναι. Εἰ βαπτίσει δὲ καὶ ὁ ἴδιος πατὴρ, ἢ οἱοςδήποτε ἄνθρωπος, μόνον ἵνα ἐςὶ Χριστιανὸς, οὐκ ἔστιν ἁμαρτία.

---

(1) Ἐκ τοῦ Λεύγκλαυΐου, τόμ. Λ', σελ. 196.

# ΕΚ ΤΩΝ ΚΑΝΟΝΩΝ ΤΟΥ
# ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΝΙΚΗΦΟΡΟΥ,
## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
### Καὶ Οἰκουμενικοῦ, ἐκ τῶν ἐκκλησιαστικῶν αὐτοῦ συντάξεων (1).

α'. Τας Ἐκκλησίας τὰς ὑπὸ αἱρετικῶν ἐνθρονισθείσας, παρακελευόμεθα ὡς εἰς κοινὸν οἶκον κατὰ ἀνάγκην εἰσιέναι καὶ ψάλλειν, πήξαντας ἐν μέσῳ σταυρόν· ἐν δὲ τῷ θυσιαστηρίῳ, μήτε εἰσέρχεσθαι, μήτε θυμιᾷν, μήτε εὐχὴν ἐπιτελεῖν, μήτε κανδήλαν ἢ λύχνον ἅπτειν.

ϛ'. Ὅτι δεῖ τὸν ἀθετοῦντα μοναχὸν τὸ ἅγιον σχῆμα, καὶ πάλιν ἐπιστρέφοντα, κατηχεῖσθαι ὑπὸ τῶν ἀδελφῶν τὰ δέοντα, ἀλλ' οὐχὶ ἐκ τῶν κατηχήσεων, ἀλλ' ἕκαστος ἐξ ὧν ἐπιχορηγεῖται ὑπὸ τοῦ Κυρίου λόγων· καὶ ψάλλειν τὸν κατανυκτικὸν κανόνα τοῦ πλαγίου ἤχου, καὶ τιθέναι τὰ ἱμάτια αὐτοῦ ἐν τῷ θυσιαστηρίῳ ὑποκάτω τῆς ἁγίας τραπέζης ὡς ἐπὶ τοῦ σχήματος, καὶ ἀπὸ τοῦ Εὐαγγελίου τῆς λειτουργίας κουρεύειν αὐτὸν, τὸν ἡγούμενον, καὶ ἐνδύειν τὸ σχῆμα μηδὲν ἐκφωνοῦντα(2).

θ'. Τὸν μὴ νηστεύοντα τετράδα καὶ παρασκευὴν ἱερέα, οὐ χρὴ κοινωνεῖν ἐξ αὐτοῦ, κἂν δοκῇ ὀρθόδοξος εἶναι· τὸ γὰρ ἐκ μέρους εὐσεβεῖν, καὶ ἐκ μέρους κοινοῦσθαι, βέβηλον.

ιϛ'. Ὅτι δεῖ τοὺς ἐργαζομένους μοναχοὺς τῇ ἁγίᾳ Τεσσαρακοστῇ, τὴν θ'. ὥραν γεύσασθαι ἄρτου βραχέος, καὶ τῇ ἑσπέρᾳ δειπνεῖν.

ιζ'. Ὅτι οὐ χρὴ ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ τοὺς μοναχοὺς

(1) Ἐκ τοῦ Κοτελερίου Τόμ. Γ'. σελ. 451. — (2) Τὰ αὐτὰ ἀλλ' ἐπιτομώτερον ἐν τῷ κανόνι ιδ'. τῆς προηγουμένης σειρᾶς.

ἐργασίαν ποιεῖν, καί, προφάσει τοῦ ἔργου, καταλύειν εἰς οἶνον καὶ ἔλαιον· ταῦτα γὰρ γαστριμαργίας ἐπιτηδεύματα(1).

ιθ'. Πόσα κεφάλαια ἐκβάλλουσι τὸν μοναχὸν ἀπὸ τῆς μονῆς; Πρῶτον μὲν, εἰ ἔστιν ὁ ἡγούμενος αἱρετικός· δεύτερον, εἰ ἔστιν εἴσοδος γυναικῶν ἐν τῇ μονῇ· τὸ δὲ τρίτον, ἐὰν παιδία μανθάνωσι κοσμικὰ ἐν τῷ κοινοβίῳ· ἄτοπον γὰρ τοῦτο, τὸ δημοσιεύεσθαι τὰ ἐν τῇ μονῇ καλῶς πραττόμενα, ὥς φησι τὸ Εὐαγγέλιον· Μὴ σαλπίσητε ἔμπροσθεν ὑμῶν, ὅταν εὖ ποιῆτε (2).

κθ'. Τὴν Τεσσαρακοστὴν τῶν ἁγίων Ἀποστόλων, ἤτοι τὴν νήστιμον αὐτῶν, χρὴ νηστεύειν τετράδι καὶ παρασκευῇ τοὺς ἐργαζομένους ἕως ὥρας ἕκτης, καὶ οὕτω γεύεσθαι, καὶ τὴν θ'. ὥραν ἀριστᾶν· ὡσαύτως δὲ καὶ τοῦ ἁγίου Φιλίππου, ὥραν ἕκτην γεύεσθαι, καὶ ἑσπέρας δειπνεῖν· τοὺς δὲ ἐν τῇ μονῇ, ἅπαξ ἕως ἑσπέρας (3).

νϛ'. Ἐὰν πρεσβύτερός ἐστιν, ἢ διάκονος, ἢ ἀναγνώστης καθῃρημένος, καὶ εὑρεθῇ μοναχὸς, εὐλογεῖ τὴν τράπεζαν.

ξϛ'. Ἐάν τις ἀθετήσῃ τὸ ἅγιον σχῆμα, καὶ οὐ διορθοῦται, τὴν δὲ ὀρθοδοξίαν κρατῇ, οὐ χρὴ τὸν τοιοῦτον ὑπὸ στέγην ἄγειν, οὔτε συνεσθίειν, ἢ χαίρειν λέγειν.

---

(1) Τὰ αὐτὰ καὶ ἐν τῷ κανόνι ιδ'. τῆς προηγουμένης σειρᾶς, ὅπου ἀναγινώσκεται κατὰ λάθος βεβαίως ἀντιγραφικὸν Παρασκευῇ ἀντὶ, Τεσσαρακοστῇ. — (2) Ματθ. ϛ', 2. — Ὁ κανὼν οὗτος ὁ αὐτός ἐστι τῷ ιζ'. καὶ ιη'. τῆς προηγουμένης σειρᾶς, ἐκτὸς τῆς τελευταίας περιόδου. — (3) Τὰ αὐτὰ ἀναγινώσκεται ἐν τῷ κανόνι κ'. τῆς προηγουμένης σειρᾶς.

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ (1).

ΟΣΗΝ ἔχει ἐπιποθίαν ἡ τιμιότης σου ἰδεῖν τὴν ταπείνωσιν ἡμῶν, τοσαύτην οἰέσθω καὶ τὴν ἡμετέραν εἶναι πρὸς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν. Ἀλλ' ἐπειδὴ γέγραπται, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ (2), αὐτῷ ἀναθετέον τὸν πόθον, καὶ ἐπιῤῥιπτέον τὴν μέριμναν, καὶ αὐτὸς ποιήσει, ὁπηνίκα καὶ βούλεται, θέλημα τῶν φοβουμένων αὐτόν(3). Τὸ δὲ νῦν ἔχον, ἀναγκαῖον περὶ τῶν προταθέντων κεφαλαίων ὑπὸ τῶν πνευματικῶν ἡμῶν ἀδελφῶν, Ἱλαρίωνος καὶ Εὐστρατίου, μεσολαβούσης τῆς σῆς εὐλαβείας, ἀποκριθῆναι τὰ εἰκότα. Ὡς ἂν δὲ εὐσύνοπτα γένηται τὰ λεγόμενα, ἑκάστου προταθέντος κεφαλαίου, κατὰ συνέχειαν καὶ ἡ ἀπόκρισις εἴη.

*Ἐρώτησις Α'.*

Περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ἐν Ῥώμῃ, ἐν Νεαπόλει, καὶ Λογγοβαρδίᾳ, ἀκηρύκτων καὶ ἀπολελυμένων, εἰ χρὴ τούτους δέχεσθαι, καὶ κοινωνεῖν αὐτοῖς, καὶ συνεσθίειν, καὶ συμψάλλειν.

*Ἀπόκρισις.*

Ἐν καιρῷ αἱρέσεως, οὐ κατὰ τὰ ἐν εἰρήνῃ τυπωθέντα πάντως ἀπαραλείπτως γίνεται, διὰ τὴν ἀναγκάζουσαν χρείαν· ὅπερ φαίνεται πεποιηκὼς ὅ,τε μακαριώτατος Ἀθανάσιος, καὶ ὁ ἁγιώτατος Εὐσέβιος, ὑπερορίους χειροτονίας ἀμφότεροι ποιησάμενοι. Καὶ νῦν δὲ τὸ αὐτὸ ὁρᾶται πρατ-

(1) Ἐκ τοῦ Κοτελ. Τόμ. Γ'. σελ. 453. (2) Ῥωμ. Θ', 16. (3) Ψαλμ. ΡΜΔ', 23.

τόμενον ἐν τῇ παρούσῃ αἱρέσει· ὥστε οἱ ἀποδηλωθέντες, εἴ οὐ προδήλως εἰσὶ κατεγνωσμένοι, οὐδαμῶς ἐκ τοῦ οὕτω χειροτονηθῆναι, ἀποτρόπαιοι, ἀλλὰ προσδεκτέοι κατὰ τὰς τέσσαρας προτάσεις.

*Ἐρώτησις Β'.*

Περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ὑπερόρια ἐν Σικελίᾳ, εἰ χρὴ τούτους δέχεσθαι.

*Ἀπόκρισις.*

Τοῦτο τὸ ἐρώτημα, ὅμοιον τοῦ προτεθέντος εἰ καὶ καθ' ὕφεσιν τόπου· ὁμοίως οὖν δηλονότι ἕξει καὶ τὴν ἀπόκρισιν.

*Ἐρώτησις Γ'.*

Περὶ τῶν κοινωθεισῶν Ἐκκλησιῶν ἐκ τῶν ἱερέων κοινωνησάντων τῇ αἱρέσει, καὶ κατεχομένων ὑπ' αὐτῶν, εἰ χρὴ εἰσιέναι εἰς αὐτὰς χάριν εὐχῆς καὶ ψαλμῳδίας.

*Ἀπόκρισις.*

Οὐ χρὴ τὸ καθόλου εἰς τοιαύτας Ἐκκλησίας εἰσιέναι, κατὰ τοὺς εἰρημένους τρόπους· ἐπειδὴ γέγραπται· Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος(1)· ἅμα γὰρ τῷ εἰσαχθῆναι τὴν αἵρεσιν, ἀπέστη ὁ ἔφορος τῶν ἐκεῖσε Ἄγγελος, κατὰ τὴν φωνὴν τοῦ μεγάλου Βασιλείου(2), καὶ κοινὸς οἶκος ὁ τοιοῦτος χρηματίζει ναός· καί, Οὐ μὴ εἰσέλθω, φησίν, εἰς Ἐκκλησίαν πονηρευομένων (3)· καὶ ὁ Ἀπόστολος· Τίς συγκατάθεσις ναοῦ Θεοῦ μετὰ εἰδώλων(4);

*Ἐρώτησις Δ'.*

Περὶ τῶν κοινωθεισῶν Ἐκκλησιῶν ὑπὸ τῶν αὐτῶν ἱερέων, καὶ [μὴ] κατεχομένων ὑπ' αὐτῶν, εἰ χρὴ ἐν αὐταῖς ψάλλειν καὶ εὔχεσθαι.

*Ἀπόκρισις.*

Χρὴ μὲν οὖν εἰσιέναι ἐν ταῖς τοιαύταις Ἐκκλησίαις εἰς

(1) Ματθ. ΚΓ'. 38. — (2) Ἐπιστ. 191. — (3) Ψαλμ. ΚΕ', 4, 5. — (4) β'. Κορ. ς', 16.

τὸ ψάλλειν καὶ εὔχεσθαι, ἀλλ' εἴπερ ἀσφαλῶς μὴ καταχραίνοιντο ὑπὸ τῶν [αὐτῶν] (1), ἀλλὰ κατέχονται ὑπὸ τῶν ὀρθοδόξων ἐς τόδε. Τετύπωται δὲ ἐνταῦθα, ὑπὸ σεσωσμένου ἐπισκόπου, ἢ ἱερέως, τὰ ἀνοίξια τῆς Ἐκκλησίας γίνεσθαι, ὑποφαινομένης εὐχῆς· ὥστε, εἰ τοῦτο γένοιτο, καὶ τὸ λειτουργεῖν ἐκεῖσε οὐκ ἀπᾷδον· παράδειγμα, τὸ τὸν ἅγιον Ἀθανάσιον, ὑπὸ Κωνσταντίου τοῦ βασιλέως παρακαλούμενον, μίαν ταύτην χάριν παρασχέσθαι, ἐν Ἀλεξανδρείᾳ ἕνα ναὸν παραδοῦναι τοῖς Ἀρειανοῖς εἰς τὸ συνάγεσθαι, κατανεῦσαι, ἄνπερ ἐν Κωνσταντινουπόλει λήψοιτο καὶ αὐτὸς τὴν αὐτὴν χάριν, τοῦ συνάγεσθαι τοὺς ὀρθοδόξους ἐν ἑνὶ ναῷ προκατεχομένῳ ὑπὸ τῶν Ἀρειανῶν.

*Ἐρώτησις Ε'.*

Περὶ τῶν ἐν σώματι ἁγίων, εἰ χρὴ εἰσιέναι εἰς κοιμητήρια αὐτῶν, καὶ εὔχεσθαι, καὶ προσκυνεῖν αὐτοῖς κατεχομένοις ὑπὸ τῶν μιανθέντων ἱερέων.

*Ἀπόκρισις.*

Οὐ παραχωρεῖ ὁ κανὼν κατὰ τὰ προδηλωθέντα, εἰσιέναι εἰς τὰ κοιμητήρια αὐτῶν· γέγραπται [γάρ·] Ἱνατί ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως (2); εἰ μή τι ἂν ἐξ ἀνάγκης, κατὰ μόνον τὸ ἀσπάσασθαι τὸ τοῦ ἁγίου λείψανον, ἡ εἴσοδος γένοιτο.

*Ἐρώτησις ς'.*

Περὶ τῶν λαβόντων τὸ μοναχικὸν σχῆμα ἐκ τῶν κοινωθέντων ἱερέων, πῶς τούτους δέχεσθαι δεῖ;

*Ἀπόκρισις.*

Ὁμολογοῦντας ἡμαρτηκέναι, καὶ ἐπιτιμηθέντας χρόνῳ τινί, εἶθ' οὕτω δεχομένους παρὰ σεσωσμένου πρεσβυτέρου, προσδεκτέον.

---

(1) ὑπὸ τῶν Ἐκκλησιῶν Κοτελ. — αὐτῶν, ἐν περισπλίδι. (2) α'. Κορ. Ι, 29.

*Ἐρώτησις Ζ'.*

Περὶ τῶν ὑπογραψάντων μοναχῶν καὶ κληρικῶν ἐν τῇ αἱρέσει, πῶς χρὴ τούτους δέχεσθαι, χωρὶς ἐπιτιμίου, ἢ μετὰ ἐπιτιμίου, ἐὰν ὁμολογήσωσι μηκέτι ἐνεργεῖν ἐν τῇ ἱερατείᾳ; Καὶ εἰ ἔξεστιν ἡμῖν διδόναι ἐπιτίμιον τοῖς τοιούτοις.

*Ἀπόκρισις.*

Δηλονότι μετὰ τῶν προσηκόντων ἐπιτιμίων· οὕτω γὰρ τοὺς καρποὺς τῆς μετανοίας ἐπιδεικνύμενοι, εἶεν ἂν ἄξιοι συναφθῆναι τῷ ὀρθοδόξῳ σώματι· διδόναι δὲ ὑμᾶς ἐπιτίμιον τοῖς τοιούτοις, οὐκ ἀποκριτέον· γέγραπται γάρ· Ἀλλήλων τὰ βάρη βαστάζετε(1).

*Ἐρώτησις Η'.*

Περὶ τῶν μοναχῶν τῶν ἀδιαφόρως παραβαλλόντων τοῖς τυχοῦσι, καὶ συνευχομένοις, καὶ συνεσθίουσιν αὐτοῖς, εἰ χρὴ δέχεσθαι τοὺς τοιούτους εἰς συνεστίασιν καὶ ψαλμῳδίαν.

*Ἀπόκρισις.*

Τοῦ Ἀποστόλου λέγοντος· Στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβε παρ' ἡμῶν(2)· καὶ πῶς οὐχὶ καὶ ἀφ' ἑαυτῶν τὸ καλὸν κρίνετε; Εἰ μὲν οὖν ἀπόσχοιντο τῆς ἐφαμάρτου συνηθείας, καταδεχόμενοι καὶ ἐπιτιμίαν τὴν προσήκουσαν, δεκτέοι. Ἐπιτηρητέον δὲ, τίνες εἰσὶν οὓς φατε τυχόντας, ἆρα αἱρετικοὶ, ἢ προδήλως κατεγνωσμένοι ἐπὶ τῷ βίῳ. Περὶ τούτων φησὶν ὁ Ἀπόστολος· Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, καὶ τὰ ἑξῆς(3), τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

*Ἐρώτησις Θ'.*

Περὶ τῶν πρεσβυτέρων τῶν βεβρωκότων μετὰ αἱρετικῶν ἅπαξ καὶ δὶς, καὶ μὴ κοινωνησάντων, ἢ ὑπογραψάντων, εἰ

(1) Γαλ. ϛ', 2. — (2) Β', Θεσσαλ. Γ', 6. — (3) Α', Κορ. Ε'. 2.

χρὴ τούτους δέχεσθαι εἰς συνεστίασιν καὶ ψαλμῳδίαν χωρὶς σφραγῖδος, ἢ μετὰ σφραγῖδος.

*Ἀπόκρισις.*

Ἐπὶ τῶν τοιούτων τηρητέον, εἰ οἱ βεβρωκότες ἱερεῖς μετὰ ἱερέων αἱρετικῶν ἢ λαϊκῶν ἔφαγον, καὶ ὁμολογούμενον, εἰ ὀρθοφρονούντων μὲν, [μὴ] κοινωνούντων δὲ τοῖς αἱρετικοῖς· μεῖζον δὲ τὸ κρίμα ἐπὶ τῶν ἱερωμένων. Μετανοίᾳ δὲ ἀξιολόγῳ προσδεκτέον ἑκατέρους. Κοινωνῆσαι δὲ χρὴ αὐτοῖς ἄλλων τε προσευχῶν καὶ σφραγίδων.

*Ἐρώτησις Ι'.*

Περὶ τῶν ὑπογραψάντων κοσμικῶν ἐν τῇ αἱρέσει καὶ κοινωνούντων, εἰ χρὴ τοὺς τοιούτους κοσμικοὺς, κοσμικοῖς ὀρθοδόξοις συνεσθίειν.

*Ἀπόκρισις.*

Ἡ ἀδιαφορία, τῶν κακῶν τὸ αἴτιον· Ἀναμέσον γὰρ, φησὶ, καθαροῦ καὶ βεβήλου οὐ διέστελλον(1). Χρὴ οὖν, εἴπερ ζηλωταί εἰσιν ὀρθοδοξοῦντες, μὴ προσίεσθαι τοὺς τοιούτους εἰς συνεστίασιν, εἰ μὴ πρότερον ὑπὲρ τῆς πονηρᾶς ὑπογραφῆς ἐπιτιμηθεῖεν, εἶτα καὶ ἀπόσχοιντο τῆς αἱρετικῆς κοινωνίας. Ἐπειδὴ δὲ κατὰ περίστασιν φεύγοντες τοὺς κινδύνους, χραίνονται τῇ αἱρετικῇ κοινωνίᾳ τινὲς, ὁμολογοῦντας τὴν προπέτειαν καὶ μετανοοῦντας προσδεκτέον εἰς συνεστίασιν· καὶ τοῦτο οὐκ ἀδιαφόρως, ἀλλὰ κατὰ σύμβασίν τινα περιστατικὴν, καὶ φέρουσαν ἐντεῦθεν κέρδος ἀμφοτέροις, ἀλλ' οὐ ζημίαν ψυχικήν.

*Ἐρώτησις ΙΑ'.*

Περὶ τῶν θελόντων βαπτισθῆναι, ἐὰν μὴ εὑρεθῇ ὀρθόδοξος πρεσβύτερος, ἢ ἄμεμπτος, εἰ χρὴ βαπτισθῆναι ὑπὸ τῶν κοινωθέντων ἱερέων, ἢ ἀκηρύκτων, μάλιστα ἐὰν θάνατος κατεπείγῃ.

(1) Ἰεζεκ. ΚΒ', 26.



*Ἀπόκρισις.*

Τύπος τοιοῦτος ἐξεφωνήθη ἐνταῦθα παρά τε ὁμολογητῶν ἱεραρχῶν τε καὶ καθηγουμένων, τοὺς εἰρημένους πρεσβυτέρους παύεσθαι μὲν τῆς λειτουργίας διὰ τὴν αἱρετικὴν κοινωνίαν, συγχωρεῖσθαι δὲ, μὴ εὑρισκομένου ἱερέως, καὶ βαπτίζειν, καὶ μεταδιδόναι τῶν ἁγιασμάτων, προτετελεσμένων ἐξ ἀκρατήτου ἱερέως, σχῆμά τε διδόναι μοναχοῦ, εὐχήν τε ποιεῖν ἐπὶ ἐκκομιδῇ, Εὐαγγέλιόν τε ἐκφωνεῖν ἐπὶ ὄρθρου, καί γε τῶν Θεοφανείων ὕδωρ εὐλογεῖν, ὡς εἴρηται, κατὰ περίστασιν, διὰ τὸ μὴ ἐναπομένειν τοὺς λαοὺς παντάπασιν ἀνηκόους τοῦ Εὐαγγελίου, καὶ ἀφωτίστους. Εἰ οὖν συναρέσκει καὶ ὑμῖν, κρατείτω ὁ τοιοῦτος τύπος καὶ ἐν τοῖς αὐτόθι.

*Ἐρώτησις ΙΒ'.*

Περὶ τῶν ἀποσχισάντων, καὶ μετανοίᾳ προσερχομένων, εἰ ἔξεστι τοῖς τοιούτοις ἐπιτιμίαν διδόναι, ἢ δέχεσθαι αὐτούς.

*Ἀπόκρισις.*

Ἤδη ἐν τοῖς ἀνωτέρω προδεδήλωται, ὅτι χρὴ διδόναι· καὶ παρέλκον, τὸ αὐτὸ ἐπικυκλεῖν.

*Ἐρώτησις ΙΓ'.*

Ἐὰν ἐπίσκοπος ἐν ἐγκλήματι περιπεσὼν, ὑπὸ συνόδου καθαιρεθείη, εἶτα πάλιν χειροτονήσῃ πρεσβύτερον, ὁ δὲ αὐτὸς πρεσβύτερος, ἐν μοναστηρίῳ παραγενόμενος, ὑπὸ τοῦ ἰδίου πατρὸς δέξηται ἐπιτιμίαν πρὸ χρόνων, καὶ μετὰ ταῦτα ἐνεργῇ ἐν τῇ ἱερωσύνῃ, εἰ χρὴ δέχεσθαι τὸν τοιοῦτον ἱερέα, εἰ ἀνέγκλητός ἐστι, δεόμεθα.

*Ἀπόκρισις.*

Προφανοῦς οὔσης τῆς ἀτοπίας, οὐδὲ ἐπερωτῆσαι ὑμᾶς ἐχρῆν περὶ τοῦ τοιούτου ἐγκλήματος· εἴρηκε γὰρ ὁ Κύριος· Οὐ δύναται σαπρὸν δένδρον, καρπὸν καλὸν ποιεῖν(1)· οὐχ ὅτι

(1) Ματθ. ΙΖ', 18, Λουκ, ς', 43.

ὑπὸ τοῦ ἰδίου ἡγουμένου, ἀλλὰ κἂν ὑπὸ ἁγίου τινὸς ἐπιτιμηθεὶς ὁ τοιοῦτος ἀπολέλυται τοῦ λειτουργεῖν· οὔτε γὰρ αὐτὸς ἱερεὺς, οὔτε ὁ λύσας ἅγιος· ἐπεὶ οὕτω, παρατραπήσεται πάντα τὰ κανονικὰ παραγγέλματα καὶ σιγήσεται.

*Ἐρώτησις ΙΔ'.*

Περὶ τῶν πρεσβυτέρων τῶν ἀπὸ ὀρθοδόξων χειροτονηθέντων, μὴ ὑπογραψάντων δὲ, μηδὲ κοινωνησάντων, συμφαγόντων δὲ μόνον μετὰ Κωνσταντίνου τοῦ μητροπολίτου.

*Ἀπόκρισις.*

Ἐν τοῖς ἀνωτέρω προαπεδόθη ὁ περὶ τούτου λόγος. Εἴτε οὖν μετὰ Κωνσταντίνου, εἴτε μεθ' οἱουδήποτε τῶν ἑτεροδόξων ἡ συνεστίασις γέγονε, μετανοίᾳ ἀξιολόγῳ ὁ συνεστιασθεὶς τοῦ ἐγκλήματος ἀπολέλυται, οὐ μόνον πρὸς συνεστίασιν τῶν πεφυλαγμένων, ἀλλὰ καὶ πρὸς ἣν ἠξιώθησαν ἱερωσύνην. Τὸ δὲ μέτρον τοῦ ἐπιτιμίου, οὐ δυνατὸν ὡρισμένως ὑποβάλλειν, διὰ ποιότητα καὶ προσώπου καὶ τρόπου, ὥςε ἐν δυσὶν ἢ τρισὶ τεσσαρακοσταῖς ἀρκεῖσθαι τὸν ἐπιτιμηθέντα.

*Ἐρώτησις ΙΕ'.*

Περὶ πρεσβυτέρων ὁμοίως ὑπὸ ὀρθοδόξων χειροτονηθέντων, καὶ κατὰ ἄγνοιαν συμφαγόντων μετὰ πρεσβυτέρων βεβρωκότων μετὰ τοῦ αὐτοῦ μητροπολίτου.

*Ἀπόκρισις.*

Γέγραπται· Πᾶν τὸ ἐν ἀγνοίᾳ, καθαρισθήσεται(1)· ὥστε ἀνένοχοί εἰσι παντὸς ἐπιτιμίου.

*Ἐρώτησις Ις'.*

Περὶ πρεσβυτέρων ὀρθοδόξων, ἤγουν Ἱλαρίωνος, καὶ Εὐστρατίου μοναχοῦ, ἂν ἔχωσιν ἐξουσίαν διδόναι τὰ ἐπιτίμια.

---

(1) Λευϊτ. ΙΕ.

*Ἀπόκρισις.*

Προείρηται κἀν τοῖς ἀνωτέρω, ὅτι χρὴ διδόναι. Ἐπειδὴ δὲ ἐμφαίνει ἡ ἐρώτησις, εἰ δεῖ καὶ τὸν μὴ ἔχοντα ἱερωσύνην διδόναι κατὰ ἀπορίαν πρεσβυτέρου, καὶ πίστιν προσιόντος, οὐκ ἔξω τοῦ εἰκότος, καὶ τὸν ἁπλῶς μοναχὸν ἐπιτίμιον διδόναι.

*Ἐρώτησις ΙΖ'.*

Περὶ μονάζοντος τοῦ λαβόντος τὸ ἱερὸν σχῆμα κατὰ ἄγνοιαν ἀπὸ πρεσβυτέρου χειροτονηθέντος ὑπὸ καθῃρημένου.

*Ἀπόκρισις.*

Εἴρηται ἐν ἑτέρῳ κεφαλαίῳ, ὅτι πᾶν τὸ κατὰ ἄγνοιαν καθαρισθήσεται· καὶ οὐκ ἐξὸν ἀποστρέφεσθαι τὴν μετὰ τοῦ τοιούτου συνεστίασιν· καὶ ἐπὶ ἄλλων τὴν σύμβασιν ποιούντων ὁμοίως καὶ φιλίαν.

Ταῦτά σοι μὲν ὡς συμψύχῳ καὶ συμπόνῳ ἡμεῖς κατὰ τὸ ἐφικτὸν ἀνεπτύξαμεν· αὐτὸς δὲ μεταδοίης ἀσφαλῶς τοῖς ἐπερωτήσασιν ἀδελφοῖς· Οὐ γὰρ πάντων ἡ πίστις (1), οὐδὲ πολλοῖς ἐκπέφρασται τὰ τοιάδε, οὐ μόνον διὰ τὴν ἄνοιαν τῶν ἀνομησάντων, ἀλλὰ καὶ διὰ τοὺς πειρασμοὺς τῶν κρατούντων. Ἀνθ' ὧν δὲ οἱ εὐλαβέστατοι ἀπεστάλκασιν ἀποστολῶν πολλῶν τε καὶ καλῶν, ἀμείψοιντο παρὰ Θεοῦ τὴν ἀξίαν μισθαποδοσίαν, καὶ τάδε τὰ δύο μαλακίσχια εἰς ὑπόμνημα φιλίας. Ἔρρωσθε ἐν Κυρίῳ, τιμιώτατοι, προσευχόμενοι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας.

---

(1) Β', Θεσσαλ. Γ', 2.

# ΕΚ ΤΟΥ ΚΑΝΟΝΙΚΟΥ

## ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΝΗΣΤΕΥΤΟΥ.

Ἤμειψε πρὸς σύνοψιν Ματθαῖος ταῦτα(1).

## ΠΡΟΛΟΓΟΣ.

ΑΛΛΑ γὰρ καὶ κατὰ τὸν Νηστευτὴν θεῖον Ἰωάννην, τὴν θεραπείαν τῶν ἡμῖν συμβαινόντων θεωρητέον παθῶν, καλῶς ἔχειν δοκιμάσαντα, ὡς οἷόν τε ταύτην ἐπιτεμεῖν. Τῇ φύσει δὲ τοῦ τριμεροῦς τῆς ἡμετέρας ἀκολουθητέον ψυχῆς, καὶ τὰ ἑκάστῳ τῶν αὐτῆς μερῶν ἐπισυμβαίνοντα πάθη, κεφαλαιωδῶς ἐπισκεπτέον. Καὶ πρῶτόν γε τὰ τοῦ φύσει κρείττονος λογικοῦ.

## ΤΑ ΤΟΥ ΛΟΓΙΣΤΙΚΟΥ. ΠΕΡΙ ΑΡΝΗΣΕΩΣ(2).

Ο ΤΟΙΝΥΝ ἀλογίστως ἠρνημένος ἑκοντὶ τὸν Χριστὸν, κατὰ μὲν τὸν ἑβδομηκοστὸν τρίτον τοῦ μεγάλου Βασιλείου κανόνα, πρὸς τῷ τέλει τοῦ βίου τῆς κοινωνίας ἀξιοῦται· καὶ οὐδεὶς ὁ τοῦτον τῆς τοιαύτης ἐπιτιμίας παραιτούμενος, ἢ συγκαταβάσει τολμῶν οἱᾳδήτινι χρήσασθαι. Ὁ δὲ ἅγιος Γρηγόριος Νύσσης, διαιρέσει τὰ τῶν τοιούτων περιλαβὼν, τοὺς μὲν ἑκουσίως τῇ πλάνῃ αὐτομολήσαντας ταῖς αὐταῖς εὐθύναις καθυποβάλλει, μέτρον αὐταῖς ὁρίσας τὸ μέτρον τῆς ἑκάστου ζωῆς· τοῖς δὲ δι' ἀνάγκην τοῦτο παθοῦσι, τῇ τῆς πορνείας ὑποτίθησι δίκῃ,

(1) Ὁ ἴαμβος οὗτος ἀναγινώσκεται ἐν τοῖς χειρογράφοις κώδιξι XXIV, XXXIV, LVIII καὶ XCVII τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς Βιβλιοθήκης, πρὸς οὓς παρεβλήθη τὸ παρὸν Κανονικὸν Ἰωάννου τοῦ Νηστευτοῦ.—(2) X. XXXIV, LVIII καὶ XCVII. ἐν δὲ X. XXIV. Περὶ τῶν ἑκουσίως ἀρνησαμένων τὸν Χριστόν.

εἰς ἔννατον ἔτος αὐτῷ παρατεινομένῃ. Τὴν αὐτὴν ποιεῖται διαίρεσιν καὶ ἡ ἐν Ἀγκύρᾳ σύνοδος, καὶ ὁ Ἀλεξανδρείας ἱερομάρτυς Πέτρος, καὶ ὁ μέγας Βασίλειος ἐν τῷ ὀγδοηκοστῷ πρώτῳ αὐτοῦ Κανόνι (1).

Ἡ γε μὴν Ἐκκλησία τὸ τήμερον εἶναι (2) κατά γε τὰ τυπωθέντα καὶ διαγνωσθέντα τῷ ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως Μεθοδίῳ, τοὺς διαφόρως ἑαλωκότας τῷ ἐγκλήματι τούτῳ ὡς ἐπίπαν οἰκονομεῖ.

Οὗτος γάρ φησιν, εἰ μέν τις, ὅτε παιδίον ἦν, τοῖς ἀσεβέσιν ἐλήφθη, καὶ τὴν πίστιν ἠρνήσατο φόβῳ, ἢ ἀγνοίᾳ, ἢ ἀμαθείᾳ καθυπαχθείς, ἐν ἡλικίᾳ δὲ γενόμενος, ἐπὶ τὰ Χριστιανῶν αὖθις ἐπανέκαμψεν ἤδη, καὶ τῇ καθολικῇ προσιὼν Ἐκκλησίᾳ, μετανοίᾳ χρῆται καὶ ἐξομολογήσει, τὰς τεταγμένας τέσσαρας εὐχὰς πρὸς τοῦ ἱερέως ἀκουέτω καθ᾿ ἑκάστην ἡμέραν ἕως ἡμέραν (3) ἑβδόμην, καὶ τῇ ὀγδόῃ λουέσθω· εἶτα γυμνωθείς, καὶ λεντίῳ περιζωσάμενος, τῷ ἁγίῳ μύρῳ χριέσθω, ὥς γε δὴ καὶ οἱ βαπτιζόμενοι, καὶ οὕτω τῆς θείας μεταλήψεως ἀξιούσθω· εἶτα ἐν ἡμέραις ὀκτὼ ἑτέραις, τῶν ἱερῶν ἐν ταῖς Ἐκκλησίαις συνάξεων μηδόλως ἀπολιμπανέσθω, ὥσπερ δὴ καὶ οἱ βαπτιζόμενοι.

Εἰ δέ τις τέλειος ὢν τὴν ἡλικίαν ἐλήφθη, καὶ βασάνοις ἀναγκασθεὶς τὰ τῆς οἰκείας ἐξωμόσατο πίστεως, τυγχανέτω καὶ οὗτος φιλανθρωπίας. Πλὴν πρῶτον μὲν νηστευέτω δύω τεσσαρακοστὰς ἡμερῶν, κρεῶν ἀπεχόμενος, τυροῦ τε καὶ ὠῶν· καὶ ἐν ταῖς τρισὶ τῶν ἑβδομάδων ἡμέραις οἶνον καὶ ἔλαιον μὴ προσιέσθω· ἐκτενεῖς τε ποιείτω δεήσεις, καὶ γονυκλισίας ὁπόση δύναμις. Εἶτα, πληρουμένων τῶν δύω τεσσαρακοστῶν, τὰς ἱλαστηρίους εὐχὰς καθ᾿ ἑκάστην ἀκουέτω ἐπὶ ἡμέρας ἑπτὰ, καὶ τῇ

(1) Ἐνταῦθα παύει τὸ κεφ. ἐν Χ. XXXIV καὶ XCVII ἐν δὲ τοῖς Χ. LVIII καὶ XXIV προστίθενται καὶ τὰ ἑπόμενα, καὶ παρ᾿ Ἀγαπ. — (2) ἀπὸ τήμερον Ἀγάπ. — (3) ἕως ἑβδόμην Ἀγάπ.

ὀγδόῃ παραπλησίως τῷ προτέρῳ λουέσθω * τε, καὶ χριέσθω, καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιούσθω * (1), καὶ εἰς ὀκτὼ ἑτέρας ἡμέρας ταῖς ἐν ταῖς Ἐκκλησίαις συνάξεσι σχολασάτω.

Τῷ δ' ἐκ προαιρέσεως αὐτομολήσαντι πρὸς τὴν ἄρνησιν κανὼν μὲν ἐπίκειται φοβερὸς, ἀλλὰ διὰ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, συμπαθῶς καὶ τοῦτον θεραπευτέον. Ἐπὶ δύω οὖν ἐνιαυτοὺς νηστευέτω, κρεῶν ἀπεχόμενος, καὶ τυροῦ, καὶ ὠῶν· ἐν δέ γε ταῖς τρισὶ τῶν ἑβδομάδων ἡμέραις ἐλαίου καὶ οἴνου τὴν μετάληψιν παραιτείσθω, γονυκλισίας ἑκάστης ποιῶν κατὰ τὸ μέτρον τῆς οἰκείας δυνάμεως, ἑκατὸν, ἢ διακοσίας. Πληρωθέντων δὲ τῶν δύο ἐνιαυτῶν, ἐπὶ ἑπτὰ καὶ οὗτος ἡμέρας τὰς ἱλαστηρίους εὐχὰς ἀκροάσθω, καὶ τὰ ἑξῆς, ὡς προδεδήλωται, καὶ ἐπ' αὐτῷ γινέσθω.

## ΠΕΡΙ ΓΟΗΤΕΙΑΣ.

Τοὺς μέντοι γοητείαν, ἢ φαρμακείαν ἐξαγορεύοντας, ὁ μὲν θεῖος Βασίλειος ἐν τῷ ἑξηκοστῷ πέμπτῳ Κανόνι τῷ τῶν φονέων ὑπάγει κρίματι εἰς εἴκοσι χρόνους διήκοντι· ἀλλὰ δὴ καὶ τοὺς τοῖς μάντεσιν ἑαυτοὺς ἐπιδιδόντας, ἐν τῷ ἑβδομηκοστῷ δευτέρῳ Κανόνι, * εἴγε τἀκείνων συνέθεντο τηνικάδε φρονεῖν. Ὁ δέ γε Νύσσης Γρηγόριος ἐν τῷ δευτέρῳ Κανόνι * (2) διαιρέσει καὶ αὖθις χρησάμενος, τοὺς μὲν ἐπ' ἀθετήσει τῆς ἡμῶν πίστεως προσιόντας ἐκείνοις, τὸν χρόνον καὶ αὐτοὺς τῶν ἀρνησαμένων οἰκονομεῖσθαι κελεύει· τοὺς δὲ δι' ἀνάγκην τινὰ καὶ μικροψυχίαν τούτοις προσφεύγοντας (3), τὸ μέτρον τῶν ἐν πορνείᾳ πλημμελησάντων φυλάττειν παρεγγυᾷ.

Ὁ δὲ ἑξηκοστὸς πρῶτος τῆς ἕκτης Συνόδου Κανὼν, ἐπὶ ἑξαετίαν τοὺς δευτέρους καταδικάζει.

---

(1) Χ. Βιένν. — τὰ μεταξὺ τῶν * οὐ κεῖται παρ' Ἀγαπ. — (2) Τὰ μεταξὺ τῶν * ἐλλείπει παρ' Ἀγαπ. — (3) προσπεφευγότας Π.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ εἰκοστὸς τέταρτος, οὐ πλέον τῆς πενταετίας τὴν αὐτῶν ἐπιτιμίαν ἐκτείνει. Ἀνάγνωθι καὶ τὸν τριακοστὸν ἕκτον Κανόνα τῆς ἐν Λαοδικείᾳ Συνόδου, περὶ τῆς τούτων διεξιόντα διαφορᾶς.

Ὁ δὲ Νηστευτὴς Ἰωάννης, τοῖς γοητείαν, ἢ φαρμακείαν ἐξαγορεύουσιν, ἐπὶ τρία ἔτη τὴν τῆς μετανοίας αὐτοῖς οἰκονομίαν συντέμνει, εἴγε προθυμηθεῖεν ἡμέρας ἑκάστης περὶ πλείστου τὴν νηστείαν ποιεῖσθαι, καὶ μετὰ ὥραν ἐννάτην ἀπεσκληκυίᾳ καὶ ξηρᾷ τροφῇ χρῆσθαι, καὶ ὅσον ἀτεχνῶς ἀποζῆν· ἀλλὰ καὶ προσκυνήσεις ποιεῖν διακοσίας πεντήκοντα, τὸ μέτωπον εὐλαβῶς τῇ γῇ προσερείδοντας.

Τούτοις εὐθύνει καὶ τῶν γυναικῶν τὰς ποιούσας περίαπτα, καὶ μαντείας μετερχομένας.

## ΟΠΩΣ ΤΟΥΣ ΤΗΣ ΜΕΤΑΝΟΙΑΣ ΧΡΟΝΟΥΣ ὁ Νηστευτὴς συνέτεμε.

Τὸ δὲ οὕτω συντέμνειν ἡμᾶς, φησὶ, τοὺς τῆς μετανοίας χρόνους, οὐκ ἂν δόξειε μὴ λόγον σῴζον τοῖς ὀρθῶς, ὡς οἶμαι, λογιζομένοις. Ἐπεὶ γὰρ, οὔτε παρὰ τῷ μεγάλῳ Πατρὶ Βασιλείῳ, οὔτε μὴν παρὰ τοῖς ἀρχαιοτέροις τῶν θεσπεσίων ἡμῶν Πατέρων, νηστεία τις, ἢ ἀγρυπνία, ἢ γονυκλισιῶν ἀριθμὸς ὡρίσθη τοῖς ἁμαρτάνουσι, μόνη δὲ τῆς ἱερᾶς ἀποχὴ κοινωνίας, δεῖν ἡμεῖς ᾠήθημεν, τοῖς γνησίως μετανοοῦσι, καὶ τὴν σάρκα σκληραῖς ἀγωγαῖς κατατρύχειν προθυμουμένοις, καὶ βίον εὐγνωμόνως μετιέναι τῆς πρώην κακίας ἀντίῤῥοπον, κατὰ τὸ μέτρον τῆς ἐγκρατείας, ἀντιμετρεῖν αὐτοῖς καὶ τὴν τοῦ χρόνου τῆς μετανοίας ἐλάττωσιν. Οἷον, εἴ τις οἴνου μὴ πίνειν ἐπὶ ῥηταῖς ἡμέραις καταδέξαιτο, ἐνιαυτὸν καὶ ἡμεῖς ἐκρίναμεν ἀφαιρεῖν ἕνα τῆς ὁρισθείσης τῷ αὐτοῦ πταίσματι πρὸς τῶν Πατέρων ἐπιτιμίας. Ὡσαύτως, εἰ κρέως ἐγκρά-

τειαν ἐπαγγέλλεται πρὸς καιρὸν, ἕτερον ἡμεῖς χρόνον ἐκκόπτειν ἐδοκιμάσαμεν, ἢ τυροῦ, καὶ ὠῶν, ἢ ἰχθύος, ἢ ἐλαίου, καὶ οὕτω καθ' ἑκάστην ἐγκράτειαν ἑνὸς τῶν τοιούτων εἰδῶν, ἕνα χρόνον περιαιρεῖν. Οὐ μὴν ἀλλὰ καὶ εἰ συχναῖς γονάτων κλίσεσι τὸ Θεῖον ἐξευμενίζειν αἱρεῖται, ὁμοίως ποιεῖν· καὶ μάλιστα, εἰ φιλότιμον πρὸς ἐλεημοσύνην, καὶ τῆς δυνάμεως οὐκ ἀποδέουσαν τὴν προαίρεσιν ἐπιδείκνυται. Εἰ δὲ καὶ μετὰ τὸ παράπτωμα τὸν θεοφιλῆ τις καὶ μονότροπον βίον ὑπῆλθεν, ἔτι συντομωτέραν αὐτῷ μνηστεύειν ἄφεσιν καλῶς ἔχειν ἐδοκιμάσαμεν, διὰ βίου μέλλοντι κακοπάθειαν μετιέναι ἀγωγῇ τοιᾷδε προσήκουσαν.

## ΠΕΡΙ ΤΟΥ ΕΠΙΘΥΜΗΤΙΚΟΥ ΜΕΡΟΥΣ (1).

ΟΣΑ γε δὴ τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς ἤρτηται μέρους, οὕτω θεραπευτέον.

Ἡ διὰ τῶν λογισμῶν ἐπὶ τὴν καρδίαν τῆς ἡδονῆς προσβολὴ, ὡς ἁμαρτίαν μήπω ἀπειργασμένη, καὶ ἀνεπιτίμητος τὸ παράπαν.

Ὁ συνδυασμὸς, μετανοίαις ἀποπλύνεται δώδεκα.

Ἡ πάλη, ἢ στεφάνων, ἢ τιμωρίας ἀξία.

Ἡ συγκατάθεσις, αἰτία καὶ ἀρχὴ τῶν ἐπιτιμίων.

Ὁ μολυνθεὶς καθ' ὕπνους τῷ τῆς ἐκρύσεως (2) πάθει, ἡμέραν μίαν τῆς κοινωνίας ἐκβάλλεται· τὸν δὲ πεντηκοστὸν ᾄσας ψαλμὸν, καὶ τεσσαράκοντα ἐννέα μετανοίας ποιήσας, οὕτω τοῦ ῥύπου καθαρθῆναι πιστεύεται.

Ὁ δὲ ἐγρηγορότος τοῦ σώματος μολυνθεὶς, εἰς ἑβδόμην ἡμέραν τῆς κοινωνίας εἴργεται, τὸν πεντηκοστὸν καθ' ἑκάστην ᾄδων, καὶ τεσσαράκοντα ἐννέα μετανοίας ποιῶν.

---

(1) Τὰ τοῦ ἐπιθυμητικοῦ μέρους Χ. XXXIV, LVIII, καὶ XCVII. — (2) Π. — ἐκκρίσεως ἐν τοῖς 4 χειρογρ. καὶ παρ' Ἀγαπίῳ.

## ΠΕΡΙ ΜΑΛΑΚΙΑΣ.

Ο μαλακίαν διαπραξάμενος, τεσσαράκοντα ἡμέρας ἐπιτιμᾶται, ξηροφαγίᾳ διαιτώμενος, καὶ μετανοίας ἑκάστης ποιῶν ἑκατόν.

Ἡ δὲ εἰς ἀλλήλους μίξις, οἷα διπλῆν ἐργαζομένη τὴν μαλακίαν, μέχρις ὀγδοήκοντα ἡμερῶν τὸ δηλωθὲν ἐπιτίμιον δέχεται.

Εἰ δέ τις τῶν τοῦ κλήρου πρὸ τοῦ ἱερωθῆναι τῷ τῆς μαλακίας περιπέπτωκε πάθει, μὴ θαῤῥῶν ἴσως ὡς παρὰ τοῦτο μόνον τῆς ἱερωσύνης ἀποπεμφθήσεται, ἀποχρῶσαν πρότερον δεξάμενος ἐπιτίμησιν, οὕτως εἰς ἱερωσύνην ἐρχέσθω. Εἰ δὲ τούτῳ μετὰ τὴν ἱερωσύνην ἑάλω, ἐπὶ ἐνιαυτὸν ἕνα ταύτης ἀργήσας, καὶ τοῖς εἰωθόσιν ἐπιτιμίοις σωφρονισθείς, πρὸς τὴν ἱερωσύνην ἐπανιέτω. Εἰ δὲ μετὰ τὴν ἐπίγνωσιν τῆς ἁμαρτίας, δίς, ἢ τρὶς τοῦτο ἐργάσαιτο, τῆς ἱερωσύνης παυσάμενος, εἰς ἀναγνωστῶν τάξιν ἐρχέσθω.

Ἀλλὰ καὶ τῶν γυναικῶν ἡ εἰς ἀσπασμοὺς ἀνδρὸς ἐλθοῦσα καὶ ἐπαφάς, μὴ μέντοι διαφθαρεῖσα, τὸ τῆς μαλακίας ἐπιτίμιον δέχεται.

## ΠΕΡΙ ΠΟΡΝΕΙΑΣ.

Τὸν πόρνον, ὁ μὲν τρίτος τοῦ ἁγίου Γρηγορίου Νύσσης Κανών, εἰς χρόνους ἐννέα τῶν ἁγιασμάτων ἀπείργει.

Εἰς ἑπταετῆ δὲ καιρὸν ὁ πεντηκοστὸς ἔννατος τοῦ μεγάλου Βασιλείου Κανών.

Ὁ δὲ εἰκοστὸς πρῶτος αὐτοῦ, τὸν γυναικὶ συνοικοῦντα, καὶ πορνείᾳ περιπεσόντα, πλέον εὐθύνεσθαι ἀξιοῖ, ἢ τὸν μὴ συζῶντα γυναικὶ καὶ τῷ πάθει τούτῳ ἁλόντα.

Μοναχοὺς δὲ πορνεύσαντας, ἢ Κανονικάς, ὁ ἑξηκοστὸς αὐτοῦ τῷ ἐπιτιμίῳ τοῖς μοιχείας καθυποβάλλει, ἀνθ' ὧν

ἠθετήκασι τοῦ πνευματικοῦ νυμφίου Χριστοῦ τὴν συνάφειαν.

Ὁ δὲ τεσσαρακοστὸς τέταρτος τῆς ἕκτης Συνόδου, καὶ τὸν πορνεύσαντα μοναχὸν οὐδὲν πλέον τῶν κοσμικῶν ἐπιτιμᾶσθαι κελεύει. Καὶ τοῦτον οἶμαι τὸν Κανόνα προσῆκει νικᾷν, οἷα τῶν ἄλλων καὶ μεταγενέστερον καὶ φιλανθρωπότερον.

Ἡμεῖς δὲ, φησὶν ὁ Νηστευτὴς Ἰωάννης, διετῆ χρόνον μὴ κοινωνεῖν ὑποτιθέμεθα τῷ πορνεύσαντι, εἴγε μετὰ τὴν ἐννάτην προθυμεῖται ξηροφαγίᾳ χρῆσθαι, καὶ μετανοίας ποιεῖν διακοσίας πεντήκοντα. Ἐὰν δὲ ἀμελῶς ἔχῃ, τὸν ὁρισθέντα τοῖς Πατράσι πληρούτω χρόνον.

Τὰς δὲ πρὸς ἀνάγκην γινομένας φθορὰς παρὰ βιαίων ἀνδρῶν, ἢ δεσποτῶν, ἀνευθύνους ἔκριναν οἱ Πατέρες εἶναι, καὶ μάλιστα ὁ τεσσαρακοστὸς ἔννατος τοῦ μεγάλου Βασιλείου. Κληρικοὺς δὲ πορνεύσαντας, ὁ τριακοστὸς δεύτερος τοῦ μεγάλου Βασιλείου Κανὼν, καθαιρεῖσθαι, οὐ μὴν καὶ ἀφορίζεσθαι διορίζεται.

## ΠΕΡΙ ΔΙΓΑΜΩΝ ΚΑΙ ΤΡΙΓΑΜΩΝ.

Ἐπὶ τῶν διγάμων, ἐν δ'. Κανόνι φησὶν ὁ μέγας Βασίλειος, ἐνιαυτὸν ἕνα τινὲς ὥρισαν· ἄλλοι δὲ δύω· τοὺς δὲ τριγάμους ἐν τρισὶν ἔτεσι καὶ τέσσαρσιν ἀφορίζουσι. Συνήθειαν δὲ, φησὶν, ἐλάβομεν ἐπὶ τῶν τριγάμων, πενταετίας ἀφορισμὸν, μὴ διασπωμένου δηλονότι τοῦ γάμου, ὅταν μὴ τέκνα τούτοις ἐκ τῶν προτέρων γάμων παρῇ.

## ΠΕΡΙ ΜΟΙΧΕΙΑΣ.

Τὸν μοιχὸν ὁ ς'. τοῦ Νύσσης Κανὼν, εἰς ιή. ἔτη τῆς θείας ἐξωθεῖ κοινωνίας.

Ὁ δὲ νή. τοῦ μεγάλου Βασιλείου Κανὼν, μετὰ δεκαπέντε ἔτη τὴν κοινωνίαν αὐτῷ τῶν ἁγιασμάτων ἐφίησι.

Ὁ δὲ κ'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου μετὰ χρόνον ἑπταετῆ τοῦ τελείου τυγχάνειν διακελεύεται.

Ἡμεῖς δὲ, φησὶ, μετὰ τρία ἔτη τῆς κοινωνίας μετέχειν αὐτὸν ἀξιοῦμεν, μὴ δυσχεραίνοντα τῇ μετὰ τὴν ἐννάτην ξηροφαγίᾳ, ἀλλὰ καὶ μετανοίας ἑκάστης βάλλοντα σν'. ῥᾳθύμως δὲ διακείμενον, τὸ τέλος τοῦ καιροῦ περιμένειν, ὃν οἱ Πατέρες ὡρίσαντο.

Οὗ δὲ ἡ γυνὴ μεμοίχευται, οὗτος εἰς ἱερωσύνην ἐλθεῖν οὐ δύναται· ὁ η'. Κανὼν τῆς ἐν Νεοκαισαρείᾳ τοῦτο φησί.

Τὴν δὲ μετὰ τὴν χειροτονίαν τοῦ ἀνδρὸς μοιχευθεῖσαν, ἢ ἀπολύειν, ἢ παύσασθαι αὐτὸν τῆς ἱερωσύνης κελεύει.

Ὁ δὲ κη'. τῆς ἕκτης Συνόδου, τὸν τὴν ἑτέρῳ μεμνηστευμένην νόμῳ γάμου ἀγόμενον, ὡς μοιχὸν κατακρίνει.

## ΠΕΡΙ ΣΥΖΕΥΞΕΩΣ (1) ΜΕΤΑ ΑΙΡΕΤΙΚΩΝ.

Αἱρετικῇ δὲ εἰ συναφθείη γυναικὶ ὀρθόδοξος, ἢ τἀνάπαλιν, ἄκυρον εἶναι τὸν γάμον ὁ οβ'. Κανὼν αὐτῆς διορίζεται, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· ἐπιμένοντας δὲ τούτῳ, ἀφορίζεσθαι.

## ΠΕΡΙ ΑΙΜΟΜΙΞΙΑΣ.

Τῶν αἱμομιξίᾳ περιπεσόντων, ὁ μὲν εἰς ἀδελφὴν ἰδίαν ἀσχημονήσας, κατὰ μὲν τὸν μέγαν Βασίλειον, εἰς πεντεκαίδεκα ἔτη τῆς κοινωνίας εἴργεται.

Ἡμεῖς δὲ μετὰ ἔτη γ'. τῆς κοινωνίας αὐτὸν ἀξιοῦσθαι κελεύομεν, εἰ μέχρις ἑσπέρας νηστεύειν αἱρεῖται, καὶ ξηροφαγεῖν, καὶ μετανοίας καθ' ἑκάστην φ'. ποιεῖν. Ὁ δὲ εἰς νύμφην, κατὰ τὸν μέγαν Βασίλειον εἰς ἕνδεκα ἔτη τῆς Κοινωνίας ἐκβάλλεται· ἡμεῖς δὲ φαμὲν εἰς ἔτη δύο, εἰ μετὰ τὴν θ'. εἴη ξηροφαγῶν, καὶ μετανοίας καθ' ἑκάστην τριακο-

(1) Περὶ συνοικεσίου Χ. ΧΧΙV.

σίας εἴη ποιῶν. Ἀμελείᾳ δὲ δουλεύων, τὰ ὁρισθέντα τοῖς Πατράσιν ἔτη πληρούτω.

## ΠΕΡΙ ΤΟΥ ΜΙΓΕΝΤΟΣ ΤΗ ΙΔΙΑι ΠΕΝΘΕΡΑι.

Τοῖς αὐτοῖς ἐπιτιμίοις ὑπόκειται καὶ ὁ τῇ ἰδίᾳ ἐπιμανεὶς πενθερᾷ, τῆς γυναικὸς αὐτοῦ μὴ χωριζόμενος, κατὰ τὸν λέγοντα νόμον, Τὰ ἐξ ἀρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται(1). Ἀλλὰ κατὰ τὸ νῦν ἔχον ἡ ἱερὰ καὶ θεία Σύνοδος, τοὺς τοιοῦτον ἐξάγιστον εἰργασμένους ἁμάρτημα, εἰς ἑξαετίαν ἀκοινωνήτους μένειν ψηφίζεται, τῷ ὑποτεταγμένῳ Κανόνι δουλεύοντας, μῆνας ἓξ κρεῶν εἰς τροφὴν καθάπαξ ἀπέχεσθαι, εἰς δὲ τὰς ἱερὰς τῆς Ἐκκλησίας συνάξεις διαπαντὸς παραγινομένους, εἰ μήπου νόσος, ἢ ἄλλη ἀπαραίτητός τις χρεία συμβαίη αὐτοῖς, ἐκτὸς ἵστασθαι τῆς Ἐκκλησίας προσκλαίοντας, καὶ τὴν τοῦ ἀνομήματος παρὰ Θεοῦ αἰτουμένους συγχώρησιν· μήτε ἀντίδωρον λαμβάνοντας, μήτε ἁγιάσματος πίνοντας, εἰ μήπου ἡ ἁγία τῶν Φώτων ἐπισταίη παραμονή· μόνον δὲ τὸν εἰς ὄνομα τῆς Παναγίας ἄρτον ὑψοῦντας, εὐλαβῶς ἐσθίειν εἰς ἐνέχυρον τῆς τοῦ Θεοῦ φιλανθρωπίας· ἀλλὰ καὶ τὰς ἱερὰς εἰκόνας ἀδεῶς τοῖς χείλεσι μὴ ἀσπάζεσθαι, εἰ μὴ τὰ τούτων ὑποπόδια μετὰ φρίκης παντοίας. Παρ᾿ ὅλους μέντοι τοὺς ἓξ ἐνιαυτούς, καθ᾿ ἡμέραν μετανοίας ποιεῖν ρ'. ἄνευ σαββάτου καὶ Κυριακῆς· τετράδα δὲ πᾶσαν καὶ παρασκευὴν ξηροφαγίαν ἀσπάζεσθαι, ἰχθύων ἀπεχομένους, καὶ οἴνου, καὶ ἐλαίου· δυσὶ δὲ ἐνιαυτοῖς ἔνδον ἵστασθαι τῆς Ἐκκλησίας κατόπιν τῶν ψαλλόντων, καὶ ἀκροᾶσθαι τῆς θείας ὑμνῳδίας· τοὺς δὲ λοιποὺς τρεῖς καὶ τὸν ἥμισυν ἐνιαυτόν, συνίστασθαι τοῖς πιστοῖς καὶ συνεύχεσθαι· καὶ οὕτω μετὰ τὴν τῶν ἓξ ἐτῶν ἀπαρίθμησιν, τῆς κοινωνίας ἀξιωθῆναι. Πλὴν καὶ ταῦτα παρατηρητέον· ἐλεημοσύνας ποιεῖν κατὰ

(1) τί. Βασ. Β', 3.

δύναμιν, μάλιστα δὲ κατὰ τὰς εἰρημένας τῶν ἡμερῶν νηστησίμους, δ'., φημὶ, καὶ ς'. Ὅσα γὰρ τούτους ἐσθίειν ἐξῆν τοῦ Κανόνος μὴ ἐπικειμένου, ταῦτα παρέχειν πτωχοῖς, καὶ προτρέπειν ὑπὲρ αὐτῶν εὔχεσθαι· λειτουργίαν τε μίαν, εἰ εὐποροῦσιν, ἑκάστης ἑβδομάδος πέμπειν εἰς τὸν ναόν· ψεύδους τε ἀπέχεσθαι, καὶ ὅρκων, οἷς ἐπιορκία πολλάκις συνέζευκται. Θανατηφόρῳ δὲ νόσῳ περιπεσόντας, ἀξιοῦσθαι τῆς θείας κοινωνίας· ῥαίσαντας δὲ, ἐν ἐκείνῳ πάλιν γίνεσθαι τῆς μετανοίας τῷ βαθμῷ, ᾧ καὶ πρὸ τῆς κατ' ἀνάγκην δοθείσης αὐτοῖς κοινωνίας ὄντες ἐτύγχανον· κατανύξει τε καρδίας, καὶ θερμοῖς δάκρυσι τὸ τῆς ψυχῆς ἄγος ὁπόση δύναμις ἐκκαθαίρειν.

Οὗτος ὁ Κανὼν καὶ γόησι, καὶ μοιχοῖς, καὶ ἀνδροφόνοις ἁρμόδιος, καὶ πᾶσι τοῖς ἐγκλήμασι βαρυτάτοις περιπεσοῦσι, κατὰ τὴν τῶν προσώπων μέντοι σπουδὴν καὶ διάθεσιν περὶ τὴν μετάνοιαν, ἢ συστελλόμενος, ἢ ἐπιτεινόμενος.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΦΕΔΡΩι ΓΥΝΑΙΚΩΝ.

Τὰς ἐν ἀφέδρῳ γυναῖκας, μηδενὸς τῶν ἁγίων ἅπτεσθαι μέχρις ζ'. ἡμερῶν, ὁ β'. Κανὼν τοῦ ἁγίου Διονυσίου, ἀλλὰ δὴ καὶ ὁ ζ'. τοῦ Τιμοθέου διακελεύεται. Τοῦτο καὶ ὁ παλαιὸς παραγγέλλει νόμος. Ἀλλ' οὐδὲ ἀνδράσι μίγνυσθαι συγχωρεῖ· συμβαίνει γὰρ παρὰ τοῦτο ἀσθενῆ καὶ ἐξίτηλα γίνεσθαι τὰ σπειρόμενα. Ἐντεῦθεν καὶ ὁ θεῖος Μωϋσῆς τὸν τοῦ λελωβημένου Πατέρα κατέλευσεν, ὅτι δι' ἀκρασίαν τῆς γυναικὸς τὸν καθαρισμὸν οὐκ ἀνέμεινε.

Τὴν δὲ ἐν τῷ καιρῷ τῆς αὐτῆς ἀκαθαρσίας καταφρονήσασαν καὶ ἁψαμένην τῶν θείων μυστηρίων, μ'. ἡμέρας ἀκοινώνητον εἶναι κελεύουσι.

## ΠΕΡΙ ΑΡΡΕΝΟΜΑΝΙΑΣ.

Ὁ τὴν ἀσχημοσύνην ἐν ἄρρεσι διαπραξάμενος, τῷ μὲν γ'.

τοῦ Νύσσης Κανόνι ἔτη ιή. τῆς κοινωνίας ἐκβάλλεται· τῷ δὲ ξδ'. τοῦ μεγάλου Βασιλείου ιέ. Ἡμῖν δὲ τρία ἔτη τῆς κοινωνίας εἴργεσθαι τὸν τοιοῦτον ἔδοξε, κλαίοντα καὶ νηστεύοντα, καὶ πρὸς ἑσπέραν ξηροφαγοῦντα, καὶ μετανοίας διακοσίας ποιοῦντα. Περὶ πλείονος δὲ τὴν ῥαστώνην ποιούμενος, τὰ ιέ. ἔτη πληρούτω.

Παιδίον δὲ πρός τινος φθαρὲν, εἰς ἱερωσύνην οὐκ ἔρχεται. Εἰ γὰρ κἀκεῖνο διὰ τὸ ἀτελὲς τῆς ἡλικίας οὐχ ἥμαρτεν, ἀλλὰ τὸ αὐτοῦ σκεῦος ἐῤῥάγη, καὶ εἰς ἱερὰν ὑπουργίαν ἄχρηστον γέγονεν. Εἰ δὲ εἰς τοὺς μηροὺς τὴν ῥοὴν ἐδέξατο, προσφόρως ἐπιτιμώμενον, εἰς ἱερωσύνην προβῆναι οὐ κωλυθήσεται.

## ΠΕΡΙ ΤΟΥ ΘΥΜΙΚΟΥ ΤΗΣ ΨΥΧΗΣ ΜΕΡΟΥΣ. ΠΕΡΙ ΦΟΝΟΥ.

ΤΟΝ ἀνδροφόνον, ὁ μὲν παλαιὸς νόμος ἀποθνήσκειν κελεύει· ὁ δὲ μέγας Βασίλειος ἐν τῷ νς'. Κανόνι, τὸν ἑκούσιον φόνον εἰς κ'. ἔτη τῆς κοινωνίας ἐξοστρακίζει· τὸν δὲ ἀκούσιον εἰς ί. Ἡμεῖς δὲ εἰς τριετίαν (1), εἴγε μετὰ τὴν μέχρις ἑσπέρας νηστείαν ὁ αὐτόχειρ ἀκροτάτῃ χρῆται ξηροφαγίᾳ, καὶ μετανοίας προθυμεῖται καθ' ἑκάστην ποιεῖν τριακοσίας· νωθρῶς δὲ διακείμενος, τῶν Πατέρων τὸν ὅρον πληρούτω.

Ὁ δὲ κβ'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου, τοὺς ἀκούσιον φόνον ἐργασαμένους, ὁ μὲν πρότερος ὅρος, φησὶν, ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μετασχεῖν· ὁ δὲ β'. τὸν πενταετῆ χρόνον ἀνύσαι.

Τοὺς ἐν πολέμοις φονεύσαντας, τριῶν ἐτῶν τῆς κοινωνίας ἀπείργει ὁ μέγας Βασίλειος ἐν τῷ ιγ'. Κανόνι. Ὡσαύτως καὶ τοὺς λῃσταῖς ἀντεπεξιόντας ἐν τῷ νέ. Κανόνι· κληρικοὺς δὲ καθαιρεῖ.

---

(1) Ἀγάπ. καὶ Χ. Βιένν. — παρὰ δὲ Χριστοφ. καὶ ἐν Π. οὕτω· Τὸν ἑκούσιον μὲν φόνον εἰς πενταετίαν, τὸν ἀκούσιον δὲ εἰς τριετίαν τῆς κοινωνίας ἐκβάλλομεν. Οὕτω καὶ Ἀρμενόπουλος.

Τὰς φθειρούσας τὰ ἔμβρυα κατ' ἐπιτήδευσιν, καὶ τὰς διδούσας καὶ τὰς λαμβανούσας φάρμακα, ὥστε ἀμβλωθρίσαι, καὶ ἄωρα τὰ βρέφη ἐκπεσεῖν, φόνου δίκην ὑπέχειν ἐν τῷ β'. καὶ η'. Κανόνι φησὶν ὁ μέγας Βασίλειος. Ἡμεῖς δὲ μέχρις ἐτῶν πέντε ἢ καὶ τριῶν τὸ πλεῖστον οἰκονομεῖσθαι ταύτας ὁριζόμεθα. Ἡ δὲ ἀκουσίως τὸ βρέφος ἀποβαλοῦσα, εἰς ἓν ἔτος τὴν ἐπιτίμησιν δέχεται.

Ἡ δὲ τῷ βρέφει ἐπικοιμωμένη καὶ ἀποπνίξασα (1), μετὰ ἔτη γ'. τῆς κοινωνίας ἀξιοῦται, κρεῶν ῥηταῖς ἡμέραις ἀπεχομένη, καὶ τυροῦ, καὶ τὰ λοιπὰ ἐμπόνως ἐπιτελοῦσα. Καὶ εἰ μὲν ἐκ ῥᾳθυμίας, ἢ ἀκρασίας τῶν γονέων τοῦτο συνέβη, φόνῳ ἑκουσίῳ παρείκασται. Εἰ δὲ ἐξ ἐπιβουλῆς τοῦ ἀντικειμένου, συγγνώμης τὸ πρᾶγμα ἄξιον. Πλὴν καὶ τοῦτο δεῖται μετρίων ἐπιτιμίων· δι' ἕτερα γὰρ πταίσματα ἡ ἐγκατάλειψις αὕτη γέγονεν.

Ἡ καταφρονήσασα τοῦ κυήματος, καὶ τῇ ἀμελείᾳ ταύτης ἀποφθαρέντος, ἑκουσίου φόνου δίδωσι δίκας.

Παιδίου ἀβαπτίστου ἀποθανόντος τῇ τῶν οἰκείων γονέων ἀμελείᾳ, εἰς τρία ἔτη οἱ γονεῖς τῆς κοινωνίας ἐκβάλλονται, ξηροφαγοῦντες ἐν αὐτοῖς, καὶ γονάτων κλίσεσι τὸ Θεῖον ἐξιλεούμενοι, κλαυθμῷ τε καὶ τῇ κατὰ δύναμιν ἐλεημοσύνῃ. Ἑπτὰ δὲ ὄντος τοῦ βρέφους ἡμερῶν, καὶ ἀφωτίστου ἀπελθόντος, ἕως ἡμερῶν μ'. τῆς τε κοινωνίας ἐκβάλλονται, καὶ ξηροφαγεῖν ἐν ταύταις καταδικάζονται, καὶ μετανοίας ποιεῖν μ'. καθ' ἑκάστην.

Μοναχὴ, ἑτέραις συνεγνωκυῖα μοιχείαν ἢ παιδοφθορίαν, καὶ μὴ φανεροῦσα τῇ προεστώσῃ, ἴσον ἔχει τὸ ἐπιτίμιον τῇ πραττούσῃ, κατὰ τὸν οα'. Καν. τοῦ μεγάλου Βασιλείου.

Τὰς ἐκτιθεμένας τὰ οἰκεῖα βρέφη πρὸς ταῖς εἰσόδοις τῶν Ἐκκλησιῶν, ὡς φονευτρίας ὁ νόμος κολάζει, κἂν τινες ἀνελόμενοι ταῦτα περιποιήσωνται.

---

(1) Π. τῷ κοιμωμένη ἐμπεσοῦσα Χ. Βιένν. — ἐμπεσοῦσα κοιμωμένη, Χριστόφ.

Οἱ λησταὶ τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγονται· ἐπειδὴ καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνουσι.

## ΠΕΡΙ ΚΛΟΠΗΣ.

Ο κλέπτης κατὰ τὸν ξά. Κανόνα τοῦ μεγάλου Βασιλείου, εἰ μὲν ἑκουσίως ἐξομολογήσεται, εἰς ἔτος ἓν ἀφορίζεται· εἰ δὲ ἐλεγχθείη, εἰς ἔτη δύο. Ἀλλ' ἡμεῖς τὸν μὲν ἑκουσίως μετανοοῦντα κλέπτην ἕως μ'. ἡμερῶν τῆς κοινωνίας ἀπείργομεν· τὸν δὲ ἐλεγχθέντα, ἕως μηνῶν ἕξ, μετὰ τὴν θ'. ξηροφαγοῦντα, καὶ μετανοίας ρ'. καθ' ἑκάστην ποιοῦντα. Ὁ δὲ δημοσίου κλοπῆς ἑαλωκὼς περὶ τὰ λεγόμενα κεφαλαιώδη κλέμματα, εἰς ἱερωσύνην οὐκ ἔρχεται. Ἀλλ' εἰ καὶ μετὰ ταύτην τῷ πάθει περιπέσειε τούτῳ, τῆς ἱερωσύνης ἀπογυμνοῦται κατὰ τὸν κέ. τῶν ἁγίων Ἀποστόλων.

## ΠΕΡΙ ΤΥΜΒΩΡΥΧΩΝ.

ΤΟΝ τυμβωρύχον εἰς ἔτη ι'. ἀκοινώνητον εἶναι δεῖ, ὁ ξς'. τοῦ μεγάλου Βασιλείου Κανὼν ὁρίζει. Ἡμεῖς δὲ εἰς ἔτος ἓν μετὰ τὴν θ'. ξηροφαγοῦντα, καὶ μετανοίας διακοσίας ἑκάστης ἡμέρας βάλλοντα.

## ΠΕΡΙ ΙΕΡΟΣΥΛΙΑΣ.

Η ἱεροσυλία ἐν ἐλάττονι χρόνῳ, ἢ ἡ μοιχεία κολάζεται κατὰ τὸν ἅγιον Γρηγόριον Νύσσης· οἰκονομεῖται δὲ ἕως τριετίας.

## ΠΕΡΙ ΕΠΙΟΡΚΙΑΣ.

ΤΟΥΣ ἐξ ἀνάγκης ἐπιορκήσαντας, γ'. ἐτῶν τῆς κοινωνίας ἀπέχεσθαι, ὁ πβ'. Κανὼν τοῦ μεγάλου Βασιλείου διορίζεται· τοὺς δὲ χωρὶς ἀνάγκης, ἐν δέκα ἔτεσι ταύτης ἀφίστασθαι. Ἡμεῖς δὲ εἰς ἕνα χρόνον τὴν κοινωνίαν αὐτοὺς δεῖν ᾠήθημεν ὑπερτίθεσθαι, μετὰ τὴν θ'. ξηροφαγοῦντας,



καὶ διακοσίας πεντήκοντα καθ' ἑκάστην μετανοίας ποιοῦντας.

Γυνὴ οὔτε λαϊκὴ, οὔτε μονάζουσα, δι' οἱονδήποτε πταῖσμα τῆς Ἐκκλησίας χωρίζεται, ὅτι μὴ μόνον τῆς κοινωνίας. Λέγει γὰρ ὁ Κανὼν, ὅτι τοῦτο ποιοῦμεν, διὰ τὸ πολλὰς ὑπὸ αἰσχύνης ἑαυτὰς διαχειρίσασθαι· ὥσπερ οὔτε πρεσβύτερος, οὔτε διάκονος, διὰ τὸ, Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό (1).

Ἐμπεσόντος τινὸς ἀκαθάρτου εἰς φρέαρ, ἢ εἰς ἔλαιον, ἢ εἰς οἶνον, ὁ τούτου γευσάμενος ἐπὶ τρεῖς ἡμέρας κρέατος καὶ τυροῦ μὴ ἀπτέσθω· ἑπτὰ δὲ μὴ κοινωνείτω.

Ὁ μετὰ τὴν θείαν ἐμέσας μετάληψιν, μ'. ἡμέρας τῆς θείας ἀφίσταται κοινωνίας, τὸν ν'. ᾄδων ψαλμὸν καθ' ἑκάστην, καὶ μετανοίας ποιῶν ν'. κἂν ὁπωσδήποτε τοῦτο συμβῇ. Εἰ γὰρ καὶ μὴ τέως ἀφορμὴν αὐτὸς οἴεται δοῦναι, ἀλλά γε δι' ἕτερά τινα ἴδια πταίσματα τοῦτο πάντως παρεχωρήθη (2).

---

(1) Ναούμ Α', 9.

(2) Ὁ ἐκδότης τοῦ Πηδαλίου βεβαιοῖ, ὅτι ἐν χειρογράφῳ κώδικι εὕρηται τὸ Κανονικὸν τοῦ Νηστευτοῦ περιέχον καὶ τὰ κάτωθεν ἐπιτίμια. Τούτου ἕνεκα ἐκδίδονται ἐνταῦθα ὡς ἐν τῷ Πηδαλίῳ ἀναγινώσκονται, κατὰ τὴν κοινὴν δηλονότι διάλεκτον. Ἐν δὲ τοῖς χειρογράφοις τῆς ἐν Βιέννῃ Βιβλιοθήκης οὐ κεῖνται.

Ἐάν τινας πέσῃ μὲ τὴν μητρυιάν του, τρία ἔτη ἐπιτιμᾶται, νηστεύων δηλονότι ἕως ἑσπέρας, καὶ ξηροφαγῶν, καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας πεντακοσίας.

Ἐὰν πέσῃ μὲ μητέρα καὶ θυγατέρα ἐνταυτῷ, τέσσαρα ἔτη ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν γονυκλισίας τριακοσίας καθ' ἑκάστην.

Ἐάν τινας ἀρσενοκοιτήσῃ δύω ἀδελφοὺς, ὁμοίως ἐπιτιμᾶται.

Ἐὰν ἀρσενοκοιτήσῃ τις τὸν γαμβρόν του, τέσσαρα ἔτη ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας διακοσίας.

Ἐάν τις ἀρσενοκοιτήσῃ τὸν ἀδελφόν του, ὀκτὼ χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας τετρακοσίας.

Ἐὰν δέ τις ἀδελφὸς μικρότερος ἀρσενοκοιτηθῇ ἀπὸ τὸν μεγαλήτερον, χωρὶς νὰ ἀρσενοκοιτήσῃ αὐτὸς, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν θ', καὶ ποιῶν γονυκλισίας ἑκατόν.

Ἐάν τις πέσῃ μὲ τὴν θυγατέρα του μίαν φορὰν, πέντε χρόνους ἐπιτιμᾶται. Εἰ δὲ περισσότερον, ἕξ χρόνους, καὶ ἑπτὰ, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας πεντακοσίας.

Ἐάν τις πέσῃ μὲ τὴν μητέρα του μίαν φοράν, ἑπτὰ χρόνους ἐπιτιμᾶται. Εἰ δὲ πολλάκις, δώδεκα χρόνους, ξηροφαγῶν μετὰ τὴν θ'., καὶ ποιῶν γονυκλισίας πεντακοσίας.

Ἐάν τις πέσῃ μὲ τὴν ἐκ τοῦ ἁγίου βαπτίσματος θυγατέρα του μίαν φοράν, ὀκτὼ χρόνους ἐπιτιμᾶται. Εἰ δὲ περισσότερον, δέκα χρόνους, ξηροφαγῶν μετὰ τὴν θ', καὶ ποιῶν γονυκλισίας πεντακοσίας.

Ἐάν τις πέσῃ μὲ τὴν συντέκνισσάν του, ὀκτὼ χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν γονυκλισίας τριακοσίας καθ' ἑκάστην.

Ἐάν τινας πέσῃ εἰς κτῆνος πολλάκις ἔχων καὶ γυναῖκα, ὀκτὼ χρόνους ἐπιτιμᾶται. Εἰ δὲ οὐκ εἶχε γυναῖκα, καὶ ἅπαξ, ἢ δίς, ἢ τὸ πολὺ τρὶς ἔπεσε, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν μετανοίας τριακοσίας.

Τὰ αὐτὰ ἐπιτίμια νὰ λαμβάνῃ καὶ ἡ γυνὴ ὅπου πέσῃ μὲ κτῆνος.

Ἐάν τις πέσῃ μὲ τὴν πρώτην του ἐξαδέλφην, δύω χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν θ', καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας πεντακοσίας.

Ἐάν τις πέσῃ μὲ ἐθνικήν, ἤγουν Ἑβραίαν, ἢ Τούρκισσαν, ἢ καὶ αἱρετικήν, μὴ ἔχων γυναῖκα νόμιμον, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν καθ' ἑκάστην γονυκλισίας διακοσίας. Παρομοίως ἐπιτιμᾶται καὶ ἡ γυνὴ ἡ μὴ ἔχουσα ἄνδρα νόμιμον, ἐὰν μὲ Ἑβραῖον πέσῃ, ἢ μὲ Τοῦρκον, ἢ μὲ αἱρετικόν, ἤγουν Λατῖνον, ἢ Ἀρμένιον. Εἰ δὲ ὁ ἄνδρας ἔχων γυναῖκα, καὶ ἡ γυνὴ ἔχουσα ἄνδρα νόμιμον, ἔπειτα πέσουν μὲ τὰ τοιαῦτα ἐθνικά, ἢ αἱρετικὰ πρόσωπα, τέσσαρας, ἢ πέντε χρόνους ἐπιτιμῶνται, ξηροφαγοῦντες μέχρις θ'. καὶ ποιοῦντες καθ' ἑκάστην γονυκλισίας διακοσίας πεντήκοντα.

Ἐὰν δὲ γυνὴ πρεσβυτέρου, ἢ διακόνου μοιχευθῇ, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγοῦσα μετὰ τὴν ἐννάτην, καὶ γονυκλισίας ποιοῦσα καθ' ἑκάστην τριακοσίας· βαρύτερα δηλαδὴ ἀπὸ τὰς ἄλλας μοιχαλίδας, καθότι φονεύουσι τοὺς ἄνδρας των, μὲ τὸ νὰ γίνωνται αἴτιοι νὰ καθαιροῦνται τῆς ἱερωσύνης μὲ τὴν τοιαύτην μοιχείαν. Οἱ δὲ ἄνδρες αὐτῶν, ἐὰν μὲν θέλουν νὰ τὰς ἔχουν, καθαιροῦνται τῆς ἱερωσύνης. Εἰ δὲ θέλουν νὰ ἔχουν τὴν ἱερωσύνην, χωρίζονται ἀπὸ αὐτάς, πρὸ τοῦ νὰ συνευρεθοῦν μὲ αὐτὰς ὕστερον ἀπὸ τὴν μοιχείαν, κατὰ τὸν η'. τῆς ἐν Νεοκαισαρείᾳ.

Ἐὰν δέ τις γυνὴ πέσῃ μὲ δύω ἀδελφούς, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγοῦσα μετὰ τὴν ἐννάτην, καὶ μετανοίας ποιοῦσα καθ' ἑκάστην διακοσίας.

Ἐὰν γυνὴ πέσῃ μὲ εὐνοῦχον, τρεῖς χρόνους ἐπιτιμᾶται, ξηροφαγοῦσα μετὰ τὴν ἐννάτην, καὶ γονυκλισίας ποιοῦσα καθ' ἑκάστην τριακοσίας.

Ἐάν τινας ἀρσενοκοιτήσῃ τὴν γυναῖκά του, ὀκτὼ χρόνους ἐπιτιμᾶται, ξηροφαγῶν μετὰ τὴν ἐννάτην, καὶ ποιῶν καθ' ἑκάστην μετανοίας διακοσίας.

---

ΤΕΛΟΣ ΤΩΝ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ.



# ΕΡΩΤΗΣΕΙΣ ΚΑΝΟΝΙΚΑΙ

## ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΥΡΙΟΥ ΜΑΡΚΟΥ, ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΕΠ' ΑΥΤΑΙΣ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ,

### *ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ.*

Ο ΜΕΝ θεόπτης καὶ προφήτης Μωσῆς, Ἐρώτησον, φησί, τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι(1). Ὁ δὲ ἁγιώτατος πατριάρχης Ἀλεξανδρείας, ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, κύριος Μάρκος, Πατὴρ Πατέρων ὑπάρχων, τῇ χάριτι τοῦ Θεοῦ, καὶ πρεσβυτέρων πρεσβύτερος, κἀντεῦθεν μηδὲ ψάλλουσαν ἔχων αὐτῷ ταύτην τὴν προφητικὴν καλλιέπειαν, ἐφ' οἷς ἐζυγομαχεῖτο πολλοῖς ἐκκλησιαστικοῖς ἐρωτήμασιν, ἕτερον ἐκ τῆς αὐτῆς κινύρας τοῦ Πνεύματος ἀνεδέξατο θεσπιῴδημα λέγον· Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν ἐστιν, ἀλλ' ἢ τὸ συμφρονεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό(2); Διὸ καθά τι ψαλτήριον ὄργανον, μουσικῆς ἐπιμελείας δεόμενον, ἐκθέμενος ἐρώτησιν ἔγγραφον, ἐνεχείρισε ταύτην τῇ ἡμῶν μετριότητι· καὶ ἐζήτησε τὰ ἐν αὐτῇ περιεχόμενα κανονικὰ προβλήματα καὶ ζητήματα λαληθῆναι ἐπὶ κοινοῦ, καὶ ἀδελφικῆς ἀποκρίσεως καλλιγραφηθῆναι τοῦτο κωδίκιον· τὸ γοῦν παρὰ τῆς ἁγιωσύνης αὐτοῦ συντεθὲν γράμμα διαλαμβάνει ταῦτα ῥητῶς.

Ἐν ὀνόματι τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἐρωτήματα ἅπερ χρήζουσιν οἱ Χριστιανοὶ οἱ κατοικοῦντες ἐν τῇ χώρᾳ τῶν Σαρακηνῶν, καὶ ἐν ταῖς ἐξουσίαις αὐτῶν, ἐρωτηθέντα παρὰ Μάρκου τοῦ ἐλαχίστου ἐν τοῖς πατριάρχαις

---

(1) Δευτερ. ΛΒ', 7. — (2) Ψαλμ. ΡΛΒ'.

Ἀλεξανδρείας, ἐν ἡμέραις τῆς βασιλείας τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν Κυρίου Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ ἐπὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Κυρίου Γεωργίου, ὧν τὰ ἔτη αὐξάνοι ὁ Θεὸς εἰς μακρότητα ἡμερῶν. Μηνὶ Φεβρουαρίῳ, ἐπινεμήσεως ιγ'. καὶ ἐτῶν μετὰ τὴν σάρκωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ᾳσγ'.

*Ἐρώτησις Α'.*

Αἱ περὶ τὰ μέρη τῆς Ἀλεξανδρείας καὶ τῶν Ἱεροσολύμων ἀναγινωσκόμεναι λειτουργίαι, καὶ λεγόμεναι συγγραφῆναι παρὰ τῶν ἁγίων Ἀποστόλων Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ Μάρκου, δεκταί εἰσι τῇ ἁγίᾳ καὶ καθολικῇ Ἐκκλησίᾳ, ἢ οὔ;

*Ἀπόκρισις.*

Ὁ μέγας Ἀπόστολος Παῦλος, ὁ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ ῥήτωρ καὶ διδάσκαλος, Κορινθίοις ἐπιστέλλων, φησίν· Ἀδελφοί, παρακαλῶ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ(1). Φαμὲν τοίνυν, ὡς οὔτε ἀπὸ θείας Γραφῆς, οὔτε ἀπὸ κανόνος ἐκφωνηθέντος συνοδικῶς ἀνεδιδάχθημεν, ἱεροτελεστίαν ὑπὸ τοῦ ἁγίου Ἀποστόλου Μάρκου παραδοθῆναι. Μόνος δὲ ὁ λβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, φησὶν ὑπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀδελφοθέου μυστικὴν ἱερουργίαν συντεθῆναι. Ὁ μέντοι πέ. κανὼν τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, καὶ καὶ ὁ νθ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, ἀπαριθμούμενοι τὰ ὀφείλοντα παρ' ἡμῖν πολιτεύεσθαι βιβλία τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Καινῆς, καὶ αὐτὰ δὴ τὰ ἀποστολικὰ, ἱερουργίας τοῦ ἁγίου Ἰακώβου ἢ τοῦ ἁγίου Μάρκου μνείαν ὅλως οὐ ποιοῦνται. Ἀλλὰ καὶ ἡ καθολικὴ Ἐκκλησία τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως οὐδ' ὅλως ταύτας ἐπιγινώσκει. Ψηφιζόμεθα οὖν μὴ εἶναι δεκτὰς αὐτάς· κἂν γὰρ ἐγένοντο, παντελοῦς ἀπραξίας κατεψηφίσθησαν, ὡς καὶ ἄλλα πολ-

(1) ά, Κορ. Α', 10.



λά· καὶ δῆλόν ἐστιν ἀπὸ τοῦ πέ. κανόνος τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, καὶ τοῦ β'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου. Ὁ μὲν γὰρ, ὁ ἀποστολικὸς δηλαδὴ, διορίζεται τὰς τοῦ Κλήμεντος δύο ἐπιστολὰς, καὶ τὰς Διαταγὰς τῶν ὀκτὼ βιβλίων αὐτοῦ ἀναγινώσκεσθαι μὲν, μὴ δημοσιεύεσθαι δὲ, διὰ τὰ ἐν αὐταῖς μυστικά· ὁ δὲ θέλει ταύτας μηδὲ ἀναγινώσκεσθαι, διὰ τὸ παρεντεθῆναι αὐταῖς παρὰ ἑτεροδόξων πολλά τινα νόθα, καὶ τῆς εὐσεβείας ἀλλότρια. Διά τοι τοῦτο καὶ ὀφείλουσι πᾶσαι αἱ Ἐκκλησίαι τοῦ Θεοῦ ἀκολουθεῖν τῷ ἔθει τῆς νέας Ῥώμης, ἤτοι τῆς Κωνσταντινουπόλεως, καὶ ἱερουργεῖν κατὰ τὰς παραδόσεις τῶν μεγάλων διδασκάλων καὶ φωστήρων τῆς εὐσεβείας, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ τοῦ ἁγίου Βασιλείου. Φησὶ γὰρ τὸ μά. κεφάλαιον τοῦ ά. τίτλου τοῦ β'. βιβλίου τῶν βασιλικῶν· Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος, ᾧ ἡ Ῥώμη κέχρηται.

*Ἐρώτησις Β'.*

Βιβλία διάφορα εὑρίσκονται ἐν ταῖς ἀνατολικαῖς καὶ νοτίοις χώραις· καὶ τὰ μὲν ὀνομάζονται Διδασκαλίαι τῶν ἁγίων Ἀποστόλων, τὰ δὲ, Ὁράσεις τοῦ ἁγίου Παύλου. Ἐρωτῶ οὖν, εἰ ὀφείλομεν ἀναγινώσκειν αὐτά;

*Ἀπόκρισις.*

Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Εὐαγγελίοις εἰπόντος, Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε(1), ψηφιζόμεθα καὶ ἡμεῖς, ὅτι ἀποστολικὰς Διδασκαλίας, καὶ Ὁράσεις, καὶ Διατάξεις(2) ἡ τοῦ Θεοῦ Ἐκκλησία γινώσκει καὶ ὁμολογεῖ τὰ ἐν τῷ πέ. ἀποστολικῷ κανόνι δηλούμενα βιβλία, καὶ πιστευόμενα εἶναι τῶν Θεοκηρύκων φωνάς· ἕτερον δέ τι παρὰ ταῦτα οὐκ οἶδεν ἀποστολικὸν σύγγραμμα. Παρατηρητέον οὖν ἀποστρέφεσθαι τὰ πεπλασμένα παρὰ τῶν αἱρετικῶν

(1) Ματθ. ΚΔ', 4, 5. — (2) Χ. XCVII. — διδάξεις Λεϋγκλ.

σχεδιάσματα· ἀψινθίου γὰρ πικρότερά εἰσι, κἂν μελιτοῦτταν διὰ τῆς ἐπιγραφῆς τῶν ὀνομάτων τῶν ἁγίων Ἀποστόλων ὑποκρίνωνται.

### *Ἐρώτησις Γ'*. (1)

Τὰ τῶν ἁγίων ποτηρίων καὶ τῶν ἁγίων δίσκων σκεπάσματα, καὶ ἡ λοιπὴ ὡσαύτως ἑτοιμασία τραπέζης τῆς ἁγίας, καὶ τὰ ἀγγεῖα, ἐν οἷς τὰ ἅγια βαπτίσματα γίνονται, διὰ ἰδικῶν εὐχῶν ἁγιάζονται, ἢ ἀρκεῖ τούτοις εἰς ἁγιασμὸν ἡ τῶν ἁγίων κοινωνία καὶ μέθεξις;

### *Ἀπόκρισις.*

Ἐπίστευσε, φησὶν, Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην(2)· διὸ καὶ ἡμεῖς πιςεύομεν ἁγιάζεσθαι τὰ ποτηροκαλύμματα, καὶ τὰ δισκοκαλύμματα, καὶ τὰ λοιπὰ, ἅμα τῷ τεθῆναι εἰς τὴν ἁγίαν τράπεζαν, καὶ καλύψαι τὰ ἅγια, καὶ ἰδικῶν εὐχῶν εἰς τὸ ἁγιασθῆναι μὴ δέεσθαι. Πλὴν ἰστέον, ὅτι πάντα μὲν τὰ ἱερά εἰσιν ἅγια, οὐ πάντα δὲ τὰ ἅγιά εἰσι καὶ ἱερά. Ὁ γὰρ ἐν τῷ νομίσματι σταυρικὸς τύπος, ἅγιος μέν ἐςιν, ἱερὸς δὲ οὐκ ἔστι· διὸ ὁ κλέψας νομίσματα ἔχοντα τίμιον σταυρὸν, ἢ καὶ αὐτὸ τὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προσκυνητέον εἰκόνισμα, ὡς κλέπτης μὲν κατακρίνεται, ὡς ἱερόσυλος δὲ οὐκ ἐνέχεται. Φησὶ γὰρ τὸ πρῶτον κεφάλαιον τοῦ γ'. τίτλ. τοῦ μς'. βιβλίου τῶν βασιλικῶν ταῦτα ῥητῶς· Τὰ ἱερὰ θείου δικαίου εἰσὶ, καὶ ὑπ' οὐδενὸς δεσπόζονται· ἱερὸν δὲ πρᾶγμά ἐστι τὸ ἀνιερωθὲν δημοσίᾳ· τὰ γὰρ ἰδιωτικῶς, οὐκ εἰσὶν ἱερά. Ὅσα γοῦν καθολικαῖς Ἐκκλησίαις, ἢ θείοις ναοῖς μοναστηρίων προσάγονται παρά τινων, σκεπάσματα δηλονότι ἁγίων ποτηρίων καὶ ἁγίων δίσκων, ἀλλὰ μὴν καὶ ἕτερά τινα σκεύη, ἐπὶ πλάτος καὶ εἰκονίσματα διὰ χειρὸς ἐπισκοπικῆς ἢ ἱερατικῆς, ἀπεντεῦθεν ὡς ἀνατεθειμένα τῷ Θεῷ γίνονται ἅγια καὶ ἱερά. Ὅσα δὲ τοιαῦτά τινες ἔχουσιν εἰς εὐκτηρίους ἀνενθρονίστους οἴκους αὐτῶν, ἅγια μέν εἰσιν, ὡς τῶν θείων ἁγιασμά-

(1) Ἡ Ἐρωταπόκρισις αὕτη οὐ κεῖται παρὰ Λεϋγκλαυΐῳ· εὕρηται δὲ ἀνέκδοτος ἐν τῷ Χ. XCVII τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς Βιβλιοθήκης· διὰ δὲ τῆς προσθήκης ταύτης καί τινων ἑπομένων μεταβάλλεται ἐνταῦθα ἡ παρὰ Λεϋγκλαυΐῳ ἀρίθμησις τῶν Ἐρωταποκρίσεων. — (2) Γεν. ΙΕ', 6.



των μετέχοντα, καὶ οὐ κοινοποιοῦνται· ἱερὰ δὲ οὐκ εἰσὶ, διότι εἰς ἰδιωτικὰ παραπέμπονται πρόσωπα.

### *Ἐρώτησις Δ'.*

Τὰ ἑξήκοντα βιβλία τῶν νόμων, τὰ λεγόμενα βασιλικὰ, οὐ διεδόθησαν εἰς τὰς χώρας ἡμῶν· διὰ τοῦτο νυκτοβατοῦμεν ὅσον τὸ εἰς αὐτά. Ζητοῦμεν οὖν μαθεῖν, εἰ ἐντεῦθεν κατακρινόμεθα.

### *Ἀπόκρισις.*

Ὅσα ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λέγει, κατὰ τὸν μέγαν Ἀπόστολον(1). Οἱ γοῦν αὐχοῦντες βίον ὀρθόδοξον, κἂν ἐξ Ἀνατολῶν ὦσι, κἂν ἐξ Ἀλεξανδρέων, κἂν ἑτέρωθεν, Ῥωμαῖοι λέγονται, καὶ κατὰ νόμους ἀναγκάζονται πολιτεύεσθαι· τῷ νόμῳ δὲ τῷ φάσκοντι, Οὐ δεῖ Ῥωμαῖον ἄνδρα νόμον ἀγνοεῖν, οὐ συσφίγγονται. Μόνοι γὰρ οἱ κατοικοῦντες τὴν Ῥώμην, τὴν βασιλίδα δηλονότι τῶν πόλεων, τὴν κατησφαλισμένην ὁμοίοις (2) πυργώμασι, καὶ πολλοὺς πλουτοῦσαν νομομαθεῖς, ταῖς ἐκ τούτων σιδηροπέδαις κατέχονται. Διὸ οὗτοι μὲν ἀγνοῆσαι νόμον διενιστάμενοι οὐ συγγινώσκονται, κἂν χειρωνάκται, κἂν ἀγύρται τινὲς ὦσι, καὶ γραμμάτων ἀνήκοοι, ὡς δυνάμενοι τὰ τῶν νόμων μαθεῖν ἀπὸ τῶν συγκατοίκων αὐτῶν. Οἱ δὲ ἔξω τῆς Ῥώμης διάγοντες, ἀγρόται δηλονότι, καὶ λοιποὶ, πολλῷ δὲ πλέον Ἀλεξανδρεῖς, νόμον πολιτικὸν ἀγνοήσαντες συγγινώσκονται. Καλὸν γοῦν ἐστι καὶ τούτους ἐρωτᾷν, καὶ μανθάνειν τὰ νομικὰ παραγγέλματα. Εἰ δὲ δυσχερές ἐστι, συγγνώμης ἀξιωθήσονται.

### *Ἐρώτησις Ε'.*

Ἀκίνδυνόν ἐστι τοῖς ἱερωμένοις, ναὶ μέντοι καὶ τοῖς λαϊκοῖς, ἐπὶ τόκῳ δανείζειν, ἢ μᾶλλον ὀλέθριον;

### *Ἀπόκρισις.*

Ὁ μὲν Μωσαϊκὸς νόμος, Οὐκ ἐκτοκιεῖς, φησὶ, τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου(3)· ὁ δὲ πολιτικὸς ἐπιγινώσκει τόκους ἑκατοστιαίους,* ἡμιεκατοστιαίους* (4), καὶ ἀπὸ τρίτης ἑκατοςῆς. Διορίζεται γὰρ τοὺς συγκλητικοὺς λαμβάνειν τόκους ἀπὸ τρίτης ἑκα-

(1) Ῥωμ. Γ', 19. — (2) ὁμοίως Χ. XCVII. — (3) Δευτερ. ΚΓ', 19. — (4) Χ. XCVII.

τοστῆς, ἤγουν ἐφ' ἑκάστῃ λίτρᾳ νομίσματα δ', τοὺς κοινολαΐτας πραγματευτὰς καὶ λοιποὺς, ἡμιεκατοστιαίους, ἤγουν ἐφ' ἑκάστῃ λίτρᾳ νομίσματα ϛ', τοὺς δὲ διδόντας διαπόντιον δάνειον, ὑπὲρ ἑκάστης λίτρας νομίσματα ιβ'. Ὅπως δὲ καλοῦνται οἱ τόκοι ἑκατοστιαῖοι, τῆς λίτρας μὴ συμποσουμένης εἰς νομίσματα ρ'. ἀλλ' εἰς οβ', καιρὸς οὐκ ἔστι λέγειν, ἵνα μὴ ἔργον τὸ πάρεργον γένηται. Καὶ ταῦτα μὲν περὶ λαϊκῶν. Τοὺς ἱερωμένους δὲ τοκίζειν παντελῶς ἀπηγόρευται. Φησὶ γὰρ ὁ μδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα ῥητῶς· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Καὶ ὁ ιζ'. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ά. συνόδου ταῦτα διέξεισιν· Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὸ αἰσχροκερδὲς διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος, λέγοντος, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ(1), καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς, εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρίσεως, ἢ ἄλλως ἐπερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ἕτερόν τι ἐπινοῶν αἰσχροκερδείας ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται. Τὰ αὐτά φησι καὶ ὁ δ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ἕτεροι.

## Ἐρώτησις ϛ'.

Ἀκίνδυνόν ἐστιν ἱερατεύειν ὀρθοδόξους Σύρους καὶ ἐξ Ἀρμενίων, ἀλλὰ μὴν καὶ ἐξ ἑτέρων χωρῶν τινας πιστοὺς, κατὰ τὴν οἰκείαν διάλεκτον(2), ἢ παντοίως ἀναγκάζονται μετὰ Ἑλληνίδος ἱερατεύειν γραφῆς;

## Ἀπόκρισις.

Ὁ μέγας Ἀπόστολος Παῦλος, Ῥωμαίοις ἐπιστέλλων, φησίν· Ἢ Ἰουδαίων μόνον ὁ Θεὸς, οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν(3). Οἱ γοῦν ὀρθοδοξοῦντες ἐν πᾶσι, κἂν ὦσι τῆς Ἑλληνίδος φωνῆς πάμπαν ἀμέτοχοι, μετὰ τῆς ἰδίας διαλέκτου ἱερουργήσουσιν, ἀντίγραφα ἔχοντες τῶν συνήθων ἁγίων εὐχῶν ἀπαράλλακτα, ὡς

(1) Ψαλμ. ΙΕ', 5. — (2) μετὰ τῆς οἰκείας διαλέκτου Χ. XCVII. — (3) Ἑβρ. Γ', 29.



μεταγραφέντα ἐκ κοντακίων καλλιγραφηθέντων διὰ γραμμάτων Ἑλληνικῶν.

## Ἐρώτησις Ζ'.

Ἠρραβωνίσατό τις γυναῖκα, καὶ ἐτελεύτησε πρὸ τοῦ ἱερολογηθῆναι μετ' αὐτῆς, ὡς νενόμισται, καὶ πρὸ τοῦ συναφθῆναι αὐτῇ· ἀκίνδυνόν ἐστι ταύτην λαβεῖν τὸν τούτου ἀδελφὸν, ἢ οὔ;

## Ἀπόκρισις.

Τὸ καλὸν οὐκ ἔστι καλὸν, εἰ μὴ καλῶς γένηται. Εἰ γοῦν ἡ μνηστεία, ἤτοι ὁ ἀῤῥαβὼν, ἐτελέσθη κατὰ τὴν ὑποτύπωσιν τῆς νεαρᾶς νομοθεσίας τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, μετὰ τελετῆς τῶν συνήθων ἁγίων εὐχῶν, τῆς γυναικὸς οὔσης δωδεκαετοῦς, τοῦ δὲ ἀνδρὸς τὸν τεσσαρεσκαιδέκατον χρόνον ἀνύσαντος, οὐ λήψεται ταύτην εἰς γάμον ὁ ἀδελφὸς αὐτοῦ· ὁ γὰρ οὕτω τελεσθεὶς ἀῤῥαβὼν ἐν πᾶσι τῷ νομίμῳ γάμῳ ταυτίζεται. Εἰ δὲ κατὰ τὴν κρατοῦσαν συνήθειαν, ὡς μανθάνομεν, εἰς πάντα σχεδὸν τὰ μέρη τοῦ νότου καὶ τῆς ἀνατολῆς, ἀλλοτρόπως ὁ θανὼν τὴν περιοῦσαν ἠῤῥαβωνίσατο, συζευχθείη νομίμως αὐτῇ ὁ τούτου αὐτάδελφος.

## Ἐρώτησις Η'.

Ἀπροκριματίστως διακονικοῦ ἢ ἱερατικοῦ βαθμοῦ ἀξιωθείη (1) ὁ διὰ τὸ τελευτῆσαι τὴν μνηστευθεῖσαν αὐτῷ ἑτέραν σύμβιον ἀγαγόμενος, ἢ ὡς δίγαμος κωλυθήσεται;

## Ἀπόκρισις.

Εἰ μὲν κατὰ τὴν τῆς ῥηθείσης νεαρᾶς ὑποτύπωσιν ἠῤῥαβωνίσατο τὴν ἀποιχομένην μνηστὴν, ἑτέρᾳ γυναικὶ μετὰ τὸν ταύτης θάνατον συζευχθεὶς, οὐκ ἀξιωθείη βαθμοῦ τινος τῶν τοῦ βήματος· δίγαμος γὰρ λογίζεται. Εἰ δὲ παρὰ τὴν ταύτης περίληψιν τὸ τελευτῆσαν ἐμνηστεύσατο γύναιον, ἀπαρεμποδίστως ἱερωθήσεται, ὡς μὴ λογιζόμενος δίγαμος.

## Ἐρώτησις Θ'.

Ἱερεὺς ἐὰν ἀποκαρῇ, ἐκχωρηθείη ἱερουργεῖν μετὰ τὴν ἀπόκαρσιν, ἢ οὔ;

(1) ἀξιωθήσεται Χ. XCVII.

*Ἀπόκρισις.*

Τοῦ β'. κανόνος τῆς ἐν τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Κωνσταντινουπόλεως συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου ταῦτα κατὰ ῥῆμα διεξιόντος, Εἰ καὶ μέχρι τοῦ νῦν ἔνιοι τῶν ἀρχιερέων, εἰς τὸ τῶν μοναχῶν κατιόντες σχῆμα, ἐν τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, * καὶ τοῦτο πράττοντες παρεωρῶντο* (1), ἀλλ' οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος αὕτη, καὶ τοῦτο ῥυθμίζουσα τὸ παρόραμα, καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν· ἵνα, εἴ τις ἐπίσκοπος, ἤ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος πρὸς τὸν μοναχικὸν θελήσοι κατελθεῖν βίον, καὶ τὸν τῆς μετανοίας τόπον ἀναπληρῶσαι, μηκέτι λοιπὸν τῆς ἀρχιερατικῆς ἀντιποιῆται ἀξίας· αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς ἔχουσι λόγον καὶ μαθητείας, ἀλλ' οὐχὶ διδασκαλίας, καὶ προεδρίας· οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. Διό, καθὰ προείρηται, θεσπίζομεν, μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων εἰς τὴν τῶν ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν. Εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι μετὰ τὴν ἐκφώνησιν καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ, οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ ἠθέτησε διὰ τῶν ἔργων, ἀξίωμα ἐπαναστρέψει. Καταλαμβάνεται δὲ πρὸ τῆς ἐκφωνήσεως τούτου μὴ μόνον τοὺς τοῦ βήματος, ἤγουν ὑποδιακόνους, διακόνους, καὶ ἱερεῖς, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἀρχιερεῖς ἱερουργεῖν καὶ μετὰ τὴν ἀπόκαρσιν. Τῶν γοῦν ἀρχιερέων μετ' ἐμβριθείας κανονικῆς ἐκ τῆς ἱερωσύνης ἀποξενωθέντων, διὰ τὸ μετὰ τὴν ἀπόκαρσιν εἰς τόπον μαθητιώντων καὶ μετανοούντων ἐλθεῖν, κἀντεῦθεν ἀπαλλοτριωθῆναι τοῦ διδασκαλικοῦ ἀξιώματος, πάντως οἱ ἱερεῖς, καὶ ἁπλῶς οἱ τοῦ βήματος, ἀπαρεμποδίστως καὶ μετὰ τὴν ἀπόκαρσιν τὰ τῶν βαθμῶν ἐνεργήσουσι δίκαια. Καὶ πρὸ τῆς ἀποκάρσεως γὰρ ὡσαύτως, καὶ μετὰ τὴν ἀπόκαρσιν, μαθηταὶ καὶ ὑποτακτικοὶ ἦσαν, καὶ εἰσί.

(1) Τὰ ἐντὸς τῶν * οὐ κεῖται παρὰ Λεύγκλ. ἀλλ' ἐν τῷ Χ. XCVII.



*Ἐρώτησις Ι'.*

Λαϊκὸς, ἐὰν φαντασθῇ, ἀξιωθείη αὐθημερὸν τῆς τῶν θείων ἁγιασμάτων μεθέξεως, ἢ οὔ; Καὶ ἱερεὺς, ἐὰν φαντασθῇ, ἱερουργήσει κατ' αὐτὴν τὴν ἡμέραν τοῦ φαντασμοῦ, ἢ οὔ;

*Ἀπόκρισις.*

Ὁ προσφέρων, φησὶ τὸ γράμμα τὸ ἱερὸν, δῶρα καὶ θυσίας ἀρχιερεὺς, ἐξ ἀνθρώπων λαμβάνεται, καὶ καθὼς περὶ τοῦ λαοῦ προσφέρει τῷ Θεῷ, οὕτω δὴ καὶ περὶ αὐτοῦ· ἐπεὶ καὶ αὐτῷ βάρος σαρκικῆς ἀσθενείας ἐπίκειται (1). Ἀλλὰ καὶ διὰ Μωσέως εἶπεν ὁ Κύριος· Οἱ καθαροὶ τῷ καθαρῷ προσίτωσαν· ὁ δὲ μῶμον ἔχων κατὰ ψυχὴν, πρὸς τὸ καταπέτασμά μου οὐκ εἰσελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριόν μου οὐκ ἐγγιεῖ(2). Ὅθεν καὶ τρεῖς ἁγιώτατοι πατριάρχαι τοῦ θρόνου τῆς Ἀλεξανδρείας, ὁ ἅγιος Διονύσιος δηλαδὴ, ἀντιγράφων πρὸς Βασιλείδην ἐπίσκοπον, ὁ μέγας Ἀθανάσιος, κανονίζων τινὰ μοναχὸν Ἀμμοῦν ἐπονομαζόμενον, καὶ ὁ ἅγιος Τιμόθεος, πρός τινας ἐρωτήσαντας περὶ τοιούτου τινὸς ἀποκρινόμενος, τέως τὰ περὶ τῶν λαϊκῶν ἀκολούθως ταῖς θείαις ταύταις Γραφαῖς διηυλύτωσαν. Φησὶ γὰρ ἡ τοῦ ἁγίου Διονυσίου ἀπόκρισις· Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀπαλλοτριώσῃ τῆς κοινωνίας τῶν μυστηρίων, ὀφείλει κοινωνῆσαι· ἐπεὶ οὐ παύσεται ὁ ἐχθρὸς * (3) πειράζων αὐτὸν, κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιτιθέμενος αὐτῷ. Διὸ καὶ ἡμεῖς τὰ αὐτὰ περὶ λαϊκῶν διοριζόμενοι, περὶ ἐπισκόπων, διακόνων, καὶ ἱερέων φανταζομένων κατὰ σατανικὴν καὶ μόνον ἐπήρειαν, τὸν αὐτὸν τύπον κρατεῖν οὐ διαγινώσκομεν· ἐπιζυγωθῆναι δὲ μᾶλλον αὐτοῖς τὴν τῆς ἱεροτελεστίας ἐνέργειαν κατὰ μόνην τὴν ἡμέραν τῆς ὀνειρώξεως ψηφιζόμεθα, διὰ τὸ τῆς ἱερωσύνης σεβάσμιον· εἰ μὴ τυχὸν κινδυνώδης ἐστὶν ἡ ὑπέρθεσις, ἢ διὰ τὸ τῆς ἡμέρας περιφανέστατον, ἢ διὰ τὸ τοῦ πράγματος χρησιμώτατον· τηνικαῦτα (4) γὰρ συντριβείη μὲν ἡ παγὶς τοῦ ἐπηρεαστοῦ, ὑψωθείη δὲ τῆς ἱερουργίας ἡ δύναμις.

(1) περίκειται Χ. XCVII. — (2) Λευϊτ. ΚΑ', 23. — (3) Χ. XCVII. — (4) Χ. XCVII. — τῇ νυκτὶ γὰρ Λεύγκλ.

τὴν φλεβοτομίαν κατεπείγει θανάσιμον νόσημα, διὰ τὴν σωτηρίαν τοῦ κάμνοντος τελεσθήσεται.

### Ἐρώτησις ΙΓ'.

Ἐὰν ἐμέσῃ τις μετὰ τὴν ἁγίαν μετάληψιν, κατὰ ποίαν διορθωθείη παράδοσιν;

### Ἀπόκρισις.

Ὁ μὲν φυλάττων, φησὶν, ὁσίως τὰ ὅσια, ὁσιωθήσεται καὶ ἁγιασθήσεται· ὁ δὲ προδιδοὺς τὴν χάριν, βεβηλωθήσεται. Εἰ γοῦν ἐξ ἀκρασίας ὠλίσθησεν εἰς τὸν ἔμετον ὁ τῶν θείων ἁγιασμάτων μεταλαβὼν, μετὰ σφοδροτέρων ἐπιτιμίων διορθωθήσεται· εἰ δὲ διὰ συμπεσόντος τυχαίως ἀῤῥωστήματος κάκωσιν, κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν μετριωτέρως ἐπιτιμηθήσεται· καὶ τοῦτο γὰρ ἔργον ἐστὶν ἐγκαταλείψεως.

### Ἐρώτησις ΙΔ'.

Ἀκινδύνως ἐν πλοίῳ, ἢ ἐν ἀνιέρῳ οἰκίᾳ ἱερουργήσει τις, ἢ θεῖα τελέσει βαπτίσματα;

### Ἀπόκρισις.

Ὁ μὲν Θεὸς εἶπε διὰ Μωσέως πρὸς τὸν Ἰσραήλ· Ἐν Ἱεροσολύμοις καὶ οὐκ ἐν ἑτέρῳ τόπῳ τινὶ ἑορτάσεις Πάσχα Κυρίῳ τῷ Θεῷ σου(1)· ἐντεῦθεν καθαρῶς αἰνιττόμενος τοῦ Ἰουδαϊκοῦ πάσχα τὴν παντελῆ ἀπραξίαν, διὰ τὸ τοῦ τόπου μονώτατον. Ὁ δὲ νθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ ὁ πδ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, καθαιρέσει καθυποβάλλουσι τὸν ἐν εὐκτηρίῳ οἴκῳ θεῖον ἐκτελέσαντα βάπτισμα· διορίζονται γὰρ ἐν καθολικαῖς Ἐκκλησίαις τὰ βαπτίσματα γίνεσθαι. Ἀλλὰ καὶ ὁ λά. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ὁ ιβ'. κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, διατάττονται μετὰ ἐκχωρήσεως ἐπισκοπικῆς καὶ εἰς εὐκτηρίους οἴκους τελεῖσθαι βαπτίσματα. Ὁ μέντοι ἀοίδιμος βασιλεὺς κύριος Λέων ὁ σοφὸς, βλέπων τὴν ὀρθόδοξον πίστιν εὐθηνουμένην ὡς ἄμπελον, καὶ αὐξανομένην ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης τῶν ταύτης

(1) Δ'. Βασ. ΚΓ', 23.



Ἐκκλησιῶν, διωρίσατο ἐν δ'. καὶ ἐν ιέ. νεαρᾷ θεσμοθεσίᾳ αὐτοῦ, μὴ μόνον εἰς τὰς Ἐκκλησίας ἀλλὰ καὶ εἰς τοὺς εὐκτηρίους οἴκους ἀδιαστίκτως ἱεροτελεστίας καὶ βαπτίσματα γίνεσθαι. Διὸ κατὰ τὴν τούτων περίληψιν, ὁ μετὰ ἀντιμινσίου ἱερουργήσας, ἢ βαπτίσας εἰς εὐκτήριον οἶκον, μὴ ἱερωθέντα δι' ἐγκαινίων ἀνοιξίων, καὶ τοῦ συνήθους ἐνθρονισμοῦ, καὶ μέν τοι καὶ διὰ λειψάνων ἁγίων ἐνσοριασμοῦ, (ταῦτα γάρ εἰσι τῶν καθολικῶν Ἐκκλησιῶν ἀποθησαυρίσματα καὶ ὑψώματα) ἀλλ' εἰς εὐχὴν οἰκιακὴν ἀφορισθέντα πιστῶν, ἢ εἰς οἰκίσκον πλοιαρίου τινὸς ἀποταμιευθέντα Θεῷ, καὶ ἁγίαις εἰκόσι κοσμούμενον, οὐ προκριματισθείη ὡς παραβάτης κανόνων καὶ ἀδιάφορος. Οὕτω γὰρ καὶ οἱ μετὰ τῶν αὐτοκρατόρων ἑπόμενοι κληρικοὶ, εἰς πεδιάδας ἐρήμους ἱερουργεῖν δεδικαίωνται, κατὰ μόνον τὸ εἰς Ἐκκλησίαν ἀφορισθὲν βομβύκινον οἰκισκάριον.

### Ἐρώτησις ΙΕ'.

Ἀκινδύνως ἱερουργήσει τις ἢ συνεύξεται μετὰ αἱρετικῶν, Ἰακωβιτῶν δηλαδὴ καὶ Νεστοριανῶν, εἰς ἐκκλησίαν αὐτῶν, εἴτε μὴν καὶ ἡμετέραν; ἢ κοινῆς μετ' αὐτῶν μετάσχῃ τραπέζης; ἢ ποιήσει ἀνάδοχον ἐκ τοῦ ἁγίου βαπτίσματος; ἢ κατοιχομένων ποιήσει μνημόσυνα; ἢ μεταδώσει τῶν θείων ἁγιασμάτων αὐτοῖς; Ἡ στενοχωρία γὰρ τοῦ τόπου πολλὰ τοιαῦτα ποιεῖ, καὶ ζητῶ τὸ ποιητέον.

### Ἀπόκρισις.

Μὴ δότε τὰ ἅγια τοῖς κυσὶν, ὁ Κύριος καὶ Θεὸς ἡμῶν εἴρηκε, μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων(1). Διά τοι τοῦτο καὶ ὁ ξδ'. κανὼν τῶν θεοκηρύκων ἁγίων Ἀποστόλων φησίν· Εἴ τις κληρικὸς, ἢ λαϊκὸς εἰσέλθῃ εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω. Καὶ ὁ λγ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, ἀλλὰ μὴν καὶ ὁ ϛ'. καὶ ὁ λδ', ταῦτα φασὶ περὶ τοῦ μὴ* (2) συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς οἶκον Θεοῦ, ἐπιμένουσι τῇ αἱρέσει, ὅτι οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύχεσθαι, ὅτι οὐ δεῖ Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς

(1) Ματθ. Ζ', 6. — (2) Χ. XCVII. — ὁ μὴ, οὐ κεῖται παρὰ Λεύγκλ.

ψευδομάρτυρας, τουτέστιν αἱρετικούς, ἢ αὐτοὺς τοὺς προειρημένους αἱρετικοὺς γενομένους· οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν. Ἔστωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς. Διά τοι τοῦτο καὶ ἡμεῖς ψηφιζόμεθα, μὴ μόνον ἀφορισμῷ καὶ καθαιρέσει καθυποβάλλεσθαι τοὺς λαϊκούς τε καὶ κληρικούς, συνευχομένους ἐν Ἐκκλησίᾳ ὀρθοδόξων ἢ αἱρετικῶν, ἢ ὁπουδήποτε συνευχομένους(1) αὐτοῖς ἱερατικῶς, ἢ μὴν καὶ συνεσθίοντας, ἀλλὰ καὶ μειζόνως κολάζεσθαι, κατὰ τὴν τῶν ῥηθέντων θείων κανόνων περίληψιν· ἡ γὰρ στενοχωρία τῶν τόπων, καὶ ὁ τῶν αἱρετικῶν πληθυσμός, τῆς ὀρθοδόξου πίστεως οὐ μετήμειψε τὴν ἀκεραιότητα.

## *Ἐρώτησις Ις'.*

Αἰχμάλωτοι Λατῖνοι καὶ ἕτεροι παρουσιάζουσιν εἰς τὰς καθολικὰς Ἐκκλησίας ἡμῶν, καὶ ζητοῦσι μεταλαβεῖν τῶν θείων ἁγιασμάτων· εἰ γοῦν ἐκχωρητέον τοῦτό ἐστι, ζητοῦμεν μαθεῖν.

## *Ἀπόκρισις.*

Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, τὸ θεῖον ἔφησεν Εὐαγγέλιον, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει (2). Ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς ἐκκλησίας, τῆς Ῥώμης φαμὲν, τὸ ποτὲ* (3) περιώνυμον ἄθροισμα ἐκ τῆς τῶν ἑτέρων τεσσάρων ἁγίων πατριαρχῶν πνευματικῆς κοινωνίας, καὶ ἀπεσχοινίσθη πρὸς ἔθη καὶ δόγματα τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ὀρθοδόξων ἀλλότρια· διὰ γὰρ τοῦτο οὔτε ἐν ταῖς θείαις ἱεροτελεστίαις, κοινῆς τῶν πατριαρχικῶν ὀνομάτων ἀναφορᾶς ὁ πάπας ἠξίωται· οὐκ ὀφείλει γένος Λατινικὸν ἐκ χειρὸς ἱερατικῆς διὰ τῶν θείων καὶ ἀχράντων μυστηρίων ἁγιάζεσθαι, εἰ μὴ κατάθηται πρότερον ἀπέχεσθαι τῶν Λατινικῶν δογμάτων τε καὶ συνηθειῶν, καὶ κατὰ κανόνας κατηχηθῇ, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῇ.

## *Ἐρώτησις ΙΖ'.*

Ἡ τῶν θείων ἁγιασμάτων μετάληψις αὐθαίρετός ἐστι πᾶσι τοῖς μὴ κεκωλυμένοις μοναχοῖς κληρικοῖς τε καὶ λαϊκοῖς, ὥστε δύνασθαι τούτους καθ' ἑκάστην σχεδὸν δι' αὐτῆς ἁγιάζεσθαι, ἢ ὡς ὑπὸ στάθμης ζυγοστατεῖται τὸ δώρημα; Ἀλλὰ καὶ τοῖς τούτων ἐκκλησιάζουσιν ἀναγκαστική ἐστι τοῦ ἀγαθοῦ ἡ μετάληψις, ἢ προαιρετέα καὶ αὐτοκέλευστος;

(1) ἢ ὁπουδήποτε συγκοινωνοῦντας Χ. XCVII. — (2) Ματθ. ΙΒ', 30. — (3) Χ. XCVII. — ποτὲ, οὐ κεῖται παρὰ Λεύγκλ.



## *Ἀπόκρισις.*

Ὡς νενόμισται δίδοσθαι τοῖς ἀξίοις τὰ ἀξιώματα, οὕτω καὶ τοῖς ἁγίοις τὰ ἅγια. Ὅσοι γοῦν διὰ καθαρότητα βίου τῆς θείας μεταλήψεως τὴν ὁδὸν ἑαυτοῖς ἐξωμάλισαν, ἀπαρεμποδίστως δεχθήσονται· πάντως γὰρ οὐδὲ αὐτοὶ ταύτης ὡς τυχαίας κατατολμήσουσι, κατανοοῦντες τὸ ὕψος τῆς χάριτος, καὶ τοῦ μυστηρίου τὸ μέγεθος· ἀναγκαστικῶς δέ τινας τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων οὐ δέδοκται. Κἂν γάρ τινες τῷ ἀποστολικῷ Θ'. κανόνι χρησάμενοι, τῷ οὕτω λέγοντι, Πάντας τοὺς εἰσιόντας πιστοὺς καὶ τῶν Γραφῶν ἀκροωμένους, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ ἀφορίζεσθαι δεῖ, θέλουσι δὲ τοὺς ἐκκλησιάζοντας τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων καὶ ἄκοντας, ἀλλ' ἡμῖν οὕτω τὰ τοῦ κανόνος οὐκ ἐκλαμβάνεται. Ἐκκλησιάζειν μὲν γὰρ τοὺς πιστοὺς μέχρι τέλους τῆς θείας ἱεροτελεστίας, καὶ τῆς τελευταίας τοῦ ἱερουργοῦντος εὐχῆς, καὶ τοῦ ἀντιδώρου τῆς μεταλήψεως, ψηφιζόμεθα· καὶ τοῖς οὕτω μὴ ποιοῦσι τὴν ἐκ τοῦ κανόνος ἐπισείομεν ἀγανάκτησιν· μεταλαμβάνειν δὲ αὐτοὺς οὐκ ἀναγκάζομεν, διὰ τὴν τῆς συνειδήσεως βάσανον. Προσεκτέον οὖν, κατὰ τὴν τοῦ ῥηθέντος κανόνος περίληψιν, μὴ ἀσυντάκτως ἐκ τῆς ἱερουργίας ὑποχωρεῖν τοὺς ἐκκλησιάζοντας· ἀλλ' ἐπεὶ αὕτη ἔκ τε τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Νέας εἰς μίαν ταυτότητα μεγαλύνεται, καὶ μέχρι μὲν τῆς τῶν ἁγίων Εὐαγγελίων ἀνακηρύξεως, τῆς Δαυϊτικῆς κινύρας τὰ ψαλτῳδήματα τοῦ μυστηρίου τὴν δύναμιν ἁγιάζουσι· μετὰ δὲ ταύτην, τῆς ἀναιμάκτου θυσίας ἀνοίγονται τὰ προαύλια, ἐπιτρέποντα καὶ τοῖς ἀρχιερεῦσι τὸ μὲν ἐπωμάδιον ὠμοφόριον, τὸ εἰς τύπον τοῦ ἀμνοῦ καλλιτεχνηθὲν, ἀποτίθεσθαι, μεταχειρίζεσθαι δὲ τοῦ ἀληθοῦς καὶ ζωοποιοῦ ἀμνοῦ τὸ μυστήριον· εἰ μὲν οἱ ἐκκλησιάζοντες εὐθὺς μετὰ τὰ ἅγια Εὐαγγέλια αὐθαιρέτως ὑποχωρήσουσιν, οὐκ αἰτιαθήσονται· εἰ δὲ μετὰ τὴν καταρχὴν τῆς ἀναιμάκτου θυσίας καὶ μυστικῆς, ὡς ἄτακτοι καὶ σκανδαλισταὶ δικαίως ἀφορισθήσονται.

### Ἐρώτησις ΙΗ'.

Οἱ μετὰ τοῦ ἀρχιερέως ἢ μετὰ τοῦ ἱερέως συλλειτουργοῦντες διάκονοι, ἀπαραιτήτως μεταλαμβάνειν ὀφείλουσιν, ἢ οὔ;

### Ἀπόκρισις.

Ὁ η'. κανὼν τῶν ἁγίων Ἀποστόλων οὕτω φησίν· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γινομένης μὴ μεταλάβῃ, τὴν αἰτίαν εἰπάτω· καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω· εἰ δὲ μὴ λέγει, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γινόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ποιήσας κατὰ τοῦ προσενέγκαντος, ὡς μὴ ὑγιῶς προσενεγκόντος. Παρατηρητέον οὖν τοὺς ὑποδιακόνους, καὶ τοὺς διακόνους, καὶ μᾶλλον τοὺς χειραπτήσαντας, μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων, ἢ μὴν τὴν αἰτίαν λέγειν δι' ἣν τοῦ ἀγαθοῦ τούτου ἀπέστησαν· τοῦτο γὰρ μὴ ποιοῦντες, ἀφορισθήσονται κατὰ τὴν τοῦ ῥηθέντος κανόνος περίληψιν.

### Ἐρώτησις ΙΘ'.

Ἀκίνδυνόν ἐστι γίνεσθαι τὴν τῶν θείων ἁγιασμάτων διάδοσιν καὶ μετάληψιν μετὰ ψυχροῦ οἴνου καὶ ὕδατος; ἢ ἀπαραίτητόν ἐστι καὶ ζέον ὕδωρ κατὰ τὸν καιρὸν τῆς μεταλήψεως εἰς τὰ ἅγια βάλλεσθαι (1);

### Ἀπόκρισις.

Τοῦ λβ'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαιρέσει καθυποβάλλοντος τοὺς μὴ τελειοῦντας τὸ θεῖον καὶ ἅγιον ποτήριον ἐξ οἴνου καὶ ὕδατος, αἱρεσιῶταί τινες οὐκ ἀνέχονται βάλλειν ζέον εἰς τὸ ἅγιον καὶ θεῖον ποτήριον, ὅτι, φασί, τὰ περὶ τούτου τῷ κανόνι οὐ διελήφθησαν. Ἀκούουσι δὲ, ὅτι τὸ ζέον τῷ ἁγίῳ αἵματι προστιθέμενον, τὴν δι' ὕδατος καὶ οἴνου ἕνωσιν τοῦ ἁγίου ποτηρίου οὐκ ἀλλοιοῖ, ἐπεὶ μηδὲ ἕτερόν τι παρὰ τὸ ὕδωρ ἐστί· βάλλεται δὲ εἰς πληροφορίαν τοῦ εἶναι ζωοποιὰ τὰ ῥεύσαντα ἀπὸ τῆς ἁγίας πλευρᾶς τοῦ Κυρίου καὶ

(1) Χ. XCVII. — βάλλειν Λεύγκλ.



Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους αὐτοῦ, τὸ αἷμα δηλονότι καὶ τὸ ὕδωρ, *καὶ μὴ νεκρά· ἀπὸ γὰρ νεκροῦ σώματος μὴ καταῤῥέοντος τοῦ ζέοντος αἵματος, ἐκ τοῦ Κυριακοῦ σώματος καὶ μετὰ θάνατον αἷμα καὶ ὕδωρ * (1) ἐξέῤῥευσαν ζέοντα ὡς ἐκ ζωοποιοῦ τεθεωμένου σώματος ζωοποιά. Οἱ γοῦν μὴ ποιοῦντες οὕτω, καὶ τὸ τοῦ θαύματος κἀντεῦθεν μεγαλύνοντες μέγεθος, ἀλλὰ διὰ ψυχροῦ ὕδατος καὶ οἴνου τὴν τῶν θείων μυστηρίων ποιοῦντες μετάληψιν, οὐ πιστεύουσι καὶ μετὰ τὸν σωτήριον τοῦ Κυρίου θάνατον παρὰ τῷ ἁγίῳ σώματι αὐτοῦ τὴν θεότητα εἶναι, ἀλλὰ ἀποστῆναι ἐκ τούτου, καὶ εἶναι κατὰ τὰ ἡμέτερα σώματα· ὅπερ μεγάλης αἱρέσεώς ἐστι φλυάρημα. Ὁ γὰρ μέγας ἐν ἁγίοις Ἰωάννης ὁ Δαμασκηνὸς, Ἐν τάφῳ, φησί, σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, Ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Οἱ γοῦν μὴ διὰ ζέοντος ὕδατος τελειοῦντες τὸ θεῖον ποτήριον, ὡς αἱρεσιῶται, τῆς μερίδος τῶν ὀρθοδόξων ἐκκηρυχθήσονται.

### Ἐρώτησις Κ'. (2)

Ἐὰν δὲ ἐκ τοῦ ἁγίου ποτηρίου, ἢ τοῦ ἁγίου δίσκου χυθῇ τι κατὰ γῆς, ποίαν ὁ τηνικαῦτα ἱερουργῶν ἀγανάκτησιν ὑποστήσεται;

### Ἀπόκρισις.

Ἐπειδὴ ἄλλη δόξα ἐστὶν ἡλίου, καὶ ἄλλη σελήνης (3), καὶ τῶν κατὰ γῆν χυθέντων ἁγιασμάτων ἐστὶ διαφορά. Εἰ μὲν γὰρ πρὸ τοῦ Χερουβικοῦ ὕμνου, καὶ τῆς εἰς τὴν ἁγίαν τράπεζαν ἀποθέσεως τοῦ ἁγίου ποτηρίου καὶ τοῦ ἁγίου δίσκου συμβῇ τι τοιοῦτο παράπτωμα, ῥαθυμίας γενήσεται κατεξέτασις, καὶ διὰ μετρίου ἐπιτιμίου τὸ πρᾶγμα θεραπευθήσεται· πρὸ γὰρ τῆς τελευτῆς τῶν ἁγίων, καὶ τῆς δι' αὐτῶν τελειώσεως, τὸ πεσὸν, σῶμα καὶ αἷμα Κυριακὸν οὐ λογίζεται. Εἰ δὲ μετὰ τὴν ἁγια-

(1) Τὰ ἐντὸς τῶν * ἐκ τοῦ Χ. XCVII. — (2) Ἡ ἐρωταπόκρισις αὕτη καὶ ἡ ἑπομένη οὐ κεῖνται παρὰ Λεύγκλ., ἀλλ' ἐν Χ. XCVII ἀνέκδοτοι. — (3) α'. Κορ. ΙΕ', 41.

σμὸν, καὶ τὴν τελείωσιν τῶν θείων μυστηρίων συνέπεσε τὸ κακὸν, τὰ μὲν ἅγια μετὰ πάσης τιμῆς συναχθήσονται, καὶ ὁ τόπος, εἰς ὃν πεπτώκασι, διὰ πυρὸς καὶ ὕδατος σεβασθήσεται καὶ ἀλλοιωθήσεται· ὁ δὲ ὀλισθήσας ἐξετασθήσεται· [καὶ] εἰ μὲν ἐξ ἀμελείας αὐτοῦ συνέπεσε τὸ κακὸν, σφοδροτέροις ἐπιτιμίοις καὶ ἀλειτουργησίᾳ θεραπευθήσεται· εἰ δὲ κατὰ δαιμονικὴν συνδρομὴν, μετριωτέρως πως κολασθήσεται. Καὶ τὸ ἀκούσιον γὰρ ἁμάρτημα, θεραπείας ἀξιοῦται κανονικῆς, ἵνα μὴ δόξῃ κερδαίνειν ὁ πονηρὸς, εὐμεθόδως ὑποσυλῶν τοῦ ἱερουργοῦντος τὸ ἀκατάπαυστον.

### *Ἐρώτησις ΚΑ'.*

Ἔξεστιν ἀνιέρῳ μοναχῷ, ἢ καὶ ἱερωμένῳ, ἐξαγορείαν ἀνθρώπων δέχεσθαι οἰκειοθελῶς;

### *Ἀπόκρισις.*

Πρὸς τοὺς θεοκήρυκας θείους καὶ ἁγίους Ἀποστόλους εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστε τὸ ἅλας τοῦ κόσμου (1)· καὶ ὅσα δήσετε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα λύσετε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ (2). Διὸ καὶ παρὰ τῶν θείων καὶ ἁγίων Πατέρων ἡμῶν κεκανόνισται, διὰ τῶν ἐπισκόπων γίνεσθαι τῶν ἐξαγορειῶν τὰς καταλλαγὰς, τῶν λαχόντων τόπον ἀποστολικὸν ἀπὸ τοῦ Θεοῦ· ἱερωμένος δὲ μοναχὸς, ἢ πολλῷ πλέον ἀνίερος, παρὰ γνώμην ἐπισκόπου τῷ Θεῷ καταλλάσσειν οὐ δύναται τὸν ἐξαγορεύσαντα. Ὅσοι μέντοι ἱερωμένοι μοναχοὶ κατὰ προτροπὴν ἐπισκοπικὴν ἐξαγορείας ἀνθρώπων δέχονται, (ἀνιέρῳ δὲ μοναχῷ οὐδὲ χάρισμα ἐπισκοπικὸν δίδωσιν ἐξουσίαν καταλλαγῆς,) καὶ ἑαυτοὺς ἀκινδύνους διατηροῦσι, καὶ τοὺς ἐξαγορευομένους τῷ Θεῷ καταλλάσσουσιν, ὅτι φησὶν ὁ μγ'. Κανὼν τῆς ἐν Καρθαγένῃ (3) ταῦτα ῥητῶς περὶ τῶν μετανοούντων· Ὥστε τοῖς μετανοοῦσι, κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν, καὶ τὴν τῶν ἐπισκόπων κρίσιν, τῆς μετανοίας τὸν καιρὸν ψηφίζεσθαι· πρεσβύτερον δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου, μὴ καταλλάσσειν μετανοοῦντα, εἰ μὴ δι' ἀνάγκης συνωθούσης ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου. Καὶ ὁ

(1) Ματ. Ε', 13. — (2) Ματθ. ΙΗ', 18. — (3) ἐν τῷ Χ. κεῖται, Σαρδικῇ.



ζ'. κανὼν τῆς αὐτῆς συνόδου ταῦτά φησιν· Ἐάν τις ἐν κινδύνῳ καθεστὼς αἰτήσῃ ἑαυτὸν καταλλαγῆναι τοῖς ἱεροῖς θυσιαστηρίοις, ἐπισκόπου ἀπόντος, ὀφείλει εἰκότως ὁ πρεσβύτερος ἐρωτῆσαι τὸν ἐπίσκοπον, καὶ οὕτω τὸν ἐν κινδύνῳ καταλλάξαι κατὰ τὴν ἐκείνου παραγγελίαν.

### *Ἐρώτησις ΚΒ'.*

Λαϊκὸς ἱερεὺς μετὰ ἐπιτροπῆς ἐπισκοπικῆς καλῶς ἐξαγορείας ἀνθρώπων τινῶν ἀναδέξεται, ἢ οὔ;

### *Ἀπόκρισις.*

Οἱ θεῖοι κανόνες οἱ τοῖς ἱερεῦσι τὴν ἐξαγορείαν τῆς καταλλαγῆς μετὰ προτροπῆς ἐπισκοπικῆς ἀναθέμενοι, κατὰ πολὺ προγενέστεροι τοῦ ἁγίου Παχωμίου εἰσὶν, ἀξιωθέντος ἰδεῖν δι' ὀπτασίας ἀγγελικῆς τὸ σχῆμα τῶν μοναχῶν. Διὰ γὰρ τοῦτο οὐδὲ μέμνηνταί που μοναχῶν, ἀλλὰ πρεσβυτέρων ἁπλῶς. Κατὰ κρίσιν γοῦν ἐπισκοπικὴν τοῖς λαϊκοῖς ἱερεῦσιν ἐνδυνάμως ἐπιτραπήσεται τῆς ἐξαγορείας τὸ δίκαιον, καὶ διὰ ταύτης ἡ τῶν μετανοούντων καταλλαγή.

### *Ἐρώτησις ΚΓ'.*

Ἀπροκριματίστως μεταβαίνουσι μοναχοὶ ἐξ ὧν ἀπεκάρησαν μοναστηρίων πρὸς ἕτερα μοναστήρια, ἢ οὔ;

### *Ἀπόκρισις.*

Ἐὰν ὁ πρὸς ἄνθρωπον καταθέμενος τὴν οἰκείαν ὁμολογίαν, πληροῦν ἀναγκάζηται, πῶς ὁ πρὸς Θεὸν καταθέμενος οὐκ ἀναγκασθήσεται τὴν οἰκείαν μὴ (1) ἀθετῆσαι κατάθεσιν; Διά τοι τοῦτο καὶ κατὰ τὸν δ'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς λεγομένης α'. καὶ β', τὸν ταῦτα διεξιόντα ῥητῶς, Εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ οἴκημα, αὐτός τε (2) καὶ ὁ τοῦτον δεξάμενος ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς. Εἰ μέντοι γε ὁ ἐπίσκοπος, τινὰς τῶν μονα-

(1) Χ. XXIV. — ἄνευ τοῦ, οὐκ, καὶ τοῦ, μὴ, Λεύγκλ. — (2) Χ. XXIV. — ὡσαύτως τε, Λεύγκλ.

χῶν ἐπ' εὐλαβείᾳ, καὶ βίου σεμνότητι μαρτυρουμένους, εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς θελήσει μετακομίσαι, ἢ εἰς κοσμικὴν οἰκίαν ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστατῆσαι, τοῦτο (1) οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς ὑποδίκους ποιεῖ. Οἱ γοῦν δίχα προτροπῆς ἐπισκοπικῆς μεταβαίνοντες εἰς ἕτερα μοναστήρια ἐξ ὧν ἀπεκάρησαν, πολλῷ δὲ πλέον εἰς κοσμικὰς κατοικίας διατρίβοντες, καὶ οἱ δεχόμενοι τούτους, ἀφωρισμένοι καὶ ἀκοινώνητοι ἔσονται, μέχρις ἂν ὑποστρέψωσιν εἰς τὰ μοναστήρια ἐν οἷς τὰς συνθήκας δεδώκασιν.

## Ἐρώτησις ΚΔ'.

Ἔξεστιν εἰς διαφόρους Ἐκκλησίας κληρωθῆναί τινα, ἢ οὔ;

## Ἀπόκρισις.

Εἶπεν ἐν Εὐαγγελίοις ὁ Κύριος· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· τοῦ γὰρ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει (2). Ὅθεν καὶ ὁ ιέ. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ'. συνόδου ταῦτα κατὰ ῥῆμα διέξεισι· Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταταττέσθω ἐν δυσὶν Ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. Ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς Κυριακῆς ἁγίας φωνῆς, ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Ἕκαστος οὖν, κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν (3), καὶ προσεδρεύειν ἐν μιᾷ Ἐκκλησίᾳ· τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ Θεοῦ καθεστήκασι. Πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα· ἐξ αὐτῶν οὖν εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος ποριζέσθω. Ἔφη γὰρ ὁ Ἀπόστολος· Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται (4). Παρατηρητέον οὖν τὰ τοῦ θείου τούτου κανόνος συντηρεῖσθαι ἀπαρεγχείρητα· πολλὴ γὰρ γέγονεν αὐτοῦ καταφρόνησις.

(1) Χ. XXIV. — τούτων Λεῦγκλ. — (2) Ματθ. ϛ', 24. Λουκ. ις', 13. — (3) α', Κορ. Ζ', 24.



## Ἐρώτησις ΚΕ'.

Ἀρχαῖον ἔθος εἰς τὴν τῶν Ἀλεξανδρέων ἐκράτησε χώραν, τοὺς τελευτῶντας ἱερεῖς καὶ ἀρχιερεῖς διὰ ἁγίου μύρου χρίεσθαι, καὶ ἐνταφιάζεσθαι· καὶ ζητοῦμεν μαθεῖν, εἰ ἀπροκριμάτιστον τοῦτο ἐστίν.

## Ἀπόκρισις.

Εὐαγγελικόν ἐστι παράγγελμα, ἅπαξ βαπτίζεσθαι τοὺς πιστεύσαντας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Διά τοι τοῦτο καὶ ὁ μζ'. κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα φησίν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν, καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Καὶ ὁ ιή. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ταῦτα διέξεισιν· Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ δίδωται, μηδὲ βάπτισμα. Οἱ γοῦν διὰ μύρου χρίοντες τοὺς τελευτῶντας ἱερεῖς, καὶ ἀρχιερεῖς, ἢ ἑτέρους τινὰς, καὶ οὕτως ἐνταφιάζοντες, μεγάλης εἰσὶ κολάσεως ἄξιοι, ἢ ὡς καταγινώσκοντες τῶν βαπτισάντων ὀρθοδόξων αὐτοὺς, ἢ ὡς μὴ πληροφορίαν ἔχοντες ἐντελῆ τοῖς ὀρθοδόξοις εἶναι τούτους κοινωνοὺς, καὶ πρὸ κατακρίσεως κατακρίνοντες.

## Ἐρώτησις ΚϚ'.

Λελωβημένος, ἢ ἑτερόφθαλμος ἀξιωθείη βαθμοῦ ἱερατικοῦ; ἢ ὁ μετὰ τὴν ἱερωσύνην καταπαθὴς γεγονὼς, ἐσεῖται καὶ μετὰ τὸ πάθος ἱερουργῶν, ἢ οὔ;

## Ἀπόκρισις.

Καὶ ἄλλοτε εἴπομεν ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου τοὺς τοιούτους εἰς ἱερωσύνην μὴ προβιβάζεσθαι. Ὁ δὲ οζ'. κανὼν τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων ταῦτα φησίν· Εἴ τις ἀνάπηρος εἴη τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δὲ ἐστιν ἐπισκοπῆς, γινέσθω· οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός. Καὶ ὁ οή. κανὼν τῶν αὐτῶν ἁγίων Ἀποστόλων

οὕτω διέξεισι· Κωφὸς καὶ τυφλὸς μὴ γινέσθω ἐπίσκοπος· οὐχ ὡς μεμιασμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιντο. Ὅσοι τοίνυν ἐκ πάθους ἀῤῥωστημάτων τινῶν ἱερατικῶν βαθμῶν ἐνεργεῖν κεκώλυνται δίκαια, χειροτονίας οὐκ ἀξιωθήσονται. Οἱ δὲ μετὰ τὴν χειροτονίαν οὕτω παθόντες κακῶς, οὐκ ἐμποδίζονται διὰ τὴν νόσον ἱερουργεῖν, καὶ οὕτως ἀῤῥώστως ἔχοντες, ἀκωλύτως ἱερουργήσουσι. Τοῖς γὰρ Θεοκήρυξιν ἔδοξε, διὰ λώβην σώματος τῆς ἱερωσύνης(1) τινὰ μὴ κωλύεσθαι. Εἰ δὲ τῆς ἱερατείας τὸ σπούδασμα ἐμποδίζει τῆς νόσου τὸ ὄφλημα, τῆς ἐνεργείας παυθήσεται ὁ νοσῶν, τοῦ δὲ ἀξιώματος οὐκ ἀλλοτριωθήσεται· ἀλλὰ μᾶλλον οἰκτειρηθήσεται, καὶ ἀπολαύσει μὲν τῆς προτέρας τιμῆς, ἕξει δὲ καὶ τὰ πρὸς ζωάρκειαν, καὶ τὰ λοιπὰ, κατὰ τὴν προτέραν συνήθειαν.

### *Ἐρώτησις ΚΖ'.*

Ἀκινδύνως γίνεται ἱερεὺς, ἢ διάκονος καταλλάκτης, ἢ κομμερκιάριος, ἢ ἰατρὸς, ἢ ἀστρολόγος, ἢ οὔ;

### *Ἀπόκρισις.*

Ὁ ϛ'. κανὼν τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων ταῦτα φησίν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μὴ, καθαιρείσθω (2). Καὶ ὁ πά. κανὼν εἶπεν, ὅτι οὐ χρὴ ἐπίσκοπον, ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις. Ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω· Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν Κυριακὴν παραγγελίαν (3). Καὶ ὁ ϛ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου διορίζεται, ἀπὸ ἀτίμου ἢ αἰσχροῦ πράγματος τοὺς ἱερωμένους τροφὴν μὴ πορίζεσθαι. Καὶ ὁ ι. κανὼν τῆς αὐτῆς συνόδου, πρὸς διδασκαλίας παίδων καὶ ἀνάγνωσιν Γραφῶν ἑτοίμους εἶναι τοὺς κληρικοὺς διορίζεται, καὶ μὴ κοσμικαῖς καὶ βιωτικαῖς φροντί-

(1) Χ. XXIV. — τῆς ἱερουργίας, Λεύγκλ. — (2) Χ. XXIV. — παρὰ δὲ Λεύγκλ. ἀναγινώσκεται καὶ ἐνταῦθα τὸ, οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, ὅπερ τῷ κατωτέρῳ πά. κανόνι τῶν ἁγίων Ἀποστόλων ἀνήκει. — (3) Ματθ'. ϛ', 24. Λουκ. ιϛ', 13.



σιν ἐνασχολεῖσθαι. Ἔτι δὲ καὶ πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως Κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, ἐξενεχθὲν μὲν κατὰ μῆνα Νοέμβριον, ἐπινεμήσεως ιέ. ἐπὶ ὑπομνήσει τινῶν κληρικῶν καταλλακτῶν, καταστρωθὲν δὲ ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν, κατὰ μῆνα Ἰανουάριον(1), ἐπινεμήσεως ιέ, καὶ ταῦτα ῥητῶς παρακελευόμενον· Ὅσοις περιῆλθον ἐξ ἀγορασίας τὰ τοιαῦτα καταλλακτικὰ τραπεζοτόπια δίδωσιν ἄδειαν ἡ βασιλεία μου ἐναλλαγῆναι ταῦτα εἰς ἅπερ ἂν εὑρήσητε ἀξιόλογα καὶ Ῥωμαϊκὰ πρόσωπα· ὑμᾶς γὰρ ἱερωμένους ὄντας τὴν τοιαύτην ἐπιστήμην μετέρχεσθαι οὐκ ἐνδέχεται, ὅτι οὐδὲ δυνατὸν ἀναστέλλεσθαι διὰ προσήκοντος σωφρονισμοῦ, ὁπηνίκα τι ποιεῖτε παρὰ τὸν ἐπαρχικὸν ὁρισμὸν, διὰ τὸ εἶναι ἱερωμένους. Ὅσοι οὖν ἐξ ὑμῶν ἐξ ἀγορασίας, ὡς εἴρηται, ταῦτα κέκτησθε, προσκομισάτωσαν ἀξιόλογα πρόσωπα τῷ ἐπάρχῳ, καὶ ἵνα δέξηται αὐτὰ, καὶ σφραγίσῃ τραπεζίτας ἀντ' αὐτῶν, κατὰ δωρεὰν, καὶ ἄνευ συνηθείας καὶ δόσεως οἱασδήτινος. Ὁ μέντοι λϛ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ταῦτα φησίν· Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἅτινά εἰσι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν, τοὺς δὲ φοροῦντας, ῥίπτεσθαι ἐκ τῆς ἐκκλησίας ἐκελεύσαμεν. Καὶ τὸ κδ'. κεφάλαιον τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου ταῦτα διέξεισιν· Ἡ μὲν γεωμετρικὴ δημοσίᾳ διδάσκεται, ἡ δὲ μαθηματικὴ κατακρίνεται. Καὶ ὁ παλαιός φησι, Μαθηματικὴν εἶπε τὴν ἀστρονομίαν. Οἱ γοῦν τολμήσαντες κληρικοὶ, πολλῷ δὲ πλέον οἱ τοῦ βήματος, δημοσιακῶν δουλειῶν ἐνεργείας ἀναδέξασθαι, ἢ συστηματικῶν πολιτείαν καὶ μεταχείρησιν ἐμπορεύεσθαι, καταλλάκται τυχὸν γινόμενοι, ἢ πρανδιοπράται, ἢ οἰνοπράται, καὶ αὐτοὶ δὲ οἱ ἀστρονόμοι, παρεγγυηθήσονται τῶν ἀκανονίστων τούτων ἐπιτηδευμάτων ἀπέχεσθαι· καὶ μὴ πειθόμενοι, καθαιρέσει καθυποβληθήσονται. Ἡ δὲ τέχνη τῶν ἰατρῶν, κἂν ὁρίζηται παρὰ τῶν σοφῶν ὑγείας εἶναι περιποιητικὴ, ἀλλ' οὐκ ἐξ ἀνάγκης γίνεται τοῦτο· σφαλεραὶ γάρ εἰσιν αἱ τῶν ἀνθρώπων ἐπίνοιαι, καὶ τῶν πολλῶν αἱ

(1) Χ. XXIV. — Νοέμβριον, Λεύγκλ.

διαγνώσεις δειλαί, κατὰ τὸ παλαιὸν γνωμοδότημα. Ἱνατί γοῦν ἀποσταίη ὁ κληρικὸς, πολλῷ δὲ πλέον ὁ ἱερεὺς, καὶ ὁ διάκονος, τῆς ἀπονεμηθείσης αὐτῷ διακονίας, τῆς ἀμέμπτου καὶ ἀσφαλοῦς, καὶ εἰς σφαλερὰν καὶ ἀμφίβολον πολλάκις καὶ ἐπικίνδυνον ἑαυτὸν ἐπιῤῥίψει;

*Ἐρώτησις ΚΗ'.*

Μονοθελήτης ἱερατικὸν ἔχων ἐπάγγελμα, διὰ μετανοίας ὑπέστρεψεν εἰς τὴν καθ' ἡμᾶς ὀρθόδοξον πίστιν, καὶ ἐδέχθη, καὶ ἡγιάσθη· μετὰ μικρὸν δὲ στραφεὶς εἰς τὸν ἴδιον ἔμετον, αἱρεσιώτης, ὡς πρότερον, γέγονεν· ἀλλ' αὖθις, ὡς λέγει, καθ' ἑαυτὸν γεγονὼς, καὶ τὸ ἁμάρτημα συνεὶς, εἰς τὴν ὀρθόδοξον πίστιν κατέφυγε, καὶ ἐδέχθη, κατὰ τὸν καλῶς ὑποστρέψαντα ἄσωτον· ἐπεὶ δὲ θέλει καὶ ἱερωσύνης ἀξιωθῆναι, ζητοῦμεν τὸ ποιητέον μαθεῖν.

*Ἀπόκρισις.*

Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὸ ἱερόν φησιν Εὐαγγέλιον(1). Διὸ κατὰ τὸν ιδ'. κανόνα τῆς ἐν Νικαίᾳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τάδε κατὰ ῥῆμα διαλαμβάνοντα, Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων, ἀρκεῖ τῷ οὕτω κακῶς ὀλισθήσαντι, καὶ τῇδε κἀκεῖσε μεταῤῥιπιζομένῳ, δεχθῆναι κατὰ τὴν τοῦ κανόνος περίληψιν· ἱερατείας γὰρ οὐκ ἀξιωθήσεται.

*Ἐρώτησις ΚΘ'.*

Ἀκινδύνως ἐπίσκοποι, μοναχοί τε, καὶ κληρικοὶ γίνονται φροντισταὶ δημοσίων ὀφφικίων καὶ δουλειῶν, καὶ κηδεμόνες πραγμάτων ἀρχοντικῶν, ἢ οὔ;

*Ἀπόκρισις.*

Οἱ ἐν Χαλκηδόνι συνελθόντες ἑξακόσιοι τριάκοντα ἅγιοι Πατέρες, καὶ τὴν ἁγίαν τετάρτην σύνοδον οὐρανώσαντες, ἐν ζ'. κανόνι αὐτῶν τάδε ῥητῶς περὶ τούτων ἐκαλλιγράφησαν· Τοὺς

(1) Λουκ. Θ', 62.



ἅπαξ ἐν κλήρῳ τεταγμένους καὶ μοναστὰς ὡρίσαμεν, μήτε ἐπὶ στρατείας, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ, τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. Καὶ ὁ πγ'. κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα διέξεισιν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, ῥωμαϊκὴν ἀρχὴν, καὶ ἱερατικὴν διακονίαν, καθαιρείσθω· Τὰ γὰρ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Γενήσεται οὖν ἐπὶ τοῖς οὕτω καλῶς πολιτευομένοις μοναχοῖς τε καὶ λοιποῖς τὰ ἐν τοῖς τοιούτοις κανόσι διωρισμένα.

*Ἐρώτησις Λ'.*

Ὁμόζυγοι κατὰ κοινὴν τάχα ψυχωφελῆ θέλησιν καὶ ἀρέσκειαν τὸν μονήρη βίον ἐπελέξαντο· ὅτι δὲ καὶ αὖθις ἐν μιᾷ κατοικίᾳ διάγουσιν, ὁμοδίαιτοι πάντως ὄντες καὶ ὁμοτράπεζοι, ζητῶ τὸ ποιητέον ἐπὶ τούτοις μαθεῖν.

*Ἀπόκρισις.*

Οἱ θεῖοι κανόνες τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς λεγομένης α'. καὶ β', διορίζονται κατὰ τὸ ἀπαραίτητον εἰς μοναστήρια τὰς ἀποκάρσεις γίνεσθαι, καὶ ὑπὸ ἀναδόχων τὰς συνθήκας τῶν ἀποκειρομένων δέχεσθαι. Οἱ γοῦν μὴ διάγοντες εἰς τὰ μοναστήρια, εἰς ἃ μετεσχηματίσθησαν καὶ ἀπεκάρησαν, ἀλλ' εἰς κοσμικὰ καταγώγια, καταναγκασθήσονται παρὰ τοῦ ἐγχωρίου ἐπισκόπου μετὰ ἀφορισμοῦ, καὶ δριμυτάτων ἐπιτιμίων, ὑποστρέψαι καλῶς ὅθεν ἐξῆλθον κακῶς.

*Ἐρώτησις ΛΑ'.*

Οἱ χειροτονοῦντες ἀρχιερεῖς διακόνους, καὶ ἱερεῖς, ἀλλὰ μὴν καὶ οἱ διὰ τοῦ θείου βαπτίσματος παῖδας ὀρθοδόξων ἁγιάζοντες, ἢ καί τινας αἱρετικοὺς, ὡσαύτως καὶ οἱ μεταδιδόντες τισὶ τῶν θείων ἁγιασμάτων, ἐὰν ἀπαιτῶσιν ἐξ αὐτῶν χάριν κόπου τούτων ποσότητάς τινας νομισματικὰς, καλῶς ποιοῦσιν, ἢ οὔ;

### *Ἀπόκρισις.*

Οἱ στρατιῶται, φησὶν, ἰδίοις ὀψωνίοις οὐκ ἀνατρέφονται(1). Καὶ διὰ Μωσέως εἶπεν ὁ Θεός· Οὐ φιμώσεις βοῦν ἀλοῶντα(2). Εἰ γοῦν διὰ μετρίας τινὸς δόσεως, καὶ τῇ προαιρέσει τοῦ χειροτονουμένου, ἢ ἄλλως ἁγιαζομένου, παρηγορηθῆναι ζητοῦσιν οἱ χειροτονοῦντες ἢ βαπτίζοντες ἱερεῖς τε καὶ ἀρχιερεῖς, οὐδέν τι ποιοῦσι κακόν· νενόμισται γὰρ διὰ συνήθειαν παρηγορεῖσθαι τοὺς χειροτονοῦντας. Εἰ δὲ τοιαύτας μὲν συνήθεις εὐλογίας οὐ ζητοῦσιν, ἀλλὰ δόματα σθεναρὰ καὶ τὴν ἰσχὺν τοῦ χειροτονουμένου στενοχωροῦντα, οὐ μόνον οὐκ εἰσακουσθήσονται, ἀλλὰ καὶ καθαιρέσει ὑποβληθήσονται. Φησὶ γὰρ ὁ Β'. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς Δ'. συνόδου· Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσοι, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ χωρεπίσκοπον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ κατηριθμημένων, ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ προσμονάριον, ἢ ἄλλως τινὰ τοῦ κανόνος δι' αἰσχροκέρδειαν, ὁ τούτῳ ἐπιχειρήσας, ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς, ἢ καὶ μονάζων, ἀναθεματιζέσθω. Καὶ ὁ κγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου ταῦτα διέξεισι· Περὶ τοῦ μηδένα ἐπίσκοπον, εἴτε πρεσβύτερον, εἴτε διάκονον, τῆς ἀχράντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολὸν, ἢ εἶδος τὸ οἱονοῦν· οὐδὲ γὰρ πεπραμένη ἐστὶν ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ Πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως μεταδοτέον. Εἰ δὲ φανείη τις τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων ἀπαιτῶν, ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας, τὸ οἱο-

(1) α', Κορ. Θ', 7. — (2) Δευτ. ΚΒ', 4.



νοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς τοῦ Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

### *Ἐρώτησις ΛΒ'.*

Οἱ κατ' ἐπίγνωσιν ἀληθῆ πρὸς τὴν ὀρθόδοξον πίστιν ἐρχόμενοι, Νεστοριανοὶ δηλονότι, Ἀρμένιοι, Ἰακωβῖται, καὶ ἕτεροι αἱρεσιῶται, διὰ μόνου τοῦ ἁγίου μύρου ὀφείλουσι τελειοῦσθαι, ἢ καὶ διὰ θείου βαπτίσματος;

### *Ἀπόκρισις.*

Ὁ ϟε'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἀκολουθήσας τῷ ζ'. κανόνι τῆς ἁγίας καὶ οἰκουμενικῆς Β'. συνόδου, τάδε κατὰ ῥῆμα διαλαμβάνει· Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν· Ἀρειανοὺς μὲν, καὶ Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας, ἤτοι Τετραδίτας, ἤγουν Ἀπολλιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, σφραγιζομένους, ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό, τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Περὶ δὲ τῶν παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς, τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, καὶ τὴν δευτέραν, κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν(1), μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα, καὶ οὕτω κα-

(1) Χ. XXIV. — ἐξορκιζομένους Λεῦγκλ.

τηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν. Καὶ τοὺς Μαχναΐους δὲ, καὶ τοὺς Οὐαλεντινιανοὺς, καὶ τοὺς Μαρκιωνιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων *προσερχομένους, ὡς Ἕλληνας δεχόμενοι, ἀναβαπτίζομεν· Νεστοριανοὺς δὲ, καὶ Εὐτυχιανιστὰς καὶ Σεβηριανοὺς καὶ ἐκ τῶν ὁμοίων αἱρέσεων* (1) χρὴ ποιεῖν λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν· καὶ Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας τὰς προαναφερομένας(2) αἱρέσεις, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας. Κατὰ γοῦν τὴν τοῦ τοιούτου κανόνος περίληψιν, οἱ μὲν τῶν αἱρεσιωτῶν διὰ βαπτίσματος ἁγιάζονται, οἱ δὲ διὰ μόνον τοῦ ἁγίου μύρου τελειοῦνται.

## *Ἐρώτησις ΛΓ'.*

Ἐὰν αἱρετικὸς ἱερεὺς, ἢ διάκονος ἀξιωθῇ τοῦ θείου καὶ ἁγίου βαπτίσματος, ἢ τοῦ διὰ τοῦ ἁγίου μύρου ἁγιασμοῦ (3), ἔσεται ἱερουργῶν μετὰ τῆς προτέρας χειροτονίας αὐτοῦ, ἢ ἑτέρας ἀξιωθείη χειροτονίας, ἐὰν θελήσῃ ἱερουργεῖν;

### *Ἀπόκρισις.*

Ὁ τῶν ἁγίων Ἀποστόλων π'. κανὼν, τοὺς ἐξ ἐθνικοῦ βίου προσελθόντας τῇ ὀρθοδόξῳ πίστει καὶ βαπτισθέντας, καὶ ἐπισκοπικοῦ ἀξιώματος καταξιοῦσθαι διορίζεται· τῆς γοῦν προτέρας ἱερωσύνης, μιαρωσύνης νομιζομένης, καὶ ὡς μὴ γινομένης λογιζομένης, ἐὰν μετὰ τῆς κανονικῆς ἀκριβείας ἀνακρινόμενος ὁ οὕτως ὀρθοδοξήσας, καὶ ὤν ποτε βέβηλος ἱερεὺς, περὶ τοῦ ὑστέρου αὐτοῦ βίου ἀκατάκριτος ἀναφανείη, ἀξιωθείη οὐ μόνον ἱερατικοῦ ἀξιώματος, ἀλλὰ καὶ ἐπισκοπικοῦ, διὰ τῶν συνήθων πάντως βαθμῶν εἰς τὸ διδασκαλικὸν ὕψος ἀναγόμενος.

## *Ἐρώτησις ΛΔ'.*

Ἐὰν τοῦ προσελθόντος τῇ πίστει τῶν ὀρθοδόξων αἱρετικοῦ

(1) τὰ ἐν παρενθέσει οὐ κεῖται παρὰ Λεϋγκλ. ἀλλ' ἐν Σ. 'Ρ. — (2) Χ. XXIV. — πάσας τὰς προσαναφυομένας Λεϋγκλ. — (3) Χ. XXIV. — ἢ διὰ τοῦ ἁγίου μύρου ἁγιασθῇ Λεϋγκλ.



ἡ γυνὴ, καὶ οἱ παῖδες, ἢ καὶ ἕτεροι τούτῳ συνέστιοι καὶ συγκάτοικοι, οὐκ ὀρθοδοξήσωσιν, ἀλλ' ἐξέχωνται τῆς προτέρας αἱρέσεως, οὐ κωλυθήσεται ὁ τελειωθεὶς, ὡς εἴρηται, διὰ τοῦ βαπτίσματος, εἰς ἱερατικὸν βαθμὸν ἢ ἐπισκοπικὸν ἀνελθεῖν; ἢ διὰ τὴν ἐκείνων κακίαν καὶ αὐτὸς τοσούτου ἀγαθοῦ ἀποστερηθῇ;

### *Ἀπόκρισις.*

Ὁ μὲν λς'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, φησὶν, Ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον μὴ χειροτονεῖσθαι, πρὶν πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν ὀρθοδόξους Χριστιανοὺς ποιήσωσιν. Ὁ δὲ ξ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου διορίζεται ἐν μέρει ταῦτα ῥητῶς· Εἰ δέ τινες ετι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὔπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν· εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος, τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἑλόμενος· εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος συνοικεῖν τῇ πιστῇ, μὴ χωριζέσθω, κατὰ τὸν θεῖον Ἀπόστολον· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, ἢ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί(1). Τὴν ἀναφαινομένην οὖν ἐναντιότητα τῶν δύο τούτων κανόνων κανονικῶς λύοντες, λέγομεν ὅτι, ὁ μὲν ἐκ γενετῆς ὢν ὀρθόδοξος, μετὰ γυναικὸς αἱρετικῆς συναφθεὶς οὐκ ἀξιωθείη κληρώσεως, εἰ μὴ καὶ τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ ποιήσει ὀρθοδόξους Χριστιανούς· ὅτι καὶ τῆς ἐκκλησιαστικῆς κεχωρισμένος ἐστὶ συνάξεως, ὡς τῇ τοῦ Χριστοῦ μερίδι συμπλέξας κλῆρον ἁμαρτωλόν. Ὁ δὲ αἱρεσιώτης ὢν ἐκ σπαργάνων αὐτῶν, ἐὰν τὴν ὀρθόδοξον πίστιν προέληται, δικαίως, ἐὰν ἀπό τινος ἑτέρου λόγου οὐκ ἐμποδίζηται, χειροτονίας ἀξιωθείη ἱερατικῆς. Τί γὰρ, φησὶν, οἶδας, ὁ μέγας Ἀπόστολος, ἐὰν ὁ πιστὸς μεταγάγῃ τὴν ἄπιστον σύζυγον αὐτοῦ πρὸς τὴν πίστιν(2); Καλῶς οὖν ὁ εἰς τὴν ὀρθόδοξον πίστιν ἐλθὼν ἀπὸ θρησκείας αἱρετικῶν κατὰ κανόνας ἀξιωθείη ἀξιώματος ἱερατικοῦ, κἂν μὴ ὀρθοδοξήσωσιν ἡ γυνὴ καὶ τὰ τέκνα αὐτοῦ.

(1) α', Κορ. Ζ', 14. — (2) αὐτόθι, 16.

### Ἐρώτησις ΛΕ'.

Ἀπροκριμάτιστόν ἐστι τελεῖσθαι τέκνων ἀναδοχὰς διὰ Λατίνων, Ἀρμενίων, Μονοθελητῶν, Νεστοριανῶν, καὶ λοιπῶν τοιούτων, ἢ μᾶλλον μισητὸν καὶ ἀποτρόπαιον;

### Ἀπόκρισις.

Τὸ β'. θέμα (1) τοῦ ιη'. κεφαλαίου τοῦ α'. τίτλου τοῦ α'. βιβλίου τῶν βασιλικῶν, Αἱρετικὸς, φησὶν, ἐστὶ, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως. Ἐπεὶ γοῦν πάντες οἱ ἀπαριθμηθέντες εἰς τὴν παροῦσαν ἐρώτησιν, οὐ διὰ μικρόν τι (2) ἀλλὰ διὰ πλάτος μέγα καὶ δυσδιεξίτητον ἐκ τῆς τῶν ὀρθοδόξων Ἐκκλησίας ἀπεξενώθησαν, πάντως οὐδὲ χάριν ἀναδοχῆς παίδων πνευματικῶν, μεσιτευομένης δι' ἁγίων εὐχῶν καὶ ἁγιασμάτων πολλῶν, ἡμῖν συγκοινωνήσουσιν· ἵνα μὴ καὶ αὐτοὶ ἀκοινωνησίᾳ κατακριθῶμεν κατὰ τὸν κανόνα, τὸν λέγοντα· Ὁ κοινωνῶν ἀκοινωνήτῳ, καὶ αὐτὸς ἀκοινώνητος ἐστίν.

### Ἐρώτησις Λϛ'.

Ὀρθόδοξοι γυναῖκες συνάπτονται τάχα γαμικῶς μετὰ Σαρακηνῶν, ἢ καὶ αἱρεσιωτῶν, καὶ θέλουσιν, ὡς ὀρθοδοξοῦσαι, καθὼς διενίστανται, μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων. Ζητοῦμεν οὖν τὸ ποιητέον μαθεῖν.

### Ἀπόκρισις.

Ὁ οβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου ταῦτα φησί· Μὴ ἐξεῖναι ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικὶ, μήτε αἱρετικῷ ἀνδρὶ ὀρθόδοξον γυναῖκα συζεύγνυσθαι· ἀλλ' εἰ καὶ φανῇ τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ τὸν λύκον συμπλέκεσθαι καὶ τῇ τοῦ Χριστοῦ ποίμνῃ τὸν τῶν ἁμαρτωλῶν κλῆρον· εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Ἡ γοῦν διὰ τὴν ἄθεσμον ταύτην κοινωνίαν μετὰ αἱρετικοῦ ἀφωρισμένη οὖσα καὶ ἀκοινώνητος, πῶς τῶν θείων ἁγιασμά-

(1) Χ. XXIV. — θέσπισμα, Λεύγκλ. —(2) Χ. XXIV. — διὰ μικρὸν, Λεύγκλ.



των ἀξιωθείη; πάντως οὐδαμοῦ, εἰ μὴ ἀποστῇ τοῦ κακοῦ, καὶ κανονικοῖς ἐπιτιμίοις διορθωθῇ.

### Ἐρώτησις ΛΖ'.

Τινὲς γυναικείων μοναστηρίων προεστῶσαι ζητοῦσιν ἐκχώρησιν ἐπισκοπικὴν χάριν τοῦ δέχεσθαι λογισμοὺς τῶν ὑπ' αὐτὰς μοναστριῶν (1). Ζητοῦμεν οὖν, εἰ ἔστιν ἐνδεχόμενον τοῦτο γενέσθαι.

### Ἀπόκρισις.

Καὶ ἄλλοτε εἴπομεν, μόνοις τοῖς ἱερεῦσι μετὰ ἐπισκοπικῆς ἐκχωρήσεως δεδομένον εἶναι τὸ δέχεσθαι λογισμούς. Ἂν γοῦν οὐδὲ ἀνίερος καθηγούμενος μετὰ ἐπισκοπικῆς ἐκχωρήσεως δύναται δέχεσθαι λογισμοὺς, πολλῷ πλέον οὐκ ἐκχωρηθῇ τοῦτο παρὰ καθηγουμένης γίνεσθαι, κἂν ἡ ἀρετὴ αὐτῆς λάμπῃ ὑπὲρ τὸν ἥλιον.

### Ἐρώτησις ΛΗ'.

Οἱ θεῖοι κανόνες μέμνηνται διακονισσῶν· ζητοῦμεν οὖν μαθεῖν ποῖόν ἐστι τὸ τούτων λειτούργημα.

### Ἀπόκρισις.

Πάλαι ποτὲ καὶ τάγματα διακονισσῶν τοῖς κανόσιν ἐπεγινώσκετο, καὶ εἶχον καὶ αὗται βαθμὸν ἐν τῷ βήματι· ἡ δὲ τῶν ἐμμήνων κάκωσις τὴν ὑπηρεσίαν ταύτην ἐκ τοῦ θείου καὶ ἁγίου βήματος ἐξέωσε (2). Παρὰ δὲ τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τοῦ θρόνου τῶν Κωνσταντινουπολιτῶν διακόνισσαι προχειρίζονται, μίαν μὲν μετουσίαν μὴ ἔχουσαι ἐν τῷ βήματι, ἐκκλησιάζουσαι δὲ τὰ πολλὰ, καὶ τὴν γυναικωνῖτιν ἐκκλησιαστικῶς διορθοῦμεναι.

### Ἐρώτησις ΛΘ'.

Ὑποδιάκονος καὶ διάκονος δύναται νομίμως συναφθῆναι γυναικὶ, ἢ οὔ;

### Ἀπόκρισις.

Καὶ κανόνες, καὶ νόμοι διάφοροι κωλύουσι τοὺς ἱερωμένους συνάπτεσθαι γυναιξὶ μετὰ τὴν χειροτονίαν· τοῦ δὲ τοιούτου κανονικοῦ παραγγέλματος ἀθετουμένου, ὡς ἔοικεν, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος καὶ σοφώτατος κύριος Λέων, διὰ θεσπίσματος νεαροῦ τὸ κακὸν διωρθώσατο. Φησὶ γὰρ ἡ τρίτη νεαρὰ αὐτοῦ ἐν

(1) Χ. XXIV. — μοναχῶν Λεύγκλ. —(2) Χ. XXIV. — ἀπεξέωσε Λεύγκλ.

μέρει ταῦτα ῥητῶς· Κελεύομεν κατὰ τὸ ἄνωθεν καὶ ἀρχαῖον τῆς Ἐκκλησίας διάταγμα τὰς χειροτονίας προβαίνειν· οὐ γὰρ ἄξιόν ἐστι, μετὰ τὸ ἀνυψωθῆναι τῆς σωματικῆς ταπεινώσεως ὑπὸ τῆς πνευματικῆς ἀναβάσεως, τούτους πάλιν ἐπὶ τὴν σαρκικὴν ταπεινότητα καταπίπτειν· τοὐναντίον δὲ μᾶλλον χρὴ ὡς εἰς ἀνάβασιν ὑψηλὴν, τὴν θείαν λειτουργίαν, ἐκ τῆς σωματικῆς ταπεινότητος ἀναβαίνειν. Διὸ οὐδεὶς τῶν τοῦ βήματος μετὰ τὴν χειροτονίαν τολμηρῶς συζευχθείη κατὰ νόμον γάμου γυναικί· τοῦτο δὲ ποιήσας καθαιρεθήσεται· ἐξῆν γὰρ αὐτῷ πρὸ τῆς χειροτονίας ποιῆσαι τὸ μετὰ τὴν χειροτονίαν οὕτω κακῶς τολμηθέν.

### *Ἐρώτησις Μ'.*

Ἐκχωρητόν ἐστι τοὺς ἱερεῖς, ἡγουμένους ὄντας, ἢ πρωτοπαπάδας, καὶ τοὺς ἀρχιερεῖς, διὰ ἐπιμανίκων καὶ ἐπιγονατίων ἀποσεμνύνεσθαι, ἢ κεκώλυται;

### *Ἀπόκρισις.*

Ἡ τῶν ἐπιμανίκων καὶ τῶν ἐπιγονατίων ἱερωτάτη ἐνδυμενία μόνοις τοῖς ἀρχιερεῦσι πεφιλοτίμηται, ὡς τὸν τύπον ἐπέχουσι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κἀντεῦθεν καὶ ἁμαρτίας ἀφιᾶσιν ἀνθρώπων, καὶ ἄλλα ποιοῦσι χριστομιμήτως μείζονα, ὅσα τοῖς ἱερεῦσιν οὐκ ἐνεδόθησαν· διὸ, οὐδὲ τῆς τῶν ἐπιμανίκων οὐδὲ τῶν ἐπιγονατίων ἐνδυμενίας ἀξιωθήσονται· τὰ γὰρ ἐπιμάνικα, τύπος εἰσὶ τῶν χειροπεδῶν τῶν ἑλιχθεισῶν εἰς τὰς χεῖρας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε πρὸς τὸ ἑκούσιον πάθος ἠπείγετο· τὸ δὲ ἐπιγονάτιον, εἰς τύπον τοῦ λεντίου ἐστὶν, ὃ ὁ Κύριος ἐνεδύσατο, καὶ τοὺς πόδας τῶν μαθητῶν ἔνιψεν. Ὥσπερ οὖν οὐ δοθείη ἐπισκόπῳ τινὶ τὰ τοῖς πατριάρχαις φιλοτιμηθέντα διὰ ἐνδυμενίας χαρίσματα, σάκκος δηλονότι καὶ πολυσταύριον (τούτους γὰρ ὑπὸ τούτων κυδαίνεσθαι δέδοκται, ὡς καὶ ἀναφερομένους εἰς τῆς οἰκουμένης τὰ πέρατα) οὕτως οὐδὲ τὰ τοῖς ἐπισκόποις ἀπονεμηθέντα προνόμια τοῖς ἱερεῦσι δοθήσεται, ἵνα μὴ τῶν ἐκκλησιαστικῶν προνομίων σύγχυσις γένηται, καὶ τῷ πλάσαντι εἴπῃ τὸ πλάσμα· Ἐξισοῦμαί σοι.



### *Ἐρώτησις ΜΑ'.*

Ἀπὸ ἀρχαίας ἐγχωρίου συνηθείας θάπτονται λείψανα ὀρθοδόξων εἰς τὰς κατὰ χώραν Ἐκκλησίας ἡμῶν. Ζητῶ οὖν μαθεῖν εἰ ἔστι τοῦτο ἀποκριμάτιστον.

### *Ἀπόκρισις.*

Διαφορὰ μεγάλη ἐστὶν Ἐκκλησιῶν καθιερωθεισῶν διὰ ἐγκαινίων ἀνοιξίων καὶ ἐνθρονισμοῦ, χρίσματός τε ἁγίου μύρου, καὶ ἀποθέσεως (1) λειψάνων ἁγίων μαρτυρικῶν, καὶ τῶν μὴ οὕτως ἁγιασθεισῶν, καὶ εὐκτηρίου τόπον ἐπεχουσῶν· διὸ, ἐν ἐκείναις μὲν, ἐν αἷς δηλονότι μαρτυρικὰ λείψανα τεθησαύρισται, καὶ ἁγίου μύρου ἐμεσολάβητε χρίσμα, ἀνθρώπινον λείψανον οἱονδηποτοῦν οὐ ταφήσεται κατὰ τὸ β'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν, τὸ λέγον· Μηδεὶς ἐν Ἐκκλησίᾳ θαπτέτω νεκρόν. Καὶ κατὰ τὸν ἔξωθεν αὐτοῦ κείμενον παλαιὸν, τὸν λέγοντα, Οὐκ ἔξεστι θάπτειν τινὰ ἐν ἐκκλησίᾳ, ἐὰν (2) δηλονότι μάρτυρος ἐκεῖσε σῶμα ἀπόκειται. Εἰς δὲ τοὺς μὴ οὕτω καθιερωθέντας ἁγίους οἴκους εὐκτηρίους κατονομαζομένους, ἀκινδύνως ἐνταφιασθήσονται λείψανα.

### *Ἐρώτησις ΜΒ'.*

Κάτοικοί τινων ἐνοριῶν τὰς τῶν οἰκείων ἀρχιερέων χειροτονίας παραιτούμενοι, ἑτέρων ἐνοριῶν ἐπισκόποις προσέρχονται καὶ [χειροτονοῦνται] (3), καθὼς ἕκαστος ἔχει θελήματος· εἰ γοῦν ἀσφαλῶς αὐτοῖς γίνεται τοῦτο, ζητῶ μαθεῖν.

### *Ἀπόκρισις.*

Τοὺς μὲν ἀναγνώστας τοὺς ἀθετήσαντας τὰς χειροτονίας τῶν ἐπισκόπων αὐτῶν, καὶ εἰς ἑτέρας ἐνορίας μείζονος ἀξιωθέντας βαθμοῦ διὰ χειροθεσίας ἐπισκοπικῆς, ἀκοινωνησίας ἐπιτιμίῳ οἱ κανόνες καθυποβάλλουσι· καὶ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας τούτους· καθὼς τὰ περὶ τούτου παρίσταται ἀπὸ τοῦ νδ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, ταῦτα κατὰ ῥῆμα διαλαμβάνοντος· Κληρικοὺς εἰς Ἐκκλησίαν

(1) χρίσματί τε... καὶ ἀποθέσει, X. XXIV. — (2) ἔνθα Λεῦγκλ. — (3) καὶ χειροτονιῶν, Λεῦγκλ.

τελοῦντας, ὡς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι Ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην, ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν· ἐκτὸς ἐκείνων οἵτινες ἀπολέσαντες τὰς ἰδίας πατρίδας, ὑπὸ ἀνάγκης εἰς ἄλλην Ἐκκλησίαν μετῆλθον. Εἰ δέ τις ἐπίσκοπος, μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ ἐπισκόπῳ προσήκοντα δέξηται κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον· ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθῃ ἐκκλησίαν. Περὶ δὲ τῶν λαϊκῶν συνεζητήθη ποτὲ παρὰ ταύτῃ τῇ ἁγίᾳ συνόδῳ τῆς τῶν Κωνσταντινουπολιτῶν Ἐκκλησίας, πατριαρχεύοντος τοῦ ἁγιωτάτου ἐν πατριάρχαις καὶ σοφωτάτου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου, καὶ γέγονε κατὰ μῆνα Νοέμβριον, ἐπινεμήσεως δ', σημείωμα συνοδικὸν, συγκεκροτημένον ἀπὸ διαφόρων κανόνων προκομιδῆς, ἐπίσης γνωματεῦον κολάζεσθαι καὶ τὸν ἐξ ἑτέρας ἐνορίας χειροτονήσαντα λαϊκὸν παρὰ γνώμην τοῦ ἐπισκόπου αὐτοῦ, καὶ αὐτὸν δὴ τὸν χειροτονηθέντα.

### *Ἐρώτησις ΜΓ'.*

Δύνανται οἱ διάκονοι παρὰ γνώμην τῶν ἀρχιδιακόνων αὐτῶν ἱερατικοῦ καταξιοῦσθαι χαρίσματος, ἢ οὔ;

### *Ἀπόκρισις.*

Τοῖς ἐπισκόποις ἡ περὶ τούτου πρόνοια πεφιλοτίμηται παρὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος· διὸ καὶ μετὰ γνώμης αὐτῶν ἱερωθήσονται οἱ διάκονοι, τοῦ ἀρχιδιακόνου, ὡς συναδέλφου, μόνον παρουσιάζοντος.

### *Ἐρώτησις ΜΔ'.*

Οἱ διγαμήσαντες λαϊκοὶ, καὶ ἑτέρου γάμου, ἤτοι τρίτου, νομίμως ἀξιωθήσονται, ἢ οὔ;

### *Ἀπόκρισις.*

Ὁ μὲν παλαιὸς νόμος καὶ τρίτον γάμον ὡς ἔννομον ἐπεγίνωσκε, καὶ τοὺς ἐκ τούτου γεννηθέντας, κληρονόμους καὶ ὑπεξουσίους εἶχε τοῦ φύσαντος· οἱ δὲ κανόνες τῶν θείων καὶ ἁγίων Πατέρων, οὐ μόνον τρίτον γάμον οὐκ ἐπιγινώσκουσιν, ἀλλὰ καὶ τὸν δεύτερον ἐπιτιμίῳ μετρίῳ καθυποβάλλουσιν. Ὅτι δὲ



βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ σχίσμα γέγονε μέγα παρὰ ταῖς Ἐκκλησίαις τοῦ κόσμου παντὸς, διὰ τὸ τὸν βασιλέα μὴ μόνον τριγαμῆσαι, ἀλλὰ καὶ τετραγαμῆσαι, συνέλευσις ἐτελέσθη συνοδικὴ πάντων σχεδὸν τῶν ἀρχιερατευόντων ἐν ταῖς ἁπανταχοῦ διοικήσεσι, κατὰ τὴν η. ἐπινέμησιν τοῦ ,υκη. ἔτους, καὶ συνεζητήθη, ποῖα γαμικὰ συναλλάγματά εἰσιν ἀποτρόπαια, καὶ ποῖα συγχωρητέα ὡς ἔννομα, βασιλευόντων τοῦ τε ἀοιδίμου βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ πενθεροῦ αὐτοῦ κυρίου Ῥωμανοῦ. Μετὰ πολλὰς γοῦν ἀντιλογίας, καὶ μετὰ ἐξέτασιν ἀκριβῆ, ἐκαλλιγραφήθη τόμος συνοδικὸς, κατησφαλισμένος καὶ τῇ τοῦ βασιλέως συνήθει ὑπογραφῇ, τὸν μὲν τέταρτον γάμον ἀπόπτυστον εἶναι καὶ ἀσυγχώρητον· τὸν δὲ τρίτον, πῇ μὲν συγχωρητέον εἶναι, πῇ δὲ ἀσυγχώρητον. Διορίζεται γὰρ, τοὺς μήπω πληρώσαντας τὸ τεσσαρακοστὸν ἔτος, διγαμήσαντας, καὶ ἄπαιδας ὄντας, συναλλάττειν καὶ τρίτον γάμον διὰ τὴν θεραπείαν τῆς ἀπαιδίας, πλὴν ἐπιτετιμημένους εἶναι δι' ὅλης πενταετίας, ὥστε μὴ μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων· μετὰ δὲ τὴν πενταετίαν, τρὶς τοῦ ἔτους μεταλαμβάνειν αὐτούς· ἀλλὰ καὶ τοὺς τριακονταετεῖς ὄντας, κἂν παῖδας ἔχωσιν, ἐξεχώρησαν, διὰ τὴν ἐκ τῆς ἡλικίας ἀσθένειαν, καὶ τρίτον γάμον, ὀφείλοντας καὶ τούτους ἐπὶ τετραετίαν ἀμετόχους εἶναι τῶν θείων ἁγιασμάτων, ὡς ἔκτοτε καὶ αὐτῶν μελλόντων τρὶς τοῦ ἔτους τῶν θείων μεταλαμβάνειν μυστηρίων. Τοῖς δὲ τὸν τεσσαρακοστὸν χρόνον ὑπεραναβᾶσιν, ἐξ οὐδενὸς τρόπου τὸν τρίτον γάμον συγχωρητέον εἶναι οἱ θεῖοι Πατέρες ἐθεσπιῴδησαν. Καὶ ὁ μὲν τόμος οὗτος τῆς ἑνώσεως ταῦτα διορίζεται· ἡ Ἐκκλησία δὲ οὐκ ἐπέτρεψε τέως ἐπὶ τῶν ἡμετέρων χρόνων τρίτου γάμου συνάλλαγμα.

### *Ἐρώτησις ΜΕ'.*

Τοῖς παλλακευομένοις συγχωρητέα ἐστὶν ἡ τῶν θείων ἁγιασμάτων μετάληψις, ἢ οὔ;

### *Ἀπόκρισις.*

Ὁ μέγας ἐν ἀρχιερεῦσι Βασίλειος ἐν διαφόροις κανόσιν αὐτοῦ

οὐ δίδωσιν ἄδειαν τοῖς πορνεύουσι, τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν· ἐν δὲ τῷ π'. κανόνι αὐτοῦ διορίζεται, τὴν πορνεύουσαν, ἀποστᾶσαν τῆς πορνείας, μὴ ἀπεντεῦθεν, ἀλλὰ μετὰ τριετίαν τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν.

## *Ἐρώτησις Μϛ'.*

Ἡ συμπενθερία τῶν συντέκνων μέχρι πόσου βαθμοῦ κωλύεται;

## *Ἀπόκρισις.*

Ὁ μὲν νγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου κολάζει τοὺς ἀναδόχους συνάπτεσθαι γαμικῶς ταῖς μητράσι τῶν ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεχθέντων παίδων, καὶ μετὰ ἀπόστασιν τοῦ κακοῦ καθυποβάλλει πορνευόντων ἐπιτιμίῳ· τὸ δὲ τελευταῖον θέμα τοῦ ι. κεφαλαίου τοῦ ε. τίτλου τοῦ κη. βιβλίου τῶν βασιλικῶν ἐπὶ πλέον ἐπεκτείνει τὴν κόλασιν. Ὅτι δὲ καὶ ὁ δηλωθεὶς κανὼν, καὶ ὁ διαληφθεὶς νόμος, μείζονα τὴν κατὰ πνεῦμα συγγένειαν λέγουσι τῆς σωματικῆς συναφείας, γέγονε σημείωμα συνοδικὸν ἐπὶ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Νικολάου, κατὰ μῆνα Μάϊον τῆς ιε. ἐπινεμήσεως, ἐπὶ ἐρωτήσει τοῦ ὑπερτίμου ἐκείνου κυρίου Γρηγορίου τοῦ Ξηροῦ, διοριζόμενον τοῖς αὐτοῖς ὅροις συσφίγγεσθαι καὶ ὑφαπλοῦσθαι τὴν διὰ τῆς συντεκνίας συστᾶσαν πνευματικὴν συγγένειαν, οἷς καὶ αἱ σωματικαὶ συγγένειαι περιορίζονται.

## *Ἐρώτησις ΜΖ'.*

Ἡ χώρα τῶν Ἀλεξανδρέων πολλαῖς μυριάσι γενεαλογουμένη καὶ πληθυνομένη ὀρθοδόξων Χριστιανῶν, * ἄρτι κατὰ θείαν παραχώρησιν ὑπὸ μετρίων στενοχωρεῖται ὀρθοδόξων Χριστιανῶν*(1). Ζητοῦμεν οὖν μαθεῖν, εἰ ἐφεῖται καὶ ἐντὸς τοῦ ϛ'. βαθμοῦ συνάλλαγμα γίνεσθαι γαμικὸν, διὰ τὴν ἀνάγκην τοῦ πράγματος.

## *Ἀπόκρισις.*

Οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ νόμοι, χάριν τῶν γαμικῶν συναλλαγμάτων ἐν πᾶσιν ὁμοφρονήσαντες, καὶ θεαρέστοις σχοινίσμασι καὶ διδάγμασι τὰ γαμικὰ περιορίσαντες συναλλάγματα, ἐξ οἱουδήτινος τρόπου παρεξελθεῖν (1) ταῦτα οὐκ ἐξεχώρησαν. Ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων τὴν γαμικὴν συνάφειαν κεκωλυμένην εἶναι παντελῶς διωρίσαντο· τῶν ἐκ πλαγίου δὲ τὴν συγγένειαν μέχρις ἑβδόμου βαθμοῦ δικαίως ἐστενοχώρησαν· τὴν δὲ ἐξ ἀγχιστείας, ἤτοι συμπενθερίας, συγγένειαν, μετὰ τὸν ἕκτον βαθμὸν ἀπέλυσαν. Ὀφείλουσι γοῦν καὶ οἱ Ἀλεξανδρεῖς οὕτω γαμικῶς συναλλάττειν, καὶ τὴν στενοχωρίαν τῶν ὀρθοδόξων Χριστιανῶν εἰς ἁμαρτίας δικαίωμα μὴ προβάλλεσθαι· διασπασθήσεται γὰρ τὸ παρὰ ταῦτα γενησόμενον συνοικέσιον, καὶ μοιχευόντων ἐπιτιμίοις οἱ τὸ ἀθέμιτον συναλλάξαντες καθυποβληθήσονται. Ἐπεὶ δὲ καὶ ἀπὸ τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ Σισινίου δύο πρῶτοι ἐξάδελφοι δύο ἀδελφὰς οὐ λαμβάνουσι, καὶ ταῦτα τοῦ συναλλάγματος ἀναγομένου εἰς ἕκτον ἐξ ἀγχιστείας βαθμὸν, ἔσο καὶ τὰ περὶ τούτου εἰδὼς, ἵνα μὴ κατὰ λήθην τῷ τῆς Ἐκκλησίας ἔθει ψυχοβλαβῶς ἐναντιωθῇς.

## *Ἐρώτησις ΜΗ'.*

Ἐάν τις πορνικῶς συμφθαρῇ μετὰ γυναικὸς αἰχμαλώτου Χριστιανῆς, καὶ κατὰ ταυτὸν (2) ὀρθοδόξου, ἀκινδύνως ὡς δούλην πωλήσει αὐτήν;

## *Ἀπόκρισις.*

Ἄδειαν ὁ δεσπότης ἕξει τὴν ὑπὸ τούτου πορνευομένην δούλην αὐτοῦ πωλεῖν, καὶ ἀποκερδαίνειν τὸ ταύτης τίμημα· ἐλευθερίας γὰρ τότε ἀξιοῦται ἡ δούλη μετὰ τοῦ δεσπότου συμφθειρομένη, ὅτε μέχρι τελευταίας τούτου ἀναπνοῆς οὐδέν τι περὶ διαπράσεως ταύτης φθάσει γενέσθαι. Φησὶ γὰρ τὸ β'. κεφάλαιον τοῦ ιθ'. τίτλου τοῦ μη. βιβλίου ταῦτα ῥητῶς· Ἐάν τις δούλην σχῇ ἐν τῇ ἰδίᾳ συναφείᾳ, μὴ ἔχων γαμετὴν, καὶ μείνῃ μετ' αὐτῆς μέχρι τελευτῆς, εἴτε ἔχων παῖδας ἐξ αὐτῆς, εἴτε μὴ, καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν ἰδίᾳ διαθήκῃ, γίνεται ἐκείνη ἐλευθέρα.

(1) τὰ ἐντὸς τῶν * ἀναγινώσκεται ἐν Χ. XXIV, ἐλλείπει δὲ παρὰ Λεϋγκλ.

(1) Χ. XXIV. — ἐξελθεῖν Λεϋγκλ. — (2) Λεϋγκλ. — κατ' αὐτὸν. Χ. XXIV.

## Ἐρώτησις ΜΘ'.

Ἐὰν ὀρθόδοξος συμφθαρῇ πορνικῶς μετὰ Ἰουδαίας ἢ Ἀγαρηνῆς γυναικὸς, δι' ἐπιτιμίου διορθωθείη, ἢ ἀναβαπτισθήσεται;

### Ἀπόκρισις.

Ὁ μὲν μζ'. κανὼν τῶν ἁγίων καὶ πανευφήμων Ἀποςόλων ταῦτα φησίν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Ἴσως οὖν εἴποι τις καὶ τὸν πορνεύσαντα ὀρθόδοξον μετὰ τῆς ἀσεβοῦς μολυνθῆναι, καὶ ἀναβαπτισθῆναι ὀφείλειν· οὐκ ἔστι δὲ τοῦτο ἀληθές· ἐκεῖνος γὰρ μολύνεται παρὰ τῶν ἀσεβῶν, ὡς ἑκοντὶ μὲν ἀπονίπτεται τὸ θεῖον καὶ ἅγιον βάπτισμα, ἐνδύεται δὲ βάπτισμα ἀσεβῶν. Δι' ἐπιτιμίου γοῦν σφοδροτέρου κατ' ἐπισκοπικὴν διάκρισιν διορθωθείη καὶ ὡς πόρνος, καὶ ὡς κοινωνήσας μετὰ ἀσεβοῦς κοινωνίας σατανικῆς, ἀλλ' οὐ βαπτισθήσεται.

## Ἐρώτησις Ν'.

Ποσαετὴς ἀνὴρ ἢ γυνὴ δεχθείη εἰς ἐξαγορείαν;

### Ἀπόκρισις.

Οἱ μὲν νόμοι συγχωρητέα τὰ τῶν ἀνήβων ἁμαρτήματα λέγουσιν εἶναι. Ἄνηβοι δέ εἰσιν, ἐπὶ μὲν τῶν ἀῤῥένων, οἱ τὸν τεσσαρεσκαιδέκατον χρόνον πληρώσαντες· ἐπὶ δὲ τῶν θηλειῶν, αἱ δωδεκαετεῖς. Ἴσως οὖν εἴπῃ τις, μετὰ τὸν δωδέκατον καὶ τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς ἡλικίας αὐτῶν ὀφείλειν τούτους ἐξαγορεύειν, ὡς καὶ ἐξ ἁμαρτημάτων εὐθυνομένους, καὶ γεγονότας πορνείας καὶ ἄλλων ἁμαρτημάτων τινῶν δεκτικούς. Ἡμῖν δὲ ἀπὸ πείρας αὐτῆς, ἀλλὰ μὴν καὶ ἀπὸ λαληθέντων συνοδικῶς κατὰ διαφόρους καιροὺς χάριν τοιούτων τινῶν, γνωμοδοτεῖται, μετὰ τὸν ἕκτον ἐνιαυτὸν ὀφείλειν καὶ τοὺς ἄῤῥενας, καὶ τὰς θηλείας δι' ἐξαγορείας διορθοῦσθαι καὶ ἁγιάζεσθαι· ὅτι καὶ κληρικός τις διὰ δεσμωτικῶν ἐγγράφων κατεγγυησάμενος γυναῖκα ἑπταετῆ, καὶ μετὰ θάνατον ταύτης ἑτέρᾳ συζευχθεὶς γυναικὶ, οὐ παρεχωρήθη συνοδικῶς κανονικῆς ἀξιωθῆναι χειροτονίας, ὡς



δίγαμος· εἶπε γὰρ ἡ ἐν Κωνσταντινουπόλει ἁγία σύνοδος, τὴν ἑπταετῆ γυναῖκα δεκτικὴν ἔρωτος εἶναι· κἀντεῦθεν καὶ φθορὰν ὑφίστασθαι, καὶ τῆς πορνείας τοῖς λογισμοῖς ἁλίσκεσθαι. Εἰ δὲ ἐπὶ γυναικὸς ταῦτα δικαίως πεφιλοσόφηται, πολλῷ πλέον ἐπὶ ἀνδρὸς ψηφισθήσεται.

## Ἐρώτησις ΝΑ'.

Κατὰ τὴν ἑσπέραν τῆς Κυριωνύμου πρώτης ἡμέρας ἐὰν συμπλακῶσιν ὁμόζυγοι σαρκικῶς, ἐπιτιμηθήσονται ὡς παρανομήσαντες, ἢ οὔ;

### Ἀπόκρισις.

Καὶ ἄνωθεν εἴρηται, κατὰ τὸ σάββατον καὶ τὴν Κυριακὴν ὀφείλειν ἀπέχεσθαι τοὺς ὁμοζύγους τῆς σαρκικῆς κοινωνίας, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Κυρίῳ, καθὼς τοῦτο καὶ ὁ μέγας ἐν ἁγίοις Τιμόθεος πατριάρχης Ἀλεξανδρείας πρὸς τοὺς ἐρωτήσαντας περὶ τούτου ἀπεκρίνατο. Οἱ γοῦν μὴ εἰς ταύτας τὰς ἡμέρας ἐγκρατευόμενοι, πῶς καὶ πότε(1) κατὰ κοινὴν συμφωνίαν σχολάσουσιν (ὡς ὁ μέγας Ἀπόστολος εἴρηκε) τῇ πρὸς Θεὸν ἐντεύξει καὶ προσευχῇ(2); Πάντως οὐδέποτε. Διὸ, καὶ δι' ἐπιτιμίων μετρίων οἱ οὕτως ἡμαρτηκότες διορθωθήσονται.

## Ἐρώτησις ΝΒ'.

Ἐὰν κατὰ τὴν τεσσαρακονθήμερον νηστείαν οὐκ ἐγκρατεύωνται οἱ ὁμόζυγοι, ἀξιωθήσονται τῆς τῶν θείων ἁγιασμάτων κοινωνίας κατὰ τὴν τοῦ μεγάλου Πάσχα κοσμοσωτήριον ἑορτὴν, ἢ οὔ;

### Ἀπόκρισις.

Εἰ μηδὲ ἰχθυοφαγεῖν ἐδιδάχθημεν, μηδὲ ἁπλῶς καταλύειν δι' ὅλης τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ κατὰ πᾶσαν τετράδα, καὶ παρασκευὴν, πολλῷ πλέον τῆς σαρκικῆς συμπλοκῆς ἀπέχειν ἀναγκασθήσονται. Οἱ γοῦν παρανομήσαντες οὕτως ὁμόζυγοι, καὶ εἰς ἀκρασίαν σατανικὴν μεταστοιχειώσαντες τὴν ἀπὸ τῆς νηστείας καὶ τῆς ἀπαλλαγῆς τῶν σαρκικῶν ἐπιθυμιῶν σωτηριώδη μετάνοιαν, (ὥσπερ εἰ μὴ τοῦ ὅλου ἐνιαυτοῦ ἡ περιδρομὴ ἐξήρκει τούτοις εἰς ἀποπλήρωσιν τῶν σαρκικῶν ἐπιθυ-

(1) Χ. XXIV. — πῶς καὶ τότε, Λεῦνκλ. — (2) α', Κορ. Ζ', 5.

μιῶν αὐτῶν,) οὔτε τῆς θείας καὶ ἁγίας μεταλήψεως κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου καὶ μεγάλου Πάσχα ἀξιωθήσονται, ἀλλὰ καὶ δι᾽ ἐπιτιμίων διορθωθήσονται.

### Ἐρώτησις ΝΓ′.

Ἀκίνδυνόν ἐστι κατὰ τὴν Κυριώνυμον ἡμέραν εἰς βαλανεῖον ἀπέρχεσθαι, καὶ θερμοῖς λουτροῖς ἀπονίπτεσθαι, ἢ οὔ;

### Ἀπόκρισις.

Κατὰ τὴν Κυριώνυμον ἔργου παντὸς ἀποδιΐστασθαι τοὺς πιστούς, καὶ οἱ θεῖοι Πατέρες ἐδίδαξαν, καὶ ἡ νδ′. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ δικαίως ἐθεσπιῴδησε. Φησὶ γὰρ ἐν μέρει ταῦτα· Ὁρίζομεν καὶ ἡμεῖς, ἃ τῷ ἁγίῳ ἔδοξε Πνεύματι, καὶ τοῖς ὑπ᾽ αὐτοῦ μεμυημένοις Ἀποστόλοις, ὥστε πάντας ἐν τῇ θείᾳ καὶ τὴν ἀφθαρσίαν ἡμῖν ἐγκαινισαμένῃ (1) ἡμέρᾳ σχολάζειν ἀργίᾳ (2), καὶ μήτε γεωργὸν, μήτε τινὰ ἕτερον ἅπτεσθαι ἔργου ἐν ταύτῃ τῶν μὴ νενομισμένων. Εἰ γὰρ οἱ πάλαι τὰς σκιὰς καὶ τοὺς τύπους τιμῶντες, διὰ τοσαύτης ἦγον τιμῆς τὴν τοῦ σαββάτου ἡμέραν, ὡς παντελεῖ αὐτοὺς ἀπραξίᾳ (3) διδόναι, πῶς εἰκὸς, οὓς ἡ χάρις θεραπευτὰς ἔχει καὶ ἡ ἀλήθεια, τούτους μὴ τιμᾷν τὴν ἡμέραν, ἥτις τὸ τίμιον παρὰ τοῦ Δεσπότου ἐπλούτησε, καὶ ἡμᾶς ἠλευθέρωσε τῆς ἐκ φθορᾶς ἀτιμίας; Ἢ πῶς οὐ παντελῶς ἀσυνείδητον, ἑπτὰ ἡμερῶν οὐσῶν, ὧν μία εἰς δεσποτικὴν τιμὴν ἀνεῖται, μὴ ἀρκεῖσθαι ἡμᾶς ταῖς ἓξ ἀποκεχρημένους εἰς ἔργον (4), καὶ ἀναφαίρετον τῷ Δεσπότῃ ἐκείνην τηρεῖν, ἀλλὰ καὶ ταύτην κοινοποιεῖσθαι (5), καὶ τῶν ἡμετέρων ἔργων νομίζειν καιρόν; Διό φαμεν καὶ ἡμεῖς, πάσης ἐνεργείας ἐμπορευομένων, καὶ αὐτῶν δὴ τῶν γεωργῶν, ἀπρακτησάσης, ὡς εἴρηται, καὶ πάντων ἀναγκαζομένων ταῖς Ἐκκλησίαις ἐνασχολεῖσθαι, καὶ δοξολογεῖν τὸν Θεὸν μᾶλλον κατὰ ταύτην τὴν Κυριώνυμον, διὰ τὸ ἐν αὐτῇ ἰδεῖν ἡμᾶς τοὺς πιστοὺς τὸν τῆς δικαιοσύνης ἥλιον λάμψαντα. Οὔτε οὖν οἱ τὰ τῶν βαλανείων προκαυστήρια, λουτήριά τε, καὶ λοιπὰ ἐνεργοῦντες τούτοις ὑπηρετή-

(1) Λεύγκλ. — ἐγκαινισαμένῃ Ν. ΝΔ′, Λέοντ. Ἐκδ. Λῖμβ. — (2) ἀργήσεως, αὐτ. — (3) παντελῆ αὐτῇ ἀπραξίαν, αὐτ. — (4) ἔργα, αὐτ. — (5) κοινὴν ποιεῖσθαι, αὐτ.



σουσιν, οὔτε τις πιστὸς συγγνώμης ἀξιωθείη, τῆς μὲν προσευχῆς ἀποσχόμενος, καὶ τῶν πολυυμνήτων δοξολογιῶν καὶ διδασκαλιῶν τῆς Κυριωνύμου ἀφιστάμενος, καὶ θερμοῖς ὕδασι προσανέχων καὶ ἀσχολούμενος· ἀλλὰ διὰ ἐπιτιμίων κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν διορθωθήσεται.

### Ἐρώτησις ΝΔ′.

Ὁ καταλύων διὰ κρέατος, τυροῦ, καὶ ᾠοῦ, τὰς τετράδας, καὶ τὰς παρασκευὰς τοῦ ὅλου χρόνου, συγγνωστέος ἐστὶν, ἢ οὔ;

### Ἀπόκρισις.

Ὁ ξθ′. κανὼν τῶν ἁγίων Ἀποστόλων φησίν· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω, εἰ μὴ δι᾽ ἀσθένειαν ἐμποδίζοιτο· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω· ὁ γοῦν καταλύων ἄνευ σωματικῆς ἀσθενείας τὰς τετράδας, καὶ τὰς παρασκευὰς, κολάζεται κατὰ τὴν τοῦ τοιούτου κανόνος περίληψιν. Ὅτε δὲ δι᾽ ἀσθένειαν ἀναγκασθείη τις καταλῦσαι, διὰ ἰχθύων, ἢ ἐλαίου μετριάσει τοῦ ἀῤῥωστήματος τὴν κακότητα· κρέατος γὰρ, ἢ τυροῦ, ἢ ᾠοῦ ἅψασθαι οὐ συγχωρηθείη, κἂν πνέῃ τὰ λοίσθια, οὔτε ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, οὔτε ἐν οἱᾳδήτινι τετράδι, καὶ παρασκευῇ· ἀρκεῖ γὰρ τῷ ἐξ ἀνάγκης διὰ ξηροφαγίας μεγαλύνειν ὀφείλοντι τὰς τετράδας, καὶ τὰς παρασκευὰς, διὰ ἐλαίου καὶ ἰχθύων ἐπιεικεῦσαι τὸ νόσημα. Ὑπέξελέ μοι τὰς τετράδας, καὶ τὰς παρασκευὰς τῆς Ἀποκρέω, τῆς Τυροφάγου, τῆς Διακαινησίμου, καὶ τοῦ Δωδεκαημέρου· ἐν ταύταις γὰρ καὶ διὰ κρέατος ἀκινδύνως καταλύομεν· ὅτι κατὰ τὸ Δωδεκαήμερον νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τὸν Ἀρτζιβούρτζην (1)· κατὰ τὴν ἑβδομάδα τῆς πρώτης Ἀποκρέω, διὰ τοὺς Νινευΐτας· καὶ κατὰ τὴν ἑβδομάδα τῆς Τυροφάγου νηστεύουσιν οἱ Τετραδῖται οἱ αἱρετικοὶ νηστείαν μεγάλην. Ἡμεῖς οὖν ἀντιπράττοντες τούτοις καταλύομεν, ἵνα μὴ δόξωμεν ὁμοφρονεῖν αὐτοῖς· πλὴν καὶ τοῦτο γενήσεται, ὅταν τις μετὰ Τετραδιτῶν, ἢ Ἀρμενίων συναυλίζηται. Εἰ γὰρ εἰς χώραν διάγει, ἔνθα οὐκ ἔστι τοιοῦτος, ἀπογεύσεται μόνον κρέατος, ἢ τυροῦ, καὶ μετεωρίσει

(1) Χ. XXIV. — Ἀρτζιβούριον Λεύγκλ.

τὴν ὑποψίαν δι' ἐγκρατείας, οὐ μὴν δι' ἀδδηφαγίας. Κατὰ δὲ τὴν ἑβδομάδα τῆς Διακαινησίμου ἀκινδύνως κρεωφαγήσομεν κατὰ τὴν αὐτῆς τετράδα, καὶ παρασκευήν· ὡς μία γὰρ λογίζεται Κυριώνυμος τὸ ἑπταήμερον τοῦτο διάστημα.

## Ἐρώτησις ΝΕ'.

Αἱ νηστεῖαι τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων, καὶ τῆς Χριστοῦ Γεννήσεως, καὶ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τοῦ Σωτῆρος, ἀπαραίτητοί εἰσιν, ἢ συγχωρητέαι καὶ ἀδιάφοροι;

## Ἀπόκρισις.

Ἡ μὲν ἐν Κωνσταντινουπόλει ἁγία σύνοδος ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου Νικολάου* (1), ἐρωτηθεῖσα, εἰ χρὴ τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν, ἀπελογήσατο, ὡς αὕτη ἡ νηστεία μετετέθη, διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις· πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν. Ἡμεῖς δὲ σκοπήσαντες τὰ περὶ τούτου, ἀπολογούμεθα, ὅτι ἐξ ἀνάγκης προηγοῦνται νηστεῖαι πρὸ τῶν τεσσάρων τούτων ἑορτῶν· ἤγουν πρὸ τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων, τῆς Γεννήσεως τοῦ Χριστοῦ, τῆς Μεταμορφώσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, πλὴν ἑπταήμεροι· μία γὰρ τεσσαρακονθήμερος νηστεία ἐστὶν, ἡ τοῦ ἁγίου καὶ μεγάλου Πάσχα. Εἰ δέ τις καὶ πλέον τῶν ἑπτὰ ἡμερῶν κατὰ τὴν ἑορτὴν τῶν ἁγίων Ἀποστόλων, καὶ κατὰ τὴν ἑορτὴν τῆς Γεννήσεως τοῦ Χριστοῦ νηστεύει, ἢ ἑκοντὶ, ἢ ἀπὸ κτητορικοῦ τυπικοῦ συνωθούμενος, οὐ καταισχυνθήσεται. Ὅπως δὲ καὶ διατί πρὸ ἑκάστης τούτων τῶν τεσσάρων ἑορτῶν ἑπταήμερον νηστείαν ἐξ ἀνάγκης νηστεύειν ὀφείλομεν, ἐδηλώθη ἐν τῷ γεγονότι παρ' ἡμῶν χάριν τούτου συνοδικῷ τόμῳ. Οἱ γοῦν μὴ νηστεύοντες πρὸ ἑκάστης τούτων τῶν τεσσάρων ἑορτῶν κατὰ τὸ πάντη ἀπαραίτητον, δι' ἐπιτιμίων μεγάλων διορθωθήσονται.

## Ἐρώτησις Νς'.

Οἱ κατὰ ταύτας τὰς νηστείας ἐγκρατευόμενοι, πρὸς δὲ καὶ οἱ κατὰ τὰς τετράδας, καὶ παρασκευὰς ξηροφαγοῦντες, ἐκχωρηθήσονται διὰ δευτέρας τραπέζης θεραπεῦσαι τὴν τοῦ σώματος ἔνδειαν, ἢ οὔ;

(1) Χ. XXIV. — πατριάρχου . . . ἄνευ τοῦ, Νικολάου, Λεύγκλ.



## Ἀπόκρισις.

Κυρίως ἡ ἐγκράτεια, νηστεία ἐστὶν, ὅτι καὶ παθοκτόνος, οὐκ ἀνθρωποκτόνος καλεῖται. Εἰ γοῦν οἱ ἐγκρατευόμενοι, διὰ σύστασιν τοῦ σώματος καὶ δευτέρας τραπέζης γευθῶσιν(1), οὐ προκριματισθήσονται· πάντως γὰρ καὶ αὐτοὶ τὴν ὁλοήμερον οὐκ ἀτιμάσουσιν ἐγκράτειαν διὰ ἑσπερινῆς ἀκρασίας· τοῦτο δὲ ποιήσαντες, ἐπιτιμηθήσονται.

## Ἐρώτησις ΝΖ'.

Κατὰ τὴν παραμονὴν τῆς ἐκ νεκρῶν ἐγέρσεως τοῦ δικαίου Λαζάρου, καὶ κατὰ τὴν ἑορτὴν τῶν ἁγίων Τεσσαράκοντα, ἀκινδύνως τελείαν ἱερουργίαν ἱερουργήσει τις, ἢ οὔ; ὡσαύτως καὶ κατὰ τὴν ὅλην ἁγίαν Τεσσαρακοστὴν ἔξεστι βαπτίζειν, ἢ ἱερολογίας γάμων, καὶ μνηστειῶν ποιεῖν, ἢ οὔ;

## Ἀπόκρισις.

Ὁ νβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ταῦτα φησίν· Ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, πάρεξ σαββάτου καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, ἡ τῶν προηγιασμένων ἱερὰ (2) λειτουργία γινέσθω. Καὶ ὁ μθ'. τῆς ἐν Λαοδικείᾳ συνόδου ταῦτα διέξεισιν· ὅτι οὐ δεῖ τῇ Τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ Κυριακῇ μόνον. Καὶ ὁ νά. κανὼν τῆς αὐτῆς συνόδου φησὶν, ὅτι οὐ δεῖ τῇ Τεσσαρακοστῇ μαρτύρων γενέθλια τελεῖν, ἀλλὰ τὰς τῶν ἁγίων μαρτύρων μνήμας ποιεῖν ἐν τοῖς σάββασι, καὶ ταῖς Κυριακαῖς. Καὶ ὁ νβ'. λέγει, ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ γάμους, ἢ γενέθλια ἐπιτελεῖν. Ὁ μέ. τῆς αὐτῆς συνόδου διαλαμβάνει, ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα. Οἱ γοῦν ποιοῦντες παρὰ τὴν τούτων περίληψιν βαπτίσματα, ἢ ἱερολογίας γαμικὰς, δι' ὅλης τῆς ἁγίας μεγάλης Τεσσαρακοστῆς, ἢ τελείας θυσίας ἱερουργοῦντες, ἄνευ μόνου τοῦ σαββάτου, καὶ τῆς Κυριακῆς, καὶ τοῦ Εὐαγγελισμοῦ, πα-

(1) Χ. XXIV. — δειπνῶσι, Λεύγκλ. — (2) ἱερῶν Λεύγκλ.

ρανομοῦσι, καὶ δι' ἐπιτιμίων μεγάλων διορθωθήσονται, ὡς ἀσύγγνωστα πλημμελήσαντες. Κατὰ μέντοι τὸ μέγα σάββατον κεκανόνισται τὰ βαπτίσματα γίνεσθαι. Εἰ δὲ κατεπείγει τὴν τοῦ θείου βαπτίσματος τελετὴν ἡ τοῦ βίου μετάστασις, γενήσεται βάπτισμα καὶ καθ' ἑτέραν ἡμέραν τῆς Τεσσαρακοστῆς· ὅτι καὶ τοῖς ἐσχάτως ἐπιτιμηθεῖσι, καὶ ἀκοινωνησίᾳ κατακριθεῖσι παντελεῖ τὸ τοῦ θανάτου μυστήριον βοηθεῖ πρὸς τὴν τῶν ἁγίων μυστηρίων μετάληψιν.

*Ἐρώτησις ΝΗ'.*

Ἀκινδύνως γίνονται χειροτονίαι κατὰ τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν τῶν ὑποδιακόνων, τῶν διακόνων, τῶν ἱερέων, καὶ τῶν ἀρχιερέων, ἢ οὔ;

*Ἀπόκρισις.*

Κεκανόνισται (καθὼς ἄνωθεν εἴρηται), μὴ γίνεσθαι τελείαν ἱεροτελεστίαν δι' ὅλης τῆς τεσσαρακονθημέρου νηστείας, ἄνευ μόνων τῶν σαββάτων, καὶ τῶν Κυριακῶν, καὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Διό, κατὰ μὲν τὰς ἡμέρας ταύτας, ὅτε καὶ μυστικὴ τετελειωμένη θυσία τελεῖται, γενήσονται χειροτονίαι κατὰ τὸ πάντη ἀκριμάτιστον· ἐν δὲ ταῖς λοιπαῖς νηστίμοις ἡμέραις, ὅτε τελεία ἱεροτελεστία οὐ γίνεται, οὐδὲ χειροτονία τινὸς τῶν τοῦ βήματος, πολλῷ δὲ πλέον ἐπισκοπικὴ τελεσθήσεται. Καὶ ἡ χειροτονία γὰρ πανηγύρεώς ἐστι καιρός, καὶ δοξολογίας Θεοῦ, τοῖς ἀξίοις χαριζομένη πνευματικὰ ἀξιώματα(1).

*Ἐρώτησις ΝΘ'.*

Τὰ ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις παρά τινων προσφερόμενα οἰαδήτινα πράγματα, ἢ καὶ τρωκτά, παρὰ τίνος δεχθήσονται καὶ ἐξουσιασθήσονται; Καὶ τίνα, καὶ ποῖά εἰσι τὰ ἐτησίως διδόμενα τοῖς ἱερεῦσι, καὶ ἀρχιερεῦσι κανονικά;

*Ἀπόκρισις.*

Τὰ μὲν τῷ Θεῷ προσαγόμενα χρυσᾶ καὶ ἀργυρᾶ σκεύη καὶ ἔπιπλα, ἀδέσποτά εἰσι, κἂν διὰ τῶν ἐπισκόπων προσφέρωνται τῷ Θεῷ· τὰ δὲ τρωκτὰ καὶ ποτὰ συνήθως ἐν μνήμαις ἁγίων καὶ ὑπὲρ μνημοσύνων κατοιχομένων εἰσκομιζόμενα τῷ ναῷ,

(1) Λεύγκλ. — χαρίσματα Χ. XXIV.



καὶ τὰ ὑπὲρ ψυχικῶν διαδόσεων ταῖς Ἐκκλησίαις παρά τινων προσφερόμενα, τοῖς ἐπισκόποις δίδοσθαι κεκανόνισται, καὶ παρὰ τούτων πρός τε τοὺς κληρικούς, καὶ τοὺς ξενιζομένους καὶ ἄλλως πενητεύοντας ἀδελφοὺς διαμερίζεσθαι, κατὰ τὴν τούτων διάκρισιν. Φησὶ γὰρ ὁ γ'. κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα ῥητῶς· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, παρὰ τὴν τοῦ Κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ προσενέγκοι ἕτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτά, ἢ ὄρνεις, ἢ ζῶά τινα, ἢ ὄσπρια, παρὰ τὴν διάταξιν, καθαιρείσθω· πλὴν νέων χίδρων, τῷ καιρῷ τῷ δέοντι. Μὴ ἐξὸν δὲ ἔστω ἕτερόν τι προσάγεσθαι εἰς τὸ θυσιαστήριον, ἢ μόνον ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς· ἡ ἄλλη δὲ πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω, ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον. Δῆλον δέ, ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίσουσι τοῖς διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς. Καὶ ὁ ζ'. καὶ ὁ η'. κανὼν τῆς ἐν Γάγγρᾳ συνόδου, ταῦτα παρακελεύεται· Εἴ τις καρποφορίας ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς Ἐκκλησίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω· * Εἴ τις διδοίη ἢ λαμβάνοι καρποφορίαν παρεκτὸς τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτετραμμένου εἰς οἰκονομίαν εὐποιΐας, καὶ ὁ διδούς, καὶ ὁ λαμβάνων, ἀνάθεμα ἔστω* (1). Καὶ ὁ β'. ἀποστολικὸς κανὼν ταῦτά φησίν· Εἴ τις κληρικός, ἢ λαϊκός, ἀπὸ τῆς ἁγίας Ἐκκλησίας ἀφέληται κηρόν, ἢ ἔλαιον, ἀφοριζέσθω. Καὶ ὁ ογ'. κανὼν λέγει· Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθέν, ἢ ὀθόνην, μηδεὶς εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ. Εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. Ὁ δὲ ι'. κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης οἰκουμενικῆς ἁγίας συνόδου, τοὺς μὲν κοινοποιοῦντας τὰ τοῦ βήματος ἱερά, καθαιρέσει καθυποβάλλει· τοὺς δὲ τὰ ἔξωθεν τοῦ βήματος ὄντα ἱερὰ σκεύη εἰς ἀνίερον χρῆσιν μεταποιοῦντας, ἀφορίζει· τοὺς δὲ ἁρπάζοντας, ὡς ἱεροσύλους κατακρίνει. Ὁ δὲ μέγας Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ

(1) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Λεύγκλ. ἀλλ' ἐν Χ. XXIV.

ταῦτα φησίν· Ἕκαστος ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγους τῷ πάντων κριτῇ· κειμήλια μὲν γάρ, καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς Ἐκκλησίαις σώζεσθαι χρὴ, θαρσεῖσθαι δὲ τοῖς κατὰ καιρὸν τὴν θείαν διέπουσιν ἱερωσύνην τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν. Ζήτει καὶ βιβλίου νδ'. τίτλον γ'. κεφάλαιον β'. Χάριν δὲ τῆς ὀφειλούσης δίδοσθαι ποσότητος ὑπὲρ κανονικοῦ παρὰ κοινολαϊτῶν, οἱ κανόνες μὲν οὐδέν τι διορίζονται· πρόσταγμα δὲ τοῦ ἀοιδίμου βασιλέως ἐκείνου κυρίου Ἰσαακίου τοῦ Κομνηνοῦ ὑποτυποῖ, πολλά τινα δίδοσθαι τοῖς ἐπισκόποις παρὰ τῶν ἐν ταῖς ἐνορίαις αὐτῶν προσκαθημένων λαϊκῶν. Ἐπεὶ δὲ ἡ τῶν πραγμάτων ἀνωμαλία καὶ ἔνδεια τὴν τούτων ἐκάλυψεν ὑποτύπωσιν, (πολλοστημόριον γάρ τις αὐτῶν οὐ δίδωσι πρὸς ἐπίσκοπον) ἀρκούμεθα τῇ συνηθείᾳ καὶ προαιρέσει τῶν διδόντων.

## Ἐρώτησις Ξ'.

Ὀρθόδοξός τις αἰχμαλωτισθεὶς παρὰ Ἀγαρηνῶν, καὶ κατὰ βίαν τὴν ὀρθόδοξον πίστιν ἐξομοσάμενος, καὶ περιτμηθεὶς, διόλου σχεδὸν τὴν ἀκαθαρσίαν ἀποκλαίεται, καὶ μετὰ τῶν ὀρθοδόξων λαθραίως συνέρχεται, καὶ τὴν σωτηρίαν ἀνακαλεῖται. Ἐπεὶ δὲ ἐθέλει καὶ τῶν ἁγιασμάτων μεταλαμβάνειν, ζητοῦμεν τὸ ποιητέον μαθεῖν.

## Ἀπόκρισις.

Τῶν ἀγωνιζομένων εἰσὶν οἱ στέφανοι. Καὶ ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, Εἴ τις με ὁμολογήσει, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς(1). Ἀκάθαρτον γοῦν ἀγγεῖον πρὸς ὑποδοχὴν μύρου πρὸς (2) παραφρονοῦντος δεχθήσεται. Διὸ παρηγορίας μὲν ἐπισκοπικῆς καὶ ἄλλης πνευματικῆς ὁμιλίας, ὁ οὕτω μετανοῶν, καὶ τὴν καλὴν θέλων ἀλλοιωθῆναι ἀλλοίωσιν, ἀξιωθήσεται· τῶν δὲ ἁγίων μυστηρίων οὐκ ἀξιωθήσεται. Πρότερον γὰρ ὀφείλει τῆς ἀσεβείας τὴν βεβήλωσιν ἀπονίψασθαι, καὶ οὕτω δεχθῆναι·

(1) Ματθ. Ι, 32. — (2) Χ. XXIV. — πῶς παραφρονοῦντος δεχθήσεται; Λεῦγκλ.



καὶ μετὰ τὸν νενομισμένον καιρὸν καὶ τῆς ἁγίας μεταλήψεως γενήσεται μέτοχος.

## Ἐρώτησις ΞΑ'.

Πλήθη χωριτικὰ τὸν δοκοῦντα τούτοις ἄξιον εἶναι πρὸς ἀξίωμα ἐπισκοπικὸν ἢ ἱερατικὸν παριστῶσί μοι· καὶ ζητοῦσι κατὰ τὸ ἀπαραίτητον ἐπικηρυχθῆναι καὶ χειροτονηθῆναι ἀρχιερέα, ἢ διάκονον. Ζητῶ τοίνυν μαθεῖν, εἰ ταῖς φωναῖς τῶν ὄχλων ἀναγκαζόμεθα κατακολουθεῖν.

## Ἀπόκρισις.

Πάλαι ποτὲ αἱ χειροτονίαι τῶν ἐπισκόπων καὶ τῶν λοιπῶν ἱερωμένων, δι' ἐπιλογῆς τοῦ ὄχλου καὶ τῶν παραδυναστευόντων ἐγίνοντο. Ὁ δὲ ιγ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ γ'. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ'. συνόδου, τὰς τοιαύτας χειροτονίας ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀπεξένωσαν καταστάσεως. Ὁ μὲν γάρ φησι περὶ τοῦ μὴ ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατεῖον· ὁ δὲ ταῦτα διέξεισι· Πᾶσαν ψῆφον γινομένην παρὰ τῶν ἀρχόντων, ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ἄκυρον μένειν, κατὰ τὸν κανόνα τὸν λέγοντα· Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. Δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι· καθὼς καὶ παρὰ τῶν ἁγίων Πατέρων τῆς ἐν Νικαίᾳ ὥρισται, ἐν τῷ κανόνι τῷ λέγοντι· Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

## Ἐρώτησις ΞΒ'.

Οἱ τοῦ δευτέρου γάμου παῖδες, καὶ οἱ ἀπὸ δουλίδων, καὶ παλλακῶν τεχθέντες, ἀξιωθήσονται ἱερωσύνης, ἢ οὔ;

### *Ἀπόκρισις.*

Οἱ τοῦ δευτέρου γάμου παῖδες ἐξ οὐδενὸς λόγου κωλύονται ἱερᾶσθαι. Ὁ γὰρ ἐπὶ τοῦ Πορφυρογεννήτου καὶ βασιλέως κυρίου Κωνσταντίνου γεγονὼς τόμος συνοδικὸς, τῷ πρώτῳ γάμῳ τὸν δεύτερον ἐπὶ πᾶσιν ἐξίσωσε· διὸ καὶ ὑπεξούσιοι κληρονόμοι τοῦ πατρὸς εἰσίν. Ἀλλὰ καὶ οἱ ἀπὸ δουλίδων τεχθέντες, καὶ ἐλευθερίας ἀξιωθέντες, ὡσαύτως καὶ οἱ ἐκ παλλακῶν γεννηθέντες, οὐ κωλυθήσονται ἱερωθῆναι· αἱ γὰρ μητέρες αὐτῶν ἐπιτιμίοις πορνευόντων ὑπέπεσον, αὐτοὶ δὲ οὐδὲν ἥμαρτον, καὶ διὰ τοῦτο οὐδὲ ἐπιτιμίοις ὑπόκεινται. Κατὰ γοῦν τοὺς λοιποὺς ἀνθρώπους τοὺς μηδὲν ἡμαρτηκότας, καὶ αὐτοὶ τιμῆς ἱερατικῆς κατὰ κανόνας ἀξιωθήσονται.

### *Ἐρώτησις ΞΓ'.*

Ἀναγνώστης παρὰ ἡγουμένου ἐπιτραπεὶς διέπειν κτήματα μοναστηριακὰ, θέλει προκαθῆσθαι τῶν ἐκεῖσε ὄντων ἱερέων, καὶ λοιπῶν κληρικῶν, καὶ ἐν ταῖς ἱεραῖς ἁγιστείαις μετὰ τὸν ἡγούμενον μνημονεύεσθαι. Ἐρωτῶ τοίνυν μαθεῖν, εἰ καλῶς περὶ τούτου φιλονεικεῖ.

### *Ἀπόκρισις.*

Τάξις συνέχει τὰ οὐράνια καὶ τὰ ἐπίγεια. Διὸ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῆς κενοδοξίας ἀναστέλλων τὴν ματαιότητα, Ὅταν κληθῇς εἰς γάμον ὑπό τινος, ἔφησεν, εἰς πρωτοκλισίας τάπητας μὴ ἀνακλιθῇς, ἀλλ' εἰς ἔσχατον τόπον ἀνάπεσον, ἵνα ἀκούσῃς παρὰ τοῦ κεκληκότος σε, Φίλε, προσανάβηθι· καὶ οὕτως ἔσται σοι δόξα πολλή (1). Ὁ γοῦν ζητῶν ἀναγνώστης πρὸ τῶν ἱερέων καθῆσθαι, καὶ μετὰ τὸν ἡγούμενον μνημονεύεσθαι, τοῖς Κυριακοῖς ἐναντιοφρονεῖ παραγγέλμασιν. Εἰ δὲ κατὰ τὴν διήγησίν σου ὁ ἀναγνώστης εἰς χώραν ἐπιδημεῖ, καθηγουμένου τόπον ἀναπληρῶν, ἀκινδύνως μᾶλλον δὲ ἀξίως φιλονεικεῖ πρὸ τῶν ἱερέων καθῆσθαι, καὶ μνημονεύεσθαι, ὡς τόπον ἐπέχων τοῦ ἐπιτρέψαντος αὐτῷ τὸ λειτούργημα· καὶ παρίσταται τοῦτο ἀπὸ τοῦ ζ'. κανόνος τῆς ἐν Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς ϛ'. συνόδου, ἐν μέρει ταῦτα διε-

(1) Λουκ. ΙΔ', 10.



ξιόντος· Μεμαθήκαμεν, ἔν τισι τῶν Ἐκκλησιῶν διακόνους τινὰς αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους, τολμᾷν πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, .... ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγίνεται, ἐπί τινι κεφαλαίῳ· τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται.

### *Ἐρώτησις ΞΔ'.*

Ἀγροικικώτερος ἱερεὺς ἐὰν τρίτου γάμου ἱερολογίαν ποιήσῃ, τὴν τριτογαμίαν εἰδὼς, κολασθείη, ἢ ὡς χωρίτης, συγγνώμης ἀξιωθήσεται;

### *Ἀπόκρισις.*

Ὁ μὲν φάκτον ἀγνοήσας, οἷος ἂν καὶ ἐστιν, ἀξιοῦται κατὰ νόμους συγγνώμης· ὁ δὲ νόμον ἀγνοήσας, οὐ συγγινώσκεται. Ἐπεὶ δὲ ἀπὸ τῆς νεαρᾶς νομοθεσίας τοῦ ἀοιδίμου βασιλέως κυρίου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, ὁ τρίτος γάμος πῆ μὲν συγγνωστέος ἐστὶ, πῆ δὲ ἀσύγγνωστος, (οἱ γὰρ ἔχοντες παῖδας ἐκ πρώτου ἢ δευτέρου γάμου, καὶ οἱ τὸν τεσσαρακοστὸν χρόνον τῆς ἡλικίας αὐτῶν ὑπεραναβάντες, τρίτον συναλλάττειν οὐ δύνανται,) φαμὲν, ὅτι ὁ τοιούτου κεκωλυμένου τρίτου γάμου ἱερολογίαν πεποιηκὼς ἱερεὺς, καθαιρετέος ἐστί· παχύτητα γὰρ νόμου ἠγνόησεν. Οἱ δὲ χωρῖται, λεπτότητα νόμου ἠγνοηκότες, ἐνίοτε συγγινώσκονται, οὐ μὴν τὰ πᾶσι δῆλα νόμιμα.

### *Ἐρώτησις ΞΕ'.*

Γυνή τις ἀναγκαζομένη παρὰ τοῦ οἰκείου πατρὸς νομίμως συζευχθῆναι ἀνδρὶ, καὶ βλέπουσα δι' ἐγγράφων δεσμωτικῶν τὴν συζυγίαν ὑπὸ τοῦ πατρὸς ἀσφαλιζομένην, μήνυμα ἔθετο πρός τινα διακείμενον ἐρωτικῶς πρὸς αὐτὴν τοῦ γινομένου γάμου(1). Ὁ δὲ μηδὲν μελλήσας, ὡς ἐρωτομανὴς, μετά τινων ἀπαιδεύτων συνήθων αὐτῷ ἐν ἑσπέρᾳ μιᾷ τὴν τῆς γυναικὸς κατοικίαν κατέλαβε, καὶ ταύτην ἥρπασε θέλουσαν, καὶ ἀπήγαγεν εἰς τὴν κατοικίαν αὐτοῦ, διακειμένην εἰς ἑτέρου χωρίου περιοχήν. Ἐρωτῶ οὖν μαθεῖν, εἰ δύνανται διὰ ἱερολογίας κανονικῶς συναφθῆναι οἱ

(1) καλοῦ Λεύγκλ.

οὕτω τὴν τοιαύτην ἁρπαγὴν συσκευάσαντες ; καὶ οἱ γονεῖς γὰρ τῆς γυναικὸς θέλουσιν ἀρτίως τοῦτο γενέσθαι.

*Ἀπόκρισις.*

Τὸ γ΄. κεφάλαιον τοῦ νή. τίτλου τοῦ ξ΄. βιβλίου τῶν βασιλικῶν ταῦτά φησι ῥητῶς· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν· ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. Καὶ ὁ κζ΄. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς Δ΄. συνόδου ταῦτα φησί· Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ βαθμοῦ, εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι. Διὸ καὶ ἡμεῖς τοῖς οὕτω διατεταγμένοις νομίμως τε καὶ κανονικῶς ἀκολουθήσαντες, λέγομεν, ὡς, εἰ οὕτως ἔχουσι τὰ τοῦ πράγματος καθὼς ἡ ἐρώτησις περιέστησεν, οὔτε γάμος γενήσεται μεταξὺ τῆς ἁρπαγείσης καὶ τοῦ ἁρπάσαντος, κἂν ὁ πατὴρ ταύτης ἀσπάζηται τὸ γινόμενον, οὔτε τὰ τῆς ἁρπαγῆς ἐπιτίμια διαδράσουσιν οἱ ταύτης συνίστορες, ἀλλὰ καὶ ἐσχάτως τιμωρηθήσονται.

*Ἐρώτησις ΞϚ΄.*

Γυνή τις ἀῤῥωστίᾳ περιπεσοῦσα δεινῇ, ἐν ὥρᾳ νυκτερινῇ, τοῦ νοσήματος ἀμυνομένη δῆθεν τὴν κάκωσιν, ἑαυτὴν εἰς θάλασσαν(1) ἔῤῥιψε, καὶ τὸ τοῦ θανάτου ποτήριον ἔπιεν. Ἐρωτᾷ οὖν ὁ ταύτης ἀνὴρ, ἀναγνώστης ὢν καὶ τότε καὶ σήμερον, εἰ ἐντεῦθεν κωλύεται τυχεῖν ἱερατικοῦ ἀξιώματος.

*Ἀπόκρισις.*

Εἰ κατὰ τὴν διήγησίν σου συνέπεσον τὰ τοῦ πράγματος, ἀπαρεμποδίστως ὁ ἀναγνώστης ἱερωθήσεται. Ὡς γὰρ οὐ βλάπτει τὸν σπουδαῖον ἡ ῥᾳθυμία τοῦ ἀμελοῦς, κατὰ τὴν τῶν θείων νόμων περίληψιν, οὐδὲ τὸν ἀναγνώστην προκριματίσει τῆς γυναικὸς αὐτοῦ τὸ ὀλίσθημα· ἕκαστος γὰρ ταῖς οἰκείαις σειραῖς, κατὰ τὸν εἰπόντα, συσφίγγεται.

(1) Χ. XXIV. — εἰς θάνατον, Λεύγκλ.



# ΜΕΛΕΤΑΙ
# ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ.

## ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ
## Κ. ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ

Ἐπιστολὴ πρὸς τὸν ὁσιώτατον καθηγητὴν τῶν κατὰ τὸν Παπίκιον μοναστηρίων, μοναχὸν κυρὸν Θεοδόσιον, χάριν τῶν ῥασοφόρων.

Ο ΜΕΓΑΣ διδάσκαλος τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ, καὶ θεοκήρυξ Ἀπόστολος Παῦλος, Ἔσο, φησὶν, εἰς τὸ ἀκοῦσαι ταχὺς, καὶ εἰς τὸ λαλῆσαι βραδύς(1). Ἔδει οὖν καὶ τὴν ἡμῶν ταπεινότητα, πιστὲ δοῦλε Θεοῦ, ἀκοὴν ὑποθέσθαι σοι μᾶλλον εὐγνώμονα, ἢ γλῶτταν ἀφιέναι τὰ ἐρωτηθέντα διδάσκουσαν. Κἂν γὰρ χρίσματι χειροτονίας ἐχρίσθημεν ἐλέῳ Θεοῦ, ἀλλ' ἐλαίῳ διδασκαλίας λιπαίνειν τοὺς μετόχους τῆς γῆς ταύτης οὐκ (2) ἐπετράπημεν· δι' ὃ καὶ κατὰ τοὺς ἐν σκότει καὶ σκιᾷ καθημένους ἀγωνιάζομεν. Ἐπεὶ δὲ τὸ μὲν διδάσκειν ὑπερορίους ἐπισκόπους, ἀπαγορεύεται, τὸ δὲ ἀπολογεῖσθαι περὶ ὧν ἐρωτῶνται, νενόμισται, Τὰ χείλη γὰρ, φησὶν, ἡμῶν, παρ' ἡμῖν εἰσιν(3), ἀπεστείλαμέν σοι τὸν παρόντα παῖδα λόγον ἡμῶν, ἀπολογησόμενον πρὸς τὰς πεύσεις σου, μὴ πεποικιλμένον, ὡς ἔδει, μετὰ χρυσοπάστων ἱματισμῶν, καὶ σοφιστικῶν κροσσωτῶν, ἀλλὰ μετὰ χλαμυδίων ἀμούσων καὶ ῥυπαρῶν· τοιαῦτα γὰρ οἶδεν ὑφαίνειν ἱστὸς ὑπερόριος. Εἰ μὲν οὖν πρὸς τὴν ἐρώτησιν ἀπολογήσεταί τι πρόσφορον καὶ κατάλληλον, φιλοφροσύνης ἀξιωθήτω· εἰ δ' ἀμαθίας ἀπόζει, ἀντιστραφήτω πρὸς τὸν γεγεννηκότα πατέρα, τὴν δικαίαν ἀποστροφὴν προαρπάσαντα.

Ἔγραψας ἡμῖν, ὥς τινες ἐκ τῶν ῥασοφόρων τῆς κατὰ σὲ

(1) Ἰακ. Α΄, 19, — (2) Χ. V — ἄνευ τοῦ, οὐκ, Κοτελ. (Cotelerii Ecclesiæ Græcæ Monumenta). Τόμ. 3. σελ. 473. — (3) Ψαλμ. ΙΒ΄, 4.

ἁγίας μονῆς, ἀναγκαζόμενοι τελειωθῆναι δι' ἀποκάρσεως, λέγουσιν, ὡς ὁ μέγας Βασίλειος ἔν τισι τῶν ἀσκητικῶν διδασκαλιῶν αὐτοῦ διωρίσατο, ἐπὶ τριετίᾳ, τὸν μονάσαι ὀφείλοντα, δοκιμάζεσθαι, καί, μετὰ τὴν ταύτης παραδρομὴν, ἢ λαμβάνειν τὴν χάριν τῆς ἀποκάρσεως, ἢ ἀναχωρεῖν τῆς μονῆς, καὶ πρὸς τὴν προτέραν λαϊκὴν μεταπίπτειν διαγωγὴν, λαμβάνοντα καὶ ἃ πρὸ τοῦ προσελθεῖν τῇ μονῇ ἐνεδιδύσκετο ἄμφια· καὶ ταῦτα γὰρ ἐν ἀσύλῳ συντηρεῖσθαι παρεκελεύσατο. Ἱνατί γοῦν πρὸ τῆς τριετίας ἀναγκαζόμεθα τὸ βάρος ἐπιφορτισθῆναι τῆς ἀποκάρσεως; Εἰκός ἐστι ταύτης ἐντὸς μεταμεληθῆναι ἡμᾶς, καὶ τῆς τραχυτέρας ζωῆς τὴν μαλακωτέραν προτιμήσασθαι, καὶ τῆς ἐπιπόνου τὴν ἄπονον, καὶ ἀπεκδυθῆναι μὲν τὰ μοναχικά, ἐνδυθῆναι δὲ κογχυλόχροα καὶ χρυσόπαστα, ἀλλὰ μὴν καὶ κρεωφαγῆσαι, καὶ νομίμως συναφθῆναι γυναιξίν· εἰ δεήσει δὲ, καὶ στρατολογηθῆναι, καὶ ζώνας περιβληθῆναι ἀξιωμάτων βασιλικῶν. Ἄφες οὖν τῆς προθεσμίας τὴν δωρεὰν ἀκιβδήλευτον· ἴσως γὰρ παραδράμῃ μετὰ τῆς αὐτῆς εὐθυδρομοῦσα προθέσεως, καὶ στηρίξει τῆς ἐπαγγελίας τὴν εἴσπραξιν. Εἰ δὲ κατεπείγεις τὴν δόσιν παρὰ τὰ δόξαντα, αὐτοὶ ἑαυτοῖς ἐκ μεταμέλου χαρισόμεθα τὴν ἀθώωσιν. Ἄλλως τε τοὺς εὐλαβουμένους τὴν τελειότητα τοῦ χαρίσματος, δέον ἐστὶ φιλοτιμεῖσθαι μᾶλλον καὶ μὴ κολάζεσθαι, εὐχαριστεῖσθαι καὶ μὴ τωθάζεσθαι, κηρύττεσθαι καὶ μὴ ἀποκηρύττεσθαι. Ἡ μὲν γὰρ περὶ τὰ θεῖα εὐλάβεια συνίστησι πίστεως καθαρότητα· ἡ δ' ἐπ' αὐτοῖς πρόχειρος εὐλάβεια (1), ἀπιστίας παρίστησι κιβδηλότητα.

Εἶτά φασι, παλαιστὰς μὲν, καὶ τοὺς ἄλλους ἀγωνιζομένους παγκράτιον, διὰ χρονικῆς προθεσμίας θέλεις γυμνάζεσθαι· τοὺς δὲ πένταθλον ἀναδεχομένους αἰσθήσεων, ἀβασανίστως προτρέπεις τῷ ἐξεναντίας συμπλέκεσθαι· καὶ μὴν τούτους μᾶλλον ἔδει μετὰ δοκιμασίας εἰς τὸν ἀγῶνα τῆς ἀσκήσεως παραδέχεσθαι. Ἐκεῖνοι μὲν γὰρ ὁρατοῖς ἀντιμάχονται, καὶ προόπτοις ἀγχεμάχοις ὑπαντιάζουσι, καὶ βαλλόμενοι βάλλουσι, καὶ ἀμύνονται ἀμυνόμενοι. Οὗτοι δὲ ἀοράτοις ἐχθροῖς ἀντιπαλαμώμενοι, καὶ

(1) X. V. — ἀνευλάβεια, Κοτελ.



ἀπροόπτοις ἀντιπάλοις παλαίοντες, ἀφανῶς τοξαζόμενοι, ἐμφανῶς ἀντιτοξάζειν οὐ δύνανται· καὶ ὡς τραυματίαι τραυματιζόμενοι οὐκ ἀποτολμῶσιν ἀντιτραυματίζειν, διὰ τὴν τοῦ πλήττοντος ἄγνοιαν. Τὸ δὲ μεῖζον καὶ πᾶσαν ὑπερβαῖνον κακότητα ἔστιν, ὅτε πονηρίαν καταικιζόμενοι, ἀπονήρως τὰς μάστιγας δέχονται, καὶ λογίζονται τὰ παλαιστήρια τραύματα καταλλακτήρια γράμματα, φιλουργίαν τὴν ξιφουργίαν, δοξεύματα τὰ τοξεύματα, ζωοποιὰ τὰ φθοροποιὰ, φωτοποιὰ τὰ σκοτοποιὰ, εἰρηναῖα τὰ μάχιμα, τὰ δηλητήρια ἰατήρια, τὰ δυσωδὰ εὐωδὰ, καὶ σωτήρια τὰ ὀλέθρια· τοῦ σκότους γὰρ προστατεύοντες οἱ τούτοις ἀντιμαχόμενοι, ἐν σκοτομήνῃ τοξάζουσι, τὰ βέλη ψευδομέλιτι χρίοντες. Χρὴ τοίνυν τοὺς πολεμουμένους ὑπ' ἀοράτων ἐχθρῶν, ἐφ' ἱκανὸν καὶ δι' ἀκονίστρας μακρᾶς δοκιμάζεσθαι, καὶ οὕτως ἢ ἀποδοκιμάζεσθαι, ἢ τοῖς σταδιώταις συντάττεσθαι.

Καὶ τὰ μὲν τῆς γραφῆς σου ἐν τούτοις. Ἡμεῖς δέ φαμεν, ὡς ὁ μέγας ἐν ἁγίοις Πατράσι Βασίλειος, τῶν Καισαρέων τὸ καύχημα, καὶ τῆς οἰκουμένης ὁ διδάσκαλος, ἐν τοῖς ὑποτυποῦσι τὴν ἄσκησιν θεοδιδάκτοις λόγοις αὐτοῦ, καὶ μᾶλλον ἐν ἑνὶ τούτων διαλαμβάνοντι παρὰ τὴν ἐπιγραφὴν ταῦτα ῥητῶς, Πότερον χρὴ πάντας τοὺς προσιόντας δέχεσθαι, ἤ τινας, καὶ εὐθὺς αὐτοὺς προσίεσθαι, ἢ μετὰ δοκιμασίας, καὶ ποίας ταύτης, προσδέχεσθαι μὲν καὶ μὴ ἀπωθεῖσθαι διορίζεται τοὺς θέλοντας ὑπελθεῖν τὸν ἐλαφρὸν τοῦ Κυρίου ζυγὸν, ἀνίπτοις δὲ χερσὶ τῶν ἁγίων ἐφάπτεσθαι οὐκ εὐδοκεῖ· ἀλλ' εἴ τινες τούτων εἰσὶ περὶ μὲν τὰ τελεώτερα τῶν δογμάτων ἀδίδακτοι, περὶ δέ τινα πονηρὰ καὶ ἀδιάφορα ἤθη ἐνδίδακτοι, ἀνακρίνειν αὐτοὺς, καὶ διδάσκειν, καὶ μεταῤῥυθμίζειν ἐπὶ τὸ βέλτιον, καὶ οὕτω μετὰ γυμνασίας καὶ πείρας ἀκριβοῦς, ἢ προσίεσθαι τούτους, ἢ ἀποπέμπεσθαι. Μάτην τοίνυν καὶ συκοφαντικῇ προαιρέσει καταψεύδονται τοῦ ἁγίου Πατρὸς, οἱ τὰ ῥηθέντα μυθοσκοποῦντες καὶ ἀναπλάττοντες.

Ἐπεὶ δέ τινες λέγουσιν, ὡς ὁ μέγας Παχώμιος, ὑπὸ ἀγγέλου χρηματισθεὶς τὴν τοῦ μονήρους βίου διαγωγὴν, ἔμαθε μετὰ τῶν ἄλλων, ὡς ἐπὶ τριετίαν οἱ ῥασοφοροῦντες γυμνάζονται, καὶ οὕτως ἢ τελειοῦνται δι' εὐλογίας καὶ ἀποκάρσεως, ἢ ἀπο-

δοκιμάζονται καὶ πρὸς τὴν προτέραν κοσμικὴν κατάστασιν ἀπολύονται, ἀκουσάτωσαν καὶ αὐτοὶ, ὡς καὶ τοῦτο(1) μῦθος ἄντικρύς ἐστι καὶ ἐρεσχελία σατανικὴ κατὰ τοῦ μεγάλου Πατρός· αἱ γὰρ βίβλοι τούτου ἀνελιχθεῖσαι μὴ παρὰ μόνων ἡμῶν, ἀλλὰ καὶ παρ' ἑτέρων πολλῶν περὶ τὰ θεῖα δεινῶν, ἄλλα μὲν τῇ μοναχικῇ εὐλαβείᾳ κατάλληλα θεσπίζουσαι φαίνονται, δοκιμασίας δὲ πέρι καὶ τριετίας, καὶ ῥασοφορούντων, καὶ μὴ ῥασοφορούντων, οὐδὲν ταύταις ἐγγέγραπται.

Ἀλλ' ὁ μέγας, φασὶν, ἐν Πατράσιν ἀββᾶς Κασιανὸς ὁ Ῥωμαῖος διορίζεται τὸν ἐκσφενδονηθέντα τοῦ κόσμου, καὶ μονῆς ἀδελφότητι προσερχόμενον, μὴ ἀπεντεῦθεν ἀποκείρεσθαι, ἐντὸς δὲ τριετίας δοκιμάζεσθαι μετὰ ἀμφίων μοναχικῶν, ἐφ' ᾧ, εἰ τὴν τραχυτέραν τοῦ μονήρους βίου διαγωγὴν ἀπαναίνεται, ἀπροκριματίστως ταύτης ὑπερπηδᾷν, καὶ τῆς σαρκικῆς ἐπιθυμίας γίνεσθαι μέτοχον· καὶ μᾶλλον, φασὶν, ὁ αὐτὸς ἀββᾶς διορίζεται, καὶ τὰ (2) μεθ' ὧν ἦλθεν εἰς τὴν μονὴν ἱμάτια ὁ προσερχόμενος, παρὰ τοῦ οἰκονομοῦντος φυλάττεσθαι, ἐφ' ᾧ ἔχειν ἐπ' ἀδείας αὐτὸν, ἀποτίθεσθαι μὲν τὰ μοναχικὰ, περιτίθεσθαι δὲ τὰ οἰκεῖα καὶ κοσμικά. Ἀκουσάτωσαν οὖν καὶ αὐτοὶ, ὡς καὶ ταύτην τὴν βίβλον ἐπιμελῶς ἀναπτύξαντες, συκοφαντεῖσθαι τὸν Πατέρα κατελάβομεν. Πρῶτον μὲν γὰρ, οὐχ ὑποτυπῶν, οὐδὲ κανονίζων τὴν γυμνασίαν τῆς μοναχικῆς διαγωγῆς, ὁ Πατὴρ συνεγράψατο ὅσα δῆτα καὶ συνεγράψατο· ἀλλ', ὡς ἐν προοιμίοις φησὶν, ἀναδιδάξαι θέλων ἐπίσκοπόν τινα Κάστορα, κατὰ τὴν τούτου ἀξίωσιν, τὰς τῶν ἀνατολικῶν κοινοβίων καὶ μάλιστα τῶν Αἰγυπτίων διαγωγὰς(3), ὡς ἂν καὶ οἱ τῆς κατ' αὐτὸν μονῆς μοναχοὶ οὕτω διάγωσιν, ὡς ἐν διηγήματος σχήματι γέγραφεν ὅσα καὶ γέγραφε. Καὶ οὐ χρὴ τὰ μὴ παρά τινος ἁγίας συνόδου κυρωθέντα καὶ στηριχθέντα, ὡς κανονικὰ κρατεῖν διατάγματα, μηδ' ἕπεσθαι τούτοις, καὶ μᾶλλον ἔνθα κανόσιν ἐναντιοῦνται.

Εἶτα κἂν δοίη τις ὀφείλειν ταῦτα κρατεῖν, ὡς ὑπὸ ἁγίου

(1) X. V. — καὶ αὐτοί· μῦθος, Κοτελ. — (2) X. V. — καὶ * μετὰ μεθ' ὧν, Κοτελ. — (3) X. V. — διαταγὰς Κοτελ.



Πατρὸς κανονισθέντα ἢ τυπωθέντα, νομίζω ὅτι οὐδὲ ταῦτα παρακελεύονται καθυβρίζεσθαι τὰ θεῖα καὶ ἱερὰ ἄμφια, καὶ τὸ μοναχικὸν σχῆμα, ὥστε τὸν σήμερον ἐν ἀγυιαῖς μετὰ ῥάσων ἀμφίων ὁδεύοντα, αὔριον μετὰ σηρικῶν ἀναστρέφεσθαι. Μετὰ γὰρ τὸ διορίσασθαι, μὴ πρότερον εἰς μοναστήριόν τινα παραδέχεσθαι, πρὶν ἀπόδειξίν τινα τοῦ πρὸς Θεὸν πόθου αὐτοῦ μετὰ δοκιμασίας οὐκ ἀγενοῦς παραστήσασθαι, ταῦτα ῥητῶς παρακελεύεται· Διὰ τοῦτο οὕτως ἕκαστος γυμνοῦται τῆς ἀρχαίας περιουσίας, ὡς μηδὲ αὐτὸ τὸ ἔνδυμα, ὃ περιβεβλημένος ἦλθε, τοῦ λοιποῦ φορεῖν συγχωρεῖσθαι (1)· ἀλλὰ τῶν ἀδελφῶν πάντων συνηγμένων, προαχθεὶς εἰς τὸ μέσον, ἐκδύεται τὰ ἴδια ἱμάτια, καὶ διὰ τῶν χειρῶν τοῦ ἀββᾶ ἐνδύμασι τοῦ μοναστηρίου μεταμφιέννυται· ὡς διὰ τούτου τοῦ τύπου ἐπιγνῶναι αὐτὸν, ὅτι πάντων τῶν κοσμικῶν πραγμάτων, καὶ τῆς ἀλαζονείας, καὶ τοῦ τύφου γυμνωθεὶς, ἐνεδύσατο τὴν πτωχείαν τοῦ Χριστοῦ, καὶ ὅτι ἀνεπαισχύντως συναριθμεῖ ἑαυτὸν καὶ ἐξισοῖ τῷ σώματι τῆς ἀδελφότητος. Τὰ δὲ ἱμάτια, ἃ ἀποδύεται, λαβὼν ὁ οἰκονόμος τῆς μονῆς, ἐπὶ πολὺν χρόνον φυλάττει ἀφορίσας, ἕως προκοπῆς τῆς αὐτοῦ, καὶ ἀναστροφῆς, καὶ ὑπομονῆς τῆς ἐν διαφόροις πειρασμοῖς ἀπόδειξιν παράσχῃ. Καὶ εἰ μὲν εὕρωσιν αὐτὸν δυνάμενον τούτοις ἐγκαρτερεῖν, καὶ ἐν τῇ σπουδῇ καὶ διαπύρῳ θέρμῃ ᾗ ἐνήρξατο διαμένοντα, τοῖς λοιποῖς συναριθμοῦσιν· εἰ δέ τι γογγυσμοῦ ἐλάττωμα, ἢ παρακοῆς οἱασδήποτε ἐν αὐτῷ ἁμαρτίαν καταμάθωσιν, ἐκδύσαντες τοῦτον ἅπερ ἐνεδύσατο ἐκ τοῦ μοναστηρίου, καὶ τοῖς κοσμικοῖς ἐνδύμασι τοῦτον περιβαλόντες, ἀπωθοῦνται τοῦ κοινοβίου. Ὡς ἐκ ταύτης λοιπὸν τῆς ἀκριβείας, μὴ εὐχέρειαν εἶναι τῷ βουλομένῳ, ὡς ἔτυχεν, ἀναχωρεῖν τῆς μονῆς· ἀλλὰ τὸν μὴ ἐμμένοντα κατὰ πάντα τρόπον τῇ ἰδίᾳ ὁμολογίᾳ, μετενδύεσθαι τὴν κοσμικὴν ἐσθῆτα, καὶ οὕτως ἀπολύεσθαι τοῦ μοναστηρίου.

Εἰπάτωσαν οὖν οἱ ἀντίθετοι, ἀπὸ τῶν ῥημάτων τούτων ἐνδίδωσιν ὁ μέγας οὗτος Πατὴρ τῷ γυμναζομένῳ, ῥασοφορεῖν καὶ μετασχηματίζεσθαι κατὰ μοναχοὺς, καὶ αὖθις ἐκ μεταμε-

(1) Βιβλ. Δ', κεφ. 5, 6.

λείας ἀποσχηματίζεσθαι κατὰ λαϊκούς; Ναί, φησί· διορίζεται γὰρ τὸν προσερχόμενον ἀπεκδύεσθαι ὃ ἐνεδιδύσκετο ἔνδυμα, ὅτε ἦλθεν εἰς τὴν μονήν, καὶ ἐν ἀσύλῳ παραφυλάττεσθαι, διὰ δὲ τῶν χειρῶν τοῦ ἀββᾶ ἐνδύμασι τοῦ μοναστηρίου μεταμφιέννυσθαι, ἵνα, καλοῦντος καιροῦ, ἐὰν ἀδόκιμος περὶ τὸν μονήρη βίον ἀναφανῇ, τὰ μὲν τοῦ μοναστηρίου ἄμφια ἀπεκδυθῇ, τὰ δὲ κοσμικὰ ἐνδυθῇ, καὶ τοῦ μοναστηρίου ἀπολυθῇ. Ὅτι δέ εἰσι τὰ μὲν μοναστηρίου, μοναχικά, τὰ δὲ κοσμικά, λαϊκά, οὐκ ἠγνόηται. Καὶ μὴν οὐκ εἶπεν ὁ Πατήρ, ἐνδύματα μοναχικὰ (1) τὸν προσερχόμενον ἀμφιέννυσθαι, ἀλλ' ἐνδύματα τοῦ μοναστηρίου· εἰ γὰρ ἴσως στρατιώτου δὴ ἐνδυμενίαν περιεβέβλητο, ἐκ κογχύλης ἢ καὶ χρυσόπαστον, διατρίβειν ἐν τῇ μονῇ μετὰ ταύτης οὐ παραχωρηθήσεται, διὰ τὴν ἀπρέπειαν, καὶ ἵνα μὴ γαυριᾷ τὸ σῶμα τοῖς μαλακοῖς ἀμφίοις θρυπτόμενον· μετὰ δὲ εὐτελῶν ἀμφίων ἐνδυμενίᾳ προσηκόντων λαϊκοῖς καὶ τῇ μονῇ διαφερόντων, ἀναστρέφεσθαι. Ἐκ δὲ τοῦ εἰπεῖν τὸν Πατέρα, μετενδιδύσκεσθαι τοὺς προσερχομένους τὰ λαϊκὰ (2), οὐ παρίσταται ἐξ ἀντιδιαστολῆς, μοναχικὰ πρὸ τῆς μετενδύσεως αὐτοὺς ἀμφιέννυσθαι· οὐδὲν γὰρ ἦν προσιστάμενον, μοναχικῶν ἀμφίων ἐπιμνησθῆναι τὸν μάκαρα, καὶ τῆς συνήθους τοῖς μοναχοῖς μετασχηματίσεως· ἀλλ' ἡ τῶν κοσμικῶν ἐνδυμάτων σημασία βούλεται τὸν ἀδόκιμον, μὴ μετὰ τῶν ἱματίων τῆς μονῆς ἀπολύεσθαι, ἀλλὰ μετὰ τῶν οἰκείων, μεθ' ὧν δηλαδὴ εἰς τὸν κόσμον ἀνεστρέφετο· διὰ γὰρ τοῦτο καὶ φυλάττεσθαι ταῦτα ὑπὸ τοῦ οἰκονόμου παρεκελεύσατο.

Ἄραρε τοίνυν γυμνάζεσθαι τοὺς ἀπὸ τύρβης βιωτικῆς εἰς τὸν μοναδικὸν βίον μεταπηδῶντας, κατὰ δάμαλιν ἀπειρόζυγον, καὶ μᾶλλον ὅσοι βίου γεγόνασιν ἀδοκίμου καὶ σφαλεροῦ. Κἂν γὰρ ἐν Εὐαγγελίοις ὁ Κύριος, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, φησί, κἀγὼ ἀναπαύσω ὑμᾶς (3), κἀντεῦθεν ἀκίνδυνον ἀναφαίνεται τὸ πάντας ἀπεριμερίμνως δέχεσθαι· ἀλλ' ἐπεὶ ὁ αὐτὸς Θεὸς καὶ Σωτὴρ ἡμῶν, πολλὰ περὶ τοῦ προτέρου βίου τὸν νεανίσκον ἀνέκρινε (4), καὶ μετὰ πληρο-

(1) Χ. V. — ἐνδύματα μόνα καὶ πενιχρά, Λεῦγκλ. — (2) Χ. V. — προσερχομένους τὰ μοναχικὰ Κοτελλ. — (3) Ματθ. ΙΑ', 28. — (4) Ματθ. ΙΘ', 16.



φορίας τοῦ ἀγαθοῦ βίου αὐτοῦ τὴν τελείωσιν ἀπεκλήρωσε, καὶ ἀκολουθεῖν αὐτῷ διωρίσατο, δίκαιόν ἐστι καὶ κανονικόν, τοὺς μήτε διὰ βίου καθαρότητα, μήτε διὰ ἤθους ἀγαθοῦ γνωριμότητα, πρὸ δοκιμασίας ἀναφανέντας ἱκανοὺς εἰς τὸ ἐπιφορτισθῆναι τὸν ἐλαφρὸν τοῦ Κυρίου ζυγόν, διὰ χρόνου μακροῦ πολυπραγμονεῖσθαι καὶ δοκιμάζεσθαι. Τὸ δὲ γίνεσθαι τὴν δοκιμασίαν ἐπὶ τριετίαν μετὰ ἐνδυμάτων μοναχικῶν, καὶ δοθῆναι τοῖς ῥασοφορήσασιν ἄδειαν, ἐντὸς τῆς τοιαύτης προθεσμίας, εἰ ἀπαρέσκονται πρὸς τὴν τοῦ μονάδος βίου σκληρότητα, τὰ μοναχικὰ μὲν ἀποδύεσθαι, λαϊκὰ δὲ ἐνδιδύσκεσθαι, οὔ μοι δοκεῖ κανονικόν, οὐδὲ τῆς ἡμετέρας πολιτείας καὶ ἐπαγγελίας ἄξιον· καὶ πόθεν τοῦτό φημι, ἄκουσον.

Ἡ τριετὴς προθεσμία τῆς δοκιμασίας, παρὰ μέν τινος ἁγίου Πατρὸς οὐ παρεδόθη, καθὼς ὁ λόγος ἄνωθεν διετράνωσεν. Ἡ δὲ ἐν Κωνσταντινουπόλει συστᾶσα θεία καὶ οἰκουμενικὴ σύνοδος, ἡ λεγομένη πρώτη καὶ δευτέρα, φησὶν ἐν πέμπτῳ κανόνι ταῦτα ῥητῶς· Τὰς ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγάς, ἐπὶ πολὺ τὴν μοναδικὴν εὐταξίαν (1) λυμαινομένας εὑρίσκομεν. Προπετῶς γάρ τινες εἰς τὸν μονήρη βίον ἑαυτοὺς ἐπιρρίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον κατολιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν. Ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς παραστήσῃ· καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο, πλὴν εἰ μή πού τις βαρεῖα προσπεσοῦσα νόσος, τὸν χρόνον ἀναγκάσῃ συσταλῆναι τῆς δοκιμασίας, ἢ εἰ μή πού τις εἴη ἀνὴρ εὐλαβής, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι· ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρός, εἰς ἀπόπειραν παντελῆ καὶ ὁ ἑξαμηνιαῖος ἀρκέσει χρόνος (2). Εἰ δέ τις παρὰ ταῦτα διαπράξεται, τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας, τὴν ἐν ὑποταγῇ διαγωγὴν ἐφευρίσκειν· τὸν δὲ μονάσαντα ἐν ἑτέρᾳ μονῇ, τὴν μοναχικὴν

(1) πολιτείαν Χ. V. — (2) καιρὸς Χ. V.

ἀκρίβειαν φυλαττούσῃ, παραδίδοσθαι. Τοῦ γοῦν κανόνος ταῦτα διοριζομένου, καὶ ὑποτυποῦντος, τὴν μὲν δοκιμασίαν τῶν ἀσυνήθων ἀγωνιστῶν διὰ τριετίας γίνεσθαι, τῶν δὲ συνήθων καὶ εὐλαβῶν, δι' ἑξαμηνιαίου καιροῦ, καὶ ἄλλως τινὰ τῶν ἁπάντων μὴ μετασχηματίζεσθαι, πῶς οἱ μετασχηματισθέντες ὡς ἰθαγενεῖς καὶ τρόφιμοι καὶ συμφυλέται ἡμῶν, παραχωρηθήσονται κατὰ τὸ οἰκεῖον γυμνάζεσθαι (1) θέλημα, καὶ ἀναμένειν ἐπὶ μακρὸν τὸν ἀπὸ τοῦ μονάδος βίου πρὸς τὰ λαϊκὰ μετασχηματισμὸν, καὶ ἀδολεσχεῖν κατὰ δικαιωμάτων κανονικῶν;

Ἀλλ' ἴσως ἐροῦσιν, ὡς ὁ κανὼν περὶ ῥασοφορούντων οὐ διαλέγεται, περὶ δὲ μετασχηματιζομένων διὰ κανονικῆς ἀποκάρσεως, πρὸ παραδρομῆς τοῦ ἐμπροθέσμου καιροῦ· καὶ διὰ τοῦτο, τῶν μὲν ῥασοφορησάντων καὶ τῆς προθεσμίας ἀναμενόντων τὸ πλήρωμα ὑπερηγορεῖ, τῶν δὲ κατεπειγόντων αὐτῆς πρὸ τῆς τριετοῦς προθεσμίας τὸ ἀγγελικὸν δέξασθαι στρατολόγημα κατηγορεῖ. Οὐδὲ γὰρ θέλει τὸν ἀπόμαχον πρὸ τῆς μάχης κρινόμενον, ὡς πρόμαχον μάχεσθαι, οὐδὲ τὸν ἀπάλαμνον πρὸ τῆς πάλης φαινόμενον, ὡς παλαμναῖον ἀντιπαλαμᾶσθαι· ἵνα μὴ τῷ στρατολογήσαντι καὶ ἑαυτῷ, καὶ τοῖς λοιποῖς μαθηταῖς, γένωνται τὰ νικητήρια αἰσχυντήρια, καὶ τὰ ἐμφανιστήρια, ἀφανιστήρια. Ἀκουσάτωσαν οὖν καὶ πρὸς ταῦτα οἱ καινοὶ τούτων νομοθέται καὶ πρόσφατοι, οἱ τὴν κάμιλον καταπίνοντες, καὶ τὸν κώνωπα διϋλίζοντες (2)· Ἡ πέμπτη Ἰουστινιάνειος νεαρὰ, ἡ ἐν κεφαλαίῳ τρίτῳ τοῦ ιά. τίτλου τοῦ νομοκανόνου καταστρωθεῖσα, φησὶ ταῦτα ῥητῶς· Οἱ παραγγέλλοντες (3) εἰς μονήρη βίον, εἴτε ἐλεύθεροι, εἴτε δοῦλοί εἰσι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς Γραφὰς μανθάνοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μή ποτε πονηρά ἐστι, καὶ νουθετείσθωσαν· καὶ εἰ προσκαρτερήσουσι τὴν τριετίαν, καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε κειράσθωσαν, καὶ τῆς δουλείας ἐλευθεροῦνται. Τὸ ιζ'. κεφάλαιον τοῦ δ'. βιβλίου τοῦ βασιλικῶν, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ταῦτα ῥητῶς διορίζεται· Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ βίῳ ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις ἀνδράσι τε καὶ γυναιξὶ, καὶ μὴν καὶ ταῖς προϊσταμέναις ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ, ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαίζειν οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται.

(1) X. V. — ἄνευ τοῦ, γυμνάζεσθαι Κοτελ. — (2) Ματθ. ΚΓ', 24. — (3) οἱ παραγινόμενοι X. V.



Τῶν γοῦν διττῶν τούτων νεαρῶν διοριζομένων ῥητῶς, μετὰ λαϊκῶν ἐσθήτων τὴν γυμνασίαν γίνεσθαι, οὐδὲ γὰρ εἴποι τις τοὺς μίμους διὰ τριχῶν ἀποκάρσεως, καὶ ἁγίας εὐχῶν τελετῆς μιμεῖσθαι τὴν μοναδικὴν βιοτὴν, κἀντεῦθεν νοεῖσθαι καὶ μετασχηματισμὸν τὴν ἀπόκαρσιν, πῶς αὐτοὶ ἐνθουσιῶντες σατανικῶς ἀσχημονοῦσι φαυλιστικῶς κατὰ τῆς μονοτρόπου διαγωγῆς; ὅπου γε ὁ καταστρωθεὶς ἄνωθεν έ. κανὼν τῆς ἐν Κωνσταντινουπόλει πρώτης καὶ δευτέρας συνόδου, εἴπερ εἶχε ζῶσαν φωνὴν, καὶ ὠλένεσι (1) καὶ παλάμαις ἐστήρικτο, οὐ κοτύλαις ἐλέγχων, ἀλλ' ὅλοις πίθοις αὐτοὺς ἂν ἐπεστόμισεν. Ἰδοὺ γὰρ καὶ αὐτὸς ὑπὸ Πατέρων ἁγίων τελεσφορηθεὶς καὶ ἡλικιωθεὶς, καὶ ὑπὸ Πνεύματος ἁγίου ὀμματωθεὶς, ὑπὸ τούτων τοῦ ὑποκριτῶν ἐρωτώμενος, ὅπως ἡ τοῦ μετασχηματισμοῦ σημασία νοεῖται καὶ ἐκλαμβάνεται, κατὰ Στέντορα κέκραγεν· Οὐκ ἔστι τὸ μοναχικὸν σχῆμα τελείωσις καὶ ἀπόκαρσις, ἀλλὰ μοναχικῶν ἀμφίων περιβολή· δύο γὰρ προτίθησι σχήματα, κοσμικὸν καὶ μοναχικὸν, καί φησι, πρὸ τῆς τριετίας μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, εἰ μὴ ἐν σχήματι κοσμικῷ ἤνυσέ τις βίον μοναχικόν· τότε γὰρ καὶ ἑξαμηνιαῖος πρὸς δοκιμασίαν ἀρκέσει καιρός.

Εἰπάτωσαν τοίνυν αὐτοὶ, πῶς ὁ μετασχηματισμὸς εἰς ἀπόκαρσιν ἐκληφθήσεται, τοῦ κανόνος μεμνημένου καὶ σχήματος κοσμικοῦ; Ἐὰν ἡ τοῦ σχήματος σημασία ἀντὶ τελειοποιοῦ ἀποκάρσεως ἐκληφθῇ, νοηθείη καὶ τὸ εὐαγγελικὸν ῥῆμα τὸ λέγον, Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου (2), εἰς ἀποκάρσεως σημαινόμενον, ὅπερ ἄτοπον. Ὡσαύτως καὶ τὸ, ἐσχηματίσατο φιλίαν,

(1) καὶ ὠλένην X. V. — (2) ά, Κορ. Ζ', 31.

καὶ ἐσχηματίσατο δικαιοπραγίαν, καὶ τὰ λοιπά. Τούτων δὲ οὕτω μὴ ἐκλαμβανομένων, ἄραρε μοναδικὸν εἶναι σχῆμα, μὴ μόνον τὸν μετὰ ἀποκάρσεως μετασχηματισμόν, ἀλλὰ καὶ τὸν δι' ἐσθήτων μοναδικῶν μεταμφιασμόν. Πῶς δέ τις ἀπροσπαθὴς διαγνώμων εἴπῃ σχῆμα μοναδικὸν εἶναι τὴν τελείαν ἀπόκαρσιν, τῆς διαληφθείσης Ἰουστινιανείου νεαρᾶς λεγούσης κολάζεσθαι τὸν κατὰ μίμους ἐμπαίζοντα τὸ μοναδικὸν ὁπωσδήποτε σχῆμα; Εἰ κατ' αὐτοὺς τοὺς φιλομαθεῖς νοηθείη ἡ σημασία τοῦ σχήματος, εἴπῃ τις πάντως καὶ τοὺς ἀκειροκόμας μίμους καὶ ὀρχηστάς, τοὺς ταῖς θριξὶν ἐπιγαννυμένους, ἢ ἐπὶ τῇ τῆς κεφαλῆς νοερᾷ τιμιότητι, τὴν χρυσίζουσαν τρίχα κατὰ μίμησιν ἀποκείρεσθαι· καὶ τὸν χθὲς ὑπὲρ χρυσίον πολὺ καὶ τοπάζιον τῆς κορυφῆς ἀγαπῶντα τὴν τρίχωσιν, ὀβολοῖς λεπτοῖς αὐτὴν προϊέμενον, καὶ κατὰ μαστιγίας πολιτευόμενον· ὅπερ πᾶσαν ὑπερβαίνει λόγου σαθρότητα.

Συνάγεται τοίνυν ἐξ ἀληθῶν καὶ ἀναντιρρήτων προτάσεων, μὴ μόνον τὴν ἀδοκίμαστον ἀπόκαρσιν ὑπὸ τοῦ κανόνος κολάζεσθαι, ἀλλὰ καὶ αὐτὸν τὸν μετασχηματισμόν. Καὶ ὥσπερ ὁ τελείας τυχὼν ἀποκάρσεως, πρὸ τῆς τριετοῦς προθεσμίας οὐ συγχωρεῖται τὴν διαγωγὴν ἀθετῆσαι, καὶ εἰς βίον μετενεχθῆναι κοσμικόν, διὰ τὴν τῆς ἀκανονίστου ἀποκάρσεως πρόφασιν, ἀλλ' εἰς ἕτερον μοναστήριον παραδίδοται μοναδικὴν ἀκρίβειαν συντηροῦν, οὕτω καὶ ὁ ῥασοφορήσας, πρὸ τῆς τριετίας οὐκ εἰσακουσθήσεται, λέγων· Μετάμελος γέγονα· λογίζεται γάρ μοι τὸ φορτίον τοῦ μονήρους βίου βαρύτατον, καὶ οἷον ἄχθος ἀνόνητον (1). Θέλω οὖν μὴ ἐπὶ πλέον καταποντοῦσθαι τὴν ψυχικὴν (2) ὁλκάδα μετὰ τοῦ βάρους τῆς μοναδικῆς καταστάσεως, ἀλλὰ μετὰ λαϊκῶν ὀθονίων μετεωρίζεσθαι. Ἀκούσει δὲ μᾶλλον, ὡς ἐξῆν σοι μετὰ Προμηθέως ταῦτα προδιασκέψασθαι, καὶ μετὰ σχήματος λαϊκοῦ τῆς δυνάμεώς σου λαβεῖν ἀρκοῦσαν δοκιμὴν καὶ ἀπόπειραν. Ἑκόντι δὲ τῇ δοκιμασίᾳ ἀποταξάμενος, καὶ κατὰ μοναχοὺς μετασχηματισθείς, οὐκέτι διὰ τὸν ἀσύνετόν σου Ἐπιμηθέα παραχωρηθήσῃ ὑποστρέψαι κακῶς, ὅθεν ἐξῆλθες καλῶς· ἀλλ' ἀναγκασθήσῃ ὡς βοῦς ἀπειρόζυγος, ἐπιγνῶναι τὸν κτησάμενόν σε Θεόν, καὶ ὡς ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ(3)· καὶ εἰ μὴ εὐσυνθετεῖς πρὸς τὸ

(1) Χ. V. ἀπώμοτον, Κοτελ. (2) Χ. V. τὴν ψυχὴν Κοτελ. (3) Ἡσαΐ. Α', 3.



ὄφλημα, μηδὲ δίδως ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου τὸ ἐπάγγελμα, παραδοθήσῃ τῇ δικαιοδοσίᾳ τῆς ἐπισκοπικῆς ἀποφάσεως, καὶ ἐμβληθήσῃ εἰς φυλακήν· ἀμήν, ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, εἰ μὴ κατάθῃ ἀποδοῦναι τὸν ἔσχατον κοδράντην (1) τῆς ἀποκάρσεως.

Ἐπὶ τούτοις ἐροῦσι, καὶ πῶς τοῦ κανόνος διοριζομένου μὴ μετασχηματίζεσθαί τινα πρὸ τοῦ τριετίαν παραδραμεῖν, οἱ σήμερον κατὰ πᾶσαν τὴν οἰκουμένην ἡγουμενεύοντες, τοὺς προσερχομένους αὐτοῖς, μηδὲ διημερεύσαντας σχεδὸν εἰς πολιτείαν μοναδικήν, οὐ μόνον ἀποκριματίστως μετασχηματίζουσι καὶ μετονομάζουσιν, ἀλλὰ καὶ τελειοποιοῦσι δι' ἀποκάρσεως; Εἰ τὰ τοῦ κανόνος νοοῦνται καὶ ἐκλαμβάνονται καθὼς ἄνωθεν εἴρηται, ὤφειλον οἱ τῶν μοναστῶν καθηγηταί, τοὺς ζητοῦντας διὰ μοναδικῆς καταστάσεως ἐν μονῇ διατρίβειν, καὶ κατὰ μοναχοὺς πολιτεύεσθαι, ἀπολυπραγμονήτως μὴ παραδέχεσθαι, ἀλλ' ἀναδιδάσκειν τὸ κανονικὸν θεσπιῴδημα, καὶ ἐπιτρέπειν μετὰ λαϊκοῦ πρότερον γυμνάζεσθαι σχήματος, καὶ οὕτω κατὰ μοναχοὺς μετασχηματίζεσθαι· τοιούτου δέ τινος μὴ γινομένου παρ' αὐτῶν, οἱ μὲν ῥασοφορήσαντες, ἐλπίδι δοκιμασίας καὶ μεταμέλου κουφίζοντος τὸ παρὰ δύναμιν τόλμημα, συγγνωστέοι ὡς ἀκατάγνωστοι ἔσονται· οἱ δὲ τὴν τοῦ θείου κανόνος περίληψιν ἀθετήσαντες καθηγηταὶ καὶ ἀνάδοχοι, εὐθύναις κανονικαῖς καθυποβληθήσονται.

Ἀκουσάτωσαν τοίνυν καὶ πρὸς ταῦτα, ὡς τὸ μὲν διαληφθὲν κανονικὸν θεσπιῴδημα, καλῶς διεφωτίσθη καὶ ἡρμηνεύθη τῇ χάριτι τοῦ Θεοῦ· οἱ δὲ καθηγηταὶ τῶν μοναστηρίων, οὐδέν τι ποιοῦσιν ἀκανόνιστον, οὐδὲ τοῖς Πατράσιν ἐναντιοῦνται, τοὺς προσερχομένους αὐτοῖς ἀπεντεῦθεν κατὰ μοναχοὺς μετασχηματίζοντες, ἢ καὶ τελειοποιοῦντες δι' ἀποκάρσεως. Φησὶ γὰρ τὸ γ'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ νδ'. κεφάλαιον τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ταῦτα ῥητῶς· Εἴ τις δὲ εἰς μοναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν ἵνα, εἰ μὲν γνώριμός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου, ὅτε συνίδῃ, τὸ σχῆμα αὐτῷ παράσχῃ· εἰ δὲ μὴ γνω-

(1) Ματθ. Ε', 25, 26.

ρίζεται, εἰ οἱαδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαβεῖν αὐτὸν τὸ μοναχικὸν σχῆμα· ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου, ἀποπειράσθω τῆς τούτου ἀναστροφῆς ὁ ἡγούμενος τούτου. Καὶ ὁ μὲν κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διοριζόμενος, τὸν δεκαετοῦς(1) ἡλικίας γενόμενον ἀποκείρεσθαι, προστίθησι παρὰ τῷ προέδρῳ κεῖσθαι τὴν τούτου δοκιμασίαν, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν.

Οὐδὲν τοίνυν ἀπεικὸς, οὐδὲ ἀκανόνιστον οἱ καθηγηταὶ διαπράττονται, τοὺς προσερχομένους αὐτοῖς μετασχηματίζοντες ἀπεντεῦθεν, καὶ μὴ ἀναμένοντες τριετίας παραδρομήν· ἐνεδόθη γὰρ αὐτοῖς ἀπροκριματίστως τοῦτο ποιεῖν, ὅταν ὁ προσερχόμενος ἰθαγενής ἐστι καὶ ἐγχώριος, καὶ ἄλλως πως γνωστέος αὐτοῖς· δι' ὃ καὶ ὡς (2) ἄλλην σφραγίδα τοὺς ὁρῶντας ἀναδιδάσκουσαν τοῦ ποιμνίου αὐτοῦ τὰ ἐπίσημα, ἐπέθεντο τούτοις τὰ ἱερώτατα ἄμφια. Τὴν μὲν τελειοποιοῦσαν ἀπόκαρσιν ἀνήρτησαν, οὐ χάριν δοκιμασίας, ὡς οἱ δεινοὶ τοῦ ψεύδους λογισταί φασι, καὶ τὴν ἀλήθειαν κιβδηλεύοντες, οὐδὲ ὡς τρυτάνην ἀμφίῤῥοπον τὸν μετασχηματισμὸν πεποιήκασιν, ἀλλ' ἵνα διὰ μαθητείας ὁ μετασχηματισθεὶς γαλακτοτροφηθῇ, διὰ προσευχῆς ἡλικιωθῇ, δι' ἐγκρατείας ἀῤῥενωθῇ, καὶ διὰ ταπεινώσεως τελεσφορηθῇ, καὶ οὕτω καθά τις ἀνεπίληπτος στρατιώτης Χριστοῦ, τῷ στρατολογήσαντι αὐτὸν παραστῇ γεννάδας, ὁπλιτοπάλας, ἀκοντιστὴς, τὴν ἁγνείαν ἐνδεδυμένος ὡς θώρακα, ὡς θυρεὸν τὴν μετάνοιαν, ὡς κόρυθα τὴν ὑπακοὴν, ὡς τόξον τὴν προσευχὴν, ὡς δόρυ τὴν ἡσυχίαν, ὡς φάσγανον τὴν ἐγκράτειαν, ὡς κουλεὸν τὴν ὑπομονὴν, καὶ ὡς σάκος ἑπταβόειον τὴν ταπείνωσιν· καὶ ἁπλῶς ἀγωνιστὴς ἐντελέστατος, μήτε διὰ τὸν ἐμπρόσθιον πόλεμον τοῦ σατᾶν, τὸν ἀναιδῶς δηλαδὴ καὶ κατὰ πρόσωπον ὑπαντῶντα παλινδρομῶν, μήτε διὰ τὸν οὐραῖον καὶ ἀφανῆ ἐμπροσθοδρομῶν· ἀλλ' ἐν μὲν τοῖς ἀγχιμάχοις τῶν παθῶν λογισμοῖς προθρώσκων ὥς τις ἀκαταμάχητος, ἐν δὲ τοῖς ὑπούλοις καὶ ἐνεδρεύουσι παρεκκλίνων ὥς τις ἀνεπιβούλευτος· τοὺς ἐκ δεξιῶν τῆς νίκης καιροσκοποῦντας τὴν ἔφο-

(1) X. V. — δωδεκαετοῦς ἡλικ. — (2) X. V. — ἄνευ τοῦ, ὡς, Κοτελλ.

δον, διὰ δεξιᾶς συνέσεως ἀμυνόμενος, καὶ τοὺς ἐξ ἀριστερῶν κατατρέχοντας κατατοξάζων ἱεροῖς ψαλτῳδήμασιν· ὁ γὰρ ἀληθὴς στρατιώτης τοῦ Θεοῦ, οἶδε ἐπὶ δεξιὰ μεταγαγεῖν ἤδ' ἐπ' ἀριστερὰ τὸ ἀζαλέον τῆς σωτηρίας ἀκόντιον.

Ὅταν τοίνυν τοιοῦτον* (1) καταστήσῃ στρατιώτην Θεοῦ ὁ ἀνάδοχος τὸν ἀναδεχθέντα, τὸν ὁδηγούμενον ὁ καθηγητὴς, καὶ τὸν μαθητὴν ὁ διδάσκαλος, ἐμφανίζει αὐτὸν τῷ Βασιλεῖ καὶ Θεῷ, καθά τις ςρατηγὸς δεξιὸς, καὶ μαλακαῖς ὁμιλίαις ζητεῖ τὴν πρὸς Θεὸν προτέραν ἐπαγγελίαν αὐτοῦ διὰ δευτέρας ἀνωμότου στηρίξαι προθέσεως· τοῦτο ὅπερ συνήθως καὶ εἰς τὴν τοῦ ἐπιγείου βασιλέως στρατολόγησιν γίνεται· ἀλλ' ἐκεῖ μὲν μόνη ἀπογραφὴ στρατιωτικῆς τελεῖται δουλώσεως· ἐνταῦθα δὲ καὶ τῆς κοσμικῆς αἰχμαλωσίας ἀπολύτρωσις δίδοται. Τὴν γὰρ σαρκικὴν ποδοκάκην, ἣν ὁ σατὰν αὐτῷ περιέθετο, τέμνει διὰ μαχαίρας μεριζούσης σάρκα καὶ πνεῦμα(2)· καὶ ὡς ἤδη τοῦ κοσμικοῦ δεσμωτηρίου τὰς ἀλυτοπέδας διαδράντα τὸν ἄνθρωπον, δέχονται οἱ συστρατιῶται καὶ συνηγήτορες, καθὼς τὸν μέγαν Παῦλον οἱ δεσμοφύλακες(3)· καὶ ὡσεί τινα λῃστευθέντα, ἢ αἰχμαλωτισθέντα, καὶ ἐκ τῆς λῃστείας ἢ τῆς αἰχμαλωσίας ἐλευθερωθέντα, κατασπάζονται καὶ ἀγκαλίζονται, καὶ διὰ μύρου καὶ ἀρωμάτων μυρεψικῶν ὑποδέχονται· καὶ τέλος, διαδέχεται τὸν κατὰ Θεὸν ἀσπασμὸν λαμπαδουχία, καὶ προπομπὴ, καὶ νικητήρια ᾄσματα.

Οὕτω καὶ διὰ ταῦτα κατανοεῖται τέως ἐμοὶ, τῶν ἀδοκιμάστων καὶ ἀγνωρίστων ἀναρτᾶσθαι τὴν διὰ τῆς ἀποκάρσεως τελείωσιν· οὐ μὴν ἵνα κατὰ σκηνικοὺς διαπαίξωσι τὸ μοναχικὸν ἅγιον σχῆμα, καὶ κατὰ κύνας εἰς τὸν ἴδιον ἔμετον ἐπιστρέψωσιν(4). Ὁ γοῦν παρακαλούμενος ῥασοφόρος ὑπὸ τοῦ οἰκείου καθηγητοῦ, τελειωθῆναι δι' ἀποκάρσεως, καὶ τῆς δωρεᾶς τὴν χάριν ἀναβαλλόμενος, μᾶλλον μὲν οὖν καὶ δικαιολογούμενος, ἐπ' ἐξουσίας ἔχειν, κακῶς μεταμέλεσθαι, καὶ εἰς τὴν κοσμικὴν προτέραν ὑποστρέφειν ἀναστροφὴν, ἔοικε τῷ πεσόντι πρὸς θαλάττιον πέλαγος, καὶ ἀναῤῥιχωμένῳ μὲν σωτηρίαν εὑρεῖν, ἀποστρε-

(1) Χ. V. — ἄνευ τοῦ, τοιοῦτον, Κετιλ. — (2) Ἑβρ. Δ', 12. — (3) Πράξ. ΙϚ', 23. — (4) Παροιμ. ΚϚ', 11.

φομένῳ δὲ τὴν δεξιὰν τοῦ τοῦτον πρὸς σωτηρίαν ἑλκύοντος· τῷ ζητήσαντι χρεῶν ἐκκοπὴν, καὶ τοῦ δανειστοῦ διαῤῥήσσοντι τὴν ἀθώωσιν· τῷ κατὰ γῆς χώσαντι σπόριμα, καὶ μὴ ἀνεχομένῳ τὸν ἄσταχυν· ἢ κατὰ λόγον ἁρμοδιώτερον(2), ἀνδρὶ μαστιγίᾳ θέλοντι διὰ πυρὸς διελθεῖν, ὅτι ποδοκάκης κάκωσιν οὐχ ὑφίσταται· ἀνδρὶ μετὰ σθεναρῶν ὅπλων δειλαινομένῳ μαχέσασθαι, καὶ τολμῶντι τὴν μάχην ὁπλοφορίας ἀπάνευθεν· ἀνδρὶ τὰ φῶτα παραιτουμένῳ τοῦ γίγαντος, καὶ τὴν ἀβλεψίαν σπινθῆρι μικρῷ θεραπεύοντι· ἀνδρὶ τὴν σωτηρίαν τοῦ λιμένος λογιζομένῳ ναυάγιον.

Ταῦτα οὕτως ἡμῖν ἐγνωματεύθησαν καὶ διετυπώθησαν· οὕτως ἡ τῶν θείων κανόνων ἀνάντης ἑρμηνεία ἐξωμαλίσθη· οὕτως ἡ τραχεῖα καὶ ἀδιόδευτος, εὐδιόδευτος κατέστη καὶ μαλακότριβος, ὡς ἡμῖν τέως δοκεῖ. Εἰ μὲν οὖν δόξει ἀρεστὴ καὶ τῇ σῇ ὁσιότητι, χάρις τῷ Θεῷ· εἰ δὲ μὴ, γενέσθω καθὼς σοι ἐν τῷ προοιμίῳ παρεδηλώσαμεν.

---

(2) ἕτερον, προστίθησι τὸ Χ Υ.

## ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

### ΤΩ ΙΕΡΩΤΑΤΩ ΜΗΤΡΟΠΟΛΙΤΗ ΦΙΛΙΠΠΟΥΠΟΛΕΩΣ ΚΑΙ ΥΠΕΡΤΙΜΩ,

*Περὶ τοῦ μὴ ἀναγινώσκειν βιβλίον μαθηματικόν.*

ΟΥΤΕ γῆρας πρὸς ἀρετήν ἐστιν ἀναξιόπιστον, παιδεύεται γάρ, φησὶ, καὶ πολιά· οὔτε νεότης πρὸς σοφίαν ἐστὶν ἀναξιόπιστος, ἡλικιοῦται γὰρ καὶ σοφίζεται. Ὅθεν καὶ ἡμεῖς, κἂν πρὸς γῆρας κατηντήσαμεν ἔσχατον, μαθητείας καὶ παιδείας οὐκ ἀποστρεφόμεθα· θέλομεν γὰρ διὰ βίου παιδεύεσθαι. [Ἐπεὶ δὲ ἠγήσατο](1) καὶ τῆς σῆς σοφίας τὸ μέγεθος οὐκ ἀνάξιον ἀπὸ γηραιοτέρας γλώττης ἀκοῦσαί τι μὴ [παντελῶς] (2) αὐτῇ μὲν ἀγνοούμενον, ἐκκλησιαστικαῖς δὲ μερίμναις, ὡς εἴωθεν, ἐπηλυγαζόμενον, (χάριν ὧν οὐκ ἐριστικῶς ἀλλ' ἐρωτηματικῶς ὡμιλήσαμεν πρότριτα), περὶ τοῦ ὀφείλειν εἰδέναι, εἴτε καὶ μὴ, τὰς τῶν οὐρανίων σωμάτων δυνάμεις καὶ φύσεις ὡς ἀναγκαίας, εἴτε καὶ μὴ, ἀκουσάτω. Οὐ νῦν πρώτως, ἀλλ' οὐδὲ παρ' ἡμῖν μόνοις τὰ περὶ τούτου κατεξητάσθησαν. Ἐξότου δὲ τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ ταῦτα σὺν τῷ παντὶ παρὰ Θεοῦ ἐδημιουργήθησαν Παντοκράτορος, Χαλδαῖοί τε, καὶ Πέρσαι, καὶ Ἕλληνες, καὶ οἱ τῆς τετάρτης ταύτης βασιλείας τῶν Ῥωμαίων σοφώτεροι πολλὴν περὶ τούτων πεποιήκασι ζήτησιν. Ἀλλ' ἐκεῖ μὲν οἱ τῶν τριῶν βασιλειῶν ἡγήτορές τε καὶ μέδοντες, καὶ ὅσοι τὴν τούτων μάθησιν δῆθεν ἐπιστημόνως ἐξήσκουν, τὰ πλεῖω τούτων θεοὺς εἰπεῖν ἐφαντάσθησαν, καὶ τοῦ παντὸς τὴν κυβέρνησιν τολμηρῶς δι' αὐτῶν ἐγνωμολόγησαν γίνεσθαι· τὸν γὰρ κτίστην τούτων καὶ ποιητὴν ἀγνοήσαντες, τοῖς κτίσμασιν ὡς σώζουσι προσετέθησαν. Οἱ δὲ Ῥωμαῖοι, καὶ μᾶλλον ἐξότου τὸ τρισάγιον φῶς τῆς θεότητος εἰς τὰ πέρατα τοῦ κόσμου διέδραμε, καὶ τὸ περίγειον κατεφώτισε, καὶ οἱ πρὶν κατὰ βόας καὶ ὄνους ἀλογίᾳ

---

(1) δυσανάγνωστον ἐν τῷ X. V, τῶν νομικῶν Κωδίκων τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, ἐξ οὗ ἐλήφθη ἡ μέχρι τοῦδε ἀνέκδοτος αὕτη μελέτη τοῦ Βαλσαμῶνος, καὶ ἀνεπληρώθη ὡς ἐκ τῆς ἐννοίας. — (2) κενὸν ἐν τῷ X. V.

συζῶντες καὶ πάθεσι, τὸν κτησάμενον αὐτοὺς διὰ θεοῤῥύτου αἵματος ἔγνωσαν καὶ κατησπάσαντο, καὶ τὴν φάτνην τοῦ Κυρίου αὐτῶν πληθυνομένην εἶδον θεοδιδάκτων διδαγμάτων, καὶ ψυχὰς ἀλόγους δι᾽ ὀρθοδόξων δογμάτων σιτίζουσαν, τὰ τῆς μαθηματικῆς ἐπιστήμης κατήργησαν ὡς θεοστυγῆ. Ἴδωμεν οὖν πρῶτον τί τοῖς νομοθέταις περὶ τούτου δοκεῖ, καὶ τοῖς φιλοχρίστοις ἐκείνοις καὶ εὐσεβέσι βασιλεῦσι, τοῖς καταρτίσασι καὶ ὑψώσασι τὰ τῶν νόμων κωδίκια, δι᾽ ὧν ἑκόντες μὲν βασιλεύουσι βασιλεῖς, ἱερεῖς δὲ καὶ ἄρχοντες, καὶ τὸ στρατιωτικὸν φῦλον καὶ χειρωνακτικὸν, καὶ τὸ ἀγελαῖον καὶ δημοτικὸν, καὶ σύμπας ἁπλῶς ὁ χριστώνυμος τοῦ Κυρίου λαὸς, ἑκόντες ἀέκοντες τῇ χάριτι τοῦ Θεοῦ καλῶς διεξάγονται· καὶ οὕτως ἐπὶ τὰς τῶν ἁγίων Πατέρων φωνὰς τὸν λόγον μεταγαγόντες ἐπισφραγίσωμεν τὸν ἐπίλογον.

Τέτταρα μαθήματα ὑπὸ τῶν θύραθεν σοφῶν ἐδιδάχθησαν, καὶ εἰς τοὺς σοφίαν καὶ γνῶσιν θέλοντας διεδόθησαν. Εἰσὶ δὲ ταῦτα· γεωμετρία, ἀριθμητικὴ, μουσικὴ, καὶ ἀστρονομία. Ἀλλὰ τὰ μὲν τρία νενόμισται πολιτεύεσθαι καὶ διδάσκεσθαι· ἡ δὲ ἀστρονομία ἀπηγόρευται. Φησὶ γὰρ κεφάλαιον κβ'. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου, καταστρωθὲν καὶ ἐν τῷ θ'. τίτλῳ τοῦ νομοκανόνου, ταῦτα ῥητῶς· Ἡ μὲν γεωμετρικὴ δημοσίᾳ διδάσκεται, ἡ δὲ μαθηματικὴ κατακρίνεται, ὡς ἀπηγορευμένη. Καὶ ὁ ἔξωθεν αὐτοῦ παλαιὸς, μαθηματικὴν εἶπε τὴν ἀστρονομίαν. Καὶ κεφάλαιον ιζ'. τοῦ ά. τίτλ. τοῦ γ'. βιβλίου, καταστρωθὲν ἐν τῷ ιγ'. τίτλῳ τοῦ νομοκανόνου· Οἱ μαθηματικοὶ τὰς οἰκείας βίβλους ἐπ᾽ ὄψεσι τῶν ἐπισκόπων καιέτωσαν· οὗτοι δὲ τῇ ὀρθοδόξῳ θρησκείᾳ παραδιδόσθωσαν, μηδεμιᾶς παρόδου πρὸς τὴν οἰκείαν πλάνην ἐλπίδα παραφυλάττοντες· μὴ ὑπακούοντες δὲ, ἐκ τῆς Ῥώμης αὐτῆς, καὶ τῆς ἐν ἑκάστῃ πόλει διαγωγῆς ἐκβεβλήσθωσαν. Εἰ γὰρ μετὰ ταῦτα ἢ ἐν πόλει φανῶσιν, ἢ ταῖς ἑαυτῶν χρώμενοι διδασκαλίαις, ἐξοριζέσθωσαν. Καὶ ὁ λς'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου· Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἅτινά ἐστι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν· τοὺς δὲ φοροῦντας ῥίπτεσθαι ἐκ τῆς Ἐκκλησίας



ἐκελεύσαμεν. Ἀπὸ δὲ τῶν ἁγίων Πατέρων, τὸ μὲν χρυσοῦν τῆς διδασκαλίας στόμα, ὁ τῆς ὀρθοδοξίας μέγας φωστὴρ Ἰωάννης, ἑρμηνεύων τὸ Μωσαϊκὸν ῥῆμα τὸ λέγον, »Καὶ εἶπεν ὁ Θεὸς γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας, καὶ ἀναμέσον τῆς νυκτὸς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς(1), λέγει ταῦτα ῥητῶς· Διδάξαι ἡμᾶς βούλεται ἡ θεία Γραφὴ, ὡς ὁ τούτων δρόμος τὴν γνῶσιν ἡμῖν χαρίζεται τῶν καιρῶν, καὶ τῆς τῶν τροπῶν ἐναλλαγῆς, τῶν ἡμερῶν τὸν ἀριθμὸν, τοῦ ἐνιαυτοῦ τὸν δρόμον, καὶ ἐκ τούτων δυνάμεθα διαγινώσκειν ἅπαντα· καὶ γὰρ ὁ κυβερνήτης πρὸς τὸν τούτων δρόμον ὁρῶν, καὶ ἀτενίζων εἰς τὸν οὐρανὸν, καὶ μετ᾽ ἀκριβείας ἅπαντα καταμανθάνων, τότε τῆς ναυτιλίας ἅπτεται, καὶ πελάγη διαπερᾷ· καὶ πολλάκις ζοφωδεστάτης οὔσης τῆς νυκτὸς, ἀπὸ τῆς τῶν ἄστρων θεωρίας ἠδυνήθη τὸ σκάφος ἰθῦναι, καὶ διὰ τῆς οἰκείας τέχνης τὴν σωτηρίαν τοῖς ἐμπλέουσι χαρίσασθαι. Καὶ ὁ γηπόνος δὲ ἐντεῦθεν ἀναμανθάνειν οἶδε, πότε μὲν προσήκει τὰ σπέρματα καταβαλεῖν, πότε δὲ τὴν γῆν ἀναμοχλεῦσαι, καὶ ἄροτρον ἑλκύσαι, καὶ πότε τὴν δρεπάνην ἀκονίσαι, καὶ ἀμητὸν τῶν σπερμάτων ἐργάσασθαι. Καὶ εἰς τὴν τοῦ βίου σύστασιν οὐκ ὀλίγα ἡμῖν συμβάλλεται ἡ τῶν χρόνων εἴδησις, ὁ τῶν ἡμερῶν ἀριθμὸς, ὁ τοῦ ἐνιαυτοῦ κύκλος· καὶ πολλὰ ἄν τις εὕροι πρὸς τὴν ἀνθρωπίνην σύστασιν ἀπὸ τούτων τῶν δημιουργημάτων συντελούμενα, ἅπερ οὐκ ἂν δυνηθείη τις μετὰ ἀκριβείας ἅπαντα εἰπεῖν(2). Ὁ Θεοδώρητος ἑρμηνεύων τὸ αὐτὸ Μωσαϊκὸν ῥῆμα, ταῦτα φησί· Τὸ δὲ εἰς σημεῖα, οὐ κατὰ τοὺς ἀνοήτους νοοῦμεν εἰπεῖν· τῆς γὰρ γενεθλιαλογίας τὴν ματαιολογίαν, οὐδὲ Πυθαγόρας, οὐδὲ Σωκράτης, οὐδὲ Πλάτων, οὐδὲ οἱ Στωϊκοὶ προσεδέξαντο. Εἰ δὲ οἱ τοῖς μύθοις ἐντεθραμμένοι, τοῦδε τοῦ μύθου τὸ ἀσεβὲς ἐβδελύξαντο, τίς ἂν τοῖς θείοις πιστεύων λογίοις, τῶν οὐ δυσσεβῶν μόνον ἀλλὰ καὶ λίαν ἀνοήτων ἀνάσχοιτο λόγων; Σημεῖα τοίνυν ἡ θεία καλεῖ Γραφὴ, τοῦ εἰδέναι σπόρου καιρὸν, τοῦ ξύλα τεμεῖν εἰς ναυπηγίαν καὶ οἰκοδομίαν ἐπιτήδεια(3). Ὁ Δαμασκόθεν

(1) Γεν. Α'. 14. — (2) Χρυσοστ. ὁμιλ. ς'. περὶ Γεν. (3) περὶ Γεν. Ἑρ. ιδ'

ὁρμώμενος ποιητὴς καὶ μέγας διδάσκαλος Ἰωάννης, περὶ τῶν οὐρανίων διδασκαλίαν ποιούμενος, ἐν μέρει ταῦτα φησίν· Οἱ μὲν οὖν Ἕλληνες διὰ τῆς τῶν ἀστέρων τούτων ἡλίου τε καὶ σελήνης ἀνατολῆς, καὶ δύσεως, καὶ συγκρούσεως, φασὶ πάντα διοικεῖσθαι τὰ καθ᾿ ἡμᾶς· περὶ ταῦτα γὰρ ἡ ἀστρολογία καταγίνεται. Ἡμεῖς δέ φαμεν, ὅτι σημεῖα μὲν καὶ ἐξ αὐτῶν γίνονται ὄμβρου καὶ ἀνομβρίας, ψύξεώς τε καὶ θέρμης, ὑγρότητος καὶ ξηρότητος, καὶ ἀνέμων, καὶ τῶν τοιούτων· τῶν δὲ ἡμετέρων πράξεων οὐδαμῶς· ἡμεῖς γὰρ αὐτεξούσιοι ὑπὸ τοῦ δημιουργοῦ γενόμενοι, κύριοι τῶν ἡμετέρων ὑπάρχομεν πράξεων. Εἰ γὰρ ἐκ τῆς τῶν ἄστρων φορᾶς πάντα πράττομεν, κατ᾿ ἀνάγκην πράττομεν ἃ πράττομεν· τὸ δὲ κατ᾿ ἀνάγκην πραττόμενον, οὔτε ἀρετή, οὔτε κακία ἐστίν. Εἰ δὲ μήτε ἀρετήν, μήτε κακίαν κεκτήμεθα, οὔτε ἐπαίνων καὶ στεφάνων, οὔτε ψόγων καὶ κολάσεων ὑπάρχομεν ἄξιοι· εὑρεθήσεται δὲ καὶ ὁ Θεὸς ἄδικος, τοῖς μὲν ἀγαθά, τοῖς δὲ θλίψεις διδούς. Ἀλλ᾿ οὐδὲ κυβέρνησιν, οὐδὲ τῶν αὐτοῦ κτισμάτων ὁ Θεὸς ποιήσεται πρόνοιαν, καὶ κατὰ ἀνάγκην ἄγονται τὰ πάντα καὶ φέρονται. Καὶ τὸ λογικὸν δὲ περιττὸν ἐν ἡμῖν ἔσται· μηδαμῶς γὰρ ὄντες πράξεως κύριοι, περιττῶς βουλευόμεθα· τὸ δὲ λογικὸν πάντως τῆς βουλῆς ἡμῖν ἕνεκεν δέδοται· ὅθεν πᾶν λογικὸν καὶ αὐτεξούσιον(1). Ἡμεῖς οὖν φαμεν, ὅτι οὐκ αὐτὰ αἴτιά τινά εἰσι τῶν γινομένων, οὔτε γενέσεως τῶν γινομένων, οὔτε τῶν φθειρομένων φθορᾶς, σημεῖα δὲ μᾶλλον ὄμβρων, καὶ τῆς τοῦ ἀέρος μεταβολῆς· ἴσως δὲ ἄν τις εἴποι, ὅτι καὶ πολέμων οὐκ αἴτια, ἀλλὰ σημεῖα. Ὁ μέγας ἐν θεολόγοις Γρηγόριος ἐν τῷ κατὰ Ἰουλιανοῦ στηλιτευτικῷ δευτέρῳ λόγῳ αὐτοῦ, μετὰ τὸ διηγήσασθαι τὰ περὶ τοῦ φανέντος ἐν τῷ οὐρανῷ φωτὸς διὰ σημείου σταυρικοῦ, ταῦτα φησί· Πρὸς ταῦτα τί φήσουσιν οἱ τοῦ αἰῶνος τούτου σοφοί, καὶ τὰ παρ᾿ αὐτοῖς ἀποσεμνύνοντες, οἱ τὰς βαθείας ὑπήνας ἕλκοντες, καὶ τὸ κομψὸν περισύροντες ἡμῖν τριβώνιον; Ἀντιδιήγησαί μοι καὶ σὺ τὰ σά, ὁ τοὺς μακροὺς λόγους γράφων, καὶ τὰς ἀπίστους συντιθεὶς ἱστορίας, καὶ κεχηνὼς πρὸς τὰ ἄνω, καὶ τῶν οὐρανίων καταψευδόμενος, καὶ πλέκων ἐκ τῆς τῶν ἀστέρων κινήσεως τὰς γενέσεις

(1) Δαμασκ. Τ. Α΄. σελ. 156.



καὶ τὰ συμβαίνοντα. Λέγε μοι καὶ σὺ τοὺς σοὺς ἀστέρας, τὸν Ἀριάδνης στέφανον, καὶ τὸν Βερενίκης πλόκαμον, καὶ τὸν ἀσελγῆ κύκνον, καὶ τὸν ὑβριστὴν ταῦρον· εἰ δὲ βούλει, τὸν ὀφιοῦχόν σου, καὶ τὸν αἰγόκερων, καὶ τὸν λέοντα, ἄλλους τε ὅσους ἐπὶ τῷ κακῷ γνωρίσας, ἢ θεούς, ἢ ἀστέρας ἐποίησας. Ποῦ σὺ τοῦτον ἔχεις τὸν κύκλον ἐν τοῖς σοῖς μαθήμασι; Ποῦ δὲ τὸν ἐπὶ Βηθλεὲμ δραμόντα πρότερον ἐκ τῆς ἑῴας ἀστέρα, τὸν ὁδηγὸν τῶν σῶν Μάγων καὶ πρόξενον; Ἔχω τι κἀγὼ λέγειν ἐκ τῶν οὐρανίων. Ἐκεῖνος τὴν τοῦ Χριστοῦ παρουσίαν ἀνεδήλωσεν ὁ ἀστήρ· οὗτος τῆς Χριστοῦ νίκης ὁ στέφανος(1). Ὁ δὲ μέγας Βασίλειος ἑρμηνεύων τὸ τοιοῦτον ῥητόν, μετὰ τῶν ἄλλων καὶ ταῦτα φησίν· Ἀναγκαῖοι πρὸς τὸν ἀνθρώπινον βίον αἱ ἀπὸ τῶν φωστήρων σημειώσεις· καὶ ἂν μή τις πέραν μέτρου τὰ ἀπ᾿ αὐτῶν σημεῖα περιεργάζηται, χρησίμους αὐτῶν τὰς ἐκ τῆς μακρᾶς ἐμπειρίας παρατηρήσεις εὑρήσει. Πολλὰ μὲν γὰρ περὶ ἐπομβρίας ἐστὶ μαθεῖν, πολλὰ δὲ περὶ αὐχμῶν καὶ πνευμάτων κινήσεως, ἢ μερικῶν, ἢ καθόλου βιαίων, ἢ ἀνειμένων· ἓν γὰρ τῶν ἀπὸ τοῦ ἡλίου παραδεικνυμένων καὶ ὁ Κύριος ἡμῖν παραδέδωκεν εἰπών, ὅτι χειμὼν ἐστι, στυγνάζει γὰρ πυῤῥάζων ὁ οὐρανός(2)· καὶ ἐφεξῆς τὸν περὶ τούτου λόγον φιλοσοφήσας ἄριστα καὶ σχεδὸν ὑπὲρ ἄνθρωπον, λέγει τὰς ἡλιακὰς ἅλως, τοὺς ἀνθηλίους, καὶ τὰς κατὰ τὴν χρόαν τῆς ἴριδος ῥάβδους, καὶ πλήθη ἀερίων ὑδάτων, ἢ πνευμάτων βιαίων ὑποφαίνειν κίνησιν. Οἱ δὲ ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες, ἐπὶ τὴν συνηγορίαν τῆς γενεθλιαλογίας τὸν λόγον ἕλκουσι, καὶ λέγουσι προσηρτῆσθαι τὴν ἡμετέραν ζωὴν τῇ κινήσει τῶν οὐρανίων, καὶ διὰ τοῦτο ἐκ τῶν ἄστρων γίνεσθαι παρὰ τῶν Χαλδαίων τὰς σημειώσεις τῶν περὶ ἡμᾶς συμπτωμάτων· καὶ ἁπλοῦν ὄντα τῆς Γραφῆς τὸν λόγον, Ἔστωσαν εἰς σημεῖα, οὐχὶ ἐπὶ τῶν περὶ τὴν ἄκραν τροπῶν, οὐδὲ τῶν περὶ τὰς ὥρας μεταβολῶν, ἀλλ᾿ ἐπὶ τῆς τῶν βίων ἀποκληρώσεως πρὸς τὸ δοκοῦν ἑαυτοῖς ἐξακούουσι. Καὶ οὕτω πολὺν κατάγελων κατὰ τοῦ μαθήματος τῆς ἀστρονομίας ποιούμενος, καὶ τοῖς τὰς συμπλοκὰς καὶ τὰ σχήματα τῶν ἄστρων δοξάζουσι τοιάσδε γενέσεις καὶ σχέ-

(1) Γρηγορ. Ναζ. κατὰ Ἰουλ. στηλιτ. Β΄. — (2) Ματθ. 15΄, 3.

σεις ἀποτελεῖν καὶ τῶν βίων ἀποκληρώσεις, ἀποστῆναι τούτου παρεγγυώμενος, καὶ τοῖς λοιποῖς ἀσφάλειαν περὶ τοῦ μὴ τοῖς ὁμοίοις περιπεσεῖν ἐμποιούμενος, καὶ ἁπλῶς εἰς τὸ ἀναπόδεικτον, καὶ ἀλυσιτελὲς, καὶ ἀναποτέλεστον συμπεράνας τοῦ μαθήματος τούτου τὴν σεμνοπρέπειαν, καὶ ὡς ἀράχνης ἀφανίσας ὑφάσματα ἀπὸ εὐλόγων καὶ ἀναντιῤῥήτων καὶ οὕτω προσκυνητέων συλλογισμῶν τε καὶ ἀποδείξεων, καὶ ταῦτα φησίν· Ὥστε εἰ τὰς ὥρας ἐπιτυχεῖν ἀκριβῶς ἀδύνατον, ἡ δὲ τοῦ βραχυτάτου παραλλαγὴ τοῦ παντὸς διαμαρτεῖν ποιεῖ, καταγέλαστοι καὶ οἱ περὶ τὴν ἀνύπαρκτον ταύτην τέχνην ἐσχολακότες, καὶ οἱ πρὸς αὐτοὺς κεχηνότες, ὡς δυναμένους καὶ εἰδέναι τὰ κατ' αὐτούς. Ἐπεὶ δὲ καὶ τῆς τερθρείας τῶν λεγομένων ἀποτελεσματικῶν καταγελῶν ἔγραψέ τινα σχεδὸν Θεοῦ φωνὰς ὀφείλοντα λέγεσθαι, ἤθελον μηδὲ ταῦτα συνοψίσαι, ἀλλὰ ῥητῶς ἐν τῷ παρόντι συγγράψασθαι γράμματι, ὡς ἂν ὑπ' ἐκείνων τοῦτό τε διαφωτισθῇ, καὶ τὸ ὑπὲρ φύσιν αὐτῶν μὴ ἀχρειωθῇ διὰ τῆς ἡμεδαπῆς ἀσθενείας· ὅτι δὲ [τῆς σῆς ἱερότητος ] (1) χάριν τὸ παρὸν γραμμάτιον σχεδιάζεται, [διὰ τοῦτο] (2) τινὰ ἐκ τούτων ἀναλεξάμενος, τῶν λοιπῶν τὴν ἀνάγνωσιν εἰς τὴν σὴν παρέπεμψα ἱερότητα. Τίνα δὲ, φησὶ, καὶ τὰ ἀποτελεσματικά; Ὁ δεῖνα καλὸς, φησὶ, τὴν τρίχα καὶ χαροπὸς, κριοῦ γὰρ ἔχει τὴν ὥραν· καὶ ἐφεξῆς τὰ τῶν δώδεκα ζωδίων ὀνόματα, κριοῦ, ταύρου, σκορπίου, καὶ τῶν λοιπῶν, εἰς τὰς τῶν ἀνθρώπων ἰδέας καὶ γνώμας ἀναγαγὼν, λέγει· Τί οὖν, δυσωπεῖς μὲν ἡμᾶς ἀπὸ τῆς ἀξιοπιστίας τῶν ἄστρων, πείθειν δὲ ἐπιχειρεῖς τὰ τῶν βληχημάτων; Εἰ μὲν γὰρ παρὰ τῶν ζώων λαβὼν ὁ οὐρανὸς ἔχει τὰ τοιαῦτα τῶν ἠθῶν ἰδιώματα, καὶ αὐτὸς ὑπόκειται ἀλλοτρίαις ἀρχαῖς, ἐκ τῶν βοσκημάτων ἔχων τὰς αἰτίας ἀπηρτισμένας· εἰ δὲ καταγέλαστον εἰπεῖν τοῦτο, καταγελαστότερον πολλῷ, ἐκ τῶν μηδὲν κοινωνούντων καὶ τούτων τὰς αἰτίας τοῖς οὐρανίοις συνάπτειν· οἷς τὸ ἀντιλέγειν ἄλλως μὲν καταγέλαστον, διὰ δὲ τὸ προκατέχεσθαι τοὺς πολλοὺς τῇ ἀπάτῃ, ἀναγκαῖον ἴσως μὴ σιωπῇ παρελθεῖν. Πρῶτον μὲν οὖν ἐκεῖνο αὐτοὺς ἐρωτήσωμεν, εἰ μὴ ἐφ' ἑκάστης ἡμέρας μυριάκις ἀμείβε-

(1) μέρος ἐφθαρμένον ἐν τῷ Χειρογράφῳ. — (2) μέρος ἐφθαρμένον ἐν τῷ Χ.

ται τῶν ἀστέρων τὰ σχήματα· ἀεικίνητοι γὰρ ὄντες οἱ πλανῆται λεγόμενοι, καὶ οἱ μὲν θᾶττον ἐπικαταλαμβάνοντες ἀλλήλους, οἱ δὲ βραδύτερον τὰς περιόδους ποιούμενοι, ἐπὶ τῆς αὐτῆς ὥρας καὶ ὁρῶσι πολλάκις ἀλλήλους, καὶ ἀποκρύπτονται. Μεγίστην τε ἔχει δύναμιν ἐν ταῖς γενέσεσι τὸ ἢ παρὰ ἀγαθοποιοῦ ἐφορᾶσθαι, ἢ κακοποιοῦ, ὡς αὐτοὶ λέγουσι, καὶ πολλάκις, καθ' ὃν ἐπεμαρτύρει ἀγαθοποιὸς ἀστὴρ, τὸν καιρὸν οὐκ ἐξευρόντες περὶ τὴν ἑνὸς τῶν λεπτοτάτων ἄγνοιαν, ὡς ἐν τῷ κακοδαιμονῆσαι αὐτῶν ἀπεγράψαντο· τοῖς γὰρ αὐτῶν ἐκείνων χρήσασθαι ῥήμασιν ἀναγκάζομαι. Ἐν δὲ τοῖς τοιούτοις λόγοις πολὺ μὲν τὸ ἀνόητον, πολλαπλάσιον δὲ τὸ ἀσεβές· οἱ γὰρ κακοποιοὶ ἀστέρες τῆς ἑαυτῶν πονηρίας ἐπὶ τὸν ποιήσαντα αὐτοὺς τὴν αἰτίαν μετατιθέασιν. Εἰ μὲν γὰρ ἐκ φύσεως αὐτῶν τὸ κακὸν, ὁ δημιουργὸς ἔσται τοῦ κακοῦ ποιητής· εἰ δὲ προαιρέσει κακύνονται, πρῶτον μὲν ἔσται ζῶα προαιρετικὰ, λελυμέναις καὶ αὐτοκρατορικαῖς ταῖς ὁρμαῖς κεχρημένα, ὃ μανίας ἐστὶν ἐπέκεινα καταψεύδεσθαι τῶν ἀψύχων· ἔπειτα, πρῶτον τὸ ἄλογον, τὸ κακὸν, καὶ ἀγαθὸν μὴ κατὰ τὴν ἀξίαν νέμειν ἑκάστῳ, ἀλλ' ἐπειδὴ ἐν τῷδε τῷ τόπῳ γέγονεν, ἀγαθὸν ὑπάρχειν, καὶ ἐπειδὴ ὑπὸ τοῦδε ὁρᾶται, κακοποιὸν γίνεσθαι τὸν αὐτόν· καὶ ἐπειδὰν πάλιν μικρόν τι παρεκκλίνῃ τοῦ σχήματος, εὐθὺς τῆς κακίας ἐπιλανθάνεσθαι. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Εἰ δὲ καθ' ἕκαστον ἀκαριαῖον τοῦ χρόνου ἐπ' ἄλλο καὶ ἄλλο μεθαρμόζεται σχῆμα, ἐν δὲ ταῖς μυρίαις ταύταις μεταβολαῖς πολλάκις τῆς ἡμέρας οἱ τῶν βασιλικῶν γενέσεων ἀποτελοῦνται σχηματισμοὶ, διατί οὐκ ἐφ' ἑκάστης ἡμέρας γεννῶνται βασιλεῖς; ἢ διατί ὅλως πατρικαὶ παρ' αὐτοῖς εἰσι βασιλείας διαδοχαί; Οὐδέ που γὰρ ἕκαστος τῶν βασιλέων παρατετηρημένως εἰς τὸ βασιλικὸν τῶν ἀστέρων σχῆμα τοῦ ἰδίου υἱοῦ τὴν γένεσιν ἐναρμόζει· τίς γὰρ ἀνθρώπων κύριος τοῦ τοιούτου; Πῶς οὖν Ὀζίας ἐγέννησε τὸν Ἰωάθαμ, Ἰωάθαμ τὸν Ἄχαζ, Ἄχαζ τὸν Ἐζεκίαν, καὶ οὐδεὶς ἐν τούτοις δούλου συνέτυχεν ὥρᾳ γεννήσεως;

Ἔπειτα εἰ καὶ τῶν τὴν κακίαν καὶ ἀρετὴν ἀναιρούντων οὐκ ἐκ τῶν ἐφ' ἡμῖν εἰσιν αἱ ἀρχαὶ, ἀλλ' ἐκ τῆς γενέσεως αἱ ἀνάγκαι, περιττὸν μὲν οἱ νομοθέται τὰ πρακτέα ἡμῖν καὶ φευκτέα

διορίζονται· οὐ γὰρ τοῦ κλέπτου τὸ ἀδίκημα, οὐδὲ τοῦ φονέως, ᾧ γε οὐδὲ βουλομένῳ δυνατὸν ἦν κρατεῖν τῆς χειρὸς, διὰ τὸ ἀναπόδραστον τῆς ἐπὶ τὰς πράξεις αὐτὸν κατεπειγούσης ἀνάγκης· ματαιότατοι δὲ πάντων καὶ οἱ περὶ τὰς τέχνας πονούμενοι· ἀλλ᾽ εὐθηνήσει μὲν ὁ γεωργὸς μήτε σπέρματα καταβαλὼν, μήτε σπάρτης θιξάμενος· ὑπερπλουτήσει δὲ ὁ ἔμπορος, κἂν βούλεται, κἂν μὴ, τῆς εἱμαρμένης αὐτῷ συναθροιζούσης τὰ χρήματα. Αἱ δὲ μεγάλαι τῶν Χριστιανῶν ἐλπίδες φροῦδοι ἡμῖν οἰχήσονται, οὔτε δικαιοσύνης τιμωμένης, οὔτε κατακρινομένης τῆς ἁμαρτίας, διὰ τὸ μηδὲν κατὰ προαίρεσιν ὑπὸ τῶν ἀνθρώπων ἐπιτελεῖσθαι· ὅπου γὰρ ἀνάγκη καὶ εἱμαρμένη κρατεῖ, οὐδεμίαν ἔχει χώραν τὰ πρὸς ἀξίαν, ὃ τῆς δικαιοσύνης ἐξαίρετον ἐστί. Τούτων οὕτως ἐχόντων, σκοπησάτω τῆς σοφίας σου τὸ ὑπέρτατον, εἴπερ ἀκίνδυνόν ἐστι καὶ ὅλως συγχωρητέον ἔχειν ὀρθόδοξον ἄνθρωπον βιβλία μαθηματικὰ, καὶ διδάσκεσθαι ἢ διδάσκειν τὰ ἐν αὐτοῖς, καὶ ἁπλῶς εἰσάγειν συζήτησιν οἱανδήτινα περὶ φύσεως, ἢ δυνάμεως οὐρανίων σωμάτων. Ἐμοὶ τέως δοκεῖ κινδυνῶδες, μᾶλλον μὲν οὖν τελευταίως ὀλέθριον κατὰ τὸ σῶμα καὶ τὴν ψυχὴν, ἱεροῖς καὶ θείοις νόμοις καὶ κανόσιν ἐναντιωθῆναι, καὶ ἁγίων Πατέρων θεσπίσμασιν, οὕτω σαφῶς καὶ ὑπερφυῶς αὐτῶν ἀπελέγξασιν, μὴ μόνον ἀνόνητον καὶ ἀνύπαρκτον ἀλλὰ καὶ ἀσεβὲς εἶναι τῆς ἀστρονομίας τὸ μάθημα. Εἰπάτω οὖν καὶ ἡ ἱερότης σου, καὶ ὅστις [ἀρετῆς] (1) φίλος ἐστὶ καὶ κοινωνίας· Ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ ταῖς διαγωγαῖς τῶν ἁγίων αὐτοῦ φοιτῶν ἀδολεσχήσω, καὶ κατανοήσω τὰς τούτου ὁδοὺς (2)· ταύτας γὰρ ἐπεπόθησεν ἡ ψυχή μου, καὶ αὐτῶν κατανοήσω τὰ θαύματα, καὶ τῷ Κυρίῳ εὐαρεστήσω. Τοῖς δὲ ὑπερηφάνοις καὶ κομψοῖς περὶ τὰ μάταια μαθηματικοῖς ἐπιτίμησον, καὶ εἰπέ· Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῆς ἐντολῆς τοῦ Θεοῦ, καὶ ὀνειροπολοῦντες πραγμάτων ἀνυποστάτων προποδισμοὺς, καὶ συμποδισμοὺς, καὶ ὑψώματα· καὶ οὕτω περιέλῃς ἀπὸ παντὸς Χριστωνύμου ἀνδρὸς ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύρια τοῦ Θεοῦ καὶ

(1) χωρίον ἐφθαρμένον ἐν Χ. Υ. — (2) Ψαλμ. ΡΙΘ΄, 15.



τὰ τῶν ἁγίων αὐτοῦ Πατέρων θεοδίδακτα δικαιώματα ἠγάπησάν τε καὶ ἐξεζήτησαν. Καὶ πρὸς μὲν τοὺς ὀρθοδόξους ταῦτα. Πρὸς δὲ τοὺς ἰκτεριῶντας περὶ τὴν πίστιν, καὶ ὡς ἀψίνθιον παραδεχομένους τὰ τοιαῦτα διδάγματα, τὰ ὑπὲρ μέλι καὶ κηρίον τοὺς ὑγιαίνοντας καταγλυκαίνοντα λάρυγγας, λέγε οὖν καταβλίνων δῆθεν ταῖς ἀβελτηρίαις αὐτῶν, ὃ Πατήρ τις εἶπε σοφός· Οὐ βούλομαι ματαιοπονεῖν· εἰ γὰρ χρή με παθεῖν ἃ δεῖ με μαθεῖν, τί χρή με μαθεῖν ἃ δεῖ με παθεῖν.

# ΤΟΥ ΑΥΤΟΥ ΜΕΛΕΤΗ,

## ΧΑΡΙΝ ΤΗΣ ΕΙΣ ΤΟΥΣ ΘΕΙΟΥΣ ΝΑΟΥΣ ΤΩΝ ΜΟΝΑΣΤΗΡΙΩΝ ΓΙΝΟΜΕΝΗΣ ΜΕΤΑΚΛΗΣΕΩΣ ΔΙΑ ΣΗΜΑΝΤΗΡΙΩΝ (1) ΤΡΙΩΝ.

Βλεπων ἀπειροκάλους τινὰς, καὶ πρὸς μηδὲν εὐκαιροῦντας ἐπωφελὲς, ἀλλ' ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, ματαίαν ἀποκαλοῦντας καὶ σκανδαλοποιὸν τὴν διὰ σημαντηρίων τριῶν εἰς τοὺς ναοὺς γινομένην τῶν μοναζόντων μετάκλησιν, χάριν τῆς τῶν θείων δοξολογιῶν ἀκροάσεως, ἤρκει γὰρ, φασὶ, δι' ἑνὸς αὐτοὺς μεταστέλλεσθαι, καὶ μὴ γίνεσθαι κατὰ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ μυκτηρισμὸν καὶ χλευασμὸν παρὰ τῶν κυκλούντων ἡμᾶς ἀσεβῶν, κἀντεῦθεν καὶ παραβολὴν ἐν τοῖς ἔθνεσι, μηδὲ θριαμβεύεσθαι τὸ μοναχικὸν, ὡς δῆθεν εἰς μίαν διαλαλιὰν μὴ εὐσυνθετοῦν, παριστῶ διὰ τῆς παρούσης μου γραφῆς, ὡς οὔτε διὰ τὰς φληναφίας τῶν ἀσεβῶν, οὔτε διὰ τὰς δυσκολίας τῶν μοναστῶν ἐπενοήθη, διὰ σημαντηρίων τριῶν τὰς θείας δοξολογίας ἐπικηρύττεσθαι, ἀλλὰ διὰ λόγον ἀρχαιοπαράδοτον σπουδαιότατον. Τῶν γὰρ ἐπ' ἐκκλησίας γινομένων ἡμερινῶν καὶ νυκτερινῶν δοξολογιῶν, κατὰ τὸ τοῦ προφήτου Δαυὶδ θεσπιῴδημα, τὸ λέγον· Ἐν ἑσπέρᾳ, καὶ πρωῒ, καὶ μεσημβρίᾳ διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου ὁ Κύριος(2), ἀπὸ τῶν δύο συντελουμένων διαθηκῶν, ἀπὸ τῆς Νέας δηλαδὴ καὶ τῆς Παλαιᾶς, κατὰ τὴν τῶν ἁγίων καὶ θεοφόρων Πατέρων παράδοσιν, ὡρίσθη πρὸ πάντων δοξάζεσθαι τὸν Θεὸν ἀπὸ τῆς θείας κινύρας τοῦ Θεοπάτορος, Ἀνοίξω γὰρ, φησὶν, ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου(3), καὶ μετὰ τὴν τούτου ἀνάπτυξιν, τὸν θεῖον μελισσῶνα τῆς Ἐκκλησίας ἐξαγωνίζεσθαι, διὰ κηρίου διδασκαλιῶν εὐαγγελικῶν, τοῦ κέντρου φωτίζοντος τὴν σκοτόμηνιαν· διὰ μέλιτος Γραφῶν ἀποστολικῶν, γλυκαίνοντος τῆς οἰκουμένης τὰ πέρατα· καὶ διὰ μαρτυρικῶν ἀφηγήσεων, μεγαλυνουσῶν τὴν ἔνσαρκον οἰκονομίαν

(1) σημάντρων Χ. V. ὁ δὲ ὅρος οὕτως εὕρηται καὶ ἀλλαχοῦ, τῆς μελέτης ταύτης, ὅπου ὅμως ἀπαντᾶται ἐνίοτε καὶ τὸ, σημαντήριον. — (2) Ψαλμ. ΝΔ', 17. — (3) Ψαλμ. ΜΗ', 4.



τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· διὸ καὶ χάριν μὲν τῶν ἓξ ψαλμῶν τοῦ Θεοπάτορος, καὶ λοιπῶν, τῶν ἐν τῇ ὀρθρινῇ δοξολογίᾳ πρὸ τοῦ Ἁγιοπολίτου ψαλλομένων ἑκάστοτε, καὶ τῶν ψαλλομένων συνήθως ἐν ταῖς θείαις ἱεροτελεστίαις, καὶ ταῖς ἑσπεριναῖς προσευχαῖς, πρὸ τῶν ἀποστολικῶν ἀναγνωσμάτων καὶ εὐαγγελικῶν, ἀλλὰ μὴν καὶ τῶν στιχηρῶν, μετακαλοῦνται οἱ μοναχοὶ διὰ σημαντηρίου μικροῦ, καὶ οἷον ταπεινοτέρου καὶ σκοτεινοῦ· τὰ γὰρ τῇ Παλαιᾷ Διαθήκῃ σκιαγραφούμενα, τύπος τῶν μελλόντων ἦσαν, καὶ εἰκονίσματα· χάριν δὲ τῆς τῶν θεοφθόγγων Εὐαγγελίων ἀνακηρύξεως, καὶ λοιπῶν πανηγυρικῶν βιβλίων ἱερᾶς ἀναγνώσεως, καὶ τῆς ὅλης ἀκολουθίας τοῦ Ἁγιοπολίτου ἁπλῶς, τὸ μέγα σημαντήριον εὕρηται· εἰς πᾶσαν γὰρ τὴν γῆν, καὶ εἰς τῆς οἰκουμένης τὰ πέρατα, ἡ ἐκ τούτων διῆλθεν ὠφέλεια. Οὕτω δὲ τούτων τελουμένων θεαρέστως καὶ εὐσεβῶς, ἔδει τὸν τοῦ Κυρίου λαὸν καὶ περὶ τῆς μελλούσης ὑπομιμνήσκεσθαι κρίσεως, δι' ἣν γονυκλιτοῦμεν καὶ προσευχόμεθα. Τετύπωται γοῦν, διὰ σημαντηρίου χαλκοῦ περὶ τῆς τελευταίας ἡμέρας ἐκείνης τοὺς Χριστωνύμους ὑπομιμνήσκεσθαι· Ἀνέβη γὰρ, φησὶν, ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος(1)· καὶ, Σαλπίσουσιν οἱ ἄγγελοι τοῦ Θεοῦ, καὶ οἱ νεκροὶ ἀναστήσονται, καὶ ἑκάστῳ ἀποδοθήσεται κατὰ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ κατὰ τὰς καθολικὰς Ἐκκλησίας τῶν πόλεων μὴ μετακαλεῖσθαι τὰ πλήθη διὰ σημαντηρίων τριῶν, ἀλλὰ διὰ μεγάλου ἑνὸς, οὐκ ἔστι τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀνατροπή· λαὸς γὰρ μετακαλεῖται χειρῶναξ, καὶ περὶ σκαπάνην ἠσχολημένος, καὶ ἄροτρον· ἔστι τοίνυν ἀγαπητὸν ἐκκλησιάσαι τοῦτον κἂν εἰς τῆς Νέας Διαθήκης τὰ ψαλτῳδήματα. Καὶ ἡμῖν μὲν τοῖς φυλάττουσι τῇ χάριτι τοῦ Θεοῦ πᾶσαν ἐκκλησιαστικὴν παράδοσιν ἀμετάπτωτον, οὕτω πολιτεύεσθαι δέδοκται. Τοῖς δὲ Λατίνοις μερισθεῖσι κακῶς ἀφ' ἡμῶν, καὶ πωρωθεῖσι τὴν καρδίαν ὑπὸ τοῦ σατανᾶ, κἂν τοῖς λόγοις ὑπὲρ ἔλαιον ἁπαλύνωνται, ἄλλη τις παρεδόθη συνήθεια περὶ τῆς εἰς τοὺς ναοὺς μετακλήσεως τοῦ λαοῦ· ἑνὶ γὰρ κέχρηνται σημαντηρίῳ, τῇ καμπάνᾳ, φημὶ, ἥτις ἐκ τοῦ κάμπου μετονομάζεται. Ὡς γὰρ

(1) Ψαλμ. ΜΖ', 5.

ὁ κάμπος, φασί, τοῖς βουλομένοις(1) εἰς ὁδοιπορίαν ἀνεμπόδιστος πρόκειται, οὕτω καὶ τῆς χαλκοστόμου κώδωνος ἡ μετέωρος διαλαλιὰ, τοῖς πᾶσιν εὐπρόσιτος ἥπλωται. Πολλῶν δὲ σημαντηρίων οὐκ ἔστι χρεία Λατίνοις καὶ Ἰταλοῖς, ὅτι μηδὲ ψαλτῳδημάτων ἁγιοπολιτικῶν, ἀλλὰ μόνης τῆς κινύρας τοῦ Θεοπάτορος.

---

(1) X. V. — ἄνευ τοῦ, τοῖς, Λεϋγκλ.



# ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ
## ΠΡΟΣ ΤΟΝ ΕΠΙ ΤΩΝ ΚΡΙΣΕΩΝ (1),
### ΧΑΡΙΝ ΤΩΝ ΔΙΔΟΜΕΝΩΝ ΘΥΜΙΑΜΑΤΩΝ ΕΤΗΣΙΩΣ (2) ΠΑΡΑ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ, ΚΑΤΑ ΤΗΝ ΗΜΕΡΑΝ ΤΗΣ ΚΑΤΗΧΗΣΕΩΣ (3).

Σὺ μὲν, τριπόθητον τέκνον, μεγαλοδοξότατε κριτὰ καὶ ἐπὶ τῶν κρίσεων, ψάλλων μετὰ τοῦ Θεοπάτορος, Ἐρώτησον τὸν πατέρα σου, καὶ ἐρεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἀπαγγελοῦσί σοι (4), καλῶς ἐζήτησας μαθεῖν ἐξ ἡμῶν, τίνος χάριν δίδονται τῷ λαῷ παρὰ τῶν κατὰ καιροὺς ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα· ἐγὼ δὲ πίνων τρυγίαν θλίψεως ὑπερόριον, ὤκνουν πρὸς τὴν ἀπόκρισιν. Ἐπεὶ δὲ παντὶ τῷ αἰτοῦντι καὶ πάντοτε, καὶ γλώττῃ, καὶ χειρὶ ὀφείλειν διδόναι μεμάθηκα, σχεδιάζω σοι ταῦτα πρὸς τὴν ἐρώτησιν.

Τὴν ὑψηλοτάτην τῶν θείων αὐτοκρατόρων περιωπὴν, καὶ τῶν πατριαρχῶν τὴν μεγαλειότητα, μετὰ τῶν ἄλλων ἐσέμνυνον καὶ ἐτήσιοι ῥόγαι ποτὲ, καὶ βαΐων φιλοτιμήματα. Ἐκάθηντο γὰρ ἐτησίως οἱ κατὰ καιροὺς πατριάρχαι καὶ βασιλεῖς, καὶ μετεκαλοῦντο τοὺς ὑπηκόους διὰ τούτων πρὸς εὔνοιαν. Οἶδε ταῦτα τῆς συγκλήτου βουλῆς τὸ ὑπέρτατον, ἴσως δὲ καί τινες τῶν τῆς καθ' ἡμᾶς γενεᾶς· οὐδὲ γὰρ πρὸ Εὐκλείδου μεμυθολόγηνται, οὐδὲ γραϊδίων ἐστὶν ὀνειροπολούντων λογίδρια· ἀλλὰ μέχρι τῆς βασιλείας τοῦ Δούκα κυροῦ Κωνσταντίνου καὶ ταύτην εἶχον τὴν σεμνοπρέπειαν τὰ τοῦ Θεοῦ καὶ τῶν βασιλέων ἀνάκτορα, καὶ πάντως γέγονεν ἂν τὸ καλὸν καὶ πρὸς ἡμᾶς διαδόσιμον ἐκ προγόνων εἰς παῖδας, καὶ ἐκ φυλῆς εἰς φυλὴν πτερυσσόμενον. Εἰ δ', ὅπερ οὐ πέπεισμαι, καὶ τοῦτο λήθης βυθῷ κατακέχωται, καὶ Κασταλίας ὕδωρ εὐχάριστον τῶν τότε κρατούντων οὐ κηρύττει τὴν πρόνοιαν, ἀλλὰ μεμβράναι βίβλων

---

(1) X. V. — πρὸς τὸν ἐπὶ τῶν κρίσεων, οὐ κεῖται παρὰ Λεϋγκλ. — (2) X. V. τὸ, ἐτησίως οὐ κεῖται παρὰ Λεϋγκλ. — (3) κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως, οὐ κεῖται ἐν X. V. — (4) Δευτερ. ΛΒ', 7.

ἱστορικῶν, καὶ συγγραφαὶ τακτικῶν ἀνακτορικῶν κεκράξονται κατὰ Στέντορα. Καὶ σὺ δὲ παντὸς(1) συντάγματος λογικοῦ τελῶν ὑφηγητὴς νουνεχέστατος, κἂν τούτῳ τῷ σπουδαίῳ προβλήματι πλεονεκτήσεις πολλούς, καί μοι συλλαλήσεις τῷ γέροντι. Ἀλλὰ καὶ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου τὰ θεσπεσιώτατα διατάγματα, τὰ τελεσφορήσαντα τὰ ὀφφίκια τοῦ ἐπὶ τῶν κρίσεων, καὶ τοῦ νομοφύλακος, καὶ διοριζόμενα τούτους ἐτησίως μετὰ καὶ ἄλλων πολλῶν ἀποφέρεσθαι χάριν ῥόγας ἀνὰ χρυσίου τοσήνδε ποσότητα, καὶ τὰ συνήθη βαΐα, οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ, οὐδὲ πέραν θαλάσσης, ἵνα τις εἴπῃ, τίς ταῦτα μετακομίσει μοι; παρὰ δὲ τῇ χειρί σου, καὶ τῇ καρδίᾳ σου, καὶ τῷ στόματί σου εἰσί· καὶ πάντως γνωμολογήσεις ἐκ τούτων τοῦ πράγματος τὴν ἀλήθειαν. Τῶν γοῦν βασιλέων καὶ τῶν πατριαρχῶν μεγαλυνομένων, ὡς εἴρηται, διὰ τῶν βαΐων καὶ τῶν ῥογῶν, ἔδει τέως τοὺς πατριάρχας τοὺς τὴν ἀρχαίαν μέχρι τοῦ νῦν συντηροῦντας συνήθειαν, καὶ χρυσίνους παραμετροῦντας τοῖς κληρικοῖς, διδόναι καὶ βαΐα, καθὼς προτετύπωται. Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως οὐ φαίνεταί ποτε τοῦτο γινόμενον, ἀλλ' ἐν ταῖς ἡμέραις τῶν κατηχήσεων ἀντὶ ῥογῶν καὶ βαΐων μόνα διδόασι τῷ λαῷ θυμιάματα, σκοπητέον πρὸ πάντων τὸ σημαινόμενον τῶν βαΐων, καὶ ζητητέον τὴν αἰτίαν, δι' ἣν θυμιάματα μὲν δίδονται κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως, καὶ κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα, κηρία δὲ καὶ σταυροὶ κατὰ τῆς Βαϊοφόρου τὴν Κυριώνυμον. Οἷα μὲν οὖν ἦσαν τὰ βαΐα ἐκεῖνα, τὰ παρὰ βασιλέων διδόμενά ποτε καὶ πατριαρχῶν, τέως ἐγὼ ἀγνοῶ· οὔτε γὰρ ἀπὸ χειρὸς βασιλικῆς ἢ πατριαρχικῆς βαΐον ἡ χείρ μου μετὰ ῥόγας ἐδέξατο, καὶ ταῦτα πλουτιζομένη καθ' ἑκάστην σχεδὸν ὑπ' αὐτῶν, οὔτε τὴν τούτων ποιότητα παρ' ἑτέρων μεμάθηκα· κλάδους δὲ φοινίκων καὶ μυρσινῶν βλέπω τοὺς ἀνθρώπους κατέχοντας, καὶ τὴν Βαϊοφόρον δοξάζοντας. Ποίας δὲ διαλέκτου τὸ βαΐον ἐστί, καὶ τίνα σημασίαν ἔχει κατὰ Ῥωμαίους καὶ Ἕλληνας, δηλωθήσεται. Βαΐον κατὰ Ῥωμαίους οὔτε κλάδος

(1) πάντως X. V.



ἐστὶν ἐκ δένδρου κοπτόμενος, οὔτε ῥόδον ἐκ ῥοδωνιᾶς συναγόμενον, οὔτε κρίνον ἐκ κρινωνιᾶς συλλεγόμενον· ἀνθρωπίνης (1) δὲ γνώμης ἐκ τοῦδε εἰς τόδε μετάβασις, ἀγαθὴ δηλονότι ἢ πονηρά. Ἐντεῦθεν γὰρ τοὺς παιδοτρίβας βαϊούλους κατονομάζομεν, ὡς τὰ νηπιώδη τῶν παίδων φρονήματα μετάγοντας πρὸς ἀῤῥένωσιν· καὶ πραεβαϊκάτορας λέγομεν, τοὺς ποικιλλομένους κατὰ τὴν ἶριν συνεργούς, καὶ προδιδόντας τοὺς πρόσφυγας. Τῆς γοῦν Ἰουδαίας καὶ Ἱερουσαλὴμ γενομένης ὑποχειρίας τῶν Ῥωμαίων τῷ στέμματι, μετὰ τὸ μοναρχῆσαι τὸν Ἰούλιον Καίσαρα, (οὕτω γὰρ καὶ Πιλάτος τὸν Κύριον ἔκρινε, καὶ τὴν Ἰουδαίαν Καῖσαρ Αὔγουστος ἀπεγράψατο, καὶ Παῦλος κατακρινόμενος ἔφη· Δεῖ με παραστῆναι τῷ Καίσαρι) ἡ πατρῴα τῶν Ἰουδαίων διάλεκτος πρὸς τὴν τῶν Ῥωμαίων μετεστοιχείωται· τοῖς ἔθνεσι γὰρ ἐμίγησαν, καὶ ἔμαθον τὰ τούτων ἐπιτηδεύματα. Ἰδόντες τοίνυν τῶν Ἰουδαίων οἱ δημογέροντες, καὶ τῶν γραμματέων ὁ σύλλογος τὸν ἐπὶ νώτοις χερουβικοῖς καθήμενον Κύριον καὶ Θεὸν ἡμῶν, ἐπὶ πώλου μὲν ὄνου κατὰ συγκατάβασιν ἐποχούμενον, βασιλικῶς δὲ παρὰ τῶν προαγόντων καὶ τῶν ἑπομένων στενοχωρούμενον, καὶ τὴν Ἱερουσαλὴμ μεγαλύνοντα, (ἠγάπησε γὰρ τὴν πόλιν Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ) (2) καὶ τοὺς ὄχλους μὲν τῇ γῇ τοὺς χιτῶνας στρωννύοντας, καὶ τὰς ὁδοὺς μαλακίζοντας, τοὺς παῖδας δὲ κλαδηφοροῦντας καὶ λέγοντας, Ὡσαννὰ τῷ υἱῷ τοῦ βασιλέως Δαυΐδ, εὐλογημένος εἶ ὁ ἐρχόμενος, οὐκ εἶπον μετὰ τῶν Προφητῶν, Αἰνεῖτε παῖδας Κύριον(3), οὐδέ, Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυττε δόξαν Θεοῦ Ἱερουσαλήμ, ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ σῴζων, καὶ ἐπιβεβηκὼς εἰς πῶλον ὄνου, υἱὸν ὑποζυγίου (4)· Ἔχοντες γὰρ στόμα, φησίν, οὐ λαλήσουσιν· ὀφθαλμούς, καὶ οὐκ ὄψονται· ὦτα, καὶ οὐκ ἀκούσουσιν(5)· ὅτι ταῖς καρδίαις αὐτῶν κάλυμμα νόμου καὶ ἀγνωσίας ἐπίκειται. Ἠγανάκτησαν δὲ ὡς ἁμαρτωλοί, καὶ ὠργίσθησαν, καὶ τοὺς ὀδόντας ἔβρυξαν, καὶ ἐτάκησαν, καὶ εἶπον· Ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοί, καὶ ἴδετε, πῶς ὅλος ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. Διὸ

(1) X. V. — ἀνθρωπίνη δὲ γνώμη, Λεύγκλ. — (2) Ψαλμ. ΠϚ', 1. — (3) Ψαλμ. ΡΙΒ', 1. — (4) Ζαχαρ. Θ', 9. — (5) Ψαλμ. ΡΙΓ', 13.

καὶ τῶν κλάδων μὴ συνιέντες τὸ δορυφόρημα, βαβαὶ κατὰ μαινομένους ἐβόησαν, βαβαὶ πάντες πεπλάνηνται, πάντες ἠχρειώθησαν καὶ ἐξέκλιναν, βαβαὶ τῶν Μωσαϊκῶν παραγγελιῶν, βαΐον ἀπροσδόκητον γέγονε, τουτέστι κατὰ τὴν τούτων ἀπόνοιαν, μεταφορὰ πρὸς ἀπώλειαν. Οὕτω καλῶς σαφηνισθείσης, ὡς οἴομαι, τῆς τῶν βαΐων φωνῆς, ῥητέον ὅπως καὶ διατί παρὰ τῶν ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα δίδονται, κατὰ τὴν Βαϊοφόρον σταυροὶ καὶ κηρία, καὶ αὖθις κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα, καὶ κατὰ τὸ ἅγιον Πάσχα ἀσπασμοὶ καὶ τρικέφαλα (1). Φαμὲν τοίνυν, ὡς τοῦ γένους τῶν Ἰουδαίων πρὸς τὸ φῶς ἀβλεπτήσαντος, καὶ τὴν σωτηρίαν πανωλεθρίαν κατονομάσαντος, ὡς διείληπται, (τοῖς γὰρ ἰκτεριῶσι τὸ μέλι πικρόν ἐστιν), ἡμεῖς τἀναντία τούτοις φρονοῦντες καὶ πράττοντες, (ἀσκαρδαμυκτὶ γὰρ τὸν ἥλιον βλέπομεν) κλαδηφοροῦντες πανηγυρίζομεν, καὶ τὴν ἐκείνων ἀπόνοιαν θριαμβεύοντες, (θέατρον γὰρ ἀγγέλοις τε (2) καὶ ἀνθρώποις γεγόνασιν) ὁμολογοῦμεν καὶ οὐκ ἀρνούμεθα, βαΐον γεγονέναι τῆς πίστεως· ἀλλ' ἐκ σκιᾶς πρὸς ἀλήθειαν, ἀλλ' εἰς ἀθανασίαν ἀπὸ θνητότητος· καὶ βαΐα τοὺς κλάδους κατονομάζοντες, οὐκ ἐπαισχυνόμεθα. Οὕτω φρονοῦντες καὶ οἱ πιστότατοι βασιλεῖς, ταῖς ἐτησίοις ῥόγαις βαΐα συνεπρυτάνευον, ἐξ ἀργύρου τυχὸν ἢ χρυσοῦ καλλυνόμενα· συνέχαιρον γὰρ τοῖς λαμβάνουσι ταῦτα ὀρθοδοξοῦσι τὰ πρὸς Θεὸν, καὶ εὐνοουμένοις τὰ πρὸς αὐτούς. Ἐπεὶ δὲ τῶν μὲν βασιλέων αἱ ῥόγαι, καὶ τῶν βαΐων τὰ ἄνθη τὰ ταύταις συνανατέλλοντα, πρὸ χρόνων ἐσχόλασαν δι' ἣν αἰτίαν ἄνωθεν εἴπομεν, τῶν δὲ θείων πατριαρχῶν αἱ ῥόγαι δημοσιεύονται, καὶ ἡ συνήθως διδομένη ῥόγα κατὰ τὴν κυρίως ἀποκρέω, εἰς τὴν ἐτησίως προβαίνουσαν ἐκκλησιαστικὴν ῥόγαν κατὰ τὴν μεγάλην τρίτην μετέπεσε, καθὼς τὰ παλαιὰ λαλοῦσι ῥογάλια, διδόασιν οἱ πατριάρχαι μετὰ τὴν κατήχησιν τῷ λαῷ ὡς βαΐα τὰ θυμιάματα· παρεγγυώμενοι δι' αὐτῶν ὡσανεὶ τοῖς λαμβάνουσι, μεταπεσεῖν ἐκ τῆς φαύλης διαγωγῆς, καθώς που καὶ κατηχήθησαν (3), καὶ δι' ὀλιγοημέρου

(1) ἴσως, τρικέρατα· (εἶδος νομίσματος.) — (2) X. V. — ἀγγέλοις τε, οὐ κεῖται παρὰ Λεϋγκλ. — (3) X. V. — καθηγήθησαν, Λεϋγκλ.



ἐπιστροφῆς βασιλείαν αἰώνιον ἀνταλλάξασθαι. Εὐτελέσι δὲ θυμιάμασι κατὰ σμικρολόγους καὶ κίμβικας οὐκ ἐλαττονοῦσι τὸ μεγαλεῖον τοῦ πνεύματος· πῶς γὰρ, οἱ πᾶσαν τὴν οἰκουμένην φιλανθρωπίαις παντοδαπαῖς σαγηνεύοντες, καὶ πᾶσαν πενητεύουσαν αὐλακίζοντες ἄρουραν, καὶ πολύχουν εὐεργεσίας θερίζοντες ἄσταχυν; ἀλλὰ τῆς ἡμέρας τὴν δύναμιν αἰνιττόμενοι, διδάσκουσιν (1) ὡσπερεὶ δι' αὐτῶν τοὺς λαμβάνοντας, ὁποῖον εἶναι δεῖ τὸ ψυχικὸν κατάστημα τοῦ νηστεύοντος, καὶ τῆς μετανοίας τὸ ὁλοκαύτωμα, καὶ τῆς προσευχῆς τὸ θυμίαμα· καὶ τότε μὲν οὕτω κατευθύνουσι τῆς νηστείας τὸ στάδιον. Κατὰ δὲ τὴν τῆς Βαϊοφόρου χαρμόσυνον Κυριώνυμον, ὡς ἀθλοθέται καθίσαντες, Ἐκάθισε γὰρ, φησὶν, ἐπὶ θρόνου (2) ὁ κρίνων δικαιοσύνην, δεξιοῦνται τοὺς τὸ παγκράτιον τῆς νηστείας νικήσαντας, τιμίων καὶ ἁγίων σταυρῶν ἁγιάσμασι, καὶ κηρίων φωτοβόλων χαρίσμασιν· οὐδὲ γὰρ θέλουσι σκιαμαχεῖν τοὺς πιστοὺς κατ' ἐκείνους τοὺς νηπιόφρονας, ἀλλ' ὡς ἤδη τῆς δικαιοσύνης τὸν ἥλιον βλέποντες τὴν νέαν Σιὼν διὰ πώλου φωτίζοντα, προτρέπονται δι' αὐτῶν τοῖς ἤδη νηστεύσασι νηστείαν Κυριακὴν τεσσαρακονθήμερον, καὶ τῶν παθῶν τὰ νέφη διώξασι, συνανατέλλειν μετὰ τοῦ γίγαντος. Βαΐα μὲν κατέχουσι ταῖς χερσὶ, διὰ τὸ μεταπεσεῖν ἐξ ἐμπαθοῦς καὶ κοινοτέρας ἴσως διαγωγῆς πρὸς ὑψηλοτέραν καὶ ἀπαθῆ· κηρία δὲ καὶ σταυροὺς, διὰ τὸ καταβαλεῖν μετὰ τοῦ τῆς ἀληθείας φωτὸς τὸν ἀρχέκακον σατὰν καὶ ἀντίπαλον. Καὶ τί γὰρ ἄλλο δῶρον δοθήσεται τοῖς δι' ἐγκρατείας νικήσασι τὸ μέγα τῆς νηστείας παγκράτιον, τοῦ τριποθήτου θείου σταυροῦ τιμιώτερον, τοῦ πύλας ᾅδου παμφάγου συντρίψαντος, καὶ πύλας ζωῆς τῷ γένει τῶν ἀνθρώπων ἀνοίξαντος; Πάντως οὐδὲν, εἰμή τις εἴποι τὸν δι' αὐτοῦ τὴν σωτηρίαν ἡμῖν σχεδιάσαντα Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν. Ἐπεὶ δὲ καὶ βασιλέα πολλαῖς δορυφορούμενον κυριότησιν, ἀμέσως ἢ μετὰ ῥυπαροῦ καταστήματος οὐκ ἔξεστιν ὑποδέξασθαι, νῦν μὲν, φησὶν ὁ μέγας ἀρχιερεὺς, τοῖς ἀγχεμάχοις συναριθμήθητε, τοῖς σφεν-

(1) X. V. — καὶ διδάσκοντες Λεϋγκλ. — (2) X. V. — ἐπὶ θρόνου οὐ κεῖται παρὰ Λεϋγκλ. — Ψαλμ. Θ', 4.

δονήταις συστοιχειώθητε, τοῖς ἀκοντισταῖς συνανάξητε, καὶ τοῖς τροπαιοφόροις συνανακλίθητε· μετὰ δὲ μικρὸν ἀνοιγήσεται ὑμῖν τὰ ἀνάκτορα, καὶ ἴδητε τὸν οὐρανοῦ καὶ γῆς βασιλεύοντα ἀπερίγραπτον Κύριον καὶ Θεὸν ἡμῶν σαρκικῶς χερσὶ δικαίων περιγραφόμενον, καὶ ζωὴν ἀτελεύτητον ἀντὶ βαΐων φιλοτιμούμενον. Καὶ κατὰ μὲν τὴν χαρμόσυνον Κυριώνυμον τῆς τῶν βαΐων σεπτῆς πανηγύρεως, κηρία καὶ σταυροὺς ἀπὸ τοῦ πατριάρχου(1) λαμβάνοντες οἱ λαοὶ, τὴν κατὰ τοῦ θανάτου νίκην ἑαυτοῖς προμνηστεύονται, καὶ ὡς ἀστέρες καταφωτίζουσι τὴν ἄναστρον σφαῖραν τῆς ἀπογνώσεως, ἢ ὡς δοῦλοι πιστοὶ λαμπαδηφόροι τὰς τριόδους περιερχόμενοι, τοῦ νυμφίου τὴν ἐνδημίαν καταλαμπρύνουσι, καὶ τὴν λώβην τῶν ἐν σκότει καθημένων αἱρεσιωτῶν θριαμβεύουσι· μετὰ δὲ τρίτην ἡμέραν, ὁ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμὼν, ὁ πατριάρχης, φημὶ, καθ' ἑαυτὸν ὥσπερ συλλογισάμενος, μὴ λάθῃ τις ἀχρειῶσαι τοῦ σωτηρίου πάθους τὰ ἔπαθλα, (καὶ μέλι γὰρ εἴωθε πολλάκις τὴν ἡδύτητα μετάγειν εἰς ἔμετον, εἰ μεταληφθείη παρὰ τὸ χρήσιμον,) ὡς ἄγρυπνος φύλαξ ἀναστὰς ὀρθριαίτερον, δίδωσι τοῖς πιστοῖς θυμιάματα, ὁμιλῶν οἷον διὰ τούτων αὐτοῖς, καὶ ὑποτιθέμενος μὴ πανηγυρικῶς, ἀλλὰ ἀγωνιστικῶς τῶν ἑξῆς τριῶν ἡμερῶν τὸ στάδιον ἀποδέξασθαι. Κἂν γὰρ ἀκινδύνως, φησὶ, τὸ μέγα τῆς νηστείας διεπεραιώθητε πέλαγος τῷ ἱστίῳ τοῦ σταυροῦ κουφιζόμενοι, καὶ παρὰ τῷ θείῳ λιμένι τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν κατηντήσατε, ἀλλὰ τὸν ἀτίμητον οὐκ ἐπλουτήσατε μάργαρον, ὡς ἐκεῖνος ὁ φρόνιμος ἔμπορος· ἔτι γὰρ ἅρπαγες καὶ λησταὶ σπουδαίως ἐρευνοδιφῶσι τὸν Κύριον, καὶ σαγήνην μιαιφονίας συῤῥάψαντες, καιροσκοποῦσι τούτου τὴν ἅλωσιν. Γρηγορήσωμεν τοίνυν καὶ ἐφεξῆς, καὶ τοῖς ἀγρυπνοῦσιν Ἰουδαίοις συναγρυπνήσωμεν· αὐτοὶ μὲν γὰρ ἐν σκότει ποντοπορήσουσι, κεναῖς ὠλέναις ἀφήσοντες(2) δίκτυα· ἡμεῖς δὲ ἐν ἡμέρᾳ περιπατήσομεν, καὶ τοῦ φωτὸς τὰ ἔργα ληψόμεθα· αὐτοὶ τοὺς σκόλοπας ἀγκιστρεύσουσιν, ἡμεῖς δὲ τὴν ἄγραν κερδήσομεν· αὐτοὶ τὸν μάργαρον ἐν λίθῳ (3) καλύψουσιν, ἡμεῖς δὲ τοῦτον ἐν ὀστρακίνοις ἀποθησαυρίσομεν σκεύεσιν. Οὕτω γενομέ-

(1) X. V. — ἀπὸ τοῦ πατριάρχου, οὐ κεῖται παρὰ Λεύγκλ. — (2) φυλάσαντες X. V. — (3) λίθῳ, X. V.



νης καὶ ταύτης τῶν θυμιαμάτων τῆς διαδόσεως, καὶ τοῦ λαοῦ τὰς χεῖρας πάλιν ἐπὶ τὸ τῆς νηστείας οὐριοδρομήσαντος πέλαγος, καὶ τὴν νύκτα τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ λαμπάσι καταπυρσεύσαντος, (τοὺς γὰρ ἐν ἡμέρᾳ περιπατοῦντας νυκτοβατεῖν κατὰ τοὺς ἐσκοτισμένους ἀδύνατον), ὁ τῆς Ἐκκλησίας νυμφίος ἀνατείλας καὶ πάλιν, καθά τις εἴπῃ, ἑῷος ἀρκτοῦρος καὶ ἀκροκνέφαιος, κατὰ τὴν φαιδρὰν τοῦ ἁγίου Πάσχα Κυριώνυμον (1), ὡς ἄλλος θεσπέσιος Μωσῆς τὸν τοῦ Χριστοῦ λαὸν ἐγκολπίζεται· καὶ συγχαίρων οἷον αὐτοῖς, πᾶσαν Αἰγυπτιακὴν ἀποτιναξαμένοις κακότητα, καὶ Φαραὼ διώκτην καταποντίσασι, Δεῦτε, φησὶν, ἴδετε τῆς ὀρθοδοξίας οἱ ἔμποροι, οἱ τὸ τῆς νηστείας ἀκινδύνως περάσαντες πέλαγος, ποῦ τὸ μέγα κῦμα τοῦ φθόνου τὸν τῆς ζωῆς θησαυρὸν ἀπεκλύσατο(2)· ποῦ τὸν ἀκοίμητον μάργαρον εὐροκλύδων τυφωνικὸς ὡς ἐν ὀστρέῳ τῷ τάφῳ κατέκρυψε· καὶ ἰδόντες τὸ μὲν ἔλυτρον μετασαλευθὲν δυνάμει θεϊκῆς ἀστραπῆς, τὸν δὲ μάργαρον αὐτεξουσίως ἐξανατείλαντα, καὶ εἰς ἐμπορίαν προκείμενον ἀπραγμάτευτον, λάβετε τοῦτον καὶ ἰδιώσασθε, καὶ ζωὴν αἰώνιον ἑαυτοῖς ἀποθησαυρίσατε. Τάχα δὲ καὶ κατὰ πατέρα φιλόστοργον, νῦν πρώτως ἰδόντα παῖδας ἀμύμονας, ἀπὸ μακρᾶς καὶ κινδυνώδους ἀποδημίας ἀβλαβῶς ἐνδημήσαντας, ἐν φιλήματι ἁγίῳ περιχαρῶς κατασπάζεται, καὶ ἀνοίξας τοὺς θησαυροὺς τῆς εὐλογίας αὐτοῦ, δεξιοῦται τούτους νομίσμασιν, ὀλίγοις μὲν κατὰ τὸ φαινόμενον, πολλοῖς δὲ κατὰ τὸ νοούμενον· ἀφορῶν γὰρ εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ἀῤῥαβωνίζεται διὰ τούτων αὐτοῖς καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν. Ταῦτα ἡμεῖς ὡς ἀρχιτέκτονες γέροντες γεγράφαμέν σοι, σοφώτατε, καὶ ὑπεδείξαμέν σοι ἀπολογίας θεμέλιον. Σὺ δὲ ὡς ἄλλος Βεσελεὴλ ἐποικοδομήσαις τὸ ἀληθές· θεμέλιον γὰρ ἄλλον οὐδεὶς, φησὶ, δύναται θεῖναι παρὰ τὸν κείμενον Ἰησοῦν Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) X. V. — τοῦ ἁγίου Πάσχα ἡμέραν τὴν Κυριώνυμον, Λεῦγκλ. — (2) X. V. — ἀπεκύλισε Λεῦγκλ.

# ΤΟΥ ΑΥΤΟΥ ΜΕΛΕΤΗ,

## ΧΑΡΙΝ ΤΩΝ ΔΥΟ ΟΦΦΙΚΙΩΝ, ΤΟΥ ΤΕ ΧΑΡΤΟΦΥΛΑΚΟΣ, ΚΑΙ ΤΟΥ ΠΡΩΤΕΚΔΙΚΟΥ.

ΤΟΥ μεγάλου διδασκάλου τῆς Ἐκκλησίας Παύλου τοῦ θεοκήρυκος λέγοντος, Οὐχ ἑαυτῷ τις λαμβάνει τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, ὤφειλεν ὁ πρωτέκδικος ἀρκεῖσθαι τοῖς δεδομένοις αὐτῷ, καὶ κατ' ἴχνια βαίνειν τῶν πρὸ αὐτοῦ, παντοίᾳ σοφίᾳ τῶν πλειόνων κεκοσμημένων τῇ χάριτι τοῦ Θεοῦ, καθὼς καὶ αὐτός ἐςι, καὶ τὰ ὑψηλότατα τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐνεργησάντων ὀφφίκια, τινῶν δὲ καὶ κατὰ γνησίους πτερυξαμένων ἀετιδεῖς, καὶ εἰς τὸν μέγαν φθασάντων θρόνον τῆς Κωνσταντινουπόλεως, καὶ τὰ κυρωθέντα διὰ χρόνων ἀμνημονεύτων σχεδὸν, μὴ σπεύδειν ἀλλοιωθῆναι κατὰ σηπίας αὐθημερὸν, καὶ οὕτω ῥιψοκινδύνως σκανδαλίζειν καὶ σκανδαλίζεσθαι, θέλειν δὲ μᾶλλον εἰρήνην ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ. Ἐπειδὴ οὐκ οἶδα ὅπως παραδραμὼν τοὺς ἐγείροντας τὰ σκάνδαλα μύλωνας, καὶ τὰ διορισθέντα κανονικῶς κατὰ τῶν παραλυόντων ἀπερισπέπτως συνήθειαν μακρὰν ἐκκλησιαστικὴν οἱανδήτινα, (ταύτην γὰρ κρατεῖν ὡς τοὺς θείους κανόνας νενομοθέτηται,) καὶ ὑπεραναβὰς τὸν ὁρίζοντα, θέλει παρασαλεῦσαι τὰ τοῦ χαρτοφύλακος προνόμια, καὶ συνάψαι τοῖς ἐκδικικοῖς λειτουγήμασι, κατά τινα ἑτεροφυῆ συμμοσχεύοντας(1) σώματα, καὶ πρὸς ἐπισύστασιν τοῦ οἰκείου θελήματος, κανόνι χρῆται τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, πρὸς δὲ καὶ τισι ῥήμασι τοῦ ἀποκειμένου βιβλίου ἐν τῷ σεκρέτῳ τοῦ ἱεροῦ ἐκδικείου, παριστῶ καὶ αὐτὸς διὰ τῆς παρούσης γραφῆς μου, καθὼς ἠξίωμαι, τὰ τοῦτον, ὡς ἐγῷμαι, δικαίως ἐπιςομίζοντα, καὶ τὸν κατὰ καιροὺς χαρτοφύλακα φιλαλήθως ἀποσεμνύνοντα. Ἀπὸ τοῦ κγ'. κανόνος τῶν ἐν Χαλκηδόνι συνελθόντων χλ'. ἁγίων Πατέρων, συχνὴν ἐπικουρίαν ὁ πρωτέκδικος ἰδιώσατο, χάριν τοῦ κρίνειν ἰδιοῤῥυθμίας μοναζόντων καὶ κληρικῶν, καὶ ἀνα-

(1) Λιόγκλ. — συμβιβάζοντας, Χ. V.

κρίνειν ἀποδημίας αὐτῶν, καὶ κατακρίνειν ὡς φυγαδείας δουλοπρεπεῖς. Πρὸ γὰρ ἑκατὸν χρόνων, μικρόν τι πλέον ἢ ἔλαττον, τοῦ ἀοιδίμου βασιλέως τοῦ Ἰουστινιανοῦ, τοῦ τὴν Ἐκκλησίαν ἀγακλεῶς οὐρανώσαντος, ὁ τοιοῦτος κανὼν ἐκπεφώνηται, ὅτε λόγος οὐκ ἦν ἐκδίκων ὄντων ἀπὸ τοῦ βήματος, λαϊκῶν δὲ ταῖς Ἐκκλησίαις διδομένων ἑκάστοτε πρὸς ἐκδίκησιν. Καὶ τοῦτο δῆλόν ἐστιν ἀπὸ τοῦ οε'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, οὑτωσὶ διεξιόντος ῥητῶς·

Περὶ ἐκδίκων τῶν Ἐκκλησιῶν, τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι. Σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ Ἐκκλησία παρενοχλεῖται, ὥστε ἐκδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλέγεσθαι κατὰ τῆς τῶν πλουσίων τυραννίδος.

Ὡσαύτως καὶ ἀπὸ τῆς ιε.' νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ, τῆς κειμένης ἐν βιβλίῳ ϛ'. τῶν βασιλικῶν, τίτλῳ ιη', καὶ διαλαμβανούσης, τοὺς ἐκδίκους ἀπὸ τῶν κατοίκων ἑκάστης πόλεως ἀμοιβαδὸν ἐπιλέγεσθαι, κἂν ἰλλούστριοί τινες ὦσι καὶ λαμπρότατοι· καὶ ἐπὶ μόνῃ διετίᾳ τὸ τῆς ἐκδικήσεως ὑπέχειν τούτους λειτούργημα. Τῶν γοῦν ἐκδίκων ἐπιλεγομένων ὡς εἴρηται, καὶ τῆς λειτουργίας αὐτῶν μετρουμένης χρονικῷ διαστήματι, εἰκαιομυθοῦσιν οἱ λέγοντες ἀπὸ τοῦ ῥηθέντος κανόνος στηρίζεσθαι τὸ παρὰ τοῦ πρωτεκδίκου λεγόμενον. Τὰ δὲ ῥήματα τοῦ πρωτεκδικικοῦ βιβλίου, τὰ οὕτω πως κατὰ ῥῆμα διαλαμβάνοντα, Δεῖ ὑμᾶς, εἴ τις τῶν πρεσβυτέρων καὶ διακόνων δίκην ἕξει μετά τινος, προσκαλεῖσθαι τὸν διεγκαλούμενον ἐκ τρίτου κατὰ τὸν εἰρημένον τρόπον, καὶ μὴ ὑπείκοντα καταδικάζειν, οὐκ ἀνασπῶσι προθέλυμνον, οὐδ' ἐξ ἀποσπάδος, οὐδ' ἐκ φλοιοῦ τὴν κατὰ πάντων τῶν ἱερωμένων δικαιοδοσίαν τοῦ χαρτοφύλακος, καὶ πρὸς τοὺς ἐκδίκους μεταφυτεύουσιν. Οὐδὲ γὰρ ἐκλαμβάνονται, καθὼς φησιν ὁ πρωτέκδικος, εἰς τὸ δύνασθαι τοῦτον καταναγκάζειν καὶ ἄκοντας τοὺς ἐναγομένους παρὰ διακόνων καὶ πρεσβυτέρων τινῶν, ἴσως ὄντας καὶ λαϊκοὺς, ἀπολογεῖσθαι παρὰ τούτῳ περὶ ὧν ἡ αἰτίασις· τοῦτο γὰρ καὶ τολμηρόν ἐστι, οὐδὲ τῇ πατριαρχικῇ θείᾳ μεγαλειότητι δέδοται, ὡς ὑπεναντίον τοῖς νόμοις τοῖς διοριζομένοις, τῶν ἐναγομένων τῷ φόρῳ τοὺς ἐνάγοντας ἕπε-

σθαι. Εἰ δέ τις τοῦ πρωτεκδικικοῦ θελήματος ἀντεχόμενος, (εὐλογοῦνται γάρ φησι καὶ κακοπραγοῦντες ἐνίοτε,) ὑποθήσει κενεμβατῶν, τὰ ῥηθέντα ῥήματα διαλέγεσθαι περὶ μερῶν μὴ μεριζομένων διαφόροις ἐπιτηδεύμασιν, ἀλλ' ἡνωμένων τῆς ἱερωσύνης τῷ ἐπαγγέλματι, ἀκούσει διὰ τούτου σχολὴν τολμηρὰν καταψηφίζεσθαι καὶ παρόρασιν, μὴ μόνον τῆς δικαιοδοσίας τοῦ χαρτοφύλακος, ἀλλὰ καὶ τοῦ πατριαρχικοῦ θειοτάτου βήματος· εἰ γὰρ τοῦτο δοθείη, δικαιοδοτήσει θαῤῥούντως, μάλιστα δ' εἰπεῖν αὐθεντικῶς ὁ πρωτέκδικος, κατὰ ἀρχιερέων, καὶ διακόνων, καὶ λοιπῶν τῶν τοῦ βήματος, ἔστιν ὅτε καὶ μεγάλα διαπρεπόντων ὀφφίκια, καὶ τὴν πρωτεκδικικὴν ἰουρισδικτίονα κατὰ διάμετρον ὑπερβαίνοντα· ζητήσει δὲ καὶ τοὺς ἐπισκοπειανοὺς σφετερίσασθαι, ὡς ἐπισκόπου κληρωσάμενος λογοθέσιον· ὅπερ, ὡς ἄτοπον, οὐδὲ λέγεσθαι ἄξιον. Τὸ δὲ λέγειν τινὰ, τοὺς ἑλκομένους παρὰ τοῖς ἐκδίκοις ὑπό τινων τῶν τοῦ βήματος περὶ χρηματικῆς ἢ ἐγκληματικῆς οἱασδήτινος ὑποθέσεως, ὀφείλειν μετακαλεῖσθαι διὰ μηνυμάτων τριῶν, καὶ καταδικάζεσθαι μὴ ὑπείκοντας, (οὕτω γὰρ ἀνάγκη πᾶσα πρόκειται γίνεσθαι, εἰ δοθείη διὰ τῶν ῥηθέντων ῥημάτων τοῦ πρωτεκδικικοῦ βιβλίου λαβεῖν τὸν πρωτέκδικον ἄδειαν, περὶ πάσης ὑποθέσεως δικάζειν διακόνους, καὶ ἱερεῖς μετὰ τῶν ἀντιθετούντων αὐτοῖς,) πῶς οὐκ ἔστι τῆς πρωτεκδικικῆς σοφίας ἀνάξιον; Βαβαὶ γὰρ, πόσα τούτου δοθέντος ἀθετοῦνται θειότατα νόμιμα; Πόσα βασιλέων ὀρθοδόξων θεσπιῳδήματα; Πόσα Πατέρων θείων δόγματα καὶ διδάγματα, τοὺς ἐναγομένους παντοίως συνάγοντα, καὶ δι' ἐπιφωνημάτων τριακονθημέρων μετακαλούμενα, καὶ διπλαῖς ἐκκλήτοις τὴν τούτων καταδίκην μετεωρίζοντα; Πάντως πολλὰ, καὶ πάντα σχεδὸν ἀριθμὸν ὑπερβαίνοντα. Συνάγεται τοίνυν ἀπροσπαθῶς, καὶ τὴν ἐκ τούτων τῶν ῥημάτων ἀναφαινομένην δῆθεν ἀσάφειαν συναρμολογεῖσθαι καλῶς τῇ περὶ ἐλευθεριῶν λοιπῇ τοῦ βιβλίου γραφῇ· καὶ τοὺς παρὰ πρεσβυτέρων, ἢ διακόνων ἑλκομένους παρὰ τοῖς θεοσεβεστάτοις ἐκδίκοις χάριν ἐλευθεροβοώντων, ἢ δουλαγωγουμένων τινῶν, καὶ μετὰ τρεῖς διαλαλιὰς μὴ πειθομένους ἐλθεῖν, μονομερῶς κατακρίνεσθαι, διὰ τὰ νόμιμα θεῖα θεσπίσματα, τὰ τὴν ἐλευθερίαν ὑπὲρ πάντα σχεδὸν



περιθάλποντα, καὶ ἐξ ἐπιπέδου διοριζόμενα, τὴν ταύτης ζήτησιν γίνεσθαι, καὶ μὴ ὠφελεῖσθαι τοὺς οὕτω τὴν καταδίκην καθ' ἑαυτῶν σχεδιάσαντας ἐκ τοῦ εἶναι τοῦ βήματος τῆς ἐλευθερίας τοὺς ἀντιλήπτορας. Οὕτω δὲ τούτων ἐχόντων, δικαίως ἐπιτραπήσεται ὁ πρωτέκδικος, τῶν μὲν χάριν ἐλευθερίας τὴν ἐκκλησιαστικὴν ζητούντων βοήθειαν, μετὰ δικαιοδοσίας ἀντιλαμβάνεσθαι, τῶν δὲ λοιπῶν προσφύγων ἀντιποιεῖσθαι, ὥσπερ καὶ ὅπου νενόμισται· καὶ συνίστασθαι μᾶλλον τούτοις, καὶ ἐκδικεῖν ἀπὸ τῶν ἐπηρεαζόντων αὐτοὺς, καθώς που καὶ κέκληται· οὕτω γὰρ ποιῶν, καὶ φυλάξας ὁσίως τὰ ὅσια, δεόντως ὁσιωθήσεται. Καὶ ταῦτα μὲν ἀποχρώντως ἐγράφησαν εἰς ἐκτροπὴν τῶν παρὰ τοῦ πρωτεκδίκου προτιθεμένων, καὶ παρασπωμένων τὰ παρὰ τοῦ χαρτοφύλακος ἀμέμπτως νεμόμενα δίκαια. Ῥητέον δὲ καὶ τὰ συνιστῶντα τὸν χαρτοφύλακα. Εἰπάτω δὲ μᾶλλον ταῦτα τῆς ἀληθείας τὸ στόμα, καὶ τῆς δικαιοσύνης ὁ ἥλιος· οὐδὲ γὰρ οἴκοθεν εἴπωμεν ἐπιμύθιον, κατὰ τοὺς κνηθομένους τὰς ἀκοὰς τῷ λόγῳ τοῦ διαφέροντος, καὶ τοὺς ἐπὶ ὕδατος ἀντιλογίας δοκιμάζοντας τὰ ἀμφίβολα· ἀλλ' ἐκεῖνα διπλόης πάσης ἐκτὸς σχεδιάσομεν, ὅσα πεῖρα μακρὰ, καὶ χρόνος πολὺς, καὶ θείων Γραφῶν ἀνάγνωσις ἡμᾶς ἀνεδίδαξαν. Ἀρκτέον οὖν, ὅθεν ἄρχεσθαι ἄμεινον· καὶ πορευτέον ἐκ δυνάμεως πάλιν εἰς δύναμιν. Κεφαλὴ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐστὶ, μετὰ τὴν πρώτην ἄναρχον, καὶ ἀΐδιον, καὶ ἀπειροδύναμον κεφαλὴν, τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, ὁ πνευματικὸς νυμφίος αὐτῆς, ὁ κατὰ καιροὺς ἁγιώτατος οἰκουμενικὸς πατριάρχης. Τῶν γοῦν ἐκκλησιαστικῶν δικαίων διαιρουμένων διχῇ, εἴς τε τὰ διαφέροντα τῇ Ἐκκλησίᾳ πολυειδῶς, καὶ εἰς τὰ τῷ πατριάρχῃ προσκυρωθέντα κανονικῶς, ἐδέησε τοῖς τὰ τῆς Ἐκκλησίας ὁροθετήσασιν ὀρθοδόξοις ἡμῶν αὐτοκράτορσι, καταμερίσαι ταῦτα πρὸς πέντε σεκρέτων εὐαγῆ λογοθέσια, καὶ ἀναθεῖναι τὴν τούτων διοίκησιν διακονηταῖς· οὐδὲ γὰρ ἔδει τὸν οὕτως ἀγακλεῶς ἐν πᾶσι νυμφοστολούμενον, περὶ σκαπάνην ἀσχολεῖσθαι καὶ δούλων χορτάσματα. Ἔκτοτε γοῦν καὶ μέχρι τοῦ νῦν παρὰ πέντε προκαθημένων, τῶν ἐξωκατακοίλων ἀρχόντων φημὶ, ὡς ὑπὸ πέντε αἰσθήσεων ταυτὶ διεξάγονται· ἤγουν τοῦ μεγάλου οἰκονό-

μου, τοῦ μεγάλου σακελλαρίου, τοῦ μεγάλου σκευοφύλακος, τοῦ χαρτοφύλακος, καὶ τοῦ σακελλίου· καὶ ἔχει τῶν ἐκκλησιαστικῶν κτημάτων τὴν πρόνοιαν ὁ μέγας οἰκονόμος· τῶν κατὰ πόλιν καὶ τῶν περατικῶν μοναστηρίων τὴν μέριμναν, (τρισκαιδέκατος γὰρ ῥεγεὼν τῆς βασιλευούσης τῶν πόλεων, ἡ περαία ταύτης ἐστὶν,) ὁ μέγας σακελλάριος· τῶν ἱερῶν κειμηλίων τὴν ἐπιμέλειαν, ὁ μέγας σκευοφύλαξ· καὶ τῶν καθολικῶν Ἐκκλησιῶν, πρὸς δὲ καὶ τῶν ἐμφυτεύσεων τὴν διοίκησιν, ὁ σακελλίου· ὁ δὲ χαρτοφύλαξ κατευθύνει μονομερῶς τὰ τῷ πατριάρχῃ δικαίῳ τῆς ἀρχιερωσύνης ἀνήκοντα. Ὅπως μὲν οὖν τῶν ἄλλων τεσσάρων προκαθημένων τὰς προβλήσεις τετύπωται γίνεσθαι, καὶ πόσους ἕκαστος τούτων ἔχει χαρτουλαρίους τοῦ κόπου συμμεριστὰς, καὶ πόσους σεκρετικοὺς διακοννητὰς, οὐκ ἐςι λέγειν καιρός· οὐδὲ γὰρ περὶ τούτων εἰπεῖν προεθέμεθα. Ὅθεν δὲ καὶ ὅπως ὁ χαρτοφύλαξ σεμνολογεῖται πανευκλεῶς, καὶ καλεῖται τοῦ πατριάρχου στόμα καὶ χεὶρ, ζητητέον. Ἐπεὶ δέ τινες παρωνυμίζεσθαι τὸν χαρτοφύλακα θέλουσιν ἐκ τοῦ φυλάττειν μεμβράνας ἤτοι κωδίκια, περιαιρετέον πρὸ πάντων τὸ ἐκ ταύτου φυόμενον σκάνδαλον. Ὁ χαρτοφύλαξ οὐκ ἔστιν, ὥς τινες λέγουσι, φύλαξ τοῦ σεκρέτου, καὶ θυρωρὸς, (τοῦτο γὰρ τῶν ὀςιαρίων ἀρχαῖον ἐπάγγελμα), ἐπισκοπικῶν δὲ δικαίων φροντιςὴς ἀξιόμαχος· οὕτω γὰρ καὶ νομοφύλαξ καλεῖται, καὶ σκευοφύλαξ, καὶ φύλαξ ςρατοπέδου βασιλικοῦ. Εἰ δ' ἀπισχυρίζονται, πῶς τῶν ἄλλων σεκρέτων οἱ προκαθήμενοι, φύλακες οὐ κατονομάζονται, καὶ ταῦτα πραγμάτων ὄντες διοικηταὶ, ἀλλ' ὁ μὲν, μέγας οἰκονόμος καλεῖται, ὁ δὲ μέγας σακελλάριος, ὁ δὲ σακελλίου, ἀκουσάτωσαν, ὡς ταυτόν ἐςιν εἰπεῖν, οἰκονόμον, φύλακα, σακελλάριον, καὶ τὸν σακελλίου· παρὰ γὰρ τοῖς Ῥωμαίοις σάκελλον, παρὰ τὸ διοικεῖν καὶ φυλάττειν ἐςί. Καὶ ἡ τοὺς κακούργους δὲ φυλάττουσα πατριαρχικὴ σακέλλη ἐντεῦθεν καὶ οὐκ ἄλλοθεν μετωνόμασται, ὥσπερ δὴ καὶ τὸ σακούλιον. Λέγεται γοῦν σακελλάριος, ὁ τῶν μοναστηρίων διοικητής· καὶ ὁ σακελλίου ὑποκοριστικῶς, ὁ τῶν καθολικῶν Ἐκκλησιῶν φροντιστής. Ἵνα δὲ ἡ τῶν προκαθημένων πεντὰς μὴ ταυτωνυμίζηται, ὡρίσθη διαφόρων ὀφφικίων ὀνόμασιν αὐτὴν μεγεθύνεσθαι· τῷ τοι καὶ ταυτιζομένη τῶν ἐνερ-



γειῶν τοῖς ἀποτελέσμασι, μερίζεται τῶν ὀφφικίων ταῖς κλήσεσιν. Οὕτω γοῦν περιαιρουμένης καλῶς τῆς ἐκ τῆς φυλακῆς ὑποκλεπτομένης ἀσαφείας κατὰ τοῦ χαρτοφύλακος, σαφηνιστέον καὶ τὰ λοιπά. Τοῦ χαρτοφύλακος ἡ ἐνέργεια πολυειδὴς καὶ πολυσχιδής ἐστι· διὸ καὶ ὁ κατὰ καιροὺς ἁγιώτατος πατριάρχης, ὡς ἄλλον Ἀαρὼν τοῦτον ἐπιλεγόμενος, λέγει μετὰ Μωσέως πρὸς Κύριον· Ἐπισκεψάσθω Κύριος ὁ Θεὸς τῶν πνευμάτων(1) καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης, ὅστις ἐξελεύσεται πρὸ προσώπου αὐτῶν (2), καὶ ὅστις εἰσελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅστις εἰσάξει αὐτοὺς εἰς ἐμὲ, καὶ ὅστις ἐξάξει αὐτοὺς ἐξ ἐμοῦ· καὶ οὕτως ἐπιτίθησι τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτὸν, καὶ δίδωσιν αὐτῷ τὴν δόξαν αὐτοῦ, ὅπως ἀκούωσιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ. Ἐγχειρίζει τούτῳ καὶ χρυσοῦν, ὡς ἄν τις εἴποι, δακτύλιον, καθὼς εἶπε Κύριος πρὸς Μωσῆν· Καὶ ἐπιθήσεις τὸ λογεῖον ἐπὶ τὸ στῆθος τοῦ Ἀαρὼν, καὶ ποιήσεις δακτύλιον χρυσοῦν, καὶ συναρμολογήσεις αὐτὸν τοῦ λογείου τοῖς χείλεσιν, ἐφ' ᾧ δι' αὐτοῦ τῶν υἱῶν Ἰσραὴλ ἀπογράφεσθαι τὰ ὀνόματα (3). Ποῖος δὲ οὗτος ἐςί; Τὸ πατριαρχικὸν βουλλωτήριον, τὸ παρὰ τῷ στήθει τοῦ χαρτοφύλακος ἀπῃωρημένον, ὡς εἴωθε, δοχείῳ καθεςηκότι λογικοῦ παντοίου σπουδάσματος, (τοῖς γὰρ ἀξίοις, φησὶ, δοτέον τὰ ἀξιώματα·) δι' οὗ τοὺς ὀλοθρευτὰς ἀσφαλίζεται σὺν σφραγῖδι καὶ χάριτι, τοὺς ἁμαρτωλοὺς ἐπιστρέφει σὺν σφραγῖδι καὶ μέλανι, τοὺς καταπονουμένους διεκδικεῖ σὺν βακτηρίᾳ καὶ σύριγγι, καὶ τοὺς ἀξίους τῷ Πνεύματι χαρισμάτων ἱερατικῶν ἀξιοῖ, τοὺς μὲν ἐκτὸς τοῦ βήματος, κληρικοποιῶν, τοὺς δὲ ἐντὸς, τελειοποιῶν. Διὰ τούτου καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην σχεδὸν πατριαρχικὰ καταγράφεται καὶ δίδωσι σταυροπήγια, καὶ πολλάων πολίων ἐκκλησιαστικὰ μετατίθησι κάρηνα, εἰς τῆς πρώτης κεφαλῆς τὸ ἀνάκτορον. Δίδονται διὰ τούτου τῷ χαρτοφύλακι καὶ αἱ κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, ὡς ὑπὸ τοῦ Κυρίου τῷ φίλῳ Πέτρῳ καὶ μαθητῇ. Φησὶ γὰρ, οἷον πρὸς αὐτὸν, ὁ μέγας ἀρχιερεύς· Ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν

---

(1) Ἀριθμ. ΚΖ', 16. — Πατέρων Λεύγκλ. — (2) Ἀριθμ. αὐτ. — ἐμοῦ Λεύγκλ.
(3) Ἐξόδ. ΚΗ', 23 καὶ ἐπ.

δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον καὶ ἐν τοῖς οὐρανοῖς (1). Καὶ τὸ πάντων καινότερον, οὐ μόνον οὗτος τοσαύτης ἐξουσίας ἐπλούτησε χάρισμα, ἀλλὰ καὶ οἱ ἐξ αὐτοῦ τὴν χάριν ταύτην λαμβάνοντες· ἐπιτρέπει γὰρ ἱερεῦσι (2) μοναχοῖς ἀνθρώπων δέχεσθαι λογισμοὺς, καὶ διαῤῥήσσειν ἁμαρτημάτων χειρόγραφα, ὅπερ μόνοις ἐπισκόποις ἀπὸ τοῦ παναγίου δέδοται Πνεύματος. Ἂν ἴδῃς δὲ τοῦτον συνοδικῶς σχεδιάζοντα ὅσα λαλῶν λαλήσει Μωσῆς, κἀκεῖνα κρουνηδὸν ἀποστοματίζοντα, ὅσα νεφελώσει καὶ ὑδατώσει τῆς κεφαλῆς ἡ ἀκρώρεια, οὐ ζητήσεις ἰδεῖν Ἀαρὼν θεογράφων πλακῶν ἀπαγγέλλοντα ῥήματα, οὐδὲ Βαροὺχ περιδεξίως ἀπογραφόμενον τῆς Ἰουδαίας τὴν ἅλωσιν, ἀρκεσθήσῃ δὲ τοῖς οὕτω πραττομένοις ὑπὸ τοῦ χαρτοφύλακος, καὶ δευτερονόμιον σεμπεραίνουσι. Πρὸς τούτοις θαύμασον, πῶς τῶν θείων κανόνων μόνοις ἐκχωρησάντων τοῖς ἐν πόλεσιν ἀρχιερατεύουσι τὴν τοῦ διδάσκειν τὸν λαὸν σεμνοπρέπειαν, ὁ χαρτοφύλαξ καὶ μόνος τὸ διδάσκειν κατηχητικῶς τὸν λαὸν ἐπ' Ἐκκλησίας ἀπεκληρώσατο· πῶς τὰς πατριαρχικὰς διαγνώσεις καλλιγραφεῖ, καὶ ὑπογραφαῖς οἰκείαις, καὶ σφραγῖσι κατεμπεδοῖ· καὶ πῶς δικαστηρίου μεγάλου προκάθηται, καὶ δικαιοδοτεῖ κατὰ μὲν παντὸς ἀνθρώπου, κἂν οἵας ἂν εἴη τύχης καὶ φύσεως, περὶ ἐκκλησιαστικῶν ζητημάτων, καὶ σφαλμάτων ψυχικῶν διορθώσεως· κατὰ δὲ ἱερωμένων καὶ μοναχῶν, περὶ πάσης ἐγκληματικῆς καὶ χρηματικῆς αἰτιάσεως. Περᾷ γὰρ καὶ μέχρι Γαδείρων αὐτῶν ἡ δικαιοδοσία τοῦ χαρτοφύλακος, εἰ δοίη τις κἀκεῖσέ τινας κατοικεῖν ὑποκειμένους τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως. Τὸ δὲ προκαθῆσθαι τοῦτον δωδεκάδος πατριαρχικῶν νοταρίων αὐτοπιστίαν ἐχόντων, οἵαν ἔχει καὶ ἡ δωδεκὰς τῶν τοῦ Βήλου τοῦ Ἱπποδρόμου κριτῶν, (ἐῶ γὰρ εἰπεῖν δωδεκάδος διπλῆς, ὅτι τῶν πατριαρχῶν ἡ φιλανθρωπία καὶ συγκατάβασις οὐχ ἕλκεται πρὸς ἀναίρεσιν τῶν νενομισμένων ἀνέκαθεν), ὡσαύτως καὶ τὸ προκαθῆσθαι τῶν μητροπολιτῶν ἐν ταῖς ψήφοις τῶν χηρευουσῶν ἁγιωτάτων Ἐκκλησιῶν, καὶ ἐν ταῖς ἔξωθεν τοῦ πατριαρχικοῦ βήματος γινομέναις κοιναῖς συνελεύσεσιν, ἀλλὰ μὴν καὶ ἑορτασίμοις πανδήμοις τελεταῖς τε καὶ πανηγύρεσιν, οὐ μόνον

(1) Ματθ. ιϛ', 19. — (2) Χ. Υ. — ἱερατεύουσι, Λιθγκλ.



ἐντὸς τῶν τῆς Ἐκκλησίας μερῶν, ἀλλ' ἐν τόπῳ παντὶ, ὅπερ οὐδενὶ διακόνῳ πεφιλοτίμηται, διὰ τὸ ῥητῶς ὑπὸ τοῦ ιη'. κανόνος τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου κωλύεσθαι, ποῦ θήσεις, ἀκροατὰ συνετώτατε ; Πάντως ἂν εἴποις τούτων πάντων δοθῆναι τὴν ἐξουσίαν αὐτῷ, διὰ τὸ λογίζεσθαι στόμα, καὶ χείλη, καὶ χεῖρας ὡσανεὶ πατριαρχικάς. Ἕλκει με τὸ πρόθυμον εἰπεῖν καὶ ἐπεξεργάσασθαι, τίνος χάριν παρὰ τοὺς ἄλλους προκαθημένους ὁ χαρτοφύλαξ καὶ μόνος διττοῖς ἐκκλησιαστικοῖς μεγαλύνεται τάγμασιν, ἐπισκοπειανοῖς δηλαδὴ καὶ σεκρετικοῖς. Ὅτι δὲ τῆς τούτων εὑρέσεως ὑποβάθρα τις τιμήεσσα πρόκειται, καὶ τὸ πρᾶγμα παρακαλεῖ καὶ ταύτην ἀργυρογνωμονῆσαι διὰ τὴν τῆς ἀληθείας παράστασιν, ἀναμεινάτω πρὸς μικρὸν ὁ λόγος τὴν τῶν ῥηθέντων ταγμάτων συζήτησιν, καὶ ῥητέον, τίνος χάριν παρὰ τὴν τῶν θείων κανόνων περίληψιν, ἐν διακόνοις ὁ χαρτοφύλαξ ταττόμενος, τῶν ἀρχιερέων προκάθηται. Τὸ ζήτημα τοῦτο τὸ πολλυθρύλλητον πολλὰ κατὰ διαφόρους καιροὺς ἀνήγειρε σκάνδαλα, καὶ μεγάλη τούτου κατεξέτασις γέγονε μέσον τοῦ χαρτοφύλακος καὶ τῶν ἀρχιερέων τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως· καὶ τάχα μειδιώσης ἀκροθιγῶς τῆς ὑπὲρ τῶν ἀρχιερέων πατριαρχικῆς διαγνώσεως διὰ τὴν τοῦ ῥηθέντος ἀνωτέρω κανόνος περίληψιν, προεκομίσθη πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, τάδε κατὰ ῥῆμα διαλαμβάνον·

Ἡ βασιλεία μου τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔτακτον καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπιπλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν απονενεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν, κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἑξῆς εἶναι καὶ διαμένειν βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀνεξάλλακτον ἕως τοῦ νῦν μεταβάσεσιν ἐπικριθεῖσαν καὶ βεβαιωθεῖσαν καλῶς. Ἐπεὶ δὲ νῦν ἡ βασιλεία μου μάθοι, ὥς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προφέροντες, διὰ τού-

των φιλονεικοῦσι μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέοι τούτους συνέρχεσθαι κατά τινα χρείαν, καὶ συνεδριάζειν κατὰ ταυτὸν, πρὸ τῆς εἰς τὴν ἁγιωσύνην σου εἰσελεύσεως, οὐκ ἀνασχετὸν τῇ βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν, καὶ τοῖς πρὶν πατριάρχαις καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ' εὐλόγῳ ἐρίζουσι πράγματι διὰ τῆς πολυημέρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι, καὶ ὥς τι τῶν ἠμελημένων παρασυρῆναι. Τοίνυν καὶ διορίζεται πρᾶγμά τι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο· εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα Πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδόξαντα σιωπῆς, καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς, ἐκ παλιμβολίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι, καὶ χάρις, ὅτι τὸ μάχιμον καταθέμενοι, τὸ εἰρηναῖον προτετιμήκασιν. Εἰ δὲ καὶ ἔτι τούτων τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι (τῆς γὰρ ἐννοίας πόῤῥω ἀποδιεστήκασι), πειρῶνται τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν νῦν ἡ βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφὴν, ῥᾴστην οὖσαν καταληφθῆναι καὶ διαγνωσθῆναι καλῶς τοῖς βάπτουσιν εἰς ἀκρίβειαν, καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν· αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ, τί δήποτε τὸν κανόνα εἰδότες, καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι, τὴν ἑαυτῶν συνείδησιν ἀνευλόγως ἐπάτησαν, καὶ τοῦ κανόνος παραῤῥιπτουμένου ἠνείχοντο, καὶ τὴν ὑφεδρείαν ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο· καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων περιφρονήσεως τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς Ἐκκλησίας ἀπέλασιν δίδωσι, κανόνι στοιχοῦσα κἀνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς περιφρονηταῖς τῶν κανόνων ἐκείνους αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς ἄμυναν ἀντεξάγουσα.

Καὶ ἐπεὶ μετὰ τὴν τούτου προκομιδὴν τὰ ἀπὸ μακρᾶς συνηθείας κρατήσαντα, καὶ διὰ βασιλικοῦ προστάγματος γεγόνασι κραταιότερα, προκάθηται μέχρι τοῦ νῦν παντὸς ἀρχιερατεύοντος, κἂν τύχῃ τοῦτον καὶ βασιλικὸν ἔχειν ἀξίωμα, ὑπερτίμου ἢ πρωτοσυγκέλλου τυχόν. Καὶ τότε μὲν οὕτω δια-

ευλυτώθη τὸ δῆθεν ἀμφίβολον. Ἐγὼ δὲ τῷ βασιλικῷ διορισμῷ κατὰ τὸ νενομισμένον ἀκολουθῶν, τῇ κατασκευαζούσῃ γνώμῃ τὴν προεδρίαν τοῦ χαρτοφύλακος διὰ μόνην τὴν ἄγραφον μακροτάτην συνήθειαν, τὴν ἀντὶ νόμου παραλαμβανομένην, ὡς γέγραπται, οὐ προστίθεμαι· εἶδα γὰρ τότε τὴν μακρὰν συνήθειαν ἀντὶ νόμου κρατεῖν, δοκιμασθεῖσαν πάντως δικαστικῶς, ὅτε νόμοι καὶ κανόνες διὰ ταύτης οὐ παραλύονται. Λέγω δὲ τὴν προεδρίαν ἔχειν τὸν χαρτοφύλακα κατὰ τὴν τῶν θείων κανόνων περίληψιν, τοῦτο ὅπερ ἡ βασίλειος θεία περιωπὴ ἑκοντὶ τηνικαῦτα παρεσιώπησε· κἂν γὰρ ὁ ῥηθεὶς τῆς ἐν Νικαίᾳ πρώτης συνόδου κανὼν διορίζεται, μὴ μεταλαμβάνειν μηδὲ καθῆσθαι πρὸ τῶν ἱερέων διάκονον, ἀλλ' ὁ ζ'. κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου παρακελεύεται, τὸν ἐπέχοντα πρόσωπον πατριαρχικὸν, ἢ ἁπλῶς ἐπισκοπικὸν, πρὸ τῶν ἱερέων καθέζεσθαι. Διὸ καὶ ὁ μέγας ἅγιος Κύριλλος, ὁ πάπας Ἀλεξανδρείας, ἐπὶ κεφαλῆς χρυσοῦν λῶρον περιεβέβλητο, ὅτε τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου προΐστατο· ἐπεῖχε γὰρ καὶ τὸν τόπον τοῦ Κελεστίνου, τοῦ τὴν Ἐκκλησίαν τῆς Ῥώμης ἰθύνοντος, καθὼς τοῦτο παρίσταται ἐκ τῶν πρακτικῶν τῆς τρίτης συνόδου· καὶ ὡς ἐκεῖνος ἐμεγαλύνετο, κατὰ τὸ (1) θέσπισμα τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου, τὸ γεγονὸς πρὸς τὸν ἅγιον Σίλβεστρον, ὅτε τὰ σκῆπτρα τῆς βασιλείας ἐκ τῆς παλαιᾶς Ῥώμης κατὰ Θεοῦ πρόνοιαν μετετέθησαν εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καὶ διοριζόμενον, μετὰ χρυσοπάστου λώρου τὴν τοῦ ἁγίου Σιλβέστρου κεφαλὴν καὶ τῶν μετ' αὐτὸν ἀρχιερέων τῆς Ῥώμης κατακαλλύνεσθαι, καὶ αὐτὸς τοιουτοτρόπως καθωραΐζετο. Κἀντεῦθεν καὶ οἱ μετ' ἐκεῖνον εἰς Ἀλεξάνδρειαν ἀρχιερατεύοντες, διὰ μνήμην αἰώνιον τοῦ τότε συνδόξαντος, ὡσαύτως μέχρι τοῦ νῦν κατακοσμοῦνται στηλογραφούμενοι· καὶ πάντων ἀπερικαλύπτοις ἱερουργούντων ταῖς κεφαλαῖς, μόνος ὁ πατριάρχης Ἀλεξανδρείας ἱερουργεῖ μετὰ τοῦ αὐτοῦ λώρου τὴν κεφαλὴν καλυπτόμενος. Καὶ τοὺς δώδεκα δὲ Καρδιναλίους τοῦ πάπα παρομοίως βλέπομεν κεκοσμημένους χρυσοῖς

(1) τὸ ἅγιον θέσπισμα Χ. Υ.

ἐπιβλήμασιν, ὡς ἀντιπροσωποῦντας πάντως τῷ πάπα, καὶ τὰ τούτου στηρίζοντας δίκαια· κάρδων γὰρ παρὰ Ῥωμαίοις, αἱ φλιαὶ τῶν θυρῶν ὀνομάζονται. Ἄραρεν οὖν ἀληθεύειν ἐναργῶς τοὺς λέγοντας, καὶ τὸν κατὰ καιροὺς χαρτοφύλακα μετὰ τοιαύτης τιάρας χρυσῆς πρὸ μετρουμένων χρόνων τινῶν, ἔν τισι πανδήμοις δοξάζεσθαι πανηγύρεσιν, οὐ μόνον ἐπ' Ἐκκλησίας γινομέναις, ὡς εἴωθεν, ἀλλὰ καὶ ἐν προόδοις, καὶ ἀγοραῖς. Πεπληροφόρημαι δὲ καὶ αὐτὸς, ἀποκεῖσθαι μέχρι τοῦ νῦν εἰς τὸ τοῦ χαρτοφύλακος κιβώτιον, χρυσόπαστον τοιοῦτον ἐπίβλημα· καὶ χρόνος οὐκ ἔστι γηραλέος καὶ πέμπελος, ἀλλὰ νέος καὶ πρόσφατος· καὶ φθόνος οὐκ ἀγενὴς, ἢ καὶ ἀπαίδευτος δῆθεν εὐλάβεια, τὰ τὸ τοιοῦτον σχολάσαντα μέγα τοῦ ὀφφικίου προνόμιον. Τί γὰρ, εἰπέ μοι πρὸς τῆς ἀληθείας αὐτῆς, πρὸς τῆς ἀδελφικῆς ἀγάπης, πρὸς τῆς κατὰ Θεὸν διαθέσεως, εἴη ἂν σπουδαιότερον, τοῦ βλέπειν ἔστιν ὅτε τὸν χαρτοφύλακα διὰ τῆς ἀγορᾶς προοδεύοντα μετὰ χρυσοπάστου τιάρας, καὶ ἐποχούμενον ἐν ἡμιόνῳ, πατριαρχικῶς(1) διὰ ὀθονίου κεκοσμημένῃ λευκοῦ, καθὼς καὶ τοῦτο διὰ τοῦ ῥηθέντος θεσπίσματος ὥρισται, καὶ ὑπὸ ἐξκουβιτώρων δορυφορούμενον; εἰ μή τις λέγοι, προτιμητέαν εἶναι τὴν κεφαλὴν τῆς χειρὸς, ἢ ἄλλου μέλους τοῦ σώματος· τοῦτο γὰρ διὰ τὴν συνήθειαν οὐ παραλληλίζεται. Ἀλλ' ἐπανιτέον ὅθεν ὁ λόγος μετέπεσε, καὶ ζητητέον, τίνος χάριν τῶν μὲν ἄλλων σεκρέτων οἱ προκαθήμενοι μόνοις ἐξυπηρετοῦνται σεκρετικοῖς δουλευταῖς, ὁ δὲ χαρτοφύλαξ τάγμασι διττοῖς διακονητῶν μεγεθύνεται. Φαμὲν οὖν, ὅτι τὰ τοῦ χαρτοφύλακος δίκαια ψυχικῶν ῥυπασμάτων εἰσὶ καθαρτήρια, καὶ νοσημάτων σωματικῶν ἀλεξιτήρια· διὸ καὶ τετύπωται ταγμάτων διττῶν ὑπουργοῖς αὐτὰ κατευθύνεσθαι. Ἂν γοῦν θεμιστεύων προκάθηται, καὶ δικαστικὰ διυλίζων νοήματα, νόμους συνάπτῃ νομίμοις θεσπιῳδήμασι, καὶ κανόσι κανόνας ἁρμολογῇ, ἂν δικολόγων (2) προτάσεις καὶ ἀντιθέσεις σφυρηλατῇ, καὶ τὰς μὲν ἀποσμιλεύῃ (3) τῇ λυδίᾳ τῆς διαγνώσεως, τὰς δὲ παραδέχηται, καὶ τέλος, ἂν κρίσεις πατριαρχικῶν νοταρίων ζυγοστατῇ, σεκρετικῶν διαλαλιαῖς μεγαλύνεται· καὶ μᾶλλον, ὅταν τὸ δικαστήριον ἐν μόνοις πράγμασι στημονίζηται. Εἰ δὲ προ-

(1) πατριαρχικῇ X. V. — (2) δικολογῶν Λεύγκλ. — (3) ἀποδοκιμάζῃ X. V.



κάθηται ψυχικῶν ἀῤῥωστημάτων θεραπείαν ποιούμενος, καὶ σεσηπότων τραυμάτων ἐπισκεπτόμενος κακοήθειαν, πῆ μὲν σιδήρῳ χωνεύων τοῦ πάθους τὴν ὑπουλότητα, πῆ δ' ἐπιπάσσων ἤπια φάρμακα, παρὰ τῆς τάξεως ὑπηρετεῖται τῶν ἐπισκοπειανῶν. Εἰ δ' ἔστιν ὅτε κατὰ διορισμὸν πατριαρχικὸν τινὰ τῶν προνομίων τούτων παρασαλεύοιντο, τέως ἐγὼ ἀγνοῶ, καὶ συγγνώμης ἀξιωθήσομαι, τὴν παλαιὰν ἀναδιδάσκων παράδοσιν. Τούτων οὖν οὕτω καλῶς διευκρινηθέντων, ὡς οἶμαι, ἀναγκαῖον ἔδοξέ μοι ποιῆσαι καὶ πρὸς τὸν κατὰ καιροὺς χαρτοφύλακα δικαίαν ἀξίωσιν. Δέσποτά μου χαρτοφύλαξ, τὸ ἐμπιστευθέν σοι τάλαντον ἀπὸ Θεοῦ Παντοκράτορος μὴ καταχωσθείη διὰ νωθρείαν σου, ἵνα μὴ ἀκούσῃς δοῦλος πονηρὸς καὶ ἀχάριστος· μηδὲ τὸ κέρμα τῶν μεγάλων προνομίων αὐτοῦ προδοθείη κατὰ σὴν πολλὴν ἐπιείκειαν· ἀλλὰ διαδοθήτω πρὸς τραπεζίτας, καὶ διπλασιασθήσεται· σκοπόν σε κατέστησε δεύτερον ὁ Θεὸς διὰ χειρὸς ἐπισκοπικῆς· κἀντεῦθεν ἐπὶ τῷ στόματί σου πάντες εἰσέρχονται εἰς οἶκον Θεοῦ Παντοκράτορος, καὶ ἐπὶ τῷ στόματί σου ἐξέρχονται. Μὴ οὖν εἴπῃς, τί δοθείη μοι, καὶ τί προστεθείη μοι πρὸς μέριμναν ὁλοχρόνιον; μηδὲ σιγήσῃς, μηδὲ καταπραΰνῃς, μηδὲ λαλήσῃς ὡς ἀνθρώποις ἀρέσκων, εἶπεν ὁ μέγας Ἀπόστολος Παῦλος, κατ' ἐκεῖνον τὸν πονηρὸν μισθωτὸν, τὸν καθ' ἑαυτὸν ψιθυρίσαντα· Τὸ ἐκλεῖπον ἐκλειπέτω· τὸ ἐσκορπισμένον μὴ συναχθείη· καὶ τὸ συντετριμμένον μὴ ὁλομεληθείη· ἀρκεῖ γὰρ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. Ἀλλὰ κήρυξον ἀποστολικῶς, ἐνώπιον Θεοῦ τὴν ἀλήθειαν· ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, κακοπάθησον, ἔργον ποίησον Εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον (1)· καὶ τάχα νεανικῶς οὕτω τὸν καλὸν ἀγῶνα κατὰ τὸ ἀπητημένον ἀγωνισάμενος, καὶ τὴν διακονίαν σου συντηρήσας ἀνεπιβούλευτον καὶ ἀμείωτον, ἐν τῷ μηδενὶ ἂν ταπεινώσῃς τοὺς ἀντιπίπτοντας, καὶ ἐρεῖς· Τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν, ἀπόκειταί μοι τῆς δικαιοσύνης ὁ στέφανος· ὃς καὶ δοθήσεταί σοι παρὰ Θεοῦ Παντοκράτορος ἔν τε τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) Β'. Τιμόθ. Δ', 2—7.

# ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΘΕΟΔΩΡΟΥ,

## ΜΕΛΕΤΗ, ΗΓΟΥΝ ΑΠΟΚΡΙΣΙΣ, ΧΑΡΙΝ ΤΩΝ ΠΑΤΡΙΑΡΧΙΚΩΝ ΠΡΟΝΟΜΙΩΝ.

Εισηλθε τὸ ἀξίωμά σου ἐνώπιόν μου, πανιερώτατε, καὶ ἐδέχθη, καὶ ἀπεδέχθη, καὶ ᾠκειώθη μοι· οὐ γὰρ ἄσεμνα ῥάκη περιεβέβλητο, καὶ τῆς σῆς πλουτοδότιδος σοφίας ἀνάξια· σεμνὰ δὲ μᾶλλον καὶ εὐπρεπῆ, καὶ οἷα χείλη στημονίζουσιν ἱερατικά, λαλοῦντα δικαιοσύνην, καὶ ζητοῦντα ἀλήθειαν. Δέξαι τοίνυν ὃ δι' αὐτοῦ λαβεῖν ἐζήτησας ἐξ ἡμῶν φιλικῆς ἀποκρίσεως τάλαντον. Ἠξίωσάς με διαλαβέσθαι γραφῇ, πόθεν καὶ πῶς ἡ τῶν ἁγιωτάτων πατριαρχῶν οὐσιώθη πεντὰς, καὶ ποίων προνομίων ἠξίωται, καὶ εἰ ἔστι τις μέσον τούτων διαφορὰ, καθώς τινες λέγουσι. Γράφομεν τοίνυν τῇ ἱερότητί σου, ὅτι πρὸ πάντων πατριαρχῶν τῆς θεουπόλεως μεγάλης Ἀντιοχείας παρὰ τοῦ ἁγίου Ἀποστόλου Πέτρου κεχειροτόνηται ὁ ἐξ Ἀντιοχέων Εὔοδος· καὶ μετ' ὀλίγον ὑπὸ τοῦ αὐτοῦ θεοκήρυκος, τῆς Ἐκκλησίας τῶν Ἀλεξανδρέων ἐπίσκοπος, ὁ ἅγιος Μάρκος προβέβληται· τῶν Ἱεροσολυμιτῶν, ὁ ἅγιος Ἰάκωβος· καὶ τῆς Θρᾴκης, ὁ ἅγιος Ἀνδρέας. Μετὰ δὲ χρόνους ὡσεὶ τριακοσίους, ὁ μέγας ἐν Πατράσιν, ὁ ἅγιος Σίλβεστρος, παρὰ τοῦ ἁγίου Ἰσαποστόλου μεγάλου Κωνσταντίνου, ἄρτι πρώτως ὀρθοδοξήσαντος, πάπας τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης ὠνόμασται, καθὼς ἡ φιλόθεος ἱστορία, καὶ αἱ λοιπαὶ ἐκκλησιαστικαὶ ἱστορίαι διαλαμβάνουσιν. Ὁ δὲ μέγας θρόνος τῆς Κωνσταντινουπόλεως, τὸ περιβόητον τοῦτο καὶ πρᾶγμα, καὶ ὄνομα, Πειρινθίοις ὑποκείμενος, (Πείρινθος δέ ἐστιν ἡ δυτικὴ Ἡράκλεια,) ἐτέλει ὑπὸ ἐπίσκοπον· οὔπω γὰρ μεγαλόπολις ἡ Κωνσταντινούπολις ὠνομάζετο, ἀλλὰ πολίχνιον, καὶ Βυζάντιον. Μετενεχθέντων δὲ τῶν σκήπτρων τῆς βασιλείας ἀπὸ τῆς παλαιᾶς Ῥώμης ἐν αὐτῇ, κατὰ θείαν καὶ ἀπόρρητον πρόνοιαν, ὡς ἐξ ἀγριελαίου εἰς καλλιέλαιον, ὁ τότε ἀρχιερατεύων τῆς Ἐκκλησίας τοῦ τοιούτου

θρόνου ἅγιος Μητροφάνης, ἐξ ἐπισκόπου μετωνομάσθη ἀρχιεπίσκοπος. Διὰ γὰρ τοῦτο καὶ ἡ πρώτη ἁγία οἰκουμενικὴ σύνοδος * ἐν ἕκτῳ καὶ ἑβδόμῳ κανόνι μνησθεῖσα τῶν τεσσάρων πατριαρχῶν, ἤγουν, τοῦ Ῥώμης, τοῦ Ἀλεξανδρείας, τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, τοῦ τῆς Κωνσταντινουπόλεως μνείαν οὐκ ἐποιήσατο. Ἡ δὲ β'. ἁγία καὶ οἰκουμενικὴ σύνοδος * (1) μνημονεύουσα (2) καὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, δέδωκεν αὐτῇ τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, διὰ τὸ εἶναι ταύτην, φησὶ, νέαν Ῥώμην, καθὼς δηλοῦται τὰ περὶ τούτου ἀπὸ τοῦ δευτέρου καὶ τρίτου κανόνος τῆς αὐτῆς συνόδου. Ἵνα δὲ τὸ κάλλιστον χρῆμα τῆς εὐταξίας καὶ εἰς τὰς κεφαλὰς φυλάττηται τῶν Ἐκκλησιῶν, ὥσπερ καὶ εἰς τὰ οὐράνια τάγματα, ὥρισεν ἡ ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστᾶσα θεία καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἡ καὶ Πενθέκτη λεγομένη, ταῦτα ῥητῶς·

» Ἀνανεούμενοι τὰ παρὰ τῶν ρν'. ἁγίων Πατέρων, τῶν ἐν » τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν » ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνελθόντων νομο» θετηθέντα, ὁρίζομεν, ὥστε τὸν τῆς Κωνσταντινουπόλεως θρό» νον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώ» μης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύ» νεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' ὃν ὁ » τῆς Ἀλεξανδρείας μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ » τῆς τῶν Ἀντιοχέων, καὶ μετὰ τοῦτον, ὁ τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως. Διὸ καὶ κατὰ τὴν τούτου περίληψιν, ἔκτοτε καὶ μέχρι τοῦ νῦν οἱ τῶν τοιούτων πέντε ἁγιωτάτων θρόνων μεγάλοι ἀρχιερεῖς οὕτω κατὰ πᾶσαν τὴν οἰκουμένην σεβάζονται· τοῦ γὰρ πάπα τῆς παλαιᾶς Ῥώμης ἡ δικαία ἐκ τῶν Ἐκκλησιῶν ἐκκοπὴ, τὴν κανονικὴν εὐταξίαν οὐκ ἐλυμήνατο· παρὰ τοῦτο δὲ, τοῦ δευτέρου ὁ πρῶτος οὐ κατεπαίρεται, οὐδὲ τοῦ τρίτου ὁ δεύτερος· ἀλλ' ὡς αἰσθήσεις πέντε μιᾶς κεφαλῆς ἀριθμούμεναι καὶ μὴ μεριζόμεναι, παρὰ τῷ χριστωνύμῳ λαῷ λογιζόμε-

---

(1) Τὰ μεταξὺ τῶν * παρελείφθησαν παρὰ Λεύγκλ. ἀνεπληρώθησαν δὲ ἐκ τοῦ Χ. V. — (2) Χ. V. — μνημονεύσασα, Λεύγκλ.

νοι, ἰσοτιμίαν ἐν ἅπασιν ἔχουσι, καὶ κάραι τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ δικαίως καλούμενοι, διαφορὰν ἀνθρωπίνην οὐ πάσχουσιν. Οὐδὲ κατὰ σμικρολόγους, ὁ πάπας Ῥώμης ὑβριοπαθεῖ, ὅτι αὐτὸς μὲν διὰ τοῦ Ρ στοιχείου τρίτος τῇ θέσει τῶν γραμμάτων κατεστοιχείωται, ὁ δὲ Κωνσταντινουπόλεως διὰ τοῦ Κ τιμᾶται καὶ προτερεύεται. Οὐδὲ σκανδάλου πάροδος γέγονε μέσον τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας, χάριν τοῦ Ἄλφα στοιχείου, ὡς ἑκάστου αὐτῶν ἰδιουμένου τὸ πρότερον. Ἀλλ᾽ ὥσπερ ἡ πεντὰς τῶν αἰσθήσεων στοιχεῖ τῇ διαπλάσει τοῦ ἀρχιτέκτονος καὶ πλάστου Θεοῦ, καὶ οὐ κατατρέχει τυχὸν ἡ ὅρασις τῆς ὀσφρήσεως, οὐδὲ ἡ ἀκοὴ τῆς ἀφῆς, καὶ τῆς γεύσεως, ὅτι παρ᾽ ἡμῖν οὕτω πως ὀνομάζονται, οὕτως οὐδέ τις τῶν ἁγιωτάτων πατριαρχῶν ἐκ τῶν θείων κανόνων τόπον κληρωσάμενος πρότερον, τοῦ δευτέρου καὶ τοῦ μετ᾽ αὐτὸν ὡς ὑπερφέρων καταλαζονεύεται. Ἐπεὶ δέ τινες λέγουσιν, ὡς οὐκ ἐφεῖται τῷ Ἀλεξανδρείας, ἢ τῷ Ἀντιοχείας τυχὸν μετὰ λαμπάδος πατριαρχικῆς τὰς ὁδοιπορίας ποιεῖν εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ἢ εἰς ἑτέραν διοίκησιν, παρὰ τὰς ἀπονεμηθείσας ἀπὸ τῶν κανόνων αὐτοῖς, ἡ γὰρ λαμπὰς τοῦ διδασκαλικοῦ, φασὶν, ἐστὶν ἀξιώματος, παρ᾽ ἐνορίαν δὲ διδάσκειν οὐκ ἐφεῖται ἀρχιερεῖ, κατὰ τὸν κ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, καὶ εἰς ἐπισύστασιν δῆθεν τοῦ λόγου αὐτῶν, καὶ τοῖς εὐαγγελικοῖς ἀποχρῶνται ῥήμασι λέγουσι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων (1), ἀκουσάτωσαν, ὡς οἱ βασιλεῖς, καὶ οἱ πατριάρχαι μεγαλύνονται μὲν καὶ διδασκαλικοῖς ἀξιώμασι, διὰ τὴν τοῦ ἁγίου χρίσματος δύναμιν· ἐντεῦθεν γὰρ οἱ πιστοὶ δεσπόται καὶ αὐτοκράτορες κατηχητικῶς ὁμιλοῦσι τῷ Χριστωνύμῳ λαῷ, καὶ (2) θυμιῶσιν ὡς ἱερεῖς, καὶ μετὰ δικηρίου σφραγίζουσι, κατὰ τοῦτο δὲ μόνον λαμπάσι ζωννυμέναις ἀργυροῖς καὶ διαχρύσοις, οἷον εἰπεῖν, στεφανώμασιν οὐκ ἀποσεμνύνονται· ἀλλ᾽ ὅτι καὶ κατὰ τὸν οὐράνιον γίγαντα τὸ κέντρον καταφωτίζουσι τῆς ὀρθοδοξίας τοῖς ἀμαρύγμασι· καὶ ἡ ἔξοδος αὐτῶν ἀπ᾽ ἄκρου λάμπει τοῦ οὐρα-

(1) Ματθ. Ε, 10. — (2) X. V. — ἢ, Λεύγκλ.



νοῦ, καὶ τὸ κατάντημα αὐτῶν ἕως ἄκρου φθάνει τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς τῆς θέρμης αὐτῶν ἀποκρύπτεται· εἰ γὰρ μόνον διὰ τὸ τῆς διδασκαλίας ἀξίωμα τῶν τοιούτων λαμπάδων ἐπενοήθη τὸ σεμνολόγημα, ἡ κατὰ καιροὺς τέως αὐτοκρατόρισσα, ἐκ τοῦ προνομίου τούτου δικαίως ἂν ὑπῆρχεν (1) ἀφώτιστος· γυναῖκας γὰρ σιγᾷν καὶ μὴ διδάσκειν νενομοθέτηται· ἀλλὰ μὴν καὶ ταύτας ὁρῶμεν οὕτω δοξαζομένας κατὰ τοὺς βασιλεῖς. Καὶ οἱ ἐγχώριοι δὲ πάντες ἀρχιερεῖς παρομοίως τὰς ἀρχιερατικὰς καὶ ἀλλοίας προόδους ἐποίησαν ἄν (2)· καὶ εἶδεν ἄν τις τυχὸν τὸν τοῦ Ἀθύρα ἐπίσκοπον, καὶ τὸν πολλῷ τούτου μικροπρεπέστερον, πεζῇ μὲν καὶ βάδην τὰς προόδους τῆς οἰκείας ἐνορίας περιερχομένους, λαμπάδι δὲ πατριαρχικῇ κυδαινομένους (3), ὅτι καὶ αὐτοὶ διδασκαλικὸν ἀξίωμα περιβέβληνται· οὗ τί ἄν τις φαίη καινοπρεπέστερον, ἢ, μᾶλλον εἰπεῖν, ἀηδέστερον; Εἰ δὲ τοῦτο οὐδέποτέ τις εἶδε γινόμενον εἴς τινα τῶν μητροπολιτῶν, ἢ τῶν ἀρχιεπισκόπων, πολλῷ δὲ πλέον τῶν ἐπισκόπων, ἄνευ μόνων τῶν αὐτοκεφάλων ἀρχιεπισκόπων, τοῦ Βουλγαρίας, φημὶ, καὶ τοῦ Κύπρου, καὶ τινων ὀλίγων μητροπολιτῶν λαβόντων ἀπὸ φιλοτιμίας βασιλικῆς ἰδικῆς (4) τοῦτο τὸ δίκαιον, ἄραρε, μόνοις τοῖς βασιλεῦσι καὶ τοῖς πατριάρχαις ὑπὸ τῆς τοῦ παναγίου Πνεύματος χάριτος, καὶ τῆς ἀρχαιοπαραδότου συνηθείας καὶ εὐταξίας, ἐπιφιλοτιμηθῆναι τοῦτο τὸ δίκαιον διὰ τὰς ῥηθείσας αἰτίας. Ὅτι δὲ τῶν μὲν αὐτοκρατόρων ἡ ἀρωγὴ πρὸς φωτισμὸν καὶ σύστασιν ἐπεκτείνεται ψυχῆς τε καὶ σώματος, τὸ δὲ μεγαλεῖον τῶν πατριαρχῶν εἰς μόνην ψυχικὴν ἐστενοχώρηται λυσιτέλειαν, (ὀλίγη γὰρ τούτοις ἐστὶ φροντὶς εὐπαθείας σωματικῆς,) ὡσαύτως καὶ ἡ περὶ τοὺς ὑπηκόους τῆς βασιλίσσης κηδεμονία καὶ μέριμνα πρὸς μόνην σωματικὴν εὐζωΐαν ἐξήπλωται, (πάσης γὰρ ψυχικῆς βοηθείας αἱ γυναῖκες ἐστέρηνται,) αἱ λαμπάδες μὲν τῶν βασιλέων διττοῖς διαχρύσοις περιζωννύονται στεφανώμασι, τῶν δὲ πατριαρχῶν καὶ τῆς αὐτοκρατορίσσης (5) ἑνὶ κατακυκλοῦνται θριγγώματι. Ἀλλ᾽ ἐρεῖ τις· ἔστω· δεδόσθω, τὰς πατριαρ-

(1) X. V. — ἂν ἀφῆκεν, Λεύγκλ. — (2) X. V. — ἐπενόουν ἄν, Λεύγκλ. — (3) περιερχόμενον ... κυδαινόμενον Λεύγκλ. — (4) ἀπὸ βασιλικῆς ἰδικῆς προτάσεως, X. V. — (5) X. V. — βασιλίσσης, Λεύγκλ.

χικὰς λαμπάδας ἀνάπτεσθαι παρὰ (1) τοσούτων εὐλογοφανῶν παραδόσεων· τὸ ταύτας ἐξ ἀργύρου περιζωννύεσθαι δύναμιν, πόθεν περιεζώσατο δύναμιν; Ἤρκει διὰ μόνων τῶν λαμπάδων τὰς κεφαλὰς τῶν Ἐκκλησιῶν μεγαλύνεσθαι, καὶ τέως τοὺς ὑπερορίους πλανωμένους καὶ πενητεύοντας, χάριν τούτου μὴ σκύλλεσθαι. Φαμὲν οὖν, ὡς οἱ εὐσεβέστατοι βασιλεῖς, καὶ τῶν ἁγιωτάτων πατριαρχῶν ἡ πεντὰς, ἐοίκασι γεωργοῖς μέσον ἑστηκόσι σιτοδότιδος ἅλωνος, καὶ τῷ πτύῳ τοῦ χρίσματος τὴν κακίαν ὡς ἄχυρον ἐκφαυλίζουσι, καὶ τὴν ἀρετὴν ὡς κόκκους συνάγουσιν· ἢ διαβήταις ζυγοστατοῦσιν ἰθυτενῶς τοῦ κύκλου τὴν ἐπιφάνειαν, καὶ τὸ κέντρον καταπυρσεύουσι τῆς δικαιοσύνης τοῖς ἀμαρύγμασιν· ἢ νηὸς ποντοπορούσης ἱστοῖς καὶ πετάσμασιν, ἐν προμηθείαις βασιλικαῖς, καὶ παραγγελίαις πνευματικαῖς τὸ κοσμικὸν ἀκάτιον σώζουσι. Τῷ τοι καὶ μικροῖς τὰ μεγάλα σταθμώμενοι τῶν βασιλέων οἱ εὐσεβέστατοι, καὶ τῶν ἁγίων Πατέρων οἱ προὔχοντες, διωρίσαντο ἐξ ἀνάγκης οὕτω δορυφορεῖσθαι τοὺς μεγάλους ἀρχιερεῖς, καὶ εἶναι ἐπιτοαυτὸ πλούσιόν τε καὶ πένητα· ὡς ἂν οἱ μὲν ὀρθόδοξοι βλέποντες τὸ μέγα τοῦτό καὶ σεβάσμιον σεμνολόγημα παρὰ βασιλεῦσι καὶ πατριάρχαις μόνοις πολιτευόμενον, εὐχαριστίαν ἀνάλογον ὡς θυμίαμα δεκτὸν τῷ Κυρίῳ προσφέρωσι, τῷ μέσον τοῦ κέντρου τῆς κοσμικῆς ὡραιότητος τοὺς δεφένσορας τούτου δοξάζοντι· καὶ γονυκλιτῶσι πρὸς Κύριον, τροπαίοις βασιλικοῖς τὴν ὑφήλιον καταλάμπεσθαι, καὶ εὐχαῖς πατριαρχικαῖς ἀκτινοβολεῖσθαι τὰ ἐπιχθόνια. Οἱ δὲ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν ἑτερόδοξοι, καὶ καυχώμενοι ἐπὶ τῷ πλούτῳ αὐτῶν, (τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν χρυσίον εἰσὶ καὶ ἀργύριον (2),) πρὸς τὸ ὁρώμενον ἀβλεπτήσωσι, καὶ νομίσωσιν ἔργα χαλκοτύπων εἶναι μάταια καὶ ἀνόνητα, καὶ κοσμικοῦ δοξαρίου χαρίσματα. Καὶ ταῦτα μὲν περὶ τῶν πατριαρχικῶν λαμπάδων. Ἐπεὶ δὲ καὶ ῥάβδος, καὶ σάκκος, καὶ πολυσταύριον, καὶ διὰ γαμμάτων στιχάριον, τὴν πατριαρχικὴν καὶ μόνην δοξάζουσιν ἁγιότητα, θέλουσι δέ τινές τισιν ἐξ αὐτῶν τινας τῶν πα-

(1) Χ. V. — πυρὶ Λεύγκλ. — (2) Ψαλμ. ΡΙΓ΄, 12, ΡΛΔ΄, 15.



τριαρχῶν ἐνίοτε μὴ καταποικίλλεσθαι, φέρε καὶ περὶ τούτων βραχέα φιλοσοφήσωμεν. Κλῖνον τὸ οὖς σου, πανιερώτατε, καὶ ἄκουσόν μου· οὐ γὰρ ἐν παραβολαῖς ἀνοίξω τὸ στόμα μου, ἀλλὰ φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς, ὅσα με θείων Πατέρων χάρις ἐδίδαξε. Τοὺς ἁγιωτάτους πέντε πατριάρχας (καὶ ἔτι γὰρ ὡς κισσὸς δρυὸς, τῆς ὁμονοίας τοῦ πάπα Ῥώμης ἐξέχομαι, καὶ τῷ χωρισμῷ τούτου τὴν καρδίαν σπαράττομαι, καὶ τὴν καλὴν ἐπιστροφὴν καθεκάστην καραδοκῶ,) μίαν οἴδαμεν κεφαλὴν τοῦ σώματος πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καθὼς καὶ ἄνωθεν εἴρηται· καὶ πιστεύοντες τελειωθῆναι τούτους τῆς ἀρχιερωσύνης (1) τῷ χρίσματι, χριστοὺς Κυρίου, καὶ ἁγιωτάτους κατονομάζομεν, καὶ στηλογραφοῦντες μετὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ σχετικῶς ἀσπαζόμενοι, πληροφορούμεθα διὰ τούτων ἡμῖν τὰς θύρας τῆς βασιλείας τῶν οὐρανῶν ἀποκλείεσθαι καὶ ἀνοίγεσθαι, καὶ διὰ τῶν χειλέων αὐτῶν τὸν Θεὸν ἀποστοματίζειν τὰ μέλλοντα· οὐ γὰρ σὰρξ καὶ αἷμα, ἀλλ᾽ ὁ οὐράνιος Πατὴρ καὶ Θεὸς ἡμῶν, ὁ εἰπὼν, Ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ οἱ δοῦλοί μου προφητεύσουσιν (2), ἀποκαλύπτει τούτοις τὰ ὄντα καὶ τὰ ἐσόμενα. Οὕτω γὰρ καὶ Σαοὺλ ἐν Προφήταις, καὶ Καϊάφας ἄκων προεφητεύσατο, εἰπὼν, Συμφέρει ἕνα ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ, καὶ ὑπὲρ τοῦ ἔθνους παντός (3)· ὁ μὲν γὰρ τῷ χρίσματι τῆς βασιλείας ὑπεθερμαίνετο, ὁ δὲ τῆς ἀρχιερωσύνης τῇ χάριτι· ἦν γὰρ, φησὶν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Διὸ, καὶ ὡς τύπον (4) ἐπέχοντες τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, δικαίως ἀποσεμνύνουσι τὰ ἑκούσια πάθη αὐτοῦ, καὶ τὰ διὰ τὴν σωτηρίαν ἡμῶν ἐπενεχθέντα τούτῳ παρὰ τῶν ἀχαρίστων Ἰουδαίων ἐφύβριστα πρὸ τοῦ Σταυροῦ καὶ τῆς Ἀναστάσεως· ποῖα δὲ ταῦτά εἰσιν, ἀκουσάτω ἡ ἱερότης σου. Κἂν γὰρ κόπος ἐνώπιόν μου ἐστὶν ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ τὰ ἐν αὐτῷ καὶ περὶ αὐτὸ, ἀλλ᾽ ἡ χάρις τοῦ παναγίου Πνεύματος, ἡ ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν Προφήταις προκηρυχθεῖσα, ἐν Ἀποστόλοις θεμελιωθεῖσα, ἐν μάρτυσι τελειω-

(1) ἁγιωσύνης Λεύγκλ. — (2) Ἰωὴλ Β΄, 28. — (3) Ἰω. ΙΙΙ, 14. — (4) Χ. V. — τόπον Λεύγκλ.

θεῖσα, καὶ ἐν ἱεράρχαις κατακοσμηθεῖσα, δώσει λόγον ἐν ἀνοίξει τοῦ στόματός μου. Τὰ τῶν πατριαρχῶν τῶν ἁγίων ἐπιμάνικα, τὰς χειροπέδας τοῦ Κυρίου δοξάζουσιν, ἃς ἑκὼν ὑπέστη διὰ τὴν σωτηρίαν ἡμῶν, κατὰ μαστιγίαν πρὸς Καϊάφαν ἀγόμενος· τὰ ἐπιτραχήλια, τὸ φραγγέλιον τὸ ἑλκύσαν τὴν ζωὴν πρὸς τὸν θάνατον· τὰ μετὰ ποταμίων στιχάρια, τοὺς κρουνοὺς τοῦ αἵματος καὶ τοῦ ὕδατος, τοὺς ἐκ τῆς θείας πλευρᾶς ἀποστάξαντας· τῶν γονατίων τὰ ἐπιβλήματα, τοῦ λεντίου τὸ ἐγχειρίδιον, δι' οὗ τοὺς πόδας ὁ Κύριος τῶν Ἀποστόλων ἀπέσμηξεν· οἱ σάκκοι, τὴν χλαῖναν τῆς ὕβρεως· τὰ ὠμοφόρια, τὴν ἐκ τοῦ ᾅδου πρὸς οὐρανὸν τοῦ πρωτοπλάστου μετάβασιν· τὰ διὰ πολυσταυρίων φαινόλια, τοῦ τιμίου σταυροῦ τὴν παγκόσμιον δόξαν καὶ δύναμιν· τὰ ἐν τούτοις τριγώνια, τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν τὰ διεστῶτα συνάψαντα· καὶ αἱ ῥάβδοι τὸν κάλαμον, τὸν τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων καλλιγραφήσαντα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός(1). Ἀπὸ γοῦν τῶν οὕτω δεδοξασμένων ἀγακλεῶς, καὶ εἰς τύπον καταστάντων τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ποῖός τις τολμητίας καὶ θρασυκάρδιος ἀφέληταί τι δίκαιον ἱερατικὸν ὁπωσδήποτε; Πάντως οὐδείς· ἀκούσει γὰρ ἐκ τοῦ Θεοπάτορος· Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας τὸν Χριστόν σου, καὶ τὸ ἁγίασμα αὐτοῦ ἐβεβήλωσας (2). Ὥσπερ τοίνυν οὐκ ἔξεστι τῶν ἁπάντων τινὶ λέγειν περὶ τοῦ ἑνὸς Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἄλλως μὲν ἐν τῷδε τῆς οἰκουμένης τῷ κλίματι παρουσιάζειν καὶ μεγαλύνεσθαι, ἄλλως δ' ἐν ἐκείνῳ δοξάζεσθαι, ἵνα μὴ παραπληξίας ἐσχάτης κατακριθῇ, καὶ πρὸς δυσσέβειαν μετακυλισθῇ, οὕτως οὐδὲ τὴν πατριαρχικὴν θείαν μεγαλειότητα διαιρετέαν εἴποι τις εἶναι, καὶ πρὸς μείζονα καὶ ἐλάττονα προνόμια μεταπίπτουσαν. Τῷ τοι καὶ δέδοκται κατὰ πᾶσαν Ἐκκλησίαν, περὶ τὸν Εὐφράτην, καὶ Τίγρητα, καὶ αὐτὸν διήκουσαν τὸν Ὠκεανὸν, ἱλαδὸν αὐτοὺς ἀναφέρεσθαι. Ἔλαβον γὰρ, φησὶ, χώρας ἐθνῶν, καὶ οἱ θρόνοι αὐτῶν ὡσεὶ κατηρτισμένη σελήνη, καὶ ὡς ἥλιος εἰσὶν ἐναντίον μου(3). Ἀλλ' ἐρεῖ τις· καὶ πῶς τῶν

(1) Ψαλμ. ΠΗ', 38. — (2) Ψαλμ. ΠΗ', 39. — (3) Ψαλμ. ΠΗ', 37.



θείων καὶ ἱερῶν κανόνων ὡς ἐν σχοινίῳ κληροδοσίας ἐπιμερισάντων ταῖς πατριάρχαις τῆς οἰκουμένης τὴν τετραμέρειαν, αὐτὸς ὑπερβαίνων τὰ δόξαντα θέλεις ὡς μίαν ἐνορίαν ταύτας λογίζεσθαι, καὶ συγχέειν κακῶς τὰ διαιρεθέντα καλῶς; Φαμὲν οὖν πρὸς τὴν τοιαύτην ἀντίθεσιν, ὡς ἔστι καὶ ταῦτα κρατεῖν καθὼς ὑπὸ τῶν ἁγίων Πατέρων τεθέπισται, καὶ τὴν ταυτότητα τῆς ἑνώσεως μὴ συγχέεσθαι. Ὁ δημιουργὸς τῶν ὅλων Θεὸς κατ' οἰκείαν εἰκόνα πλαστουργήσας τὸν ἄνθρωπον, καὶ βασιλέα καταστήσας τῶν ἐπὶ γῆς βασιλευόμενον ἄνωθεν, ὑμνεῖται μὲν καὶ χάριν τῆς ἄλλης ὑπερφυοῦς ἁρμονίας τοῦ πλάσματος, καὶ πῶς ἐξ ἀθανάτου κράματος καὶ θνητοῦ τὸ ἐφόλκιον διωργάνωσε, καὶ τόπῳ περιγραφόμενον τῷ λόγῳ τῆς σαρκώδους παχύτητος, νοερῶς τὰ πέρα Γαδείρων περιεργάζεται· οὐχ ἧττον δὲ μεγαλύνεται, ὅτι τὴν ζωὴν τῶν ἀνθρώπων εὐδόκησε διὰ πέντε αἰσθήσεων διεξάγεσθαι, σφετεριζομένων τὴν ἰδικότητα, καὶ μὴ ἀπαρνουμένων τὴν ἀνακοίνωσιν· κἂν γὰρ ἡ ὄψις τυχὸν ἐνεργῇ καὶ μονομερῶς τὸ ἀποκληρωθὲν ταύτῃ λειτούργημα παρὰ Θεοῦ, καθά τι δίκαιον ὄφλημα, μὴ ἐμποδιζομένη παρὰ τῶν συντρόφων αἰσθήσεων, ἀλλὰ τῆς κοινωνίας αὐτῶν οὐ χωρίζεται· θέλει δὲ * μᾶλλον καὶ *(1) ταύτας μετέχειν τῶν ἀξιωμάτων αὐτῆς, καὶ συναρήγειν εἰς τὸ αὐτὸ κατὰ δουλίδας πιστὰς, πρὸς θεραπείαν τοῦ ταύτας πλουτήσαντος σώματος. Ἔτι θαυμάζεται, πῶς ἑκάστην τούτων ἐδιπλασίασεν, ἵνα, κἂν συμβῇ περιαιρεθῆναι τὴν μίαν, ἡ περιλειφθεῖσα κἀκείνης τὸν τόπον ἀναπληρώσειε, καὶ μὴ καταλαζονεύωνται ταύτης αἱ ἀρτιόσωμοι, συμπονῶσι δὲ μᾶλλον αὐτῇ, ὡς ἂν μὴ ὁ οἰκοδεσπότης αὐτῶν θριαμβεύηται· ὡς, εἴπερ τύχοι καὶ τὴν θατέραν ἀχρειωθῆναι τῶν ἀκοῶν, οὐκέτι τὸ κάλλιστον χρῆμα, ὁ ἄνθρωπος, ἐντελὴς καὶ σῶος, καὶ οἷον αὐτὸν ὁ Θεὸς εἰργάσατο, λέγεται· ἀλλ' ὡς ἔκτρωμά τι λογίζεται, ὑπὸ τῶν λοιπῶν τεττάρων αἰσθήσεων, ὑγιαινουσῶν καὶ ταῦτα, μὴ βοηθούμενος. Ὡς γοῦν ἑκάστης τῶν αἰσθήσεων πληρούσης τὴν οἰκείαν ἐνέργειαν, τῶν λοιπῶν τὸ χρήσιμον οὐκ ἀπαναινόμεθα, οὐδὲ καταψηφιζόμεθα τούτων ἀσχημοσύνην καὶ

(1) Χ. V. — τὰ μεταξὺ * οὐ κεῖται παρὰ Λεϋγκλ.

ἀχρειότητα, διὰ τὸ μὴ διπλοειδῶς ἐνεργεῖν, καθὼς πεπλαστούργηνται, μᾶλλον μὲν οὖν καὶ συνάγομεν, (μιᾶς γὰρ ἐξ αὐτῶν σχολασάσης τελείως, ὡς εἴρηται, ὅλον τὸ σῶμα ἠχρείωται, καὶ ὡς μηδὲ ὂν (1) τοῖς ἀνθρώποις λογίζεται,) οὕτω καὶ τῶν πατριαρχῶν ἡ πεντὰς δικαίως καὶ ἀσφαλῶς οἰκονομηθήσεται· ἕκαστος γὰρ τούτων, τὴν μὲν απονεμηθεῖσαν αὐτῷ διοίκησιν ἐνεργήσει μονοειδῶς, ἵνα μὴ συγχέωνται τῶν ἁγίων Ἐκκλησιῶν τὰ προνόμια· τῆς δὲ τιμῆς τοῦ Θεοῦ καὶ τῶν ἀνέκαθεν δεδομένων δικαίων τῇ τῶν πατριαρχῶν (2) θείᾳ μεγαλειότητι, οὐδεὶς ἀποξενωθήσεται· εἰ γὰρ τοιοῦτόν τι γένηται, καὶ τὸν Ἀλεξανδρείας τυχὸν εὑρισκόμενον εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, τῶν πατριαρχικῶν προνομίων ἀποξενώσει τις, ὅτι κατὰ τὴν οἰκείαν ἐνορίαν οὐ πάρεστιν, ἀχρειώσει τὴν κεφαλὴν ὡς κωφεύουσαν, ἢ ἀβλεπτοῦσαν, καὶ ὑπὸ τεττάρων, ἢ καὶ τριῶν διεξαγομένην αἰσθήσεων. Διὰ ταύτην τὴν αἰτίαν, ὡς ἔοικε, προτετύπωται προβάλλεσθαι κατὰ τὸ ἀπαραίτητον καὶ τοὺς μὴ ἔχοντας πατριάρχας τοὺς ἀποκληρωθέντας αὐτοῖς ἁγίους θρόνους, διὰ τὴν ἐπιδρομὴν τῶν ἐθνῶν, τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων φημί. Κἂν γὰρ ἐξώσθησαν τῆς δόξης τῶν θρόνων αὐτῶν, ἀλλ' ἡ πνευματικὴ χάρις, κατὰ τὸν Δαυΐδ, οὐ παλαιωθήσεται· ἥξει δὲ μᾶλλον ὁ Θεὸς ἡμῶν ἐμφανῶς, καὶ οὐ παρασιωπήσεται, ὡς συναγάγῃ αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ (2). Φιλοφρονητέον τοίνυν τοὺς ἀποξενωθέντας πατριάρχας ἐκ τῶν ἁγιωτάτων Ἐκκλησιῶν αὐτῶν, καὶ ὑπερορίους καθημένους εἰς ἑτέρου πατριάρχου διοίκησιν, καὶ μὴ ἀτιμαστέον· κεκανόνισται γὰρ παρακαλεῖσθαι τούτους, καὶ πάσης ἐπιμελείας καὶ ὑποδοχῆς ἀξιοῦσθαι, οὐ μὴν ὑβρίζεσθαι διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν, θρήνων ἀξίαν οὖσαν, καὶ μὴ ἀλαζονείας γεννήτριαν. Εἶτα τῶν θείων καὶ ἁγίων Γραφῶν, καὶ τῶν πατρικῶν παραδόσεων κατονομαζουσῶν πάπαν τὸν ἐπίσκοπον Ῥώμης, ὡσαύτως καὶ τὸν Ἀλεξανδρείας, ἀλλὰ μὴν καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τὸν Ἱεροσολύμων, ἀρχιεπισκόπους, μόνον δὲ τὸν Ἀντιοχείας, πατριάρχην, πῶς τῶν Ἀντιοχέων ἡ Ἐκκλησία οὐχ ὑβριοπαθεῖ μανθάνουσα καὶ τοὺς λοιποὺς πατριάρχας ἀνακηρύττεσθαι; Πάντως διὰ τὴν ταυτότητα τῆς τιμῆς, καὶ διὰ τὸ ἐπέχειν τοὺς πέντε πατριάρχας τόπον τῆς μίας κεφαλῆς τοῦ σώματος, δηλαδὴ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ. Ἐπεὶ δέ τινες λέγουσι μηδὲν εἶναι τὸ ἐμποδὼν, καὶ τοὺς ἑκασταχῆ ἀρχιερατεύοντας οὕτω τιμᾶσθαι καὶ μεγαλύνεσθαι, καὶ οὗτοι γὰρ διδασκαλικοῦ ἀξιώματος κατηξίωνται, καὶ κατὰ Μωσέα καὶ Ἀαρὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἑστήκασι, καὶ τὴν ἀναίμακτον θυσίαν προσφέρουσι, φαμὲν, ὡς ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων μόνοις τοῖς πατριάρχαις πεφιλοτίμηνται τῆς οἰκουμένης τὰ κλίματα· κἀντεῦθεν οὐδὲ ἔχει τις ἕτερος οἰκείῳ δικαίῳ ἐνορίαν, ἢ ἄλλο τι δίκαιον ἱερατικὸν, ἀλλ' ἐκεῖνο καὶ μόνον τὸ μέρος τῆς διοικήσεως ἱερατικῶς ἐνεργεῖ, τὸ δοθὲν αὐτῷ παρὰ τῆς πατριαρχικῆς θείας μεγαλειότητος· ὅθεν ὡς ἀποστελλόμενοι παρὰ πατριαρχῶν, καὶ ἀναπληροῦντες τὸν τόπον τῶν θείων καὶ ἁγίων Ἀποστόλων, ἀποστολικῶν μὲν προνομίων ἠξίωνται, (δεσμοῦσι γὰρ καὶ λύουσι κατ' αὐτοὺς, καὶ χειροτονίας ποιοῦσι, καὶ τὴν ἀναίμακτον θυσίαν προσάγουσι,) πατριαρχικῶν δὲ δικαίων οὐ κατηξίωνται· οὔτε γὰρ σάκκους, οὔτε πολυσταύρια ἐνδιδύσκονται, οὔτε μετὰ γαμμάτων καὶ τριγωνίων στιχάρια· ταῦτα δὲ οὕτω γίνεται, ὅτι καὶ τῶν ἁγίων Ἀποστόλων ἡ θεία ὁμήγυρις τὸ τοῦ μαρτυρίου στάδιον τρέχουσα, χειροπέδαις μὲν καὶ φραγγελλίῳ καθυποβέβληται, καὶ πόδας μαθητῶν διὰ λεντίου ἀπέσμηξε, καὶ ἐνεδιδύσκετο κατὰ Ἀαρὼν τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη, καὶ τὸ ἐφοὺδ, τὰ τὸ ἀρχαῖον σημαίνοντα κώδιον τοῦ Ἀδαμιαίου φυράματος· αἷμα δὲ καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτῶν οὐ κατέῤῥευσεν, ὧν ἀναπληροῦσι τόπον τὰ τῶν στιχαρίων γαμμάτια· οὐδὲ τὴν χλαῖναν τῆς ὕβρεως ἐνεδύσαντο· οὐδέ τις αὐτῶν λίθος ἀκρογωνιαῖος ὠνόμασται, ὡς ὁ Κύριος καὶ Θεὸς ἡμῶν· οὐδὲ τὸ τῆς πίστεως τάλαντον δι' ἑκάστου αὐτῶν εἰς πᾶσαν τὴν οἰκουμένην ἐφήπλωται, ἀλλ' ὁ μὲν ἐν Ῥώμῃ, ὁ δὲ ἐν Ἰνδοῖς, ὁ δὲ ἐν Γαλάταις ἢ Βρεττανοῖς (1), τὰς τῆς διδασκαλίας μετωχέτευσε πίδακας· μόνος δὲ ὁ Χριστὸς καὶ Θεὸς

(1) ἐν τοῖς Χ. V. (2) Χ. V. τῇ πατριαρχικῇ, Λεύγκλ. (3) Ψαλμ. ΜΘ', 3, 6.



(1) Χ. V. — ἢ Βρεττανοῖς, ὁ δὲ ἐν Γαλάταις Λεύγκλ.

ἡμῶν πανταχοῦ παρῆν, καὶ χαρᾶς τὰ πάντα ἐπλήρωσεν. Ὅθεν καὶ οἱ ἁγιώτατοι πατριάρχαι, τόπον ἀναπληροῦντες τῆς κεφαλῆς τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ, ἐνδιδύσκονται σάκκους, καὶ μετὰ ποταμίων καὶ τριγωνίων στιχάρια, καὶ διὰ πολυσταυρίων φαινόλια, καὶ εἰς πάσας τὰς Ἐκκλησίας κατὰ ταυτὸν ἀναφέρονται· τῇ δὲ ῥάβδῳ, ὡς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν τῷ καλάμῳ τῆς ὕβρεως, ἀποσεμνύνονται· οἱ δὲ λοιποὶ ἀρχιερεῖς καὶ ἡγούμενοι, ὡς ὁ Ἀαρὼν τῇ ῥάβδῳ ἐκείνῃ τῇ βλαστησάσῃ κατὰ μεγάλου μυστηρίου προδήλωσιν, ἢ ὡς ὁ μέγας Ἀπόστολος Πέτρος, ὁ ἀκούσας παρὰ Θεοῦ, Ποίμαινε τὰ πρόβατά μου(1). Ἐπεὶ δὲ τῶν εἰκότων ἐστὶν ἐρωτῆσαί τινα, τίς ἡ τοῦ πάπα σημασία, καὶ τίς ἡ τοῦ πατριάρχου ἐστὶ, καὶ τίς ἡ τοῦ ἀρχιεπισκόπου, καὶ διατί τῶν πέντε κεφαλῶν ἡ μὲν ἐνέργεια καὶ τὰ προνόμια ταυτίζονται, καθὼς διείληπται, τὰ δὲ ὀνόματα τούτων εἰσὶ διάφορα, δέον ἐλογισάμεθα καὶ τὰ περὶ τούτων ἐκκορυφῶσαι. Πάπας παρὰ Λατίνοις κέκληται ὁ πατήρ· καὶ παρὰ Ἰουδαίοις πατριάρχης, ὁ ἄρχων ἤτοι ὁ πατὴρ τῶν πατριῶν· καὶ ἀρχιεπίσκοπος ὁμοίως, ὁ ἐπισκόπων πατήρ· κἂν γοῦν ὦσι τοῦ πάπα, τοῦ πατριάρχου, καὶ τοῦ ἀρχιεπισκόπου τὰ σημαινόμενα τῇ διαλέκτῳ διάφορα, ἀλλὰ δυνάμει κατὰ μηδὲν διαφέρουσι· διὸ καὶ πάντες κοινῷ ὀνόματι πατριάρχαι κατονομάζονται. Ὁ γοῦν πρώτως ἀρχιερατεύσας ἐν Ῥώμῃ ἅγιος Σίλβεστρος, καὶ ὁ πρώτως ἀρχιερατεύσας ἐν Ἀντιοχείᾳ Εὔοδος, ἐκλήθησαν εὐλόγως πατέρες· οὔπω γὰρ ἦσαν πατριάρχαι, παρὰ τῶν πατέρων προβαλλόμενοι· ὡσαύτως καὶ ὁ Ἀλεξανδρείας ἐκλήθη πάπας, διὰ τὸ λαβεῖν τὸν ἅγιον Κύριλλον κατὰ τὴν τρίτην σύνοδον τοῦ πάπα Ῥώμης, τοῦ Κελεστίνου, φημὶ, τὰ προνόμια. Τῆς δὲ εὐσεβείας διαδραμούσης εἰς τῆς οἰκουμένης τὰ πέρατα, καὶ πόλεως ἑκάστης σχεδὸν λαβούσης ἐπίσκοπον, ἐδέησε τιμηθῆναι θεαρέστως καὶ εὐσεβῶς καὶ τὴν Ἱερουσαλὴμ, διὰ τὰ ἅγια πάθη καὶ τὸν τάφον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἡ γὰρ μεγαλόπολις προετετίμητο, καθὼς προείρηται, διὰ τὸ εἰς ταύτην μετενεχθῆναι τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων βασιλείας. Μετωνομάσθησαν οὖν οἱ ἐν ταύταις ἀρχιερα-

(1) Ἰω. ΚΑ, 16.



τεύοντες, ἀρχιεπίσκοποι· ἀρχαὶ δηλονότι καὶ κεφαλαὶ πολλῶν ἐπισκόπων· ταυτὸν δέ ἐστιν εἰπεῖν, πατέρες καὶ πατριάρχαι. Ἐκ τούτου δὲ διαφορά τις οὐκ ἔστι μέσον αὐτῶν· ὁ γὰρ πατὴρ τοῦ ἔθνους τοῦδε τυχὸν, πατήρ ἐστι καὶ ἱερατικῆς φυλῆς καὶ λαϊκῆς, ὡς ὁ Ἰακὼβ τῶν ιβ'. φυλῶν Ἰσραήλ· καὶ ὁ ἄρχων ἐπισκόπων, ἐξ ἀνάγκης ἐστὶ πατὴρ καὶ ἐπισκόπων καὶ λαϊκῶν. Ὁ δὲ Γοτθίας οὐ καλεῖται ἀρχιεπίσκοπος, ὡς ἄρχων ἐπισκόπων καὶ προβολεὺς, ἀλλ' ὡς ἀρχὴ ἐπισκόπων. Ὡρίσθη γὰρ παρὰ τῶν ἁγίων Πατέρων, τὰς μὲν ἐχούσας διοικήσεις πολλὰς πόλεις ὑπὸ ἐπισκόπων κυβερνωμένας, παρὰ μητροπολιτῶν διεξάγεσθαι, οὓς καὶ πρώτους οἱ κανόνες ὀνομάζουσι· τὰς δὲ μὴ ἐχούσας ὑφ' ἑαυτὰς πόλεις τινὰς ὑπὸ ἐπισκόπων ἰθυνομένας, παρὰ ἀρχιεπισκόπων ἱερατεύεσθαι· ὥστε μειονεκτεῖν μὲν αὐτὰς τῶν μητροπόλεων, ὑπερτερεῖν δὲ τῶν ἐπισκοπῶν. Οὕτω λυθείσης καὶ τῆς τοιαύτης ἀμφιβολίας, ἤθελον εἰπεῖν, ὅτου χάριν ὁ πάπας Ῥώμης οἰκουμενικὸς πάπας λέγεται, ὡσαύτως καὶ ὁ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, οἰκουμενικὸς πατριάρχης, οἱ δὲ λοιποὶ πατριάρχαι, καὶ ταῦτα τῆς αὐτῆς ὄντες τάξεως, κλήσεώς τε καὶ τιμῆς, καὶ ταύτης οὐκ ἔτυχον τῆς ἀνακηρύξεως. Ἐπεὶ δὲ τὸν μὲν πάπαν τὸ τῆς φιλαυτίας δαιμόνιον τῆς τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν ἀπέστησεν ὁμηγύρεως, καὶ εἰς μόνην τὴν δύσιν ἐστενοχώρησε, τὸν δὲ Κωσταντινουπόλεως βλέπω μηδενὶ τῶν προνομίων τοῦ πάπα κατακοσμούμενον, (οὔτε γὰρ τῷ τῆς βασιλείας λώρῳ κατὰ τὸ τοῦ ἁγίου Κωσταντίνου νομιζόμενον θέσπισμα καταστέφεται, οὔτε κοκκοβαφέσι πεδίλοις κατὰ τὸ τυπωθὲν θεατρίζεται, ἀλλ' οὐδ' ἑτέρῳ προνομίῳ τῆς παλαιᾶς Ῥώμης κέχρηται, καὶ διὰ τοῦτο οἱ πόδες αὐτοῦ ἵστανται ἐν εὐθύτητι, καὶ ἡ κεφαλὴ αὐτοῦ παντοίᾳ συνέσει κατὰ τὸν Δαυῒδ πεπολίωται· καὶ τὰς οἰκείας δὲ ὑπογραφὰς ὡς οἰκουμενικὸς οὐ μεγεθύνει πατὴρ, κἂν παρ' ἡμῶν οὕτω κέκληται καὶ δεδόξασται,) τὴν μὲν περὶ τούτου συζήτησιν, ὡς ἀλυσιτελῆ, παρατρέχω· ἀπολογοῦμαι δὲ πρὸς τοὺς λέγοντας τολμηρῶς, ὀφείλειν τῆς πατριαρχικῆς ἀποξενοῦσθαι τιμῆς τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων. Κεκανόνισται γὰρ, φασὶ, μηδ' ἐν ἀρχιερεῦσι συντάττεσθαι τοὺς μὴ ῥιψοκινδύνως ἀπερχομέ-

νους ἀρχιερεῖς εἰς τοὺς παρὰ βαρβάρων κατεχομένους θρόνους αὐτῶν, μηδὲ τὸν τοῦ μαρτυρίου προαρπάζοντας ςέφανον. Ὡς εἰ μέν εἰσι λαϊκοὶ οἱ τοιαῦτα καθά τι μάταιον ἄμβλωμα κατὰ τῶν ἁγίων κεφαλῶν ὠδινήσαντες, συγγνώμης ἀξιωθήσονται κατὰ πολλὴν ἐπιείκειαν· γέγραπται γάρ· Οὐ χρὴ Ῥωμαῖον ἄνδρα νόμους (ταυτὸν δ' ἔστιν εἰπεῖν καὶ κανόνας) ἀγνοεῖν· ὅτι, κἂν χειρῶναξ τίς ἐστι, κἂν σύρφαξ, οἴκοθεν εἰδέναι νόμους ἢ κανόνας μὴ συγχωρούμενός ἐστι, ἀλλ οἱ τοιούτους κατὰ σπουδαίους ἀργυρογνώμονας μεταλλεύοντες,

ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται εἴαρος ὥρῃ,

παρὰ ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων καθεστήκασι, καὶ πρόκεινται τῷ βουλομένῳ παντὶ φιλότιμος πανδαισία καὶ ἀπραγμάτευτος, καὶ πάντως τῷ μελικράτῳ τῆς διδασκαλίας αὐτῶν ἐμελιτώθη τὸ τῆς ἀγνοίας ἐκείνων ἀψίνθιον. Εἰ δὲ τοῦ θείου καταλόγου τῶν ἀρχιερέων εἰσί, βαβαὶ πῶς ἄν τις εἴπῃ καὶ διηγήσεται τὴν ἐπαγομένην τούτοις κατάκρισιν; Ποίας γὰρ συγγνώμης ἀξιωθήσεται ὁ διδάσκειν κανόνας ἐπαγγειλάμενος, καὶ κανόνων μὴ βλέπων παχύτητα, τὸν Ἄθων αὐτὸν σχεδὸν ὑπερβαίνουσαν; Πάντως οὐδεμιᾶς. Ἀκούσει δὲ μᾶλλον ἀπὸ Θεοῦ Παντοκράτορος· Σὺ ἀπώσω δικαιοσύνην, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι (1). Ὅθεν τὴν περὶ τούτου πολλὴν ἀντιλογίαν καταλιπών, καταστρωννύω πρὸς περιαίρεσιν σκανδάλου παντὸς τῇ παρούσῃ γραφῇ τὸν λζ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συςάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς λεγομένης Πενθέκτης, οὕτως ἐπὶ λέξεως ἔχοντα·

«Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, »καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστη»σαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόε»δρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον κατα»λαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυθῆναι, καὶ οὕτω »κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας, καὶ πάντα, ἃ τῷ »ἐπισκόπῳ ἀνήκει, πράττειν τε καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ »τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς

(1) Ὠσηέ, Δ', 6.



»πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπήρειαν »ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν »προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκατασταθεῖσι θρόνοις, »τὸ ἀπροκριμάτιστον συντηρηθῆναι συνεωράκαμεν· ὥστε καὶ »χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῇ τῆς »προεδρίας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαί»αν, καὶ νενομισμένην εἶναι πᾶσαν ὑπ' αὐτῶν προϊοῦσαν διοίκησιν· »οὐ γὰρ ὑπὸ τοῦ τῆς ἀνάγκης καιροῦ τῆς ἀκριβείας περιγραφεί»σης, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

Σὺν τῷ τοιούτῳ δὲ κανόνι ἀναδιδάσκω τοὺς ἐντυγχάνοντας τῇ παρούσῃ γραφῇ, ὡς καὶ πρόσταξίς ἐστι τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸν Νοέμβριον μῆνα τῆς δευτέρας ἐπινεμήσεως ἀπολυθεῖσα, καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς σεκρέτοις καταστρωθεῖσα, καὶ διοριζομένη μὴ μόνον ἀπαρεμποδίςως ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς ἀνατολικὰς Ἐκκλησίας, τὰς παρὰ τῶν ἐθνῶν κατεχομένας, κἂν οὐ δύνανται οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχόντας τούτους θρόνους διὰ τὴν ἐθνικὴν κακίαν, ἀλλὰ καὶ μετὰ τὴν χειροτονίαν ἔχειν ὅσα πρὸ ταύτης ἔσχον κατὰ τὴν μεγαλόπολιν δίκαια, ἡγουμενείας δηλαδή, ἀδελφάτων σιτηρέσια, καὶ λοιπά. Καὶ ἡμεῖς μέν, καθὼς ἠξιώθημεν, ταῦτα γεγράφαμεν. Ὁ δὲ τῆς εἰρήνης Θεός, ὁ εἰπὼν διὰ τοῦ Προφήτου Δαυΐδ, Ἐὰν ὁ λαός μου τὰς ἐντολάς μου φυλάξῃ, ἐν ῥάβδῳ τοὺς ἐχθροὺς αὐτῶν ἐπισκέψομαι, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπὸ τῶν ἀγαπώντων με, οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου (1), τὴν μὲν ἐθνικὴν ἀπιστίαν διασκορπίσει ὡσεὶ κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς, τοὺς δὲ ὁσίους αὐτοῦ συναγάγῃ, καὶ δώσει αὐτοῖς χώρας ἐθνῶν καὶ φυλάς· καὶ ἐρεῖ πᾶς ὁ λαός· Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα (2). Γένοιτο, γένοιτο.

(1) Ψαλμ. ΠΗ', 32 — 34. — (2) Ψαλμ. ΠΗ', 53.

# ΤΟΥ ΑΥΤΟΥ ΔΙΑΓΝΩΣΙΣ,

## ΧΑΡΙΝ ΤΟΥ ΑΛΛΗΘΕΝΤΟΣ ΣΥΝΟΔΙΚΩΣ ΖΗΤΗΜΑΤΟΣ, ΠΕΡΙ ΤΟΥ ΕΙ ΧΡΗ ΤΟΝ ΑΥΤΟΝ ΚΑΙ ΕΝΑ ΔΥΣΙ ΔΙΣΕΞΑΔΕΛΦΑΙΣ ΣΥΝΑΠΤΕΣΘΑΙ.

Οἱ τῶν Ἀθηναίων ἰθαγενεῖς καὶ προσήλυτοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ὁ μέγας Παῦλός φησιν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον(1). Ἡ Ἐκκλησία δὲ τοῦ Θεοῦ, καὶ μᾶλλον τὸ θεῖον ἀνάκτορον τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τὰ παρὰ τῶν ἁγίων Πατέρων δογματισθέντα κρατύνουσα, προθέλυμνον ἀποσπᾷ πᾶσαν καινοφανῆ περιττότητα, καὶ θέλει τῆς ἀληθείας τὸν ἄσταχυν ἀνατέλλειν ἑκατοστεύοντα· προκόπτει γὰρ τῇ χάριτι τοῦ Θεοῦ ἐπὶ παντὶ θεαρέστῳ λόγῳ καὶ πράγματι. Διά τοι ταῦτο, καὶ τὸ συνοδικῶς ἐρωτηθὲν πρὸ μικροῦ, περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ δισεξαδέλφαις συνάπτεσθαι, οὐκ ηὐδόκησεν ὥς τι καινοπρεπὲς ὑπὸ γωνίαν πεσεῖν ἀτημέλητον· ἀλλ' ὡς σπουδαῖον καὶ χρησιμώτατον, εἰς κοινὴν προέθετο κατεξέτασιν. Ἐπεὶ οὖν ὁ παναγιώτατος νυμφίος αὐτῆς, καὶ τῶν κανονικῶν παραδόσεων μελεδωνὸς ἀγρυπνότατος, ἠθέλησε καὶ ἡμᾶς συμμεριστὰς γενέσθαι τοῦ ἀγαθοῦ, φαμὲν, ὅτι τινὲς πλατεῖαν ὁδὸν καὶ ἀπρόσκοπον, ὥς φασιν, ἥπλωσαν, τῷ Δημητρίῳ τυχὸν, τῷ χρηματίσαντι γαμέτῃ Μαρίας τινὸς, δισεξαδέλφην ταύτης Θεοδώραν καλουμένην ἁρμόσασθαι· καὶ ἐρωτώμενοι, πόθεν καὶ ὅπως τοῦτο προτρέπουσι, λέγουσιν εἰς ἕβδομον βαθμὸν καταντᾷν τὴν τοῦ συναλλάγματος ποίησιν, διὰ τὸ πρόσωπα δύο καὶ ἀκολούθως δύο βαθμοὺς καθίστασθαι τὸν Δημήτριον μετὰ Μαρίας τῆς ἀποιχομένης συζύγου αὐτοῦ, κἂν τῇ ὁμονοίᾳ καὶ τῇ στοργῇ σὰρξ μία λογίζωνται. Ἡ γὰρ Μαρία, φασὶν, ἕκτον εἶχε μετὰ τῆς Θεοδώρας βαθμὸν, οὐ μὴν ὁ Δημήτριος, ὡς εἰς ἕβδομον πρόσωπον, καὶ βαθμὸν τοσαυτάριθμον ἀναγόμενος. Τὸ δὲ β'. θέμα τοῦ λβ' (2) κεφαλαίου, τοῦ ε'. τίτλου, τοῦ κη'. βιβλίου τῶν βασιλικῶν, καὶ ὁ νδ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου πα-

(1) Πράξ. ΙΖ', 21. — (2) κεφ. ά. Ἐκδ. Λίμβραχ.



λατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος ἐξεστενοχώρησαν συναλλάγματα· τὰ δὲ μετὰ τοῦτον, ἀδεῶς ἀπέλυσαν ἀναχώννυσθαι. Καὶ κἂν ἐξηνέχθη προσφάτως τόμος συνοδικὸς, στηριχθεὶς καὶ προστάξει βασιλικῇ, τοὺς ἐξ αἵματος ὄντας ἑβδόμου βαθμοῦ μὴ συνάπτεσθαι, ἀλλὰ τοὺς ἐξ ἀγχιστείας οἰκείωσιν τοιουτόμετρον ἔχοντας οὐκ ἐστενοχώρησε· πολὺ γάρ ἐστι τὸ διάφορον μέσον συγγενείας ἐξ αἵματος, καὶ συγγενικῆς ἁπλῶς οἰκειώσεως· καὶ λόγος μέγας μέσον τούτων ἐστήρικται, τοὺς μὲν συνάπτων, τοὺς δὲ διαιρῶν. Οἱ πλείους δὲ τούτων καὶ ἐπιχειρήμασι συλλογιστικοῖς, καὶ διὰ τῆς εἰς τὸ ἀδύνατον ἐπαγωγῆς τοὺς οἰκείους δῆθεν λόγους στηρίζουσι. Λέγουσι γὰρ, ὡς, εἰ δοθείη γενέσθαι τὴν Μαρίαν καὶ τὸν Δημήτριον ἑνὸς βαθμοῦ μετὰ τὴν συνάφειαν, πολλὰ συμπέσουσιν ἄτοπα· οἷον, Δημήτριος γαμέτης τῆς Μαρίας καλούμενος, καὶ γαμβρὸς τοῦ ταύτης πατρὸς, τούτου μὲν παῖς, ἐκείνης δὲ ἀδελφὸς μετονομασθήσεται, τοῦ βαθμοῦ τῇ ταυτότητι, καὶ οὕτω διασπᾶσθαι τὸ συνοικέσιον, εἰς ἀδελφομιξίαν περιϊστάμενον. Προστιθέασι δὲ καὶ τοῦτο τὸ ἄτοπον· καὶ τὰς ἐξ ἀδιαθέτου διαδοχὰς ἀλλήλων τε, καὶ τῶν γονέων τούτων, ναὶ μέντοι καὶ προσγενῶν, αὐτοὺς σφετερίσασθαι· ὡσαύτως καὶ τὸ μὴ δύνασθαι τοὺς ἑτερομερεῖς ἀγχιστεῖς ἀλλήλοις συνάπτεσθαι, καθὼς τῆς ἀγχιστείας τὰ νόμιμα διορίζονται· ἀλλὰ κατὰ τοὺς γάμους τῶν ἐξ αἵματος προσγενῶν καὶ μὴν ἐν τῇ Ῥωμαϊκῇ συνηθείᾳ, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει, φασὶ, τὸ ἐναντίον σήμερον πολιτεύεται· θεῖος γὰρ καὶ ἀνεψιὸς μετὰ θείας καὶ ἀνεψιᾶς ἀκωλύτως συνάπτονται, ἕκτον ἐξ ἀγχιστείας καὶ ταῦτα λαχόντες βαθμὸν, ὡς τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου Σισινίου τοὺς πρώτους ἐξαδέλφους κωλύσαντος δυσὶν αὐταδέλφαις συνάπτεσθαι. Διενίστανται δὲ, μηδὲν ἀπρεπές τι καὶ τῶν ὀνομάτων συγχυτικὸν ὑποσύρεσθαι, ἐκ τοῦ τὸν αὐτὸν δυσὶ δισεξαδέλφαις συνάπτεσθαι, ὅτι τότε, φασὶ, παρατηρεῖται τῶν ὀνομάτων ἀκρίβεια, καὶ τὸ ἀσύγχυτον τούτων φυλάττεται, ὅτε δουλικὴ τύχη μεσιτεύει συγγένειαν· οὐ μὴν ὅταν ἐκ συναφείας ὁμοζύγων τοῖς νόμοις δεκτῆς, ὡς ἐκ ῥίζης τινὸς πτόρθοι γεννηθῶσι κατάλληλοι.

εἰ γὰρ δοθείη κἂν τούτοις συντηρεῖσθαι τῶν ὀνομάτων τὸ εὐπρεπὲς καὶ ἀσύγχυτον, στενοχωρηθείη καὶ τῶν τρισεξαδέλφων καὶ ἐφεξῆς ἡ ἐκχωρητέα συνάφεια, ἵνα μὴ κληθῶσιν οἱ ἐξ ἐκείνων φυόμενοι, ἀδελφοὶ καὶ τετταρεξάδελφοι, ὅπερ οὐ δέδοκται· καὶ αὐτοὶ ταῦτα. Ἡμεῖς δὲ σκοπήσωμεν πρότερον, εἰ τοῖς νόμοις καὶ τοῖς κανόσι δοκεῖ, δύο βαθμοὺς τοὺς ὁμοζύγους ψηφίζεσθαι, καὶ διὰ τοῦτο συγχωρητέον εἶναι τὸ, περὶ οὗ ὁ λόγος, συνάλλαγμα. Εἴπωμεν οὖν, καὶ πάλιν ἐκκορυφώσωμεν τὰ λεγόμενα. Φασί τινες τὴν φωνὴν τοῦ Κυρίου τὴν λέγουσαν, Καὶ ἔσονται οἱ ὁμόζυγοι σὰρξ μία(1), μὴ ἐκλαμβάνεσθαι πρὸς ταυτότητα, ἀλλὰ πρὸς στοργὴν καὶ ὁμόνοιαν· εἰ γὰρ μὴ οὕτως ἐκληφθῇ τὸ Κυριακὸν θεσπίσμα, ἀδελφοὶ κληθεῖεν οἱ συναφθέντες, καὶ οὐχ ὁμόζυγοι· καὶ ἐφεξῆς ἐπακολουθήσουσι κακὰ μυριάριθμα, τὴν ἀτοπίαν τοῦ ζητήματος μεγαλύνοντα. Ἀκουσάτωσαν οὖν, ὡς προτάσεις ψευδεῖς οὔτε διὰ συλλογισμῶν ἀληθείας συμπεραίνουσιν, οὔτε πρὸς τὸ ἀδύνατον ἀπαγόμεναι, τοῦ ὑποκειμένου τὴν φύσιν μετατιθέασιν· ἀλλ' ἐξ ὁμολογουμένων καὶ ἀπλανῶν ἀνατέλλει τῆς ἀληθείας ὁ ἥλιος. Εἰ γάρ τις εἴποι τυχὸν, πᾶς λίθος ἔμψυχός ἐστι, καὶ ἑτέρωθεν, πᾶσα σμάραγδος λίθος ἐστί· καὶ συμπερανεῖ· Πᾶς ἄρα λίθος σμάραγδος ἔμψυχός ἐστι, μέμψιν (2) συναγάγῃ, καὶ ψεῦδος ἔσχατον· ὅθεν καὶ ὁ λέγων γενέσθαι διὰ τῆς συναφείας τῶν ὑποστάσεων τὴν σύγχυσιν, καὶ τὴν ὁμοζυγίαν μεταστοιχειωθῆναι πρὸς ἀδελφότητα, καὶ οὕτω συμπεραίνων τάχα τὸ ἄτοπον, γλωττοπέδην συνήγαγεν, οὐκ ἀλήθειαν. Τούτου δὲ οὕτως ἔχοντος, καὶ τῶν γενῶν σωζομένων ἑκατέρων μετὰ τὴν ἕνωσιν, μὴ τολμητέον ἀδελφοὺς τοὺς ὁμοζύγους εἰπεῖν εἰς ἐπιστομισμὸν τοῦ ῥήματος τοῦ Θεοῦ, τοῦ εἰπόντος· Καὶ οὐκ ἔτι ἔσονται οἱ ὁμόζυγες δύο, ἀλλὰ εἷς· ὡς γὰρ οὐ λέγεται τὸ ἀγριέλαιον καλλιέλαιον, ὅτι κλάδος αὐτοῦ μετὰ καλλιελαίου μετεμοσχεύθη, οὕτως οὐδὲ πατέρα τῆς κόρης τὸν ταύτης εἴποιμεν πενθερόν. Τούτου δὲ στηριχθέντος ἐξ ἀναντιῤῥήτου καὶ ἀσφαλοῦς ἀποδείξεως, ὡς οἰόμεθα, οὔτε τὸ καλεῖσθαι θάτερον ἐξ αὐτῶν εἰς τὴν κληρονομίαν τοῦ τελευτήσαντος, ἢ τινος τῶν ἐξ αἵματος αὐτῷ προσγενῶν παῤῥησιασθήσεται; (πῶς γὰρ, προλαμβανόντων τῶν κτησαμένων ἐκ νόμου τὰς διακατοχάς; ) οὔτε μεμπτέον ἔσται καὶ ἀποτρόπαιον τὸ λέγειν, τοῖς αὐτοῖς ὅροις συστέλλεσθαι τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος συναλλάγματα· οὕτω γὰρ κεκανόνισται. Τὸ δὲ συνάπτεσθαι θεῖον καὶ ἀνεψιὸν μετὰ θείας καὶ ἀνεψιᾶς, οὐκ ἔστιν (ὥς τινες λέγουσι) συνηθείας ἀγράφου παγκράτιον, ἢ καὶ ἀπαραδότου ἐκκλησιαστικῆς καταστάσεως τροπαιοῦχημα, ἀλλὰ πρόσταξις θεία τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει Βάρδα τινὸς λεγομένου Ξηροῦ, καὶ ἐπιγνωσθεῖσα τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς ἀρχείοις καὶ κώδιξι, τὸν τοιοῦτον γάμον ἀπέλυσε κατὰ τὴν δεδομένην τοῖς βασιλεῦσιν ἄνωθεν κυριότητα. Μὴ τοίνυν συκοφαντητέον τὴν ἀκριβῆ τῆς Ἐκκλησίας κατάστασιν· τὰ γὰρ ἐξ ἀγχιστείας συναλλάγματα, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ καὶ ἐστενοχώρει πάντοτε, καὶ στενοχωρεῖ, καθώς που καὶ τὰ ἐξ αἵματος, ἑπομένη νομικοῖς καὶ κανονικοῖς διατάγμασι, καὶ τῷ τόμῳ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Σισινίου. Τὸ γὰρ ἐπ' ἀνατροπῇ τούτου διορισθὲν παρὰ βασιλικῆς θείας μεγαλειότητος, εἰς ἔργον ἐλθεῖν ὁ δίκαιος κριτὴς οὐκ ηὐδόκησεν, ὡς οἴδασιν οἱ μεμυημένοι, καὶ οὐ πεπλάνηνται. Ναὶ, φασίν· ἀλλ' οὐδὲ τὸ σύγχυσιν καὶ ἀπρέπειαν ὀνομάτων εἰσάγεσθαι διὰ τὴν τῶν βαθμῶν ἰδιότητα, ἐμποδίσει λαβεῖν τὸν Δημήτριον τὴν δισεξαδέλφην τῆς προτέρας αὐτοῦ γυναικός· τοῦτο γὰρ καὶ εἰς τοὺς συναπτομένους ἐξ αἵματος συγγενεῖς, καὶ ὀγδόου ὄντας βαθμοῦ, θριαμβεύεται, δι' ὧν ὁμοζύγους ἀνερυθριάστως κατονομάζομεν, οὓς ἡ φύσις τρισεξαδέλφους ἐγνώρισε, καὶ τοὺς παῖδας αὐτῶν ὡς ἀδελφοὺς περιέπομεν, τετταρεξαδέλφους ὄντας ἐκ φύσεως· τί γοῦν ἐστι καινὸν κἂν τῷ παρόντι ζητήματι λαλεῖσθαι τοῦτο καὶ γίνεσθαι; Ἀλλ' ἀκουσάτωσαν οἱ ταῦτα συνείροντες, ὅτι, καθὼς τὰ Γαδείρων ἐντὸς διακείμενα, καὶ ἀκριβολογοῦνται, καὶ ἀπογράφονται, τὰ δὲ πέρα Γαδείρων οὐ περατά εἰσιν· οὕτω τὰ μὲν ἐντὸς τοῦ ἕκτου βαθμοῦ γινόμενα συναλλάγματα, καὶ διὰ τὸ φύσει δίκαιον καὶ εὐπρεπὲς κατακρίνονται· τὰ δὲ ἐκτὸς αὐτῶν μετεωριζόμενα, οὐδὲ κατασπῶνται, οὐδὲ κουφίζονται, ἄνευ μόνου τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ· τοῦτον γὰρ βασιλικὸς ὁρισμὸς καὶ τόμος συνοδικὸς τοῖς τοῦ ἕκτου βαθμοῦ συναλλάγμασι συνεξίσωσαν. Ἐπεὶ

(1) α', Κορ. Ϛ', 16. — (2) X. V. — χωρίον ἐφθαρμένον παρὰ Λευγκλ.

οὖν ἱκανῶς διελάβομεν τά τισι δικαιολογούμενα περὶ τοῦ εἰς ἕνα βαθμὸν τοὺς ὁμοζύγους ἀνάγεσθαι, εἴτε καὶ μὴ, φέρε καὶ τὸ ἡμῖν παριςάμενον χάριν τοῦ τοιούτου ζητήματος, εἴπωμεν. Οἱ νενομοθετηκότες περὶ κεκωλυμένων γάμων διδάσκοντες ἐν βιβλίῳ κη'. τίτλῳ ε'. εἰς δύο διαιροῦσι τοὺς συγγενεῖς, εἰς ἀνιόντας καὶ κατιόντας, παῖδας δηλαδὴ καὶ γονεῖς, καὶ εἰς τοὺς ἐκ πλαγίου, ἀδελφοὺς, φημι, καὶ λοιποὺς ἐξ αἵματος προσγενεῖς. Καὶ τῶν μὲν ἀνιόντων καὶ κατιόντων, κἂν γνήσιοι ὦσι, κἂν φυσικοὶ, κἂν θετοὶ, τοὺς γάμους κωλύουσιν εἰς ἀπέραντον· τῶν δὲ ἐξ αἵματος, μέχρις ἕκτου βαθμοῦ. Μετὰ μέν τοι τὸ τεχνολογῆσαι τὰ περὶ τούτων, καὶ εἰς ὄψιν προθέσθαι τὴν τῶν βαθμῶν βαθεῖαν καὶ δισδιεξίτητον ὑπουλότητα, (δυσχερεστάτη γὰρ, φησὶ, καὶ οὐ εὐκατάληπτος ἡ ἐκ πλαγίου τῶν βαθμῶν ἐςιν εὕρεσις,) προςιθέασι καὶ ταῦτα ῥητῶς· Εἰσὶ δὲ καὶ ἕτεροι γάμοι, οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιςείαν μὴ προβαίνοντες· ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός. Οἷον οὖν οἰκειοῦνται βαθμὸν οἱ ὁμόζυγες μετὰ τὴν συνάφειαν, καθαρῶς μὲν οὐ διδάσκουσιν· ἐπάγουσι δὲ, μὴ δύνασθαί τινα πρὸς γάμον λαβεῖν τὴν οἰκείαν νύμφην, ἢ προγονήν· ἀλλ᾽ οὐδὲ τὴν μητρυιὰν, ἢ τὴν πενθερὰν, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. Σκοπητέον τοίνυν πρὸ πάντων τὸ περὶ τῶν βαθμῶν· οὕτω γὰρ ἐξομαλισθείη τὸ τοῦ ζητήματος ἄναντες. Οἱ τῆς συγγενείας βαθμοὶ, ἐκ τῶν βαθμίδων τῆς κλίμακος ὠνομάσθησαν· ὡς γὰρ ἐκεῖναι λαμβάνουσαι καταρχὴν ἐξ ἐπιπέδου τινὸς, καὶ εἰς τὰ πρόσω προβαίνουσαι, τὴν κάθοδον ἢ τὴν ἄνοδον συμπεραίνουσιν, οὕτω καὶ οἱ βαθμοὶ, ὡς ἐκ ῥίζης ὁμοφυεῖς κλάδοι τοῦ πρώτου γεννήτορος προϊέμενοι, τὴν συγγένειαν καταρτίζουσιν. Ἴδωμεν οὖν, ποία ῥίζα καὶ καταρχὴ μεσιτεύει τὸν ἄνδρα μετὰ τῆς γυναικὸς, ὥστε πρὸς ταύτην ἀναδραμεῖν, καὶ ἐξ αὐτῆς, ὡς διὰ βαθμίδος, πρὸς τούτους ἐλθεῖν· Πάντως οὐδεμία· οὐδὲ γὰρ δύναταί τις εἰπεῖν· Ὁ Πέτρος ἐγέννησε τὸν Δημήτριον· ὁ αὐτὸς καὶ τὴν Μαρίαν ἀπέτεκεν· ὥστε τούτους δύο βαθμῶν ἔχειν συγγένειαν· προφανὲς γὰρ ψεῦδος ἐςί· πολλῷ δὲ πλέον οὐκ εἴποι τις ὑποςάσεις διττὰς ἑνὸς εἶναι βαθμοῦ· δύο γὰρ γεννήσεις τούτους παρήγαγον. Οἱ γοῦν λέγοντες εἶναι τοὺς συζύγους ἑνὸς ἢ δευτέρου βαθμοῦ, καὶ ζυγοστατοῦντες διὰ βαθμίδων αὐτοὺς, κατὰ τὰ σταθμώμενα, ἢ μετρούμενα, ἢ ἀριθμούμενα, ἐοίκασι τοῖς ἐρωτωμένοις, πόσος ἀμπίσχει τόδε τὸ δάπεδον μάργαρος, καὶ ἀποκρινομένοις, διττὸς λίθος γὰρ πρασίζων αὐτὸ περιζώννυσι, καὶ ξύλον κέδρινον ἀμφιέννυσιν. Ἄραρε τοίνυν λέγειν ἡμᾶς, μήτε πρὸς δύο βαθμῶν οἰκειότητα τοὺς ὁμοζύγους ἀνάγεσθαι· (πῶς γὰρ, οἱ μὴ τὴν αὐτὴν ἐσχηκότες ῥίζαν καὶ γέννησιν, καὶ διὰ τοῦτο μηδὲ φυσικῶς διαιρούμενοι;) μήτ᾽ οὖν ἑνὸς γενέσθαι βαθμοῦ διὰ τὴν ἔνσαρκον ἕνωσιν, καὶ συγχυθῆναι κατὰ μελίκρατον· (πῶς γὰρ, σωζομένων ἀδιαπτώτων τῶν ὑποστάσεων;) διὰ δὲ τὴν θείαν καὶ σωτηριώδη φωνὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος πρὸς τοὺς ἐρωτήσαντας αὐτὸν μαθητὰς, εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ, καὶ ἐπαγαγόντος ταῦτα ῥητῶς, Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπαρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν (1), ὥςε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σάρξ μία, πιςεύειν ἡμᾶς καὶ ὁμολογεῖν, ἕνα σχεδὸν ὁμόψυχον ἄνθρωπον ἐν δυσὶ θεωρούμενον ὑποςάσεσι, τοὺς ὁμοζύγους διὰ τὸν γάμον λογίζεσθαι. Ἀλλὰ δοτέον ἀναδραμεῖν τοῦ λόγου τὸν ῥύακα καὶ πρὸς ἕτερον καίριον. Ἡ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀκατάληπτος συγκατάβασις, καὶ τὸ τῆς σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων ἐχέγγυον, μεγαλύνεται μὲν καὶ ἐξ ἄλλων μυστηρίων πολλῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῆς γαμικῆς ἱερολογίας δοξάζεται· τῆς γὰρ ἁμαρτητικῆς συναφείας διαδοθείσης εἰς ἅπαν τῶν ἀνθρώπων τὸ φύραμα μετὰ τὸν φθόνον τοῦ δράκοντος, καὶ τῆς ἐντολῆς τοῦ Θεοῦ τὴν παράβασιν, καὶ τοῦ κακοῦ πρὸς ἕτερα κακὰ προχωρήσαντος μείζονα, ἐμέλησε τῷ φιλανθρώπῳ Θεῷ τῆς ἡμῶν παλιγγενεσίας καὶ ἀναπλάσεως. Γεγονὼς τοίνυν ἄνθρωπος καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ πᾶσαν ἄλλην πληρώσας οἰκονομίαν, ἵνα ἡμεῖς τὴν ἀρχαίαν μακαριότητα λάβωμεν, καὶ τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας γάμον ηὐλόγησε, καὶ τὸ ὕδωρ τῆς ἀπογνώσεως εἰς οἶνον ἀληθοῦς θεογνωσίας μετέβαλεν (2)· ἐντεῦθεν πληροφορῶν τὸ ἀνθρώπινον, ὡς οὐκέτι γυναῖκες ἐν λύπαις

(1) Μάρκ. Ι, 6, 7, 8. — Γεν. Α, 27, Ε', 2. Β', 24. — (2) Ἰω. Β', 1.

τέκνα γεννήσουσιν, οὐδὲ οἱ ἐκ γαμικῆς συναφείας τικτόμενοι, κατὰ τὸ πρότερον εἴποιεν· Ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου(1)· ἀλλὰ τηρήσαντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καθὼς ὁ προπάτωρ ταύτας ἐτήρησε πρὸ τῆς παραβάσεως, τῆς αὐτῆς τιμῆς καὶ δόξης ἀξιωθήσονται, οἵας πρὸ τῆς παρακοῆς οἱ προπάτορες· Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος(2), σωτηρίαν φιλοτιμούμενος. Τούτων οὕτως ἐχόντων, καὶ τῶν θεογράφων πλακῶν λεγουσῶν· Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι αἰσχύνην αὐτοῦ(3)· καὶ τοῦ προπάτορος ἀποκρινομένου ἑτέρωθεν· Νῦν καὶ μᾶλλον ἡ γυνή μου ὀστοῦν ἐκ τῶν ὀστῶν μου ἐστὶ, καὶ σὰρξ ἐκ τῆς σαρκός μου(4)· οὐ τολμῶ τοὺς ὁμοζύγους εἰπεῖν ἄλλης καὶ ἄλλης εἶναι σαρκὸς, κἂν ἐν δυσὶν ὑποστάσεσιν αὐτοὺς θεωρῶ, ἵνα μὴ δικαίως κατακριθῶ κατα τοὺς ἀθετοῦντας ἐγγράφους καὶ ἀγράφους παραδόσεις, τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς σωτηρίας ἡμῶν τὸ ἐχέγγυον. Διαγινώσκω δὲ μᾶλλον μίαν σάρκα τούτους λογίζεσθαι, καὶ τοῖς αὐτοῖς στενοχωρεῖσθαι τὸν ἄνδρα νομικοῖς καὶ κανονικοῖς παραγγέλμασιν, ὅσον τέως εἰς συνάφειαν γαμικὴν, οἷς καὶ ἡ τούτου στενοχωρεῖται ὁμόζυγος, ὥσπερ καὶ τὸ ἀνάπαλιν· καὶ διὰ τοῦτο μὴ δύνασθαι τὸν Δημήτριον εἰς γυναῖκα τὴν Θεοδώραν λαβεῖν, λογιζομένην δισεξαδέλφην αὐτοῦ διὰ τὴν μετὰ τῆς Μαρίας γαμικὴν τούτου συνάφειαν. Ἀποδέχομαι δὲ καὶ τοὺς κωλύοντας τὸ τοιοῦτον γαμικὸν τοῦ Δημητρίου συνάλλαγμα διὰ τοὺς νόμους τοὺς λέγοντας· Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐφειμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητητέον(5)· κατανοῶν ἀπρεπέστατον εἶναι, τὸν μέχρι τοῦ νῦν γαμβρὸν παρὰ τῆς δισεξαδέλφης λεγόμενον, ὁμόζυγον αὐτῆς ὀνομάζεσθαι. Ὅτι δὲ χρώμενοι ῥήμασί τινες τοῦ κατὰ τὴν λ'. τοῦ Ἰουλίου μηνὸς, τῆς ιβ'. ἐπινεμήσεως, συνοδικοῦ σημειώματος, τοῦ μὲν ἁγιωτάτου κυροῦ Θεοδοσίου πατριαρχεύοντος, ἡμῶν δὲ τοῦ χαρτοφύλακος ἐνεργούντων ὀφφίκιον, καὶ περὶ τὸ τέλος ταῦτα διεξιοῦσιν, «Ἐπεὶ γὰρ ἡ μετὰ »Ἰωάννου τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται, διὰ τὴν »τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ

(1) Ψαλμ. Ν', 5. — (2) Ἑβρ. ΙΓ', 4. — (3) Λευϊτ. ΙΖ', 6. — (4) Γεν. Β', 23. — (5) ς'. Βασιλικ. ΚΗ, 5.



»αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται· οὔτε γὰρ συγγενικὸν »πρόσωπον τὴν Εἰρήνην λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς »ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι »τὸν ἐξ ἀχιστείας ἕκτον βαθμὸν,» θέλουσιν ἡμᾶς σιωπᾷν, ἄρτι τἀναντία διαγινώσκοντας· πρῶτον μὲν λέγομεν, ὡς ὁ κατὰ καιροὺς χαρτοφύλαξ, στόμα πατριαρχικὸν λογιζόμενος, ἐκεῖνα λέγει καὶ γράφει, ὅσα νεφελώσει καὶ ὑδατώσει τῆς κεφαλῆς ἡ ἀκρώρεια. Οὐκοῦν οὐδὲ αἰτιατέους ἢ ἐπαινετέους λογιεῖταί τις ἡμᾶς καλλιγραφήσαντας ἴσως τὴν παροῦσαν ὑπόθεσιν, ἢ τοὐναντίον κακογραφήσαντας· κατὰ γὰρ τὸν Βαροὺχ ὑπεγραμματεύσαμεν ὅσα θρηνῶν Ἱερεμίας ἐθρήνησε· καὶ κατὰ τὸν Ἀαρὼν ἐλαλήσαμεν, ὅσα λαλῶν ἐλάλησε Μωσῆς. Ὅπερ δὲ καὶ τότε τὴν μικρόνοιαν ἡμῶν ἐθεράπευσε χάριν τοῦ τοιούτου ζητήματος, ἐγράφη παρ' ἡμῶν ἐν τῷ β'. κεφαλαίῳ τοῦ ιγ'. τίτλου τοῦ νομοκανόνου· εἴπομεν γὰρ τὸ τοιοῦτον κεφάλαιον ἑρμηνεύοντες, ὡς καὶ βασιλικὸν ἐκώλυσε πρόσταγμα τὸ ζητούμενον συνοικέσιον, κἂν καταστρωθῆναι οὐκ ἔφθασε, καὶ ἡ Ἐκκλησία τὴν τούτου ποίησιν οὐκ ἀνέχεται. Εἶτά φαμεν, ὡς σημειωμάτων προκομιζομένων παλαιγενῶν, καὶ διαγραμμάτων ὁμοίων ἐκκλησιαστικῶν διϋλιζόντων καὶ αὐτὸν τὸν φαυλότατον κώνωπα τοῦ τοιούτου ζητήματος, καὶ ἀποκαλούντων τοῦτο παρανομώτατον, οὐδεὶς μὴ σκαρδαμύττων πρὸς τὴν ἐνάργειαν, ἐκείνων μὲν καταψηφιεῖται σχολὴν, καὶ ταῦτα μηδὲ ἀναιρεθέντων ῥητῶς ὑπὸ τοῦ παρόντος συνοδικοῦ σημειώματος, τὰ δὲ ἐν τούτῳ περιεχόμενα, κανονικοῖς καὶ νομίμοις ἐξισώσει διδάγμασιν. Ἀφορῶν οὖν εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, λέγω καὶ αὖθις, ὡς, ἐπεὶ ὁ μέγας Παῦλός φησιν, Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή(1)· οἱ δὲ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ τόμοι, τὸν μετὰ χήρας γαμικῶς συναφθέντα, λογιζόμενοι δίγαμον, εἰς ἐκκλησιαστικὸν βαθμὸν οὐκ εὐδοκοῦσιν ἐλθεῖν, ἀλλ' οὐδὲ τὴν τοῦ τελευτήσαντος ἱερέως ὁμόζυγον, δευτερογαμῆσαι παραχωροῦσι, πάντως διὰ τὴν ταυτότητα τῶν σωμάτων αὐτῶν,

(1) α', Κορ. Ζ', 4.

καθὼς τὰ περὶ τούτου παρίςαται ἐκ τοῦ λα'. καὶ λϐ'. κεφαλαίου τοῦ πρώτου τίτλου τοῦ γ'. βιϐλίου τῶν βασιλικῶν, καὶ τοῦ μδ'. κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος περὶ τὸ τέλος, Ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα, ὡς καθιερωμένης, οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ, διαγινώσκω κανονικὸν εἶναι καὶ νόμιμον, τὸ μετὰ αὐθεντίας ἐκκλησιαστικῆς κωλύεσθαι τὸν αὐτὸν καὶ ἕνα δυσὶ δισεξαδέλφαις συνάπτεσθαι, καὶ τὸ ἀνάπαλιν· καὶ εἰ λάθοι γενέσθαι τοιοῦτόν τι, σπουδαίως διασπᾶσθαι, καὶ μετ' ἐπιτιμίου διορθοῦσθαι.

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΚΥΡΟΥ
# ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ,

## ΧΑΡΙΝ ΤΩΝ ΟΦΕΙΛΟΥΣΩΝ ΤΕΛΕΙΣΘΑΙ ΝΗΣΤΕΙΩΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ, ΠΕΜΦΘΕΙΣΑ ΠΡΟΣ ΤΟΥΣ ΑΝΤΙΟΧΕΙΣ.

Εκεινοι διδάσκουσι περὶ νηστειῶν θεάρεστα διδασκάλια, ὦ θεοφιλέστατον πλήρωμα τοῦ ποτὲ περιωνύμου θρόνου τῆς Θεουπόλεως, ὅσοι διὰ πυρὸς προσευχῶν, καὶ ὕδατος νηστειῶν, τῆς ἀρετῆς διῆλθον τὸ στάδιον. Ὅσοι δὲ, κατ' ἐμὲ, πρὸς χάρυβδιν γαστριμαργίας ὠλίσθησαν, καὶ τὴν κοιλίαν θεοποιοῦσι(1), κατὰ τὸν μέγαν Ἀπόστολον, ἀδυνατοῦσιν εἰπεῖν τὰ τῇ ἀληθείᾳ συμβαίνοντα, καὶ ταῖς οἰκείαις ἐναντιούμενα πράξεσιν· ὅσα γάρ τις φρενοβλαβῶς ἐνεργεῖ, ταῦτα καὶ τοὺς ἄλλους πράττειν φιλοσοφεῖ. Ἔμελλον οὖν ἀποσκευάσασθαι διὰ ταῦτα τὴν δικαίαν ὑμῶν παράκλησιν, καὶ μετὰ Μωσέως εἰπεῖν· Προχειρίσασθε ἄλλον δυνάμενον· ἐγὼ γὰρ ἰσχνόφωνός εἰμι(2), καὶ γέρων ἀστήρικτος, καὶ οὐδὲ τὸν λαχόντα με θρόνον ἰδεῖν κατηξίωμαι. Ὁ δὲ Προφήτης, Γνωστῶς, φησὶ, ἐπιγνώσῃ ψυχὰς ποιμνίων σου, καὶ ἐπιστήσεις καρδίαν σου ταῖς ἀγέλαις σου (3).

Ὅτι δὲ τῆς παρακοῆς ἡ κακόχαρτος ἄκανθα, πολλῆς πικρίας ἐγεώργησε δράγματα τοῖς προπάτορσι, καὶ τὸ κακὸν παγγενεὶ διαδόσιμον γέγονεν· ἀλλὰ καὶ ὁ Προφήτης φησί· Καὶ σὺ, υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ· εἰ γοῦν μὴ λαλήσεις φυλάξαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω (4)· κατένευσα σχεδιάσαι γραφὴν ὑμῖν ἀκαρύκευτον, περὶ ὧν ἡ παράκλησις. Μὴ γοῦν εἴπητε· Μακάριος ὁ διδάξας μετὰ τὴν ποίησιν· ἀλλὰ τὸν τρυγίαν τῆς διαγωγῆς ἡμῶν, ὡς ἴσως κινδυνώδη παραβλεψάμενοι, τὸ παρὰ τοῦ θείου κρατῆρος τῆς ἀρχιερατικῆς διδασκαλίας κιρναμένου

(1) Φιλιππ. Γ', 19. — (2) Ἐξόδ. Δ', 13, 10. — (3) Παροιμ. ΚΖ', 23. — (4) Ἰεζεκ. ΛΓ', 7, 8.

κύπελλον, κἂν ψυχρὸν καὶ στύφον καθέστηκεν, ὡς ἐκροὴν ποτί-σθητε νέκταρος· οἰνοχοεύει γὰρ καὶ χεὶρ πολλάκις ἀκάθαρτος μελίκρατον ἁγιότητος, καὶ Βαλαὰμ κατάρας υἱὸς, εὐχῆς ἐργαστή-ριον γίνεται.

Ἠρωτήσατε μαθεῖν ἐξ ἡμῶν, εἰ μετὰ νηστείας, καὶ πόσης, ἑορτάζειν ὀφείλετε τὰς χαρμοσύνους τέσσαρας ἑορτὰς, τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, φημὶ, τῆς Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Κοι-μήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῶν Γενεθλίων τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀφορῶντες οὖν, καθὼς ὁ τῆς Ἐκκλησίας διδάσκαλος ἔφησεν, εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν Χριστὸν (1), γράφομεν ὑμῖν, ὡς τινες μὲν τῶν εὐλαβεστέρων ἀνδρῶν, ὧν εἷς ἐστιν Ἀναστάσιος ἐκεῖνος ὁ Σιναΐτης καλούμενος, καὶ πατριάρχης γεγονὼς τῆς καθ' ἡμᾶς Θεουπόλεως μεγάλης Ἀντιοχείας, λέγουσι παραδεδομένας εἶναι τὰς τοιαύτας μετὰ νηστειῶν ἑορτὰς, ἔκ τε κανόνων Ἀποστολικῶν καὶ Πατρικῶν παραδόσεων.

Ἐγὼ δὲ πολλὴν περὶ τούτων ποιησάμενος κατεξέτασιν, κατενόησα τέως ἀπὸ κανόνων μὴ λύεσθαι τὸ ζυγομαχούμενον· ὁ γὰρ ξθ'. κανὼν τῶν ἁγίων Ἀποστόλων ταῦτα φησίν· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλ-της, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω· ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. Ὡσαύτως ὁ ιθ'. κανὼν τῆς ἐν Γάγγρᾳ συνόδου, ὁ μθ'. ὁ ν'. ὁ νά. καὶ ὁ νβ'. τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ κθ'. κανὼν, ὁ νδ'. ὁ νε'. καὶ ὁ νϛ'. τῆς ἐν τῷ Τρούλλῳ συ-νόδου, μιᾶς μέμνηνται Τεσσαρακοστῆς, τῆς τοῦ μεγάλου Πάσχα, φημὶ, καθ' ἣν οὔτε θυσίας, οὔτε γάμους, οὔτε τινὰ κατάλυσιν ἑτέραν χαροποιὸν παραχωροῦσι γίνεσθαι παρὰ τῶν πιστῶν.

Καὶ οἱ ἐκθέμενοι δὲ τὸ Ἱεροσολυμιτικὸν καὶ Στουδιτικὸν Τυπικὸν, ἀλλὰ μὴν καὶ τὰ λοιπὰ, περὶ μὲν τῆς Τεσσαρα-κοστῆς τοῦ μεγάλου Πάσχα πολλά τινα μεγαλοπρεπῆ καὶ ἄξια τῆς αὐτῶν ἀρετῆς ὑπετύπωσαν, περὶ δὲ νηστείας ἑτέ-ρας οὐδέν τι διέλαβον πλατυκώτερον· ἀλλὰ περὶ τῆς Τεσ-

(1) Ἑβρ. ΙΒ', 2.



σαρακοστῆς τῶν ἁγίων Ἀποστόλων, καὶ τῆς ἑορτῆς τῆς Γεννή-σεως τοῦ Χριστοῦ, μέτριά τινα χάριν διαίτης καὶ ἀκολου-θίας ἐκκλησιαστικῆς διετάξαντο. Ἐν τῷ τόμῳ δὲ τῆς ἑνώσεως, τῷ ἐπ' ἄμβωνος κατὰ μῆνα Ἰούλιον ἀναγινωσκομένῳ, καὶ ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Ῥωμανοῦ τοῦ πενθεροῦ αὐτοῦ συντελεσθέντι, γέγραπται χάριν τῶν τριγάμων ταῦτα ῥητῶς· Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν θεί-ων μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπο-λαύσεως· ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει, δεύτερον δὲ ἐν τῇ Κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Ἡ δὲ ἐν τῇ Κωσταντινουπόλει σύνοδος, ἐρωτηθεῖσα κατὰ τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Νικολά-ου, εἰ χρὴ τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν, ἀπε-λογήσατο· Ἦν νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ, μετε-τέθη δὲ διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦ-τον γινομέναις ἐθνικαῖς νηστείαις· πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσι. Διά τοι τοῦτο, κατὰ μέλιτταν φιλεργὸν, ἔκ τε τούτων πάντων, καὶ ἐξ ἑτέρων γραφικῶν παραδόσεων ἀνθολογήσας τὰ χρησιμώτε-ρα, καὶ τὴν ἀληθῆ διδασκαλίαν ἀποσεμνύνοντα, ἀναδιδάσκω ὑμᾶς, οὐκ ἐν πειθοῖ σοφίας ἑλληνικῆς, ἀλλ' ἐν πνεύματι δυνά-μεως ἀρχιερατικῆς, τελειοποιούσης τὰ ἠλιτόμηνα, καὶ ἁγιαζού-σης τὰ ἀμβλωθρίδια, ὅτι μετὰ νηστειῶν ἑορτάζειν ὀφείλομεν οὐ μόνον τὴν κοσμοσωτήριον τοῦ Κυρίου Ἀνάστασιν, ἀλλὰ καὶ τὰς ῥηθείσας τέσσαρας ἑορτὰς, τῶν ἁγίων Ἀποστόλων, φημὶ, τῆς Με-ταμορφώσεως, τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῶν Γενε-θλίων τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καθὼς κατωτέρω ῥηθήσεται.

Ὁ θεοπτικώτατος ἐκεῖνος Μωσῆς, ταῖς θεογράφοις πλαξὶ κατακολουθῶν, διετάξατο τῷ Ἰσραηλίτῃ λαῷ, πενταρίθμους ἐτησίως τελεῖν ἑορτὰς, μετὰ τοσαυταρίθμου διὰ νηστειῶν τα-πεινώσεως· ἤγουν τὴν ἑορτὴν τοῦ ἀμνοῦ, τὴν ἑορτὴν τῶν ἑβδομάδων, τὴν ἑορτὴν τοῦ ἱλασμοῦ, τὴν ἑορτὴν τῆς σκηνο-

πηγίας, καὶ τὴν ἑορτὴν τῶν σαλπίγγων. Γέγραπται γὰρ περὶ τῆς ἑορτῆς τοῦ ἀμνοῦ, ἐν τῇ Μωσαϊκῇ (1) βίβλῳ τῆς ἐκ τῶν Αἰγυπτίων Ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ταῦτα ῥητῶς· Εἶπε Κύριος πρὸς Μωσῆν· Λάλησον πρὸς πᾶσαν συναγωγὴν τῶν υἱῶν Ἰσραὴλ, λέγων· Λαβέτω κατὰ τὴν ι'. τοῦ πρώτου μηνὸς πρόβατον ἑκάστη τῶν πατριῶν, ἢ ἔριφον, ἢ ἀμνὸν, τέλειον, ἄρσεν, ἄμωμον, ἐνιαύσιον· καὶ ἔστω διατετηρημένον ἕως τῆς ιδ'. ἡμέρας τοῦ μηνὸς τούτου· καὶ σφάξουσιν αὐτὸ πρὸς ἑσπέραν· καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν, καὶ ἐν τοῖς οἴκοις ἐν οἷς φάγωσιν αὐτό. Καὶ διελεύσομαι ἐν τῇ νυκτὶ ταύτῃ ἐν γῇ Αἰγύπτου, καὶ πατάξω πᾶν πρωτότοκον Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐν ὑμῖν δὲ οὐκ ἔσται πληγή· ὄψομαι γὰρ τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς. Καὶ ἔσται ἡ ἡμέρα αὕτη ἐν ὑμῖν μνημόσυνον αἰώνιον νόμιμον. Ἀπὸ δὲ τῆς πρώτης ἡμέρας ἕως τῆς ἑβδόμης, ἄζυμα μετὰ πικρίδων ἔδεσθε· καὶ κληθήσεται ἡ ἡμέρα ἡ πρώτη, ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη, κλητὴ ἁγία (2).

Περὶ τῆς ἑορτῆς τῶν ἑβδομάδων, ἐν τῷ Δευτερονομίῳ, ταῦτα· Ἐκεῖ θύσεις τὸ Πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου, ἐν τῷ καιρῷ ᾧ ἐξῆλθες ἐξ Αἰγύπτου· καὶ ἑψήσεις, καὶ ὀπτήσεις, καὶ φαγῇ ἐν τῷ τόπῳ, οὗ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν· καὶ ἀποστραφήσῃ τὸ πρωῒ, καὶ ἀπελεύσῃ εἰς τὸν οἶκόν σου. Ἓξ ἡμέρας φαγῇ ἄζυμα, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξόδιον ἑορτὴ Κυρίῳ τῷ Θεῷ σου. Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον. Ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἐξαριθμήσεις σεαυτῷ· ἀρξαμένου σου δρέπανον ἐπ' ἀμητὸν, ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας. Καὶ ποιήσεις ἑορτὴν ἑβδομάδων Κυρίῳ τῷ Θεῷ σου, καθὼς ἰσχύει ἡ χείρ σου· καὶ εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου (3).

Περὶ τῆς ἑορτῆς τοῦ ἱλασμοῦ ἐν τῷ αὐτῷ βιβλίῳ, ταῦτα· Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· Καταβὰς διαμάρτυραι τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτὸν σήμερον καὶ αὔριον· καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν

(1) Χ. V. — μυστικῇ Κοτελέρ. — (2) Ἐξόδ. ΙΒ', 3—15. — (3) Δευτερ. Ις', 9—10.



τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ. Καὶ πάλιν· Κατέβη δὲ Μωσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια. Καὶ εἶπε τῷ λαῷ· Γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, καὶ μὴ προσέλθητε γυναικί· τῇ δὲ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, ἐγένοντο φωναὶ καὶ ἀστραπαὶ, καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους Σινᾶ· φωνὴ τῆς σάλπιγγος ἤχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαὸς, ὃς ἦν ἐν τῇ παρεμβολῇ. Καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς τὴν συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος. Τὸ δὲ ὄρος Σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι τὸν Θεὸν ἐπ' αὐτὸ ἐν πυρί (1).

Καὶ περὶ τῆς ἑορτῆς τῆς σκηνοπηγίας ἐν τῇ βίβλῳ τῆς Ἐξόδου, ταῦτα· Καὶ ἐγένετο ἐν τῷ μηνὶ τῷ πρώτῳ, ἐν τῷ δευτέρῳ ἔτει, ἐκπορευομένων αὐτῶν ἐξ Αἰγύπτου, νουμηνίᾳ, ἐστάθη ἡ σκηνή. Καὶ ἔστησε Μωσῆς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐπέθηκε τὴν κεφαλίδα αὐτῇ, καὶ τὸ κάλυμμα, καὶ τὴν κιβωτὸν, καὶ τὴν τράπεζαν, καὶ τὴν λυχνίαν, καὶ τὸ θυμιατήριον τὸ χρυσοῦν· καὶ συνετέλεσε Μωσῆς πάντα τὰ ἔργα. Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ ἡ δόξα Κυρίου ἐπλήρωσε τὴν σκηνήν (2). Ἐν δὲ τῷ βιβλίῳ τῷ Λευϊτικῷ ἀνετάχθησαν περὶ τῶν τοιούτων πέντε ἑορτῶν ταῦτα· Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Αἱ ἑορταὶ Κυρίου, ἃς καλέσετε κλητὰς ἁγίας, αὗταί εἰσιν· ἐν τῷ πρώτῳ μηνὶ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, Πάσχα τῷ Κυρίῳ, ἑορτὴ τῶν ἀζύμων· καὶ ἔκτοτε ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἀριθμήσεις, ἤτοι πεντήκοντα ἡμέρας, ἕως τῆς ἐσχάτης ἡμέρας, καὶ καλέσεις ταύτην τὴν ἡμέραν κλητὴν, καὶ ἑορτὴν ἑβδομάδων. Καὶ μετ' ὀλίγα· Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Τοῦ μηνὸς τοῦ ἑβδόμου, μιᾷ τοῦ μηνὸς, ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλπίγγων· κλητὴ ἁγία τῷ Κυρίῳ. Καὶ αὖθις· Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν,

(1) Ἐξόδ. ΙΘ', 10—18. — (2) Ἐξόδ. Μ', 17.

λέγων· Τῇ ι'. τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ἡμέρα ἐξιλασμοῦ ἔσται, κλητὴ ἁγία ἔσται ὑμῖν. Καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, ἀπὸ ἐννάτης τοῦ μηνὸς ἑσπέρας· πᾶν ἔργον οὐ ποιήσεις ἐν αὐτῇ τῇ ἡμέρᾳ· ἔστι γὰρ ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν, ἐξιλάσασθαι περὶ ὑμῶν ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν. Πᾶσα ψυχὴ ἥτις οὐ ταπεινωθήσεται ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐξολοθρευθήσεται ἀπὸ τοῦ λαοῦ αὐτῆς. Καὶ μεθ' ἕτερα· Καὶ ἐλάλησε πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Τῇ ιε'. ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ Κυρίῳ (1).

Τῶν γοῦν θεοφθόγγων τούτων ῥημάτων ταῦτα παρακελευομένων ῥητῶς, ἑώρταζον οἱ ἐξ Ἰακὼβ καὶ τῶν ιβ'. πατριαρχῶν καταγόμενοι, μέχρι τῆς ἐνσάρκου παρουσίας τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰς πέντε ταύτας ἑορτὰς σαρκικώτερον· τῆς γὰρ ἀληθείας ὁ μάργαρος ὡς ἐν ὀστρέῳ τῷ γράμματι καὶ ἔτι κατεκαλύπτετο, καὶ τῆς δικαιοσύνης ὁ ἥλιος τῇ σκιᾷ τῆς ἀγνοίας ἐπηλυγάζετο. Ἀφ' οὗ δὲ τὴν ἐξ Αἰγύπτου πρὸς τὴν Σιὼν μεταφυτευθεῖσαν τριπόθητον ἄμπελον, τὴν ταῖς σκιαῖς τὰ ὄρη κατὰ τὸν Θεοπάτορα κρύψασαν, καὶ ὑπὲρ τὰς κέδρους τὰς ἀναδενδράδας τινάξασαν, μονιὸς ἀχαριστίας κατενεμήσατο, καὶ ὗς εἰδωλολατρείας ἄγριος ἐλυμήνατο (2), καὶ ἤκουσεν ὁ περὶ αὐτὴν λαὸς ἀπὸ τοῦ Θεοῦ, διὰ τῶν ἁγίων προπατόρων καὶ Προφητῶν, Γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου (3)· μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου· ψαλμοῦ γὰρ ᾠδῶν σου οὐκ ἀκούσομαι (4). Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα τράγων οὐ βούλομαι. Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα, βδέλυγμά μοι ἐστίν. Τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ μεγάλην ἡμέραν ἑορτῆς ὑμῶν μισεῖ ἡ ψυχή μου· αἱ γὰρ χεῖρες ὑμῶν πλήρεις αἱμάτων εἰσὶ (5).

Καὶ τῷ πυρὶ δὲ τῆς τρισυποστάτου θεότητος, τοῦ μὲν γράμματος συνηνθρακώθη τὸ ὄστρεον, ὁ δὲ μάργαρος τῆς εὐσεβείας,

(1) Λευϊτ. ΚΓ', 1—34. — (2) Ψαλμ. ΟΘ', 11. 14. — (3) Ἡσ. ΜΗ', 4. — (4) Ἀμ. Ε', 23. — (5) Ἡσ. Α', 11, 13, 14, 15.



ὑπὸ ἁλιέων σαγηνευθεὶς, εἰς τὰ τετραπέρατα τῆς οἰκουμένης διαδόσιμος γέγονε· καὶ ὁ τῆς σωτηρίας ἀνέτειλεν ἥλιος, δίχα σκιᾶς καὶ παραπετάσματος. Γεγόνασι τὰ πάντα καινά (1). Ὁ γὰρ νόμος διὰ Μωσέως ἐδόθη, φησίν· ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο (2). Καὶ μή μοί τις εἴπῃ, ταῦτα καὶ μέχρι τῆς σήμερον σώζεσθαι, διὰ τῶν γινομένων παρὰ τῶν Ἰουδαίων μυσαρῶν ἐρεσχελιῶν, εἰς μνήμην ἐκείνων, ὡς οἴονται, τῶν σεμνῶν πανηγύρεων· ταῦτα γὰρ παρανομία τις ἐστὶ καὶ παράβασις, καὶ ἀνθρώπων πρὸς Θεὸν μάχη καὶ πόλεμος· ὅτι τοῦ Θεοῦ διὰ Μωσέως τῷ Ἰσραηλίτῃ λαῷ παραγγείλαντος, ἐν ἑνὶ τόπῳ, τῇ Ἱερουσαλὴμ δηλαδὴ, θύεσθαι τὸν ἀμνὸν, καθὼς ἄνωθεν εἴρηται, αὐτοὶ κατὰ κνίδας εἰς τόπους, οὓς οὐκ ἐπισκοπεῖ Κύριος, δικαίως κατασπειρόμενοι, καὶ κατὰ κύνας εἰς ἀγυιὰς (3) ἐκδιωκόμενοι πόλεων, τολμῶσι τὴν πόλιν μὴ ἔχοντες, παρὰ τὰ νενομισμένα διὰ τῶν Προφητῶν καταπράττεσθαι· σχήματι μὲν καὶ προσωπείῳ νηστεύοντες, ἀληθείᾳ δὲ γαστριζόμενοι καὶ πομπεύοντες· μὴ ἀναλογιζόμενοι τὴν ἐκ Θεοῦ δικαίαν αὐτῶν ἐγκατάλειψιν, καὶ πῶς παρὰ πάντα τὰ ἔθνη σήμερον ἐσμικρύνθησαν, καὶ ἐν πάσῃ τῇ γῇ γεγόνασι ταπεινότεροι.

Καὶ διὰ τὴν κακίαν αὐτῶν, εἶπε Κύριος ὁ Θεός· Καὶ ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν πολλῶν (4)· καὶ οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐν τοῖς τόποις αὐτῆς. Καὶ πάλιν· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι (5)· Διὸ, καὶ τοῦ φωτὸς, ὡς εἴπομεν, λάμψαντος διὰ τῆς παρουσίας τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ τῷ οἰκείῳ στεγανώσαντος αἵματι τῆς ἐξ ἐθνῶν Ἐκκλησίας τὰ θέμεθλα, ἡμεῖς τὸ ἔθνος τὸ ἅγιον, ὁ ἐκλεκτὸς λαὸς τοῦ Χριστοῦ, μὴ κατ' ἐκείνους ἐν ἡμέρᾳ νυκτοβατοῦντες, ἀλλ' ἐν ἀληθείας φωτὶ πορευόμενοι, ἐκ βουκολίων μὲν καὶ ποιμνίων γαλαθηνῶν οὐ δεξιούμεθα τὸν ἡμᾶς ἐκ τοῦ

(1) Β', Κορ. Ε', 17. — (2) Ἰω. Α', 17. — (3) Χ. V. — εἰς ἀκμὰς Κοτελ. — (4) Λουκ. ΚΑ', 24. — (5) Ἡσ. Ϛ', 9, 10. Ματθ. ΙΓ', 14, 15.

φάρυγγος τοῦ δράκοντος λυτρωσάμενον Κύριον· νηστεία δὲ καὶ προσευχῇ τὴν παλιγγενεσίαν τῆς φύσεως ἑορτάζομεν, (Θυσίαν γὰρ, φησὶ, καὶ προσφορὰν οὐκ ἠθέλησας, ὅτε μου τὸ σῶμα τοῦτο ἡγίασας καὶ κατήρτισας· οὐδὲ ὁλοκαυτώματα περὶ ἁμαρτίας εὐδόκησας, ὅτε εἶπας, Ἰδοὺ ἥκω (1), καὶ ἀντὶ τῆς ἑορτῆς τοῦ ἀμνοῦ τῆς ὁρισθείσης, ὡς εἴπομεν, γίνεσθαι διὰ τὴν ἐξ Αἰγύπτου πρὸς τὴν Χαναναίαν μετάβασιν τοῦ Ἰσραηλίτου λαοῦ, τὸ μέγα καὶ ἅγιον Πάσχα· πνεύματι γὰρ ἑορτάζομεν, μὴ κατ᾽ ἐκείνους, ἐρίφους καὶ πρόβατα σφαγιάζοντες, καὶ τοῖς αἵμασι τὰς φλιὰς καταχραίνοντες, καὶ ὀνειροπολοῦντες πρωτότοκα· ἀλλὰ τῷ αἵματι καὶ τῷ σώματι τοῦ παρὰ τούτων σφαγιασθέντος ἐθελοντὶ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἀληθινοῦ ἀμνοῦ τοῦ Θεοῦ, τοῦ Υἱοῦ τοῦ Πατρὸς, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ Κόσμου, τὰς τῶν αἰσθήσεων παραθύρους χριόμενοι καὶ ἁγιαζόμενοι, καὶ τὸν ὀλοθρευτὴν σατὰν ὀλοθρεύοντες. Νηστεύομεν δὲ νηστείαν οὐχ ἑπταήμερον, ἀλλὰ τεσσαρακονθήμερον· ὅτι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοσαυταρίθμους ἡμέρας ἐνήστευσε, καὶ τὸ Πάσχα τετέλεκεν, αὐτὸς καὶ θύτης καὶ θῦμα γενέσθαι καταδεξάμενος. Οὕτω καὶ διὰ ταῦτα τῆς ἀληθοῦς ἑορτῆς τοῦ ἀμνοῦ τελουμένης, μάλιστα παρ᾽ ἡμῶν, εἴπωμεν ὅπως τὴν ἑορτὴν τῶν ἑβδομάδων πανηγυρίζομεν.

Ὡρίσθη διὰ Μωσέως παρὰ Θεοῦ, καθὼς ἄνωθεν εἴρηται, μετὰ τὴν ἑορτὴν τοῦ ἀμνοῦ, ἡσυχάζειν ἐπὶ ἑβδομάδας ἑπτὰ τὸν λαὸν, καὶ οὕτω τελεῖν μετὰ νηστείας καὶ ταπεινώσεως ἑβδομάδων πανήγυριν. Ψυχὴ γὰρ, φησὶν, ἥτις διὰ νηςείας οὐ ταπεινωθῇ πρὸ τῆς ἑορτῆς, ἐξολοθρευθήσεται(2). Ἔδει γοῦν καὶ ἡμᾶς καταξιωθέντας ἰδεῖν μετὰ ἑβδομάδας ἑπτὰ τὴν τοῦ παναγίου Πνεύματος ἐπιφοίτησιν, ἑορτάζειν μετὰ νηςείας αὐτίκα, ἀντὶ τῆς ἑβδομάδων τυπικῆς ἑορτῆς, τὴν ἁγίαν Πεντηκοστήν. Ἀλλά τις θειοτάτη παράδοσις, τὴν κοσμοσωτήριον τοῦ Κυρίου Ἀνάστασιν μεγαλύνουσα, καὶ τὴν ἐκ ταύτης θυμηδίαν οἷον διηνεκίζουσα, καὶ παρακελευομένη μίαν ὥσπερ ἡμέραν λογίζεσθαι τοῦτο τὸ πεντηκονταήμερον ςάδιον, καὶ μήτε γόνυ κάμπτειν, μήτ᾽ ἄλλο τι ποιεῖν τῆς χαρμονῆς ἀπο-

(1) Ψαλμ. ΛΘ΄, 7, 8. Ἑβρ. I, 5, Θ, 7. — (2) Λευϊτ. ΚΓ΄, 29.



φαυλίζον τὸ μέγεθος, ἐπέσχε τῶν ἑβδομάδων τὴν τελετὴν κατὰ ταύτην τελεῖσθαι τὴν χαρμόσυνον ἑορτήν.

Ὅτι δὲ ταῖς Ἀποστολικαῖς διείληπται Πράξεσι, μετὰ τὴν τοῦ ἁγίου Πνεύματος πρὸς ἡμᾶς ἐπιδημίαν, ἑορτάζειν τὸν τοῦ Κυρίου λαὸν ἐπὶ ἑβδομάδι μιᾷ, καὶ μετ᾽ αὐτὴν, νηστείαν ἐπικηρύττεσθαι, τετύπωται τῶν ἑβδομάδων τὴν ἑορτὴν ἀποτελευτᾷν εἰς τὴν τῶν θεοκηρύκων ἁγίων καὶ κορυφαίων Ἀποστόλων παγκόσμιον θείαν πανήγυριν, μετὰ νηστείας ὑποδεχομένην καὶ ἁγιότητος· καὶ οὕτω τήν τε πανήγυριν τῆς πασχαλίου πεντηκοντάδος συντηρεῖσθαι σῶαν καὶ ἀταπείνωτον, καὶ τὴν ἑορτὴν μετὰ ταπεινώσεως γίνεσθαι. Τοὺς γὰρ λέγοντας, μὴ περὶ τοιαύτης νηστείας τὰς Πράξεις τῶν ἁγίων Ἀποστόλων διατάττεσθαι, ἀλλὰ περὶ τῆς καθολικῆς, δηλαδὴ τῶν τετράδων καὶ παρασκευῶν, καὶ θέλοντας δίχα νηστείας τὴν ἑορτὴν ἐκτελεῖσθαι, οὐ παραδέχομαι, ὡς ἐναντιουμένους ταῖς θεογράφοις πλαξίν.

Ἐπεὶ δὲ μετὰ τὴν ἑορτὴν τῶν ἑβδομάδων, ὡρίσθη παρὰ Θεοῦ ἑορτάζεσθαι τὴν τοῦ ἱλασμοῦ ἑορτὴν, (ὅπως δὲ καὶ ὅθεν αὕτη νενομοθέτηται, παρεδηλώθη πλατύτερον ἄνωθεν,) τετύπωται μετὰ τὴν ἔλλαμψιν τῆς ἀμωμήτου πίστεως τῶν ὀρθοδόξων Χριστιανῶν, ἀντὶ ταύτης γίνεσθαι τὴν ἑορτὴν τῆς Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ γὰρ διὰ λαίλαπος καὶ πυρὸς ὁμιλήσας τότε Θεὸς ἐν τῷ ὄρει Σινᾶ τῷ Μωσεῖ, αὐτὸς εἰς τὸ Θαβώριον ὄρος μετὰ Μωσέως καὶ Ἠλιοῦ συνελάλησεν· αὐτὸς μετὰ τοῦ οἰκείου μετεμορφώθη προσλήμματος· αὐτοῦ τὸ πρόσωπον ὡς ὁ ἥλιος ἔλαμψεν· αὐτοῦ τὰ ἱμάτια ὑπὲρ τὸ φῶς ἐλευκάνθησαν. Νεφέλης δὲ καὶ πυρὸς φωτοφάνειαν, καὶ φωνῶν θειοτέρων ἀκούσματα, καὶ παρεστώτων περίτρομον ἔκπληξιν ἐν ὄρει καὶ πυρὶ βλεπόντων τὸν Κύριον, ποία τις ἄλλη πανήγυρις οἰκειώσεται, παρὰ τὴν θείαν ἑορτὴν τῆς Μεταμορφώσεως; Εἰς γὰρ τὸ Θαβώριον ὄρος, καὶ πῦρ νοητὸν, φωτίζον καὶ μὴ φλέγον(1), ὡς τότε, κατελαμπρύνετο· Ὅτι, φησὶν, ὁ Θεὸς, πῦρ καταναλίσκον ἐστί(2)· καὶ διὰ

(1) Λεύγκλ. — πυρὶ νοητῶς φωτίζοντι καὶ μὴ φλογίζοντι X. V. — (2) Δευτερ. Δ΄, 24.

νεφέλης θεία φωνή, τὸ τῆς ἠχοῦς ὑστερόφωνον κρύπτουσα, κατέπληττε τοὺς ἀκούοντας, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. Ἀλλὰ καὶ οἱ βλέποντες καὶ ἀκούοντες μαθηταὶ τοῦ Χριστοῦ, κατὰ τοὺς ἐμβροντήτους ἐγένοντο· Ἀκούσαντες γάρ, φησίν, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα (1).

Τῆς δὲ σκηνοπηγίας τὴν ἑορτήν, ποῖός τις εἴπῃ, μὴ εἶναι μηνύτριαν τῆς κοσμοσωτηρίου ἑορτῆς τῆς Κοιμήσεως τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου; Πάντως οὐδείς· οὐρανομήκης σκηνὴ γὰρ καὶ θεοδόχον ἀνάκτορον, ἡ θεία γαστὴρ αὐτῆς ἐχρημάτισεν. Ἐν ταύτῃ Θεὸς τὸ μάννα τῆς παλιγγενεσίας ἀπεθησαύρισεν· ἐν ταύτῃ τὴν τὸν οὐράνιον ἄρτον φέρουσαν τράπεζαν ἐταμίευσε, καὶ μὴν καὶ τὸν λύχνον τῆς τρισυποστάτου θεότητος, καὶ τὸ χρυσοῦν τῆς ἀληθοῦς θεογνωσίας θυμιατήριον. Ὅτε γοῦν, ὡς διείληπται, εἶπε Κύριος πρὸς Μωσῆν· Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων· Τῇ ιε'. ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, ἑορτὴ σκηνῆς ἑπτὰ ἡμέραι τῷ Κυρίῳ, ἑορτάζουσι καὶ τῶν θεοκλήτων ἐθνῶν πατριαί, κατὰ τὴν ιε'. τοῦ αὐτοῦ μηνός, ἀντὶ τῆς σκηνοπηγίας τῆς νομικῆς, τὸν ἐξόδιον ὕμνον τῆς Θεομήτορος, καὶ τὴν εἰς τὸ μνῆμα τοῦ θείου ταύτης λειψάνου κατάθεσιν, θαυμάζουσαι, πῶς οὐδὲ αὐτὴν τὴν τῆς ἡμέρας πόστην, παρέδραμεν ἡ ταύτης μετάστασις· ἀλλὰ καὶ ταύτην ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ κατὰ σάρκα ταύτης υἱός, διὰ παρουσίας οἰκείας ἐζυγοστάτησε. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδῃς τὸν Κύριον, οὐρανόθεν τοὺς θεοκήρυκας συγκαλούμενον, καὶ τὴν μητρῴαν σκηνοπηγίαν διαττατόμενον, καὶ τὸ πένθος αὐτῶν μετριάζοντα· καὶ ἐρεῖς περὶ ταύτης τῆς ἑορτῆς εἰπεῖν τὴν Γραφήν· Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνήν, καὶ ἡ δόξα Κυρίου ἐπλήρωσεν αὐτήν.

Ἀλλ' ἐρεῖ τις, πεπλανημένως λέγειν ἡμᾶς τοῖς θείοις ῥήμασιν ἀσυμβίβαστα· τῆς γὰρ σκηνοπηγίας τὴν ἑορτήν, κατὰ τὴν ιε'. τοῦ ἑβδόμου μηνός, ὡρίσθαι γίνεσθαι, ἡ δὲ τῆς Θεομήτορος Κοίμησις τελεῖται κατὰ τὴν ιε'. τοῦ ϛ'. μηνός, τοῦ Αὐγούστου,

(1) Ματθ. ΙΖ', 5, 6.



φημί. Ἀκούσει δὲ πάντως· Ὤμοσε Κύριος Δαυὶδ ἀλήθειαν, καὶ οὐ μεταμεληθήσεται(1)· ὁ γὰρ Αὔγουστος μήν, κἂν ἕκτου ἔλαχεν ἀριθμόν, κατὰ τὴν Ῥωμαϊκὴν τῶν ὡρῶν καὶ ἰνδικτιώνων διαίρεσιν, ἀλλὰ κατὰ τὴν σεληνιακὴν παράδοσιν καὶ περίοδον (ἐκ γὰρ τῆς μήνης, ἤτοι τῆς σελήνης, καὶ μῆνας κυρίως ἐπονομάζομεν) ἕβδομός ἐστι καὶ λέγεται. Ἄλαλα τοίνυν γενηθήτωσαν τὰ χείλη τὰ δόλια, τὰ τῆς ἀληθείας τὸ φῶς ὑπὸ σκότους ἀγνοίας λέγοντα κρύπτεσθαι· καὶ ὁ ἐκλεκτὸς λαὸς τοῦ Θεοῦ ἑορταζέτω ἀντὶ τῆς σκηνοπηγίας τῆς νομικῆς, κατὰ τὴν ιε'. τοῦ ἑβδόμου μηνός, τοῦ Αὐγούστου, φημί, τῆς ἁγίας Θεοτόκου τὴν Κοίμησιν, καθὼς ὁ Θεὸς διετάξατο.

Τούτων οὕτως ἐχόντων, ῥητέον καὶ περὶ τῆς νομικῆς τῶν σαλπίγγων ἑορτῆς, τί νενόμισται πρότερον, καὶ τί τετέλεσται δεύτερον. Ἡ τῶν σαλπίγγων πανήγυρις ἑωρτάζετο μὲν παρὰ τοῖς Ἰουδαίοις ποτὲ κατὰ διαφόρους καιρούς, καθὼς ὁ Θεὸς τῷ Μωσεῖ διωρίσατο· Ποίησον γάρ, φησί, σεαυτῷ σάλπιγγας ἐλατὰς ἀργυρᾶς· καὶ σαλπιεῖτε ἐν αὐταῖς ἐπὶ τοῖς ὁλοκαυτώμασιν ὑμῶν, καὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν(2). Παρ' ἡμῶν δὲ ἅπαξ δι' ὅλου πανηγυρίζεται τοῦ ἐνιαυτοῦ· βλέποντες γὰρ τὰς ἐξαισίους μαρμαρυγὰς τοῦ λάμψαντος ἀστέρος φάτνης ἀλόγων ἐφύπερθεν, καὶ τοῦ Κυρίου τὴν γέννησιν προμηνύοντος, πιστεύομεν ἐκείνην τὴν ἀργυρόστομον σάλπιγγα, περὶ αὐτῆς τῆς γεννήσεως τοῦ Χριστοῦ ποιεῖσθαι τὰς διαλαλιάς· κἀντεῦθεν τὸ σκιαμαχεῖν βδελυττόμενοι, ἀγκαλιζόμεθα τὴν ἀλήθειαν. Ἀστεροσκόποι, καὶ Μάγοι, καὶ Μήδων ἄρχοντες καὶ Σαβᾶ, πόσων ἀργυρέων σαλπίγγων φωναί, τὴν ἐξ Ἀνατολῶν εἰς τὴν Βηθλεὲμ ὑμετέραν ἐσχεδίασαν ἄφιξιν; Τίς ἦν ἐκεῖνος ὁ εὐρυβόας καὶ Στεντορόφωνος, ὁ σαλπίσας τὴν ὑμετέραν μετάκλησιν; Τίς ἦν ἐκεῖνος ὁ λύχνος, ὁ τὴν χρονίαν ἀποδημίαν ὑμῶν καταπαύσας εἰς σπήλαιον; Πάντως ἐρεῖτε καὶ ἄκοντες, ἐκεῖνον εἶναι τὸν ἀστέρα τὸν παμφαῆ, τὸν ἐν Βηθλεὲμ ἀνατείλαντα, καὶ τῆς φάτνης ἱστάμενον ἄνωθεν, εἰς ἣν ὁ πάντων βασιλεὺς καὶ δημιουργὸς μετὰ βρεφικῆς ἀνέκειτο

(1) Ψαλμ. ΡΛΑ', 11. ΡΘ', 4.—(2) Ἀριθμ. Ι, 2, 10.

κατας άσεως. Ὑμεῖς δὲ ποιμένες καὶ βουκόλοι ποίων καὶ πόσων σαλπίγγων ἠκούσατε, καὶ τὴν τῶν ποιμνίων κηδεμονίαν παρελογίσασθε, καὶ εἰς φάτνην καὶ σπήλαιον ἥκατε; Ἐρεῖτε πάντως ἀγγέλους ἰδεῖν εἰς Βηθλεὲμ καταλύσαντας, καὶ πτερυσσομένους περὶ τὸ σπήλαιον, καὶ διαπρυσίῳ φωνῇ σαλπίζοντάς τε καὶ λέγοντας· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (1).

Ὁρᾶτε, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ, πῶς ἐξ ἐναργῶν ἀποδείξεων καὶ λαμπροτέρων τοῦ ἡλίου αὐτοῦ τοὺς εὐσεβεῖς ἐπληροφορήσαμεν, τὰς πέντε τοῦ γράμματος ἑορτὰς, εἰκόνας εἶναι καὶ μήνυτρα τῶν παρ' ἡμῶν τελουμένων καὶ ῥηθεισῶν πέντε λαμπρῶν πανηγύρεων. Μὴ τοίνυν ἀντιφερόμενοι, λέγετε κατὰ τοὺς πολλούς· Ὅσα ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἡμεῖς δὲ μόνῃ πίστει σωζόμεθα(2). Ἀκούσατε τοῦ μεγάλου Παύλου διδάσκοντος· Οὐχὶ οἱ ἀκροαταὶ τοῦ νόμου, δίκαιοι παρὰ τῷ Θεῷ· ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται (3). Ἢ Ἰουδαίων μόνων ὁ Θεός; οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν (4). Ὡσαύτως καὶ τοῦ Κυρίου παραγγέλλοντος τῷ ὑπὸ τούτου θεραπευθέντι λεπρῷ· Πορευθεὶς δεῖξον σεαυτὸν τῷ ἀρχιερεῖ, καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον(5). Καὶ πάλιν· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἰῶτα ἓν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα ταῦτα γένηται· οὐ γὰρ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς Προφήτας, ἀλλὰ πληρῶσαι(6). Ἀλλὰ τὰ μὲν διὰ φωνῆς Κυριακῆς, ἢ Ἀποστολικῆς, ἢ καὶ ὑπὸ τῶν θείων Πατέρων σχολάσαντα, ζωοθυσίαν δηλαδὴ, περιτομὴν, καὶ τὰ σάββατα, καὶ ἄλλα τινὰ, διώκετε ὡς ὀλέθρια· τὰ δὲ τοῖς θείοις Πατράσιν ἀρέσαντα, καὶ ἐξ ἀγριελαίου μετεγκεντρισθέντα πρὸς καλλιέλαιον, ἰδιοῦσθε καὶ κατασπάζεσθε, διδασκόμενοι καὶ διδάσκοντες μετὰ Παύλου τοῦ θεοκήρυκος, νόμου μὲν γενέσθαι μετάθεσιν μετὰ τὴν τῆς ἱερωσύνης ἐναλλαγὴν, ἀργίαν δὲ νόμου, μηδὲ γενέσθαι, μηδὲ κηρύττεσθαι.

Οὕτω δὲ πις εύοντες, ἑορτάζετε τὰς ῥηθείσας τέτταρας ἑορτὰς,

(1) Λουκ. ΙΑ', 14. — (2) Ῥωμ. Γ', 19. — (3) αὐτ. Β', 13. — (4) αὐτ. Γ', 29. — (5) Ματθ. Η', 4. — Μάρκ. Α', 44. — (6) Ματθ. Ε', 18, 17.



(περὶ γὰρ τῆς ἑορτῆς τοῦ μεγάλου Πάσχα, καὶ τῆς πρὸ αὐτῆς τελουμένης τεσσαρακονθημέρου νηστείας, λόγος οὐδεὶς,) μετὰ νηστείας καὶ προσευχῆς καταλλήλου τῷ τῶν ὀρθοδόξων Χριστιανῶν ἐπαγγέλματι. Ὅτι δὲ εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, οἱ μονάζοντες, καὶ οἱ πλείους τῶν κατοίκων αὐτῆς, μετὰ τὴν ἑορτὴν τῶν Ἁγίων Πάντων, συναπτὴν νηστείαν πρεσδεύουσι μέχρι τῆς ἑορτῆς τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, κἂν οὐκ ἔστιν ἀεὶ τεσσαρακονθήμερος, διὰ τῆς ἡλιακῆς παραδυναστευομένη περιφορᾶς, καὶ πῆ μὲν εὐρυνομένη, πῆ δὲ στενοχωρουμένη, ἀλλὰ καὶ πρὸ τῶν Γενεθλίων τοῦ Χριστοῦ καὶ Θεοῦ, τεσσαρακονθήμερον νηστείαν νηστεύουσι, τοῖς διαληφθεῖσιν ἑπόμενοι Τυπικοῖς, προκόπτουσι δὲ καὶ τὰ τῶν ἁγίων Ἐκκλησιῶν τῇ χάριτι τοῦ Θεοῦ πρὸς ἁγιωτέραν κατάστασιν, ὀφείλετε καὶ ὑμεῖς οὕτω νηστεύειν. Τὰς δὲ λοιπὰς δύο ἑορτὰς, τὴν Μεταμόρφωσιν δηλαδὴ, καὶ τὴν Κοίμησιν τῆς ἁγίας Θεοτόκου, μετὰ ἑπταημέρου νηστείας ἑκόντες καὶ ἄκοντες ἑορτάζετε.

Περὶ μέν τοι τῶν τοιούτων νηστειῶν, καὶ αὖθις παραγγελίαν ποιούμεθα, οὐχ ὡς πολυλόγοι καὶ ἀπειρόκαλοι, ἀλλ' ὅτι βλέπομεν ἀδιαφόρους τινὰς, μόνην τὴν τεσσαρακονθήμερον νηστείαν τοῦ Πάσχα συντηροῦντας ἀπαρασάλευτον, τὰς δὲ λοιπὰς οὐ μόνον παραχαράττοντας, ἀλλὰ καὶ ὡς μηδὲ οὔσας λογιζομένους σχεδόν. Τὴν γὰρ ἑορτὴν τῆς Γεννήσεως τοῦ Χριστοῦ, καὶ τὴν ἑορτὴν τῶν ἁγίων καὶ κορυφαίων Ἀποστόλων, διὰ τετραημέρου νηστείας ἀποσεμνύνοντες, δοκοῦσι παρανομεῖν, ἢ μᾶλλον φιλοτιμεῖσθαι τὰς ἑορτὰς, ὅτι τὰ τοῖς θείοις Πατράσι μὴ παραδοθέντα κανονικῶς, αὐτὰ ποιοῦσι δῆθεν θεοφιλῶς. Τὸ δὲ τιμᾶσθαι τὰς ἐτησίους διττὰς ἑορτὰς, τὴν Μεταμόρφωσιν δηλαδὴ τοῦ Χριστοῦ, καὶ τὴν τῆς Θεομήτορος Κοίμησιν διὰ νηστείας ἁπλῶς οἱασδήτινος, οὐδὲ μέχρις ἀκοῆς παραδέχονται· ποῖος γὰρ, φασὶ, κανὼν ταύτας ἐκαλλιγράφησε; ποία παράδοσις ἔγγραφος ὑπετύπωσε; κἀντεῦθεν καὶ διενίστανται, τὴν τοῦ Αὐγούστου νηστείαν ὑπὸ μικροψύχων τινῶν σχεδιάζεσθαι, διὰ τὰς συμπιπτούσας νόσους ἐνίοτε περὶ τὰ τέλη τοῦ Ἰουλίου μηνὸς, καὶ περὶ τὸν Αὔγουστον, ὅτε μέσος ὁ σεί-

ριος ἵσταται κατὰ κεφαλῆς κηριτρεφέων ἀνθρώπων, καὶ τὴν ζώνην ἀνατρέχει τοῦ λέοντος.

Οἱ δὲ τούτων σοφώτεροι, καὶ πρὸς τὴν συνοδικῶς ἐγχαραχθεῖσαν ἀπόκρισιν κατὰ τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Νικολάου, καὶ διαλαμβάνουσαν, ὡς διείληπται, μετατεθῆναι τὴν νηστείαν τοῦ Αὐγούστου μηνός, ὡς εἰς τὸ κρησφύγετον καταφεύγουσι, καὶ ἀδιακρίτους ἀποκαλοῦσι καὶ νηπιόφρονας τοὺς νηστεύοντας. Εἰ δέ τις ἐπιςομίσει τούτους, εἰπών, ἐν παντὶ καιρῷ τὸ τῆς νηστείας ἠνέῳκται στάδιον, καὶ τὸ ἐκ ταύτης βραβεῖον οὐ μεσιτεύεται, Ἄπιθι πρὸς τοὺς πωλοῦντας, φασί, τὰ ἐκ βουκολίων, καὶ ποιμνίων, καὶ πετεινῶν, καὶ κατανοήσεις ἐκεῖθεν ταύτης τῆς νηστείας τὸ ἀποτέλεσμα· εἰ μὲν γὰρ ἀπρακτοῦσι τὰ παρὰ τούτων διδόμενα καὶ ἀντιδιδόμενα, νηστείας ἐςὶ καιρός· εἰ δὲ τὰ κρέατος ὤνια, συνήθως κατακηνσεύονται, μὴ κατακιβδήλευε τὴν πανήγυριν, μηδὲ διὰ μόνην ὑπόκρισιν τὰς ἤδη σχολασάσας τῶν Ἰουδαίων νηστείας ἐπισφαλῶς ἀνακαίνιζε. Μὴ γοῦν κατὰ τούτους προφάσεις ἐν ἁμαρτίαις προφασιζόμενοι, τῶν ῥηθεισῶν νηστειῶν ἀχρειώσωμεν τὴν σεμνότητα· μηδὲ κατὰ τὸν δοῦλον ἐκεῖνον τὸν περιπόνηρον, τὸ τῆς νηστείας ὀλβιώτατον τάλαντον εἰς γῆν γαστριμαργίας καὶ ἀπογνώσεως καταχώσωμεν· μηδὲ εἴπωμεν πρὸς τὸν Δεσπότην καὶ Θεὸν ἡμῶν· Ἔχεις τὸ σόν(1)· νηςείαν γὰρ ἐνηςεύσαμεν τεσσαρακονθήμερον, ἣν καὶ αὐτὸς ἐνήστευσας ὡς Θεάνθρωπος· ἀλλὰ κατὰ τὸν δοῦλον τὸν ἀγαθόν, πολλαπλασιάσωμεν διὰ νηστείας καὶ προσευχῆς τὴν ἐμπορίαν τῆς σωτηρίας πραγματευόμενοι.

Ὅτι δὲ τοῖς θείοις καὶ ἁγίοις Ἀποστόλοις ἐν τῷ ξθʹ. κανόνι νενομοθέτηται, τὰς παραδεδομένας νηστείας, διὰ σωματικὴν ἀσθένειαν καταλύεσθαι· εἶεν δὲ αὗται, αἱ τοῦ ὅλου χρόνου τετράδες καὶ παρασκευαί· παρεγγυῶμαι ὑμῖν, πρὸ μὲν ἑπτὰ ἡμερῶν ἑκάστης τῶν ῥηθεισῶν ἑορτῶν, ἐξ ἀπαραιτήτου νηστεύειν καὶ ἐγκρατεύεσθαι, καθὼς καὶ κατὰ τὴν τοῦ μεγάλου θεοπαραδότου τεσσαρακονθημέρου, καὶ μὴ καταλύειν ὅλως, διά τινα περίστασιν σώματος· ἐν δὲ ταῖς λοιπαῖς νηστίμοις ἡμέραις, ὡς εἴρηται,

(1) Ματθ. ΚΕ, 25.



τῶν δύο λαμπρῶν πανηγύρεων, τῶν ἁγίων Ἀποστόλων, φημί, καὶ τῶν Γενεθλίων τοῦ Χριστοῦ καὶ Θεοῦ, ταῖς πρὸ τῶν ἑπτὰ ἡμερῶν τῆς ἀπαραιτήτου νηστείας παραδεδομέναις, ὡς εἴρηται, εἰ καταλῦσαι δεήσει, διὰ σωματικὴν ἴσως ἀσθένειαν, ποιεῖν καὶ τοῦτο μετὰ προτροπῆς ἐπισκοπικῆς· ἄλλως γὰρ καταλῦσαι τῶν ἁπάντων τινά, κινδυνῶδές ἐστι καὶ ὀλέθριον.

Νηστεύοντες δέ, μὴ νηστεύσωμεν εἰς κρίσεις, καὶ μάχας, καὶ ψιθυρίσματα, μηδὲ τύψωμεν πυγμαῖς τὸν ταπεινὸν καὶ προσήλυτον, λύσωμεν δὲ μᾶλλον πάντα σύνδεσμον ἀδικίας, καὶ βιαίων συναλλαγμάτων χειρόγραφα διασπάσωμεν, πεινῶσι μέν, ἄρτους καὶ τροφὰς διαθρύπτοντες, ἀστέγοις δὲ καὶ πτωχοῖς, τοὺς οἴκους ἀνοίγοντες, κατὰ τὸ τοῦ Προφήτου παράγγελμα(1)· οὕτω γὰρ τὸ φῶς τῆς ζωῆς ἡμῶν λάμψει ἐκ πρωΐας, ὡς γέγραπται, καὶ τῆς κραυγῆς ἡμῶν ὁ Θεὸς ἐπακούσεται, καὶ ἐρεῖ, ἔτι λαλούντων ὑμῶν· Μὴ σκυθρωπάζετε, πάρειμι (2)·

(1) Ησ. ΝΗ, 4, 6, 7. — (2) Ησ. ΝΗ, 9.

# ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΣΙΝΑΪΤΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΘΕΟΥΠΟΛΕΩΣ ΜΕΓΑΛΗΣ ΑΝΤΙΟΧΕΙΑΣ,

### ΠΕΡΙ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΤΕΣΣΑΡΑΚΟΣΤΩΝ,

### Πόθεν παρελάβομεν φυλάττειν αὐτὰς, καὶ ὅτι οἱ ταύτας παραβαίνοντες παρανομοῦσιν (1).

Ἐπεὶ μὲν ἡμᾶς ἐξακολουθοῦντας ταῖς Ἀποστολικαῖς παραδόσεσι καὶ διατάξεσι, καὶ ταῖς τῶν ἁγίων Πατέρων ἡμῶν ἐγγράφοις νομοθεσίαις, μὴ δεῖσθαι ζητήσεις καὶ εὑρεσιλογίας ἐφευρίσκειν κενὰς καὶ ματαίας, πρὸς ἀθέτησιν τῶν ὑπ' ἐκείνων ὁρισθέντων, ἀλλὰ προσέχειν ἀκριβῶς τοῖς ὑπ' αὐτῶν ὁρισθεῖσιν ἔν τε τοῖς αὐτῶν θείοις κανόσιν, ἔν τε τοῖς εὑρισκομένοις ἁγίοις τούτων συγγράμμασι, καὶ ταῖς ἐκ τῶν παραδόσεων τούτων ἁγίαις φωναῖς, καὶ ὡς Θεοῦ φωνὰς ἡγεῖσθαι καὶ σέβειν αὐτάς. Ἀλλ' ἐπείπερ ὁ μισόκαλος καὶ ἀπατεὼν διάβολος, ὁ καὶ πρώην τὴν τῷ πρωτοπλάστῳ δοθεῖσαν ἐν τῷ παραδείσῳ τῆς νηστείας ἐντολὴν παραφθείρας, καὶ βρώσει τῇ τοῦ ξύλου τοῦτον ὑπαγαγὼν καὶ παραδοὺς τῷ θανάτῳ, οὐ παύεται μέχρι τῆς σήμερον διαβάλλων τὰ παρὰ τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ γενόμενα ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν θεῖα προστάγματα, ἄρτι δέ γε καὶ μάλιστα ὑπεισῆλθέ τινας τῶν ἡμετέρων οὐ μόνον λαϊκῶν ἢ ἀγνώστων καὶ ἀγραμμάτων, ἀλλ' ἤδη καὶ αὐτῶν τῶν ἐπὶ λόγῳ σεμνυνομένων, καὶ ἐπὶ μεγίστῃ σοφίᾳ τὴν ὀφρὺν αἰρόντων, ἐπισκόπων, φημὶ, μητροπολιτῶν, καὶ ἱερέων, καὶ διακόνων, καὶ λοιπῶν κληρικῶν, καὶ αὐτῶν δήπου ἴσως τῶν μοναχῶν, ὧν Θεὸς ἡ κοιλία λελόγισται, οἳ καὶ ἀπηρυθριασμένως οὑτωσὶ καὶ ἀναιδῶς διδάσκουσι, μόνην εἶναι νηστείαν, ἔκ τε τῶν ἁγίων Ἀποστόλων καὶ τῶν θείων Πατέρων παραδεδομένην, τὴν λεγομένην μεγάλην, τὴν δέ γε τῶν Χριστουγέννων, ἣν καὶ τοῦ ἁγίου Φιλίππου τινὲς ὀνομάζουσι, δι' αἰτίαν ἣν παρακατιόντες εἴπωμεν, καὶ τὴν πρὸ τῆς μνήμης τῶν ἁγίων κορυφαίων Ἀποστόλων Πέτρου καὶ Παύλου, μὴ εἶναι μήτε ἐξ Ἀποστολικῆς καὶ Πατρικῆς διαταγῆς, ἀλλά τινων εὑρέματα μοναχῶν καὶ θελήματα, τῶν ταύτας τὰς ῥηθείσας δύο νηστευόντων νηστείας· διὸ, καὶ οἱ μὲν αὐτῶν τῶν τῇ διαταγῇ τοῦ Θεοῦ ἀνθισταμένων, ὀκτωκαίδεκα ἡμέρας ἀπέχονται κρέατος μόνου, καὶ τυροῦ, καὶ ὠοῦ, ἔνιοι δὲ αὐτῶν κρέατος μόνου, τὰ δὲ λοιπὰ ἐσθίουσιν ἐκτὸς ἡμέρας μιᾶς· ἄλλοι δὲ μόνας ἡμέρας δώδεκα ἀπέχονται ὁμοίως, ἕτεροί γε ἓξ, καὶ ἄλλοι τέσσαρας· καὶ οὐ μόνον ἑαυτοὺς θέλουσιν εἶναι μόνους πεπλανημένους, ἀλλὰ προσεπισύρονται καὶ πλήθη ἰδιωτικὰ, ἵνα μὴ μόνον ᾖ τούτων τὸ ἁμάρτημα· πλείονα δὲ πάντως καὶ τὴν τιμωρίαν ὑφέξουσιν, ὡς πολλοὺς σκανδαλίζοντες καὶ τῆς εὐθείας ἀπάγοντες. Εἰ γὰρ ὁ ἐνα ἄξιον ἐξ ἀναξίου, στόμα λογίζεται τοῦ εἰπόντος (1), πόσῳ μᾶλλον καταδίκης ἔσεται ἄξιος, ὁ πλήθη πολλὰ ἀπατῶν διὰ τῆς αὐτοῦ γαστριμαργίας καὶ φιληδονίας; Ἡμεῖς οὖν, ὅσαπερ εὕρομεν συντείνοντα καὶ διοριζόμενα περὶ τῶν ῥηθεισῶν νηστειῶν Ἀποστολικά τε καὶ Πατρικὰ διατάγματα, ἐν τῇδε τῇ βίβλῳ ἐνετάξαμεν, εἰς φίμωτρον τῶν ταύτας οὕτως ἀναιδῶς ἀθετούντων καὶ καταψευδομένων, ἐξ οἰήσεως καὶ ὑπερηφανίας, καὶ τῆς ἐν αὐτοῖς οἰκούσης φιληδονίας καὶ γαστριμαργίας, καὶ οὐδὲ τὴν τοῦ Κυρίου τρεμόντων ἀπόφασιν, τὴν λέγουσαν, Ὅστις σκανδαλίσει ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ μύλον ὀνικὸν (2), καὶ τὰ ἑξῆς πάντες οἴδασιν. Ὅταν γὰρ ἰδιώτης καὶ ἄγροικος θεάσηταί σε τὸν ἔχοντα γνῶσιν ἐσθίοντα ἀναιδῶς ἐν τῇ νηστείᾳ, πάντως σκανδαλισθήσεται, καὶ τὰ χείρονα ποιήσει. Λοιπὸν ἀκουσάτωσαν τῶν προειρημένων Ἀποστολικῶν τε καὶ Πατρικῶν παραδόσεων περὶ τῶν ῥηθεισῶν νηστειῶν. Καὶ

(1) Τὴν παροῦσαν περὶ νηστειῶν πραγματείαν Ἀναστασίου τοῦ Σιναΐτου, μνημονευομένην ὑπὸ τοῦ Βαλσαμῶνος ἐν τῇ ὀγδόῃ αὐτοῦ μελέτῃ, ἐκρίναμεν ἐκδοῦναι ἀμέσως μετὰ τὴν μελέτην ταύτην, ὡς καὶ τὰς ἑπομένας περὶ τοῦ αὐτοῦ ἀντικειμένου πραγματείας Ἀναστασίου ἐπισκόπου Καισαρείας, καὶ Νίκωνος, ἕνεκα τῆς ταυτότητος τῆς ὕλης. Ἐλήφθησαν δὲ ἐκ τοῦ συγγράμματος τοῦ Κοτελερίου, Ecclesiæ Græcæ Monumenta, Τόμ. Γ΄, σελ. 426—444.



(1) Ἱερ. ΙΕ΄, 19. — (2) Ματθ. ΙΗ΄, 6.

εἶπε Κύριος πρὸς Μωϋσῆν· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ φυλάξατέ μοι· τὴν ἑορτὴν τῶν ἀζύμων ἐν τῷ πρώτῳ μηνί· ἀπὸ δὲ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα ἐπὶ πικρίδων ἄρτον κακώσεως· ἐν γὰρ τούτῳ ἐξήλθετε ἐξ Αἰγύπτου. Καὶ ἀριθμήσετε ὑμῖν, ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντήκοντα ἡμέρας καὶ καλέσετε αὐτὴν ἁγίαν ἡμέραν. Καὶ τὴν ιέ. τοῦ ζ'. μηνὸς μεσοῦντος τοῦ ἐνιαυτοῦ, ἡμέρα ἐξιλασμοῦ· καὶ ἑορτὴ σκηνοπηγίας κλητὴ ἁγία ἔσται ὑμῖν. Ταπεινώσατε τὰς ψυχὰς ὑμῶν· πᾶσα δὲ ψυχὴ, ἥτις μὴ ταπεινωθήσεται, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ. Ἡμέρας ζ'. προσάξετε ὁλοκαυτώματα ἐν σκηναῖς κατοικοῦντες, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκησα τοὺς υἱοὺς Ἰσραὴλ, ἐν τῷ ἐξαγαγεῖν με ἐξ Αἰγύπτου. Ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν(1). Τοῦ Χρυσοστόμου. Κἀντεῦθεν, ὡς ἔοικε, καὶ παρ' ἡμῖν φυλάσσονται τρεῖς νηστεῖαι, ἃς προετύπουν αἱ ἑορταὶ ἐκεῖναι, προσθήκην τοῦ τριαδικοῦ βαθμοῦ οὐδαμῶς ἐπιδεχόμεναι. Καὶ ὁ κανὼν τῶν ἁγίων Ἀποστόλων φησίν· Εἴ τις ἀναγνώστης, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ πρεσβύτερος, ἢ ἐπίσκοπος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, τὴν ἁγίαν Τεσσαρακοστὴν οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζοιτο.

Περὶ δὲ τῆς Τεσσαρακοστῆς τῆς τοῦ Χριστοῦ Γεννήσεως, γέγραπται ἐν τῇ περιόδῳ τοῦ ἁγίου Φιλίππου, ὅτι κηρύσσων τὸν λόγον τῆς ἀληθείας, κατέλαβε διδάσκων καὶ τὴν τῆς Ἀσίας Ἱεράπολιν σὺν τῷ Βαρθολομαίῳ, καὶ τῇ ἀδελφῇ αὐτοῦ Μαριάμνῃ· ἡ δὲ πόλις ἐσέβετο τὴν ἔχιδναν. Καὶ συλλαβόμενοι τοὺς Ἀποστόλους, μετὰ πολλὰς τὰς βασάνους, ἐπεὶ πάντη ἦσαν ἀπαράδεκτοι, μηδὲ ἀκοῦσαι ἀνεχόμενοι τοῦ θείου λόγου, χωρὶς τοῦ πρώτως ὑποδεξαμένου τοὺς Ἀποστόλους, (ἐκεῖνος γὰρ ἐβαπτίσθη, καὶ πᾶσα ἡ οἰκία καὶ συγγένεια αὐτοῦ, καὶ ἡ γυνὴ τοῦ ἀνθυπάτου,) τὸν μὲν Φίλιππον ἐξαγαγόντες, καὶ τρυπήσαντες τοὺς ἀστραγάλους, ἐσταύρωσαν κατὰ κεφαλῆς· τὸν

(1) Ἐξόδ. ΙΒ', 8. — Λευϊτ. ΚΓ', 15—18. — Ἀριθμ. ΚΘ', — Δευτερ. Ις', 8.



δὲ Βαρθολομαῖον ἐπὶ ξύλου ἀνήρτησαν σύνεγγυς αὐτοῦ· τὴν δὲ Μαριάμνην κατέσχον ἐν φυλακῇ. Ἐλθόντος δὲ τοῦ ἁγίου Ἰωάννου ἐκεῖσε, εἶπε Φίλιππος πρὸς αὐτὸν, ὡς ἂν αἰτήσωνται πῦρ ἐξ οὐρανοῦ κατενεχθῆναι καὶ καταναλῶσαι πάντας αὐτούς· ὅπερ ὁ Ἀπόστολος Ἰωάννης διεκώλυσε γενέσθαι. Μετὰ δὲ τὴν αὐτοῦ ὑποχώρησιν, καὶ τριῶν ἡμερῶν παραδρομὴν, προσηύξατο ὁ ἅγιος Φίλιππος, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα, καὶ πάντας τοὺς εἰδωλολάτρας ζῶντας ἐς ᾅδου κατήγαγε· καὶ μετὰ ταῦτα ἐφάνη αὐτῷ ὁ Σωτὴρ, ἀναμιμνήσκων αὐτῷ τῆς ἐντολῆς αὐτοῦ λεγούσης, μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ (1), καὶ τῶν λοιπῶν, εἶτα καὶ προσθείς· Ἐπεὶ παρήκουσας τῆς ἐντολῆς μου, καὶ ἐκάκωσας τοὺς λυποῦντάς σε, σὺ μὲν κοιμηθήσῃ ἐνταῦθα, καὶ ἀπενεχθήσῃ ἐν δόξῃ ὑπὸ τῶν ἁγίων μου ἀγγέλων ἄχρι καὶ τοῦ παραδείσου, οὐκ εἰσελεύσῃ δὲ, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἔξω στήσῃ λυπούμενος καὶ κωλυόμενος ὑπὸ τῆς φλογίνης ῥομφαίας (2), ἀνθ' ὧν ἐλύπησας τοὺς ἀδικοῦντάς σε· εἶτα εἰσελεύσῃ, καὶ ἀπολήψῃ τὸν ἡτοιμασμένον σοι τόπον. Ἀνενεγκὼν δὲ καὶ τοὺς κατενεχθέντας ἐν τῷ ᾅδῃ, ἀνῆλθεν εἰς οὐρανούς. Εἶτα διεστείλατο ὁ Φίλιππος τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ, ὥστε εἰπεῖν Ἰακώβῳ καὶ τοῖς λοιποῖς Ἀποστόλοις νηστεῦσαι καὶ προσεύξασθαι περὶ αὐτοῦ τεσσαράκοντα ἡμέρας. Καὶ οὕτως οἱ Ἀπόστολοι πᾶσι τοῖς πιστοῖς τεσσαράκοντα ἡμερῶν νηστείαν καὶ προσευχὴν διωρίσαντο· καὶ ἐφυλάχθη παρὰ τῶν ἁγίων Πατέρων, καὶ τῶν ζ'. οἰκουμενικῶν συνόδων, καὶ ἐνομοθετήθη, οὐχὶ πέντε, ἢ ὀκτὼ, ἢ δέκα ἡμερῶν νηστεία, ἀλλὰ τεσσαράκοντα. Τῶν Χριστοῦ Γεννῶν δὲ λέγεται, ὅτι ἐν τῷ τέλει τῶν μ'. ἡμερῶν συνέφθασε καὶ ἡ σωτήριος Γέννησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ γίνεται δύο τὰ καλά· πληροῦμεν γὰρ τὴν τῶν Ἀποστόλων παράδοσιν, καὶ προκαθαιρόμεθα εἰς ὑπαντὴν καὶ προσκύνησιν τοῦ ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου ἀῤῥυπάρως καὶ ἀῤῥήτως γεννηθέντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Ἡ δὲ μετὰ τὴν Πεντηκοστὴν νηστεία, αὕτη ἐστὶν ἡ ἐν ταῖς Διατάξεσι τῶν ἁγίων Ἀποστόλων ῥηθεῖσα (3). Φασὶ γὰρ ἐν ταύταις, ὅτι μετὰ τὴν Πεντηκοστὴν ἑορτάσατε ἑβδομάδα μίαν,

(1) Ῥωμ. ΙΒ', 17. α', Θεσσ. Ε', 15. α', Πέτρ. Γ', 9. (2) Γεν. Γ', 24. (3) Βιβλ. Ε'. Κ. τελ.

καὶ μετ᾽ ἐκείνην νηστεύσατε· δίκαιον γὰρ εὐφρανθῆναι ἐπὶ τῇ τοῦ Θεοῦ δωρεᾷ, καὶ μετὰ τὴν ἄνεσιν νηστεῦσαι· καὶ γὰρ καὶ Μωϋσῆς καὶ Ἠλίας ἐνήστευσαν ἡμέρας τεσσαράκοντα, καὶ Δανιὴλ ἑβδομάδας τρεῖς ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ. Ἐνηστεύετο τοιγαροῦν ἡ τοιαύτη νηστεία μέχρι τῆς Κοιμήσεως τῆς Θεοτόκου· ὑπὸ δὲ τῶν ἁγίων Πατέρων δι᾽ οἰκονομίαν ἐξεκόπη, τὸ μὲν, διὰ τὸ παρεμπίπτειν ταῖς ἐθνικαῖς νηστείαις, ἤγουν Ἀρμενίων, Ἰακωβιτῶν, Νεστοριανῶν, ἔτι δὲ πολλάκις καὶ Ἰσμαηλιτῶν· τὸ δὲ, ὡς ἔμοιγε καταφαίνεται, καὶ διὰ τὴν ὀλιγωρίαν καὶ τὸ ῥᾳθυμον τῶν ἀνθρώπων· ἐτυπώθη δὲ, ἄχρι τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων νηστεύειν, εἶθ᾽ οὕτως ἐπιλύειν· εἶτα ἀπ᾽ ἀρχῆς Αὐγούστου νηστεύειν, ἄχρι τῆς Κοιμήσεως τῆς Θεοτόκου, καὶ πάλιν διαλύειν, καὶ τότε ἔχοντας παρακέλευσιν ἐκ τῶν Ἀποστολικῶν Διατάξεων.

---



# ΑΝΑΣΤΑΣΙΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΤΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ,
### ΠΕΡΙ ΤΗΣ ΝΗΣΤΕΙΑΣ ΤΗΣ ΥΠΕΡΕΝΔΟΞΟΥ ΘΕΟΤΟΚΟΥ, ΚΑΙ ΟΤΙ ΧΡΗ ΤΑΥΤΗΝ ΦΥΛΑΤΤΕΙΝ ΩΣ ΕΝΘΕΣΜΟΝ.

ἘΠΕΙ ΠΕΡ ἡ εἰς ἐμέ σου αἴτησις, πνευματικὲ ἀδελφὲ, περὶ τῆς νηστείας τῆς ὑπερενδόξου Θεοτόκου ἦν, ὅπως ἔχῃς ταύτην εἰς εὐλογίαν ἐγγράφως· ἐγὼ δὲ, εἰ καὶ ἀνάξιος, πλὴν ὡς πάντες οἱ ὀρθόδοξοι, οὕτω κἀγὼ ἀχρεῖος δοῦλος ὑπάρχων τῆς Θεομήτορος, καθὼς παρέλαβον, φυλάττειν ἐπείγομαι· καὶ μάλισθ᾽ ὅτι, καὶ ἐν ᾧ παροικοῦμεν τόπῳ, τῆς ἁγίας μου Θεοτόκου μονῆς ναός ἐστι καὶ ὀνομάζεται. Δεῖ οὖν ἀκριβέστερον ταύτην φυλάττειν, οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ πάντας τοὺς Χριστιανοὺς, καθὼς καὶ ἀπὸ τῶν Θείων Γραφῶν ἔχομεν τὰς μαρτυρίας· τὸ γὰρ ἀμάρτυρον, ἀβέβαιον, καὶ τὸ οἰκειοθελὲς, ἐπιβλαβὲς τυγχάνει· τὸ δὲ γραφικὰς καὶ ἐνθέσμους ἔχον τὰς μαρτυρίας, βέβαιον ὁμοῦ καὶ ἐπωφελὲς καθέστηκε. Περὶ δὲ τῆς ἐνθέσμου ταύτης νηστείας εἴρηται εἰς τὸ λεγόμενον Συνοδικὸν βιβλίον. Τρεῖς δὲ καὶ μόνας συνόδους ἔχει τὸ τοιοῦτον βιβλίον, καὶ αἱ μὲν δύο τούτων περὶ πίστεως διαλέγονται, ἡ δὲ ἑτέρα, περὶ γάμων διαφορᾶς, ἐξ οὗ καὶ τῆς ἑνώσεως λέγεται. Ἕτερον δέ ἐστι τὸ τοιοῦτον Συνοδικὸν παρὰ τὸ λεγόμενον Νομοκάνονον· ὡς τοῦ μὲν, πάσας ὁμοῦ τὰς ἁγίας συνόδους, καὶ τοὺς θείους κανόνας, καὶ τοὺς πολιτικοὺς νόμους κατέχοντος, τοῦ δὲ, μόνας τὰς τρεῖς συνόδους, καθὼς προείπομεν. Ἐκεῖ τοιγαροῦν ἐν τῇ τῆς ἑνώσεως συνόδῳ, μετὰ τὸ εἰπεῖν καὶ ἀποφήνασθαι περὶ τοῦ ἐπιτιμίου τῶν τριγάμων, τόν τε ὅρον καὶ χρόνον τῆς τούτων ἀκοινωνησίας ἐπάγει, λέγων, ὅτι τρεῖς μόνους καιροὺς ἀπολαύσονται τῆς τῶν θείων μυστηρίων μεταλήψεως· ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ Ἀναστάσει τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, δεύτερον δὲ, ἐν τοῖς Χριστουγέννοις· καὶ τρίτον ἐν τῇ Κοιμήσει τῆς ὑπερενδόξου Θεοτόκου, διὰ τὸ προηγεῖσθαι, φησὶν, ἐν ταύταις νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Ἰδοὺ ὧδε ὡς ἀναγκαιοτέραν προτιμᾷ ταύτην, παρὰ τῶν ἁγίων Ἀποστό-

λων τὴν νηστείαν. Καὶ πάλιν εἰς λόγον Ἰωάννου μητροπολίτου Νικαίας, γραφέντα στηλιτευτικῶς πρὸς τὸν καθολικὸν τῆς μεγάλης Ἀρμενίας κατὰ τῆς τοῦ Ἀρτζιβουρίου νηστείας, ἀνατρέποντος ταύτην ὡς παράνομον, ἐν οἷς φησιν, ὅτι, Μήτε τῶν ἁγίων Ἀποστόλων γραψάντων τὴν τοιαύτην νηστείαν, μήτε τῆς ἐν Νικαίᾳ συνόδου, μήτε ἄλλου τινὸς τῶν Πατέρων, παρεκτὸς τετράδος καὶ παρασκευῆς, καὶ τῆς μεγάλης Τεσσαρακοστῆς, καὶ τῆς ἑβδομάδος τοῦ πάθους τοῦ Κυρίου, καὶ τῆς τῶν Χριστουγέννων νηστείας, καὶ τῶν ἁγίων Ἀποστόλων, καὶ τῆς ὑπερενδόξου Θεοτόκου, τίς ὁ διδάξας ὑμᾶς νηστείαν νηστεύειν ἐθνῶν; Ὁρᾷς πῶς καὶ ὧδε ῥητῶς καὶ ἠκριβωμένως συναριθμεῖ τὴν τῆς ὑπερενδόξου Θεοτόκου νηστείαν ταῖς λοιπαῖς τῶν ὀρθοδόξων νηστείαις; Ἐγὼ δὲ καὶ ἄλλαις περὶ ταύτης ἐνέτυχον μαρτυρίαις· ἀλλ᾽ ἀρκεῖν ἥγημαι ταύτας, ὡς γέγραπται, ὅτι, Ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων, πᾶν ῥῆμα σταθήσεται(1). Ὅτι δὲ μετὰ τὰς προγραφείσας μαρτυρίας πολλοὶ ταύτην κρατοῦσι καὶ ἐκ παραδόσεως ἁγίων καὶ ἀρχαίων Πατέρων καὶ εὐσεβῶν, δῆλον ἡμῖν ἔκ τε τῶν εἰρημένων, καὶ πάλιν ἑτέρου τινὸς τῶν Πατέρων ἰσχυρῶς ἀνατρέποντος τὰς τῶν ἐναντίων ψευδεῖς καὶ ἐπικινδύνους νηστείας. Ὅμως οὖν λέγομεν καὶ ἡμεῖς ὧδε, ὅτι ἐνταῦθα τὸ ὄνομα τῆς Θεομήτορος ἐν τῇ ταύτης νηστείᾳ ὁμολογούμενον, οὐ συνεσκιασμένως, ἀλλὰ τρανῶς καὶ φανερῶς, τῆς ὑπερενδόξου Θεοτόκου λέγεται· οὐδὲ γὰρ εἰς ὄνομά τινος τῶν παρ᾽ Ἕλλησι μυθευομένων παρ᾽ αὐτῶν καὶ τιμωμένων λέγεται ἡ τοιαύτη νηστεία, οὔτε πάλιν τῶν τινῶν αἱρέσεων, ὥσπερ ἡ τοῦ Ἀρτζιβουρίου, καὶ ἄλλων τοιούτων ψευδῶν. Ἀλλ᾽ οὐδὲ ψιλῶς τῆς ἁγίας Μαρίας λέγεται, καθὼς οἱ τῶν αἱρετικῶν παῖδες φρονοῦσι καὶ λέγουσιν· οὔτε ἄλλως καὶ ἄλλως καθ᾽ οἱονδήποτε ἐπιτήδευμα καὶ συνεσκιασμένως, καθάπερ οἱ τὰ τοιαῦτα ποιοῦσι πρὸς ἀπάτην καὶ ἀπώλειαν τῶν ἁπλουστέρων, ἀλλὰ φανερῶς, ὡς εἴρηται, εἰς ὄνομα τῆς Θεοτόκου λέγεται καὶ τελεῖται ἡ τοιαύτη νηστεία· ὥσπερ οὖν καὶ αἱ λοιπαί, εἰς ὄνομα τοῦ Υἱοῦ καὶ Θεοῦ αὐτῆς ὀνομάζονται· σκοπὸν ἐχούσης τῆς Ἐκκλη-

(1) Δευτερ. ΙΘ´, 15. — Ματθ. ΙΗ´, 16. — β´, Κορ. ΙΓ´, 1.



σίας τοῦ προαγνίζεσθαι τοὺς Χριστιανούς, εἰς τὴν ὑπαντὴν τῶν ἑορτῶν τοῦ Κυρίου καὶ τῆς μητρὸς αὐτοῦ, ἐκ θλίψεως εἰς χαρὰν μεταβαίνοντας, καὶ εὐφροσύνην πνευματικήν· εὐσεβῶς ἀναθεωροῦντας τὰς ἐν ταῖς τοιαύταις ἑορταῖς ἐπὶ σωτηρίᾳ ἡμῶν παρὰ τοῦ Σωτῆρος Χριστοῦ τελούμενα οἰκονομικῶς ἅμα καὶ φιλανθρώπως· ἑορτάσαι γάρ ἐστιν, ὡς τῷ τῆς θεολογίας προὔχοντι, ἡμῖν τε καὶ τῇ ἀληθείᾳ δοκεῖ, τὸ γνῶναι τοῦ μυστηρίου τὴν δύναμιν· οἱ δὲ μὴ οὕτω διακείμενοι, λελήθασιν ἑαυτοὺς Ἰουδαϊκῶς ἑορτάζοντες. Εἰ δέ τις ζητοίη, ποῦ καὶ πότε καὶ παρὰ τίνος ἡ τῆς ἑνώσεως γέγονε σύνοδος, ἀκουέτω παρ᾽ ἡμῶν, ὅτι οὐκ ἐν γωνίᾳ, φημί, οὔτε εἰς τὴν τυχοῦσαν πόλιν καὶ παρὰ τοῦ τυχόντος, ἀλλ᾽ ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, τῇ Κωνσταντίνου, φημί, καὶ παρὰ εὐσεβοῦς πατριάρχου, καὶ ἐπισκόπων, καὶ τοῦ λοιποῦ πληρώματος τῆς Ἐκκλησίας, καὶ παρὰ εὐσεβῶν καὶ ὀρθοδόξων βασιλέων, Ῥωμανοῦ τε τοῦ γέροντος, καὶ Κωνσταντίνου, καὶ τῶν λοιπῶν εὐσεβῶν σοφῶν τε καὶ γνωστικῶν ἀνδρῶν. Οὗτοι γὰρ ἅπαντες ἐν ἁγίῳ Πνεύματι συναχθέντες, τὴν Ἐκκλησίαν ἐσχισμένην οὖσαν ἐξ αἰτίας τῶν διαφόρων γάμων, τῇ τοῦ Θεοῦ χάριτι ἥνωσαν· ἐξ οὗπερ καὶ τὴν τῆς ἑνώσεως προσωνυμίαν εἴληφε προσηκόντως. Ἡ τοιαύτη τοίνυν ἁγία σύνοδος, μετὰ τὸ τέλος πάσης διατάξεως, ἐπικυροῦσα ὥσπερ καὶ σφραγίζουσα τὰ διὰ τῶν πρώην συνόδων διαταχθέντα, ἐπάγει λέγουσα· Κανὼν πρῶτος. Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων Πατέρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. Κανὼν τέταρτος. Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων Πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι, καὶ ὅλην τὴν Χριστιανικὴν πολιτείαν κοσμοῦσι, καὶ πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα. Ἀλλ᾽ οὕτω μὲν αἱ γραφικαὶ μαρτυρίαι συνιστῶσιν, ἔνθεσμον εἶναι τὴν τῆς παναχράντου Θεοτόκου νηστείαν. Εἰσὶ δέ μοι καὶ κατὰ παράδοσιν διὰ ζώσης φωνῆς, οὐχ ἧττον τούτων κατὰ πολύ. Ὁ γὰρ πατριάρχης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ὁ ἐν μακαρίᾳ τῇ λήξει κῦρις Πέτρος, αὐτὸς ταῦτα

ἐφύλαττε, καὶ τοῖς λοιποῖς παρεδίδου· ὁμοίως καὶ ὁ κῦρις Θεοδόσιος· πρὸς δὲ καὶ ὁ νυνὶ πατριάρχης κῦρις Ἰωάννης ὁ ἁγιώτατος, πᾶσι παρέδωκε ταύτην, ἐγγράφως ἔχων τὰς μαρτυρίας. Καὶ οὗτοι δὲ πάντες τὸν τοῦ Κορυφαίου θρόνον ἐπέχοντες, οὐκ ἀφ᾽ ἑαυτῶν ὁρμώμενοι ταύτην ἐφύλαττον, ἀλλὰ τοῖς πρὸ αὐτῶν πᾶσιν ἑπόμενοι· οἷς καὶ ἡμεῖς οἱ εὐτελεῖς ἐπακολουθοῦντες, ἀπαρχὴν Αὐγούστου φυλάττομεν, ἤγουν μετὰ τὸ τελέσαι τὴν τῶν ἁγίων Μακκαβαίων ἑορτήν. Εἰ δὲ καὶ συμβαίη νήστιμος ἡ ἡμέρα, τετρὰς ἢ παρασκευή, προλαμβάνοντες εἰς τὴν τρίτην καὶ εἰς τὴν πέμπτην, ἢ εἰς τὴν προλαβοῦσαν Κυριακὴν ἀποτυρούσθωσαν, καὶ τοῦ λοιποῦ τὴν νηστείαν κρατείτωσαν, καὶ μὴ ἡ τῶν Μακκαβαίων νηστείας οὔσης ἡμέρα, πρόφασις γένοιτο ἡ ἑορτὴ αὐτῶν, ἐν τῷ καταλύειν τὴν νηστείαν. Καὶ μακάριοι καὶ εὐλογημένοι, οἱ τῆς εὐλογημένης Θεοτόκου τὴν τεσσαρακοστὴν φυλάττοντες ἐν τῇ Κοιμήσει αὐτῆς. Τῷ δὲ Θεῷ ἡμῶν, δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

### ΑΛΛΩΣ, ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΝΗΣΤΕΙΑΣ.

Ἡ πρὸ τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου νηστεία, παραδεδομένη ἐστὶν ἐξ ἁγίων Πατέρων, καὶ θείων πατριαρχῶν, καὶ ἐντίμως ταύτην φυλάττουσι πᾶσαι αἱ πόλεις καὶ χῶραι τῶν ὀρθοδόξων, ἐξαιρέτως ἡ μεγαλόπολις καὶ εὐδαίμων Κωνσταντινούπολις, καὶ ἡ Μεγάλη Ἐκκλησία. Πλὴν καὶ ὕστερον, ἐπὶ τῶν ἡμερῶν τοῦ φιλοσόφου κυροῦ Λέοντος καὶ βασιλέως, τῆς ἑορτῆς τῆς Μεταμορφώσεως ἐφευρεθείσης, κατὰ ταύτας δὴ τὰς ἡμέρας τῆς νηστείας, φημί, παρ᾽ ἐκείνου τυπωθείσης ἑορτάζεσθαι, ἐδράξαντο τῶν φιληδόνων τινὲς ἀφορμῆς, ὡς δῆθεν τιμῶντες τὴν τοῦ Σωτῆρος ἑορτήν, ἤσθιον τῇ αὐτῇ ἡμέρᾳ τὸ κρέας· ὃ καὶ ὁ σοφώτατος καταλύσας ἐνθέσμως, ὅλη ἡ νηστεία τῶν δεκαπέντε ἡμερῶν φυλάττεται παρὰ πᾶσι, καὶ καθαρῶς νηστεύεται· αἳ καὶ παρὰ τῆς τοῦ κόσμου σκέπης καὶ ὑπεραγίας Θεοτόκου μᾶλλον καὶ πλέον φυλάττονται.



# ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΩΝΟΣ

## ΕΚ ΤΟΥ ΠΑΝΔΕΚΤΟΥ ΟΜΙΛ. ΝΖ'.

ΟΥΚ ὀλίγους δὲ περὶ τῆς νηστείας τῆς Θεοτόκου ἐπηρωτήσαμεν, καὶ οὐκ οἶδα, ὅπως ἀσυμφώνους εὕρομεν τούτων τὰς ἀποκρίσεις. Καὶ οἱ μὲν λέγουσιν, ὅτι ἔνθεσμός ἐστι καὶ κανονικὴ νηστεία, καὶ ἐν ἀκριβείᾳ φυλάττεται παρ᾽ αὐτῶν· ἕτεροι δὲ ὁμολογοῦσι μὲν αὐτὴν εἶναι, λέγουσι δὲ μὴ φυλάττειν αὐτὴν ὡς ἔκθεσμον οὖσαν· ἄλλοι δὲ οὐδὲ ὅλως αὐτὴν παραδέχονται, ἀλλὰ καὶ μᾶλλον κατηγοροῦσι τῶν φυλασσόντων ταύτην. Καὶ οἱ μὲν δεχόμενοι καὶ φυλάσσοντες ταύτην ἔχουσιν, ὡς προείρηται, ἐκ τῶν θείων Γραφῶν μαρτυρίας, ἀκριβέστερον δὲ εἰς τὰς λοιπὰς νενομισμένας νηστείας εὑρίσκονται διακείμενοι, καὶ μετ᾽ εὐνοίας φυλάττοντες ταύτας· οἱ δὲ μὴ δεχόμενοι ταύτην, καὶ μάλιστα ταύτης κατηγοροῦσιν, οὔτε μαρτυρίαν τινὰ γραφικὴν εἰσδεχόμενοι, οὔτε πάλιν εἰσφέροντες, ἀλλ᾽ ἁπλῶς πάλιν ταύτην ἀναπολογήτως ἀποστρέφονται. Ἕτεροι δὲ πάλιν, οἵτινες καὶ ὁμολογοῦσιν αὐτήν, οὐ φυλάττουσι δὲ ὅλως, οὐκ ἔχουσί τινα μαρτυρίαν γραφικὴν οὐδὲ οὗτοι, ἀλλ᾽ ἢ τοῦτο μόνον ἀγράφως ἡμῖν κατὰ συμβουλὴν παραινοῦσι· φασὶ γάρ, ὅτι πολλὰς νηστείας, οὐκ ἐκ παραδόσεως θείων κανόνων, ἀλλ᾽ ἐκ συνηθείας τινῶν καὶ ἐκ διαδοχῆς εἴς τινας χώρας φυλάττεσθαι εὑρίσκομεν· οὐ κακῷ δὲ λογισμῷ, ἀλλὰ πίστει καὶ ἀγάπῃ τινῶν μεγάλων ἁγίων προαγνιζομένων τῶν νηστευόντων, ἵνα καθαρῶς ταῖς ἑαυτῶν ἑορταῖς ὑπαντήσωσι. Τὰ δὲ τοιαῦτα οὐκ ἐπιτρέπονται ἐπὶ πάντων παραδίδοσθαι εἰς τὸ κοινόν, ἀλλ᾽ ὁ καθεῖς, ὡς προαιρεῖται καὶ βούλεται· μόνον μὴ κεκωλυμένον ἔστω παρὰ τῶν θείων Πατέρων· οἷον ἡ νηστεία τοῦ Ἀρτζιβουρίου, ἢ τοῦ Δωδεκαημέρου, ἢ τῆς τετράδος καὶ παρασκευῆς τῆς Τυροφάγου, καὶ ἄλλαι τῶν αἱρετικῶν διάφοροι νηστεῖαι· ἐν ταῖς τοιαύταις γὰρ νηστείαις, οὐχ ἁπλῶς οἱ αἱρετικοὶ νηστεύουσιν, ἀλλ᾽ αἱρετικῷ δόγματι, καὶ ἔξω τῆς καθολικῆς Ἐκκλησίας συμμιγνύντες παράδοσιν· καὶ οὐκ ἔξεστιν ἡμῖν τὰ ἐκείνων ἐν τοῖς τοιούτοις. Περὶ τῆς νηστείας τῆς Θεοτόκου, τοιοῦτον οἶδα-

μεν τρόπον. Η ἑορτὴ δὲ τῆς Μεταμορφώσεως, καὶ τῆς Ὑπαπαντῆς, οὐκ ἐξ ἀρχῆς παρεδόθησαν παρὰ τῶν ἁγίων Ἀποστόλων, ἐν ὑστέροις δὲ καιροῖς παρὰ τῶν θείων Πατέρων, καὶ διὰ τὸ ἑστάναι τὴν ἑορτὴν τῆς Μεταμορφώσεως εἰς τὰς ς'. τοῦ Αὐγούστου μηνός. Ἑορτάζομεν δὲ ταύτην εἰς τὸ κοινὸν ἐπὶ μέσου ἡμέρας ὀκτώ· τούτου χάριν καταλύομεν ἐπὶ μέσου εἰς τὸ κοινὸν τὴν τοιαύτην νηστείαν. Καὶ ὅτι, καθὼς καὶ προείρηται περὶ τῶν ἑτέρων νηστειῶν τῶν μεγάλων ἁγίων, φυλάττειν καὶ ταύτην τὸν καθ' ἕνα, ὡς βούλεται, ἔξεστιν· εἰς τὸ κοινὸν δὲ ἀνάρμοστόν ἐστι παραδίδοσθαι. Καὶ ταῦτα μὲν οἱ νυνὶ Πατέρες ἡμῖν συμβουλεύουσι. Λέγουσι δὲ καὶ τοῦτο, ὅτι εὑρίσκομεν εἰς τὸ Τυπικὸν τῶν μεγάλων μοναστηρίων τὴν ἑορτὴν τῆς Μεταμορφώσεως ὀκτὼ ἡμέρας ἑορτάζειν, καὶ αὖθις ἑστάναι τὴν τῆς Θεοτόκου ἑορτήν, καὶ οὐ χωρεῖται καθολικῶς ἐπὶ μέσου νηστεία εἰς τὸ κοινόν. Τοῦτο δὲ ἕτερον λογισμὸν ἡμῖν ἐντίθησι πάλιν. Καὶ γὰρ τῶν Ἱεροσολύμων μὲν τὸ Τυπικόν, ἡμέρας ὀκτὼ ἑορτάζει· τῶν δὲ Στουδίων, τέσσαρας· τῆς δὲ μεγάλης Ἐκκλησίας Ἀντιοχείας, ἤτοι τοῦ πατριάρχου ὁ Τύπος, μίαν ἡμέραν ἑορτάζει. Κατὰ ταῦτα δὲ καὶ πολλοὶ ταύτην νηστεύουσι τὴν νηστείαν, καὶ εὐγνωμόνως φυλάττουσι, καὶ μάλιστα τῶν γνωστικωτάτων οἱ προὔχοντες τῆς αὐτῆς μεγαλοπόλεως. Καθὼς γὰρ καὶ προείπομεν, ἐκ τοῦ Συνοδικοῦ, ὅπερ καὶ ἐπὶ ἄμβωνος ἐν τῷ πατριαρχείῳ ἀναγινώσκεται, τὴν μαρτυρίαν λαμβάνοντες, οἱ μὲν ἀπ' ἀρχῆς τοῦ Αὐγούστου μηνὸς τὴν νηστείαν ταύτην κρατοῦσι, καὶ εἰς τὴν ἑορτὴν τῆς Μεταμορφώσεως καταλύουσι, τιμῶντες τὴν μίαν ἡμέραν, καὶ πάλιν τὴν νηστείαν κρατοῦσιν ἕως αὐτῆς τῆς ἑορτῆς τῆς πανάγνου καὶ παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου· ἕτεροι δὲ μετὰ τὸ ἑορτάσαι τὴν ἑορτὴν τῆς Μεταμορφώσεως, ταύτην κρατοῦσι· καὶ ἁπλῶς ὁ καθ' ἕνα ὡς προείρηται ταύτην νηστεύει. Καὶ ταῦτα μὲν περὶ τῶν δεχομένων ταύτην τὴν νηστείαν, καὶ μᾶλλον εἰπεῖν, διαφωνούντων κατ' ἔτος, εἴρηται.



## ΤΟΥ ΑΥΤΟΥ.

Καὶ ταῦτα μὲν περὶ τῆς νηστείας τῆς ὑπεραγίας Θεοτόκου εἴρηται. Ὁρῶμεν δὲ καὶ ἑτέραν νηστείαν γινομένην, καὶ περὶ ταύτης οὐκ ἠδυνήθημεν τιποτοῦν ἐγγράφως εὑρεῖν· πλὴν πάντη καὶ πανταχοῦ ταύτην νηστεύουσι· λέγω δὴ τὴν ὕψωσιν τοῦ τιμίου Σταυροῦ. Καὶ καθὼς ἄνωθεν προείρηται περὶ τῶν μεγάλων ἁγίων, [καὶ] τῶν ἐκ πίστεως εἰς τὰς ἑορτὰς αὐτῶν προαγνιζομένων, οὕτω καὶ περὶ ταύτης τῆς ἑορτῆς φασιν, ὅτι τινὲς μὲν ἐκ πίστεως προαγνίζονται διὰ τὸν ἀσπασμὸν τοῦ τιμίου Σταυροῦ· καὶ πάλιν αὐτὴν τὴν ἡμέραν διὰ τὸν ἀσπασμόν, καὶ ὅτι καὶ σταυρώσιμα πάντα ψάλλονται καὶ ἀναγινώσκονται ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὅ,τε Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον, καὶ ἁπλῶς ὅλη ἡ τάξις σταυρώσιμος γίνεται· καὶ ὅτι μία ἡμέρα ἐν ταῖς καθολικαῖς Ἐκκλησίαις τελεῖται, καὶ εὔλογός ἐστιν ἡ νηστεία.

Περὶ δὲ τῆς νηστείας τῆς δευτέρας ἡμέρας τῆς ἑβδομάδος, εἴς τε τὸ Νομοκάνονον τοῦ Νηστευτοῦ, καὶ εἰς τὸν Τύπον τῶν Ἱεροσολύμων ταύτην διαγορεύει. Ὁμοίως, καθὼς καὶ ὄπισθεν ὁ λόγος ἀπέδειξε, τὴν τῆς ὑπερενδόξου Κοιμήσεως τῆς Θεοτόκου νηστείαν, εἰς τὸ Συνοδικὸν ἐν τῷ ἐπιτιμίῳ τῶν τριγάμων ἀναφέρει ταύτην. Αὗται δὲ αἱ καθολικαὶ νηστεῖαι τῶν Χριστιανῶν, ἐκ τῶν θείων Γραφῶν, δευτέρα, καὶ τετρὰς, καὶ παρασκευὴ ὅλου τοῦ ἐνιαυτοῦ, παρεκτὸς εὐλόγου αἰτίας, καὶ ἡ μεγάλη Τεσσαρακοστή, καὶ ἡ ἑβδομὰς τοῦ πάθους τοῦ Κυρίου, καὶ ἡ τῶν Χριστουγέννων τεσσαρακοστή, καὶ τῶν ἁγίων Ἀποστόλων, καὶ ἡ τῆς ὑπερενδόξου Θεοτόκου. Τοῦ δὲ τιμίου Σταυροῦ, οὐκ ἀπὸ τῶν Γραφῶν, ἀλλ' ἐκ κοινῆς παραδόσεως παρελάβομεν, καθὼς προεγράφη. Καὶ αὕτη μὲν ἡ ἀκρίβεια περὶ τῶν νηστειῶν.

# ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΖΩΝΑΡΑ,

## ΕΚ ΠΡΟΣΩΠΟΥ ΤΩΝ ΑΡΧΙΕΡΕΩΝ,

### ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΔΥΟ ΔΙΣΕΞΑΔΕΛΦΟΥΣ, ΤΗΝ ΑΥΤΗΝ ΑΓΑΓΕΣΘΑΙ ΠΟΣ ΓΑΜΟΝ.

Τοις προστασίαν ἐγχειρισθεῖσι λαοῦ, διὰ τοῦ Προφήτου φησὶν ὁ Θεός· Ἐὰν μὴ διαστείλῃς, μηδὲ λαλήσῃς, ἀποθανεῖται ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητηθήσεται(1). Τί γοῦν ἐκ τοῦ θείου τούτου θεσμοῦ νοεῖν ἔπεισι τοῖς ἐπιοῦσιν αὐτὸν, ἢ τοῖς λαοῦ προεστῶσιν; Ἀνάγκην αὐτὸν ἐπάγειν ἐγρηγορέναι, καὶ τὰ τῷ καθέκαστον πεπραγμένα περισκοπεῖν, καὶ τὸν τοῦ Θεοῦ νόμον ἀναγγέλλειν αὐτοῖς· καὶ εἰ μὴ πορεύοιντο κατ' αὐτὸν, καὶ διαστέλλειν, καὶ λέγειν, καὶ κωλύειν τὰ ἄθεσμα. Εἰ δ' ἀφ' ἑαυτῶν κινουμένους τοὺς προεστῶτας πιστῶν, καὶ ταῦτα δρᾷν ἀπαραίτητον, τί ἂν τις εἴποι, ὅπως χρὴ τούτους ἐρωτωμένους περί τινων πράξεων διατίθεσθαι; Πάντως ἐκθύμως ἄγαν ἀνακόπτειν τε καὶ ἀπείργειν διὰ τῶν ἐρωτώντων, τὴν τῶν ἀθέσμων πράξεων ἐπιχείρησιν ξύμπασι. Κἂν τῷ νῦν δ' ἐρωτωμένῳ ζητήματι τοῦτο γενέσθαι χρεών· καὶ μηδὲν ὑποστειλαμένους, ἀποκριθῆναι τὸ παριστάμενον.

Τὸ δὲ ζήτημα, βραχὺ μὲν καὶ ὀλιγοσύλλαβον, λόγους δ' εἰσάγον μακροὺς, ἐπαγομένους ἐξ ἀντιθέσεων. Ἤρετό τις, εἰ δύναιντο τὴν αὐτὴν εἰς γυναῖκα δύο λαβεῖν ἐξάδελφοι δεύτεροι. Οἱ μὲν οὖν τὸν γάμον τυγχάνειν ἀκώλυτον δογματίζουσιν· οἱ δ' οὔ φασιν αὐτὸν ἐπιτρέπεσθαι, ἀλλὰ καὶ παρ' ἀμφοῖν τῶν νόμων κωλύεσθαι, τοῦ τε τῆς πολιτείας, καὶ τοῦ τῆς χάριτος. Ἐξεταστέον δ' ἑκατέραν ἀντίθεσιν. Οἱ μέν φασι, τοὺς νομοθέτας περὶ κεκωλυμένων γάμων θεσπίζοντας, καὶ ἀπαριθμουμένους ἅπερ ἀλλήλοις ἀπὸ τῶν ἐκ πλαγίου πρόσωπα συνάπτεσθαι ἀπειρήκασι, μέχρις ἕκτου βαθμοῦ στῆσαι τὴν ἀπαρίθμησιν· τούτους δ' εἶναι δισεξαδέλφους· περαιτέρω δὲ μὴ προβῆναι, μηδ' ἀπεῖρξαι τοὺς πρόσω τῆς συνοικήσεως. Ἐπεὶ δ' ἐπὶ τοῦ παρόντος ζητήματος οὐκ ἀλλήλοις οἱ δισεξάδελφοι πρὸς γάμον συνάπτονται, πρόσωπον δ' ἕτερόν ἐστι τὸ τούτων ἑνὶ συναφθὲν, κἀκείνου παρελθόντος, τῷ περιλειφθέντι τῶν δισεξαδέλφων συναφθησόμενον, τὸν γάμον ἀκώλυτον ἥγηνται· μὴ γὰρ ἐθέλειν εἶναι τοῦ κανόνος εὐθύτεροι λέγουσιν, ἀλλ' ἃ μὲν ὁ νόμος ἐκώλυσε, ταῦτα κεκωλῦσθαι καὶ πρὸς αὐτῶν· ἃ δ' ἐκεῖνος τοῖς κεκωλυμένοις οὐ συνηρίθμησεν, ἐπιτετράφθαι καὶ παρὰ σφῶν. Αὕτη μὲν οὖν ἡ τῆς μιᾶς μοίρας ἀπόκρισις πρὸς τὸ ἐρωτώμενον· καὶ οὕτω τούτοις τὸ ζήτημα λύεται.

Οἱ δὲ τῆς θατέρας μερίδος, κεκωλυμένον εἶναι τὸν γάμον καὶ ἄθεσμον καὶ δοξάζοντες καὶ ἀποφαινόμενοι, τὸν οἰκεῖον λόγον ἐντεῦθεν συνιστῶσι· καὶ λέγουσιν, ὡς οἱ νομοθέται, περὶ γάμων ἀθέσμων καὶ κεκωλυμένων θεσπίζοντες, ἐπὶ μὲν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον κεκωλῦσθαι τὸν γάμον ὁρίζουσιν· ἐπὶ δέ γε τῶν ἐκ πλαγίου, πρόσωπά τινα ἀπαριθμησάμενοι, καὶ ταῦτα θέντες ὡσανεὶ παραδείγματα τῶν κεκωλυμένων γάμων, ἐπεὶ μὴ οἷόν τε κεκωλυμένον βαθμὸν ἕκαστον τῶν ἐκ πλαγίου περιλαβεῖν, ἐπήγαγον γενικῶς· Ἐν τοῖς γάμοις, οὐ τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ σεμνὸν καὶ φύσει δίκαιον ζητοῦμεν(1). Οὐ γὰρ ὡς μέχρις ἐκείνων ἱστάντες τὴν κώλυσιν, τῶν δισεξαδέλφων ἐμνήσθησαν, ἀλλ' ὥσπερ ὑπόδειγμα τὸν λόγον τιθέμενοι, ἐφεξῆς ἐπήγαγον τὸ καθολικώτερον. Καὶ οὐκ ἐπὶ τῶν ἐκ πλαγίου μόνον τοῦτο ποιοῦντες εὑρίσκονται, ἀλλὰ καὶ ἐπὶ γονῆς φυσικῆς. Εἰπόντες γὰρ περὶ θετῶν πρότερον, ἐπήγαγον καὶ ταυτί· Καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα(2). Εἶτα πρὸς τὸ καθόλου νόμιμον ἀπεῖδον, καὶ τὴν γενικὴν ἐπήνεγκαν κώλυσιν, διὰ τοῦ εἰπεῖν· Τὸ φύσει γὰρ δίκαιον, καὶ τὸ εὐπρεπὲς, ἐν τοῖς γάμοις σκοπεῖται (3). Οὐ γὰρ ἄν τις εἴποι, ὡς, ἐπεὶ θυγατρὸς ἐμνήσθησαν μόνης πορνογενοῦς,

(1) Ἰεζ. Γ', 19.

(1) ς', Βασιλικ. ΚΗ', 5. — (2) 6', Βασιλικ. ΚΗ', 5. — (3) αὐτ.

τὰς ἐγγόνας καὶ τὰς ἐφεξῆς ὑπεξεῖλον, καὶ τὴν πρὸς ἐκείνας συνάφειαν οὐκ ἐκώλυσαν. Καὶ κανὼν δὲ τῶν ἁγίων Ἀποστόλων φησίν (1)· Ὁ δύο ἀδελφὰς ἀγόμενος, ἢ ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός· ἆρ᾽ οὖν ὁ ἐξαδέλφην ἀγόμενος, ἢ ἐξαδέλφης ἀνεψιὰν, ἔσται κληρικός; Οὐκ ἄν τις τοῦτο ἐρεῖ. Ὁρᾷς ὁ ἀντίθετος, ὡς οὐ μέχρις ὧν ὁ κανὼν ἐμνήσθη, ἔστη τὰ τῆς κωλύσεως, ἀλλὰ καὶ περαιτέρω διὰ τὸ εὐπρεπὲς καὶ τὸ φύσει δίκαιον πρόεισιν; Εὑρήσομεν δὲ καί τινα μὴ ὑπὸ βαθμὸν ὅλως τινὰ ἀναγόμενα, καὶ ὅμως κεκωλυμένα, διὰ τὸ σεμνόν τε καὶ εὔσχημον· τὴν γὰρ μητρυιὰν λαβεῖν τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς, ὁ νόμος ἐκώλυσε, καί τοι βαθμὸν ἐνταῦθα ψηφίσαι οὐ δυνησόμεθα. Εἰ γοῦν εὐπρεπὲς ἢ σεμνὸν, καὶ τὸ τὴν αὐτὴν δισεξαδέλφοις δυσὶ συνευνασθῆναι, ἐπιτετράφθω καὶ ὁ γάμος αὐτοῖς. Εἰ δ᾽ οὗτοι γνήσιοι συγγενεῖς, καὶ δῆλον ἐκ τοῦ κεκωλῦσθαι τοὺς δισεξαδέλφους ἀλλήλοις συμμίγνυσθαι, πῶς ἄν τις εἴποι, τοὺς οὕτω γνησίους κατὰ συγγένειαν, μιᾷ γυναικὶ συνευνάζεσθαι;

Πῶς δ᾽ ἂν ὁ κατὰ δεύτερον ταύτην γάμον λαβὼν καλέσῃ αὐτήν; Νύμφην, ὡς ἐξαδέλφου γυναῖκα, καθὼς καὶ πρώην ταύτην ὠνόμαζεν, ἢ γαμετὴν ὡς αὐτῇ συμφθειρόμενος; Ποῦ δ᾽ ἂν θείημεν τὸν τοῦ μεγάλου Βασιλείου κανόνα, τὸν λέγοντα; Ἐν οἷς τὰ τῆς συγγενείας ὀνόματα συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος (2). Ἐπιχειρήσομεν δὲ, φασὶ, καὶ βιαιότερον ἄλλοθεν ἢ ἀληθέστερον μάλιστα. Εἰ γὰρ κατὰ τὸν θεῖον χρησμὸν φάσκοντα περὶ τῶν κατὰ γάμου κοινωνίαν συναπτομένων, Ἔσονται οἱ δύο εἰς σάρκα μίαν (3), μία σὰρξ οἱ συναπτόμενοι πιστεύονται γίνεσθαι, ὁ τῇ τοῦ οἰκείου ἐξαδέλφου γυναικὶ συμμιγνύμενος, εἰς οἰκεῖον τοῦ γένους εἰσιέναι δοκεῖ· καὶ προσρήγνυται μὲν καὶ τῷ θείῳ θεσμῷ τῷ θεσπίζοντι· Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ (4)· ἀθετεῖ δὲ καὶ τὸν νόμον, ᾧ οἱ τῆς θατέρας μοίρας, τῆς οἰκείας γνώμης εἰς σύστασιν ἀποκέχρηνται, τῷ μέχρι δισεξαδέλφων εἶναι λεγομένῳ τὴν κώλυσιν. Εἰ γὰρ ὁ πρότερος τῆς γυναικὸς ἀνὴρ τοῦ νῦν ξυνευνέτου

(1) Καν. ΙΘ'. — (2) Ἐπιστ. 197. — (3) Γεν. Β', 24. Ματθ. ΙΘ', 5. — (4) Λευϊτ. ΙΗ', 6.



ταύτης ἦν δισεξάδελφος, ἡ δὲ γυνὴ σὰρξ μία τῷ ἀπελθόντι ἐγένετο, δῆλον πάντως ἐστὶ τὸ συμπέρασμα καὶ ἀναμφήριστον, ὡς εἰς οἰκεῖον σαρκὸς αὐτοῦ εἴσεισιν ὁ τῇ γυναικὶ τοῦ δισεξαδέλφου συνευναζόμενος. Εἰ γοῦν τοῖς Ἰσραηλίταις νενομοθέτηται τὸ, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, τοῖς σκληροῖς καὶ τὴν καρδίαν ἀπεριτμήτοις, οἷς ὁ παλαιὸς νόμος εἰς πολλὰ συγκαταβαίνων ἐστὶ διὰ τὴν ἐκείνων παχύτητα, πῶς οὐ πλέον ἡμῖν ἐκείνων ἐρεῖ τις ἐπιτετάχθαι; Κἀκείνοις μὲν ἀκωλύτως πρὸς πάντα οἰκεῖον σαρκὸς εἰσιέναι ἀπείρητο· ἡμῖν δ᾽ ἐπιτετράφθαι τίς οἰήσεται τὴν τοῦ δισεξαδέλφου γυναῖκα λαβεῖν, καὶ νύμφην κεκλημένην ἡμῶν, καὶ εἰς σάρκα μίαν ἐκείνῳ γενομένην διὰ τῆς ἀνακράσεως; Εἰ γὰρ κατὰ τὸν νόμον τῇ τοῦ γαμβροῦ καὶ τῆς νύμφης προσηγορίᾳ καὶ οἱ μνηστῆρες δηλοῦνται, πολλῷ γε μᾶλλον οἷς καὶ εἰς γάμον προβέβηκε τὸ συνάλλαγμα.

Εἶτα οὐκ ἄτοπον, φύντος μὲν μνηστὴν ἢ ὁμαίμονος, μὴ ἐξεῖναι κατὰ γάμον λαμβάνειν ἡμᾶς, ὅτι ἡ μὲν μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει· τὴν δὲ κυρίως κληθεῖσαν νύμφην, ὡς συνευνασθεῖσαν δισεξαδέλφῳ, ἄγεσθαι πρὸς γάμον τὸν δισεξάδελφον; Καὶ τὸν μὲν θετὸν υἱὸν, ἐκ φύσεως μὴ σχόντα πρὸς τὸν θετὸν πατέρα οἰκείωσιν, καταχρηστικῶς δὲ μόνον ἐκ νομικῆς αὐθεντίας κληρωσάμενον τὴν υἱότητα, καὶ διὰ τῆς αὐτεξουσιότητος ἀλλοτριούμενον τούτου, ὡς μηδὲν ἔτι θετὸν εἶναι αὐτῷ πρὸς τὴν ἐκείνου συγγένειαν, (ἡ γὰρ προσγενομένη διὰ θέσιν συγγένεια ἀπόλλυται κατὰ τὸν νόμον τῆς αὐτεξουσιότητος,) κεκωλῦσθαι τὴν τοῦ πατρὸς γαμετὴν λαμβάνειν, διὰ τὸ εὔσχημον· καὶ τοὐναντίον, τὸν θετὸν πατέρα, τὴν τοῦ τοιούτου υἱοῦ γαμετὴν ἀπείργεσθαι ἄγεσθαι, μὴ προσαπτόμενον τοῦ γένους τοῦ θετοῦ υἱοῦ μετὰ τὴν ἐκ τῆς οἰκείας χειρὸς ἐκείνου ἀπόλυσιν· τὴν δὲ διὰ τοῦ δισεξαδέλφου συνημμένην τῷ ἡμετέρῳ γένει, ὡς καὶ εἰς τὴν κληρονομίαν καλεῖσθαι τοῦ οἰκείου ἀνδρὸς, τῶν ἄλλων ἐπιλειπόντων, ἀδεῶς ἡμῖν συνοικεῖν ἐξεῖναι, καὶ νόμιμον τὸν γάμον λογίζεσθαι;

Ταῦτα μὲν οὖν πρὸς τὴν τῶν ἐπιτρεπόντων τὸν γάμον πρότασιν εἴρηται, λεγόντων μέχρις ἕκτου βαθμοῦ τὸν νόμον τὴν κώλυσιν ἐπὶ τῶν γάμων ἐπενεγκεῖν. Ἐπεὶ δὲ καὶ περαιτέρω τὴν συγγένειαν ὁ νόμος οἶδε προβαίνειν ἐπὶ τῶν ἐκ πλαγίου, ὡς

καὶ πρὸς κληρονομίας τινὰς καλεῖσθαι καὶ τῶν τοῦ ἑβδόμου βαθμοῦ, κατὰ τὸν νόμον τὸν λέγοντα, Ἡ συγγενικὴ βοήθεια ἓξ βαθμοὺς συγγενείας περιλαμβάνει, καὶ ἀπὸ τοῦ ἑβδόμου, πρόσωπα δύο, τὸ τικτόμενον ἀπὸ δισεξαδέλφου καὶ δισεξαδέλφης(1)· καὶ καθ' ἕτερον νόμον διεξιόντα ταυτί· Ἐν τῇ φυσικῇ συγγενείᾳ, τὸν ἕβδομον βαθμὸν οὐ παρεξερχόμεθα, καὶ τὰ ἑξῆς(2)· εὐλόγως ἄν τις εἴποι, καὶ τοὺς ἑβδόμου πρὸς ἀλλήλους ὄντας βαθμοῦ, κεκωλύσθαι πρὸς γάμου κοινωνίαν ἀλλήλοις συνάπτεσθαι· καὶ τοὺς πρὸ τοῦ γενέσθαι τὸν τοιοῦτον γάμον δεῖν εἴργεσθαι διαγνόντας ἀρχιερεῖς, μετὰ δὲ τὸ γενέσθαι, μὴ διασπᾶσθαι, ἀλλ' ὑπὸ ἐπιτίμησιν γίνεσθαι, οὐκ ἀκριβείας ἐχομένους εἴποι τις ἄν, διαγνῶναι τοῦτο, μᾶλλον μὲν οὖν γε συγκαταβάσεως.

Ἀπρεπὲς γὰρ πάντως καὶ οὐ σεμνὸν, οὐδὲ φύσει δίκαιον, τὴν εἰς νόμιμον ἐκ συγγενείας καλουμένην κληρονομίαν, ταύτην τῷ κληρονόμῳ συμφθείρεσθαι, κἀκ ταύτης τίκτεσθαι παῖδας, ἀμφίβολον τὴν κλῆσιν καὶ οὐκ ἀναμφίλεκτον ἔχοντας. Τί γὰρ ἂν, ὁ τῇ τοῦ οἰκείου δισεξαδέλφου παιδὶ συζευχθεὶς, τὸν ἐξ ἐκείνης αὐτῷ τεχθέντα καλέσειεν; Υἱὸν, ἢ ἀνεψιόν; Εἰ μὲν γὰρ ὡς ἐξ ὀσφύος αὐτοῦ τεχθέντα τοῦτον καλεῖ, υἱὸν ὀνομάσειεν· εἰ δὲ ὡς ἐκ θυγατρὸς ἐξαδέλφου, καλέσειεν ἐξανεψιόν· εἰ δὲ κἀκ τοῦ προτέρου γάμου παῖδές εἰσι τῇ γυναικὶ, γένωνται δὲ κἀκ τοῦ δευτέρου καὶ ἕτεροι, τίνι ἂν κληθεῖεν πρὸς ἀλλήλους συγγενείας ὀνόματι; Ἀδελφοὶ, ὡς ἐκ μιᾶς φύντες μητρὸς, ἢ ἐξάδελφοι, ὡς ἀπὸ δύο ἐξαδέλφων σπαρέντες; Εἰ δὲ καὶ πάντες οἱ ἐγγυτέρου βαθμοῦ τῷ ταύτης ἀνδρὶ ἐπιλίποιεν, ἑβδόμου δὲ εἶεν καὶ ἕτεροι βαθμοῦ περιόντες, ἆρα σὺν ἐκείνοις καὶ αὕτη κλῆρον θήσεται πρὸς διαδοχὴν, ὡς ἐκείνοις τοῦ αὐτοῦ βαθμοῦ συμμετέχουσα, ἢ παραιτηθήσεται, ὡς γυνὴ παραλαμβανομένη παρὰ τῶν προσγενῶν; ἐπ' αὐτῇ γὰρ καὶ ἀμφότερα τεθεώρηνται. Ὁρᾷς τὸ τοῦ πράγματος ἄτοπον καὶ οὐκ εὔσχημον; Διὰ τοῦτο τοῖς νομοθέταις πολλάκις ἐπὶ τῶν γάμων εἴρηται, μὴ τὸ ἐπιτετραμμένον μόνον σκοπεῖν, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ φύσει δίκαιον καὶ σεμνόν.

(1) ς'. Βασιλικ. ΜΕ'. 2. — (2) 6'. Βασιλικ. ΜΕ'. 3.



Οὐκ ἀκαίρως οὖν εἴρηται, μὴ πρὸς ἀκρίβειαν τοὺς ἀρχιερεῖς, ἀλλὰ διατεθέντας συγκαταβατικώτερον, πρὸ μὲν τοῦ γενέσθαι τὸν γάμον ἐπὶ τοῦ ἑβδόμου βαθμοῦ κωλύεσθαι ἀποφήνασθαι, μετὰ δὲ τὸ γενέσθαι, μὴ διασπᾶσθαι. Εἰ γοῦν καὶ τοῦτο συγκαταβάσεως, τί ἄν τις εἴποι περὶ τοῦ ἕκτου; ὅτι δ' ἕκτος ἀντικρύς ἐστιν οὗτος δι' ὃν ἡ ἐρώτησις, οὐκ ἀμφίῤῥοπον· εἰ γὰρ ὁ δισεξάδελφος, ἕκτου, ἡ δὲ τούτῳ συζυγεῖσα, σὰρξ ἐκείνου διὰ τῆς συναφείας ἐγένετο, καὶ νύμφη τοῦ περιόντος δισεξαδέλφου κυρίως, ἀλλ' οὐ καταχρηστικῶς, ὡς ἡ μνηστὴ τοῦ ὁμαίμονος, πῶς οὐ μᾶλλον οὗτος κεκώλυται παρὰ τοῦ νόμου κατὰ τὸ εὔλογον;

Ἐνταῦθα τῷ λόγῳ δοθήτω κατάπαυμα, οὐχ ὅτι μὴ καὶ πλειόνων εὐπορία ἐστὶν, ἀλλ' ὅτι οὐ ποικίλων δεῖται ἂν δίχα ἑρμηνευμάτων· ἀρκεῖ γὰρ καὶ ταῦτα, φασὶν, εὐγνώμοσιν ἀκοαῖς, οἱ τοῖς τὸν γάμον ἐπιτρέπουσιν ἀντικαθιστάμενοι, δεῖξαι τὸ τοῦ πράγματος ἀπρεπὲς καὶ οὐκ εὔσχημον, καὶ ἑαυτοὺς τῆς ἐπηρτημένης ἀπειλῆς ἐξαιρήσασθαι, τοῖς μὴ διαστέλλουσι τοῖς ἀνομοῦσι(1), καὶ τὸ ἀνόμημα καταγγέλλουσιν. Εἰσὶν ἡμῖν οἰκεῖαι κηλῖδες· οὐ δεῖ καὶ προσερανίζεσθαι.

(1) Ἰεζ. Γ', 18.

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ,

## ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΜΕΓΑΛΟΥ ΔΡΟΥΓΓΑΡΙΟΥ ΤΗΣ ΒΙΓΛΑΣ, ΚΑΙ ΠΡΩΤΟΑΣΗΚΡΗΤΙΣ,

### ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΤΗΝ ΦΥΣΙΚΗΝ ΤΗΣ ΓΟΝΗΣ ΕΚΡΟΗΝ ΜΙΑΣΜΑ ΗΓΟΥΜΕΝΟΥΣ.

ΜΗ γίνου δίκαιος πολὺ, μηδὲ γίνου τοῦ κανόνος εὐθύτερος· γνῶμαι ταῦτα τῆς εὐγενεστέρας σοφίας καὶ ἡμετέρας εἰσίν. Εἰ δὲ δεῖ παρενεῖραι τούτοις τι καὶ τῶν ἔξωθεν, (οὐδὲ γὰρ πάντα τὰ ἐκείνων ἀπόβλητα,) Μηδὲν ἄγαν· ἐφ᾽ ᾧ δέ μοι ταῦτα προανακέκρουσται, αὐτίκα δὴ μάλα ῥηθήσεται. Πολλοὶ τῶν ἀκριβέστερον τάχα μετιέναι δοκούντων τὴν μοναχικὴν πολιτείαν, καὶ ῥεπόντων οἷον πρὸς τὸ πνευματικώτερον, ὡς μίασμά τι τὴν φυσικὴν τῆς γονῆς νομίζουσιν ἐκροήν· καὶ οὐ μόνον ὅτε μετά τινος φαντασίας συμβῇ, ἀλλ᾽ ὁπηνίκα καὶ φαντασίας χωρίς. Καὶ τοσοῦτον αὐτοῖς ὁ τοῦτο παθὼν μεμιάνθαι νενόμισται, ὡς μὴ μόνον τῆς τῶν ἁγιασμάτων εἴργειν αὐτὸν μεταλήψεως, ἀλλ᾽ ἤδη τινὲς καὶ προσψαύειν αὐτὸν εἰκόνος θείας ἀπείργουσιν· οὕτω κέκριται τούτοις ἀκαθαρσία ἡ φυσικὴ τοῦ σπέρματος ἔκκρισις. Διαλεκτέον δὴ τούτοις, καὶ δεικτέον, ὡς οὔτ᾽ ἀεὶ τὸ πάθος ἀνέγκλητον, οὔτ᾽ ἀδιαφόρως ὁ τοῦτο παθὼν, ὑπὸ ἐπιτίμησιν· τὸ μὲν γὰρ, εἰς ἐμπάθειαν προτροπή· τὸ δέ γε λοιπὸν, προσδοποίησις ἀπογνώσεως. Εἰ γὰρ ὁ ἀπροαιρέτως ἀνάγκῃ δουλεύσας τῆς φύσεως, καὶ διαθέσεως χωρὶς ἐμπαθοῦς ὑποστὰς περιττώματος ἔκκρισιν, ἀκάθαρτος κέκριται, καὶ τῆς ἁγιστείας κατὰ τοὺς δοκοῦντας ἀκριβεῖς ἐκβέβληται τῶν καθηγητῶν, ὁ περιπετὼν ἐξ ἐμπαθείας ὁμοίῳ παθήματι, ἢ καὶ γνώμῃ πρὸς μίξιν κατολισθήσας, πῶς οὐκ ἂν ἀπογνοίη τὴν σωτηρίαν τὴν ἑαυτοῦ; Εἰ μὲν οὖν, βέλτιστοι, τῶν κανόνων ἀγνοίᾳ ταῦθ᾽ ὑμῖν νενομοθέτηταί τε καὶ ᾠκονόμηται, τὸ καθηγεῖσθαι, καὶ δέχεσθαι λογισμοὺς, καὶ τοῖς σφαλλομένοις ἐπιτιμᾷν, ὑμῖν οὐκ ἐπέοικεν· ὥσπερ οὐδ᾽ ἰατρεύειν, τῷ τῆς



ἰατρικῆς τέχνης ἀνεπιστήμονι· εἰ δὲ τοὺς κανόνας εἰδότες, καὶ ὅπῃ τούτοις ἡ τῆς γονῆς κεκόλασται ἔκκρισις, καὶ ὅπῃ ἀνεπιτίμητος, ὑμεῖς τοὺς μὲν ἀργεῖν ἐᾶτε, κατὰ τοὺς νόμους τοῦ Πλάτωνος, ὑφ᾽ ἑαυτῶν δ᾽ ἐπιτιμᾶτε τοῖς ὑφ᾽ ὑμᾶς, καὶ ἀντινομοθετεῖτε τοῖς νομοθέταις, καὶ τοῖς θείοις Πατράσι καὶ ἱεροῖς [κανόσιν] ἀντιδιατάττεσθε, οὐ προστασίας ψυχῶν ἔκπτωσις μόνον ὑμῶν καταψηφισθήσεται, ἀλλὰ καὶ κανονικοῖς ἐπιτιμίοις ὑποπεσεῖν ὑμᾶς ἐπιψηφισθήσεται, κατὰ τὰ περὶ τούτων ἱερὰ διατάγματα· Οὐ γάρ ἐστιν ἐν αὐτοῖς προσθεῖναι, κατὰ τὴν θείαν Γραφὴν, καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν (1). Ὁ δὲ μέγας Παῦλος, καὶ ἀναθέματι κατακρίνει τὸν ἕτερόν τι παρ᾽ ὅπερ ἐλάβομεν εὐαγγελιζόμενον, κἂν ἄγγελος ᾖ (2)· ὑμεῖς δὲ κἂν εἰς τὴν τῆς ἀρετῆς ἀκρώρειαν ἐληλακέναι δοκῆτε, ἀλλὰ πολὺ τῆς ἀξίας τῆς ἀγγελικῆς διεστήκατε. Εἰ δ᾽ ἀγγέλους ἕτερόν τι παρὰ τὰ δεδομένα εἰσάγοντας ἀναθέματι καθυπέβαλεν ὁ θεῖος Ἀπόστολος, ἐγὼ μὲν οὐδὲν φαῦλον ἐρῶ, ὑμεῖς δ᾽ οἶδ᾽ ὅτι συνίετε, κἂν αὐτὸς φείδωμαι. Ὅτι δὲ κανόσιν ἐναντιοῦσθε, ἀδιαφόρως τοὺς ὀνειρασθέντας τῶν ἁγιασμάτων ἀπείργοντες, (ἐῶ γὰρ λέγειν καὶ τῆς τῶν θείων ἐκτυπωμάτων προσψαύσεως), αὐτῶν τῶν ἱερῶν κανόνων προτιθεμένων, οἱ μὲν εἰδότες αὐτοὺς, βοῦν ἐπὶ γλώττης θέμενοι, τοῦτο δὴ τὸ παροιμιῶδες, σιγήσετε· οἱ δ᾽ ἀγνοοῦντες, μαθήσεσθε· οἱ δὲ κανόνες, τῶν ἐγκεκριμένων Πατέρων, καὶ οὓς σύνοδοι ἐπεκράτυναν, καὶ βασιλεῖς εὐσεβεῖς τάξιν νόμων ἐπέχειν ἐθέσπισαν. Ἥ τε γὰρ οἰκουμενικὴ ἕκτη σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ τῶν ἀνακτόρων συγκροτηθεῖσα, ἀπαρίθμησιν τῶν κρατεῖν ὀφειλόντων κανόνων ποιησαμένη, καὶ τῶν αὐτοὺς ἐκτεθεικότων θείων καὶ ἱερῶν Πατέρων, μετὰ τῶν ἄλλων καὶ τοὺς περὶ τῆς νῦν ζητουμένης ὑποθέσεως ἐρωτηθέντας καὶ ἀποκριναμένους θεολήπτους ἄνδρας ἀπαριθμεῖ, τὸν μέγαν δηλαδὴ καὶ τὰ θεῖα σοφὸν Ἀθανάσιον, καὶ Διονύσιον, καὶ Τιμόθεον, τῆς ἐν Ἀλεξανδρείᾳ προστατεύσαντας Ἐκκλησίας· ἥ τε τὸ δεύτερον ἐν Νικαίᾳ συναθροισθεῖσα σύνοδος οἰκουμενική, ἀσπασίως τοὺς θείους κα-

(1) Ἐκκλ. Γ', 14. — (2) Γαλ. Α', 8.

νόνας ἐνστερνίζεσθαι λέγουσα, τούς θ' ὑπὸ τῶν θείων σαλπίγγων τοῦ ἁγίου Πνεύματος, τῶν σοφῶν Ἀποστόλων, συντεθειμένους, φημὶ, καὶ τοὺς ὑπὸ τῶν ἐξ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, πρὸς ταύταις δὲ καὶ τοπικῶν, προστιθεῖσα δὲ καὶ τῶν ἁγίων Πατέρων ἡμῶν, ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν, φησὶ, τὰ συμφέροντα, ἐπάγει· Καὶ οὓς μὲν ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· καὶ οὓς τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίοις παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. Τούτων τοίνυν τῶν ὑπὸ τῶν ἁγίων συνόδων πρὸς τοῖς λοιποῖς ἐγκριθέντων θεολήπτων ἀνδρῶν, ὁ μὲν κλεινὸς Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ ταυτὶ διατάττεται· Οἱ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτούς, εἴτε διακρίνονται, εἴτε μὴ, σκοπείτωσαν· ὡς ὁ ἐπὶ τῶν βρωμάτων, Ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται· καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ ἀπαῤῥησίαστος, κατὰ τὸ ἴδιον ἐνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ. Ὁ δέ γε θεοφόρος Τιμόθεος, πρὸς τὸν ἐρωτήσαντα, Εἰ ὀνειρασθεὶς ὀφείλει κοινωνῆσαι, ἢ οὔ, τοιαύτην ἀπόκρισιν δέδωκεν· Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι, ἐπεὶ οὐ παύσεται ὁ ἐπηρεάζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνῆσαι, ἐπιτιθέμενος αὐτῷ. Ὁ δὲ μέγας καὶ ἱερὸς Ἀθανάσιος, πρὸς Ἀμμοῦν ἐπιστέλλων περὶ τούτου μονάζοντα, πολύστιχον ἔθετο τὴν ἐπιστολήν· ἧς ἡμεῖς τῶν καιριωτέρων πρὸς τὴν ὑπόθεσιν νῦν μνησθέντες, παρήσομεν τὰ λοιπά. Φησὶ δ' οὕτω· Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις κατὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτι περ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει, τῷ δοκεῖν, καθαρότητος. Ἔστε δὲ τὸ γινόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία· ἵνα γὰρ ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν κατὰ τοῦτο, τοιαῦτά τινα κινεῖ βομβύκια. Τί γὰρ, εἰπέ μοι, ἀγαπητὲ, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον, φυσική τις



ἔκκρισις; ὡς εἴ τις ἐθέλει ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας, καὶ τὰ διὰ στόματος πτύσματα, ἔτι δὲ καὶ τὰς διὰ γαστρὸς ἐκκρίσεις. Εἰ δὲ καὶ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γενέσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν, κατὰ τὰς θείας τῶν Ἀποστόλων Πράξεις(1), οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον· τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν ἀσεβεστάτην ἁμαρτίαν ἐργαζόμεθα· ὅταν δὲ φυσική τις ἀβουλήτως ἔκκρισις γίνηται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων καὶ τοῦτο ὑπομένομεν. Καὶ μετά τινα· Φαίη δὲ ἄν τις εὐλόγως· Φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν· τάχα δὲ καὶ ἰατρῶν παῖδες ὑπὲρ τούτων ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι πρὸς τὸ τὸ περιττὸν τῶν ἐν ἑκάστῳ τῶν ἐν ἡμῖν τρεφομένων μελῶν ἀποπέμπειν· οἷον, κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα· καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποία τοίνυν ἐστὶ πρὸς Θεὸν ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον Δεσπότου ποιήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους; Ἀλλὰ ταῦτα μὲν τὰ τῶν ῥηθέντων Πατέρων θεσμοθετήματα. Τί δ' ὑμεῖς, οἱ τῆς ἀκραιφνοῦς καθαρότητος ἀκριβεῖς, ὡς οἴεσθε, φύλακες, οἱ καὶ τὴν ἀφάνταστον ῥύσιν κολάζοντες, καὶ τὴν φυσικὴν τοῦ σπέρματος ἔκκρισιν ἀκαθαρσίαν νομίζοντες, καὶ τοὺς τοῦτο πάσχοντας, μὴ προϋποκειμένης ἐμπαθείας τινὸς, τῶν ἁγιασμάτων ἀπάγοντες; Εἶτα οὐκ ἐγκαλύπτεσθε τῷ μεγάλῳ Ἀθανασίῳ ἀντιδιατταττόμενοι, (ἐῶ γὰρ κατά γε τὸ παρὸν τοὺς λοιπούς,) καὶ οἷς ἐκεῖνος ἔγραψεν ἀντιπράττοντες, οὗ τοὺς λόγους καὶ οἱ μεγάλοι Πατέρες, καὶ εἰς ἄκρον ἐληλακότες τῆς τε θύραθεν σοφίας, καὶ τῆς θείας καὶ ἡμετέρας, οἱ τῆς οἰκουμένης φωστῆρές τε καὶ διδάσκαλοι, ὑφ' ὧν ἡ καθ' ἡμᾶς ἐστήρικται πίστις, ὡς ὅρους καὶ ἀξιώματα ἥγηνται; Ὢ τῆς ὑμῶν ἀπονοίας, ἢ τῆς ἀβελτηρίας, καὶ ἀμαθίας, εἰπεῖν οἰκειότερον. Οὐδὲ συνίετε κατά γε τὴν γνώμην ταύ-

(1) Πράξ. ΙΖ', 28.

τὴν ἰουδαΐζοντες, καὶ τὰς τῆς Παλαιᾶς Διαθήκης ἀνανεοῦντες διαταγὰς, ἅς περ ὁ Σωτὴρ ἐνανθρωπήσας κατήργηκεν; ἐκείνης γὰρ τοὺς γονοῤῥυεῖς ἀκαθάρτους νομίζεσθαι, νόμιμον. Ὑμεῖς δ', οἶμαι, καὶ τὸν συνευνασθέντα τῇ ἑαυτοῦ γαμετῇ, τῆς κοίτης ἐξανιστάμενον, κρινεῖτε ἀκάθαρτον, καὶ εἰς προσευχὴν οὐ προσήσεσθε, ἀλλὰ καὶ τὰς τοῦ ναοῦ θύρας τούτῳ ἐπιζυγώσετε· οὐδ' ὅτι τίμιος ὁ γάμος εἴρηται, λογιεῖσθε, καὶ ἡ κοίτη ἀμίαντος(1), ἀλλ' ὅτι κἀνταῦθα σπέρματος ἐκροὴ, καὶ μᾶλλον σὺν ἡδονῇ, καταδικάσετε τὸν ἀναίτιον· καὶ τὸν νεκροῦ προσαψάμενον οὐκ ὀκνήσετε μεμιασμένον ἡγήσασθαι· καὶ οὗ ἐν τῷ σώματι λέπρα ἐξήνθησε, τῆς πόλεως ἐξωθήσετε. Ἀλλ' ὃς μὲν, ὦ οὗτοι, κατὰ τοὺς ὕπνους ἀποκρίνει γονὴν, ὑμῖν οὐχ ἥγηται καθαρός. Τί δὲ περὶ ἐγρηγορότων, καὶ ῥύσιν ὑφισταμένων αὐτῆς, ὑμῖν δέδοκταί τε καὶ διατέτακται; πολλοῖς γὰρ τοῦτο τὸ πάθος ἐπισυμβαῖνόν ἐστιν, ἢ τοῖς οὔροις ἑφεπομένου τοῦ σπέρματος, ἢ μόνον καὶ αὐτομάτως ἐκρέοντος. Εἰ μὲν καὶ τούτους τῶν καθαρῶν ἀποκρίνετε, ἰουδαΐζετε προφανῶς· οὗτοι γὰρ, οὓς γονοῤῥυεῖς ὠνόμασεν ὁ Μωσῆς, καὶ ἀκαθάρτους νομίζεσθαι διετάξατο. Εἰ δὲ τούτους προσίεσθε, καὶ οὐ μιαίνειν αὐτοὺς τὴν ἔκκρισιν οἴεσθε, τίς ὁ λόγος, δι' ὃν, τοῖς μὲν ἀφάνταςον παθοῦσι ῥύσιν γονῆς καθ' ὕπνους, ἀπείργετε τὴν τῶν ἁγιασμάτων μετάληψιν, τοῖς δ' ἐν ἐγρηγόρσει τοῦτο παθοῦσιν, ἐᾶτε τὸ πάθος ἀνεπιτίμητον; Καὶ ἄμφω ἐκκρίσεις εἰσὶ φυσικαὶ, καὶ ἄμφω ἀπροαιρέτως συμβαίνουσαι. Ἀλλ' εἰ ταῦτα φήσειεν ἄν τις τῶν ἀνθρωπηθέντων περὶ τῶν ἀφαντάςως ῥύσει περιπεσόντων γονῆς, τί δ' ἂν εἴπῃς περὶ τῶν ὀνειρασθέντων καὶ φαντασθέντων ἀφὴν γυναικὸς, ἢ ἕτερόν τι διεγεῖρον τὴν πύρωσιν τῆς σαρκὸς, καὶ μέχρις ἐκροῆς πεφθακότων τοῦ σπέρματος; Οὐ πάντως οὗτοί σοι μεμιάνθαι κριθήσονται; Εἰ μὲν ὁ τοῦτο παθὼν, ὦ ἀντίθετε, προϋποκειμένην εἶχεν ἐμπάθειαν, κἂν τοῖς λογισμοῖς ἐπιθυμίαν ἔτρεφε γυναικὸς, καὶ ταύτην ἔστρεφεν ἐπὶ νοῦν, καὶ οὕτως ἡ φαντασία καθ' ὕπνους ἐπηκολούθησεν, οὐδ' αὐτὸς κρινῶ τὸν τοιοῦτον ἀναίτιον· αὐτὸς γὰρ ἑαυτῷ τοῦ πάθους ἐστὶν αἰτιώτατος, καὶ μεμόλυνται οὐ τὸ σῶμα, διὰ τὴν ἔκκρισιν τὴν σπερματικὴν, (οὐ γὰρ ἀκαθαρσία τουτὶ τὸ περίττωμα,) ἀλλὰ

(1) Ἑβρ. ΙΓ', 4.

τὸν λογισμὸν, διὰ τὴν συγκατάθεσιν τῆς ἐπιθυμίας τῆς σαρκικῆς. Εἰ δὲ τοιοῦτον οὐδὲν τῷ τὴν γονὴν ἀποκρίναντι προϋπέκειτο, οὔτε μὴν τὸν λογισμὸν εἶχεν ἐμπαθείᾳ τοιαύτῃ ἐγκείμενον, αὐτομάτως δ' ἡ φαντασία ἐπῆλθε, καὶ ἡ τῆς γονῆς ἐκροὴ, ἢ καὶ ἐξ ἐπηρείας σατανικῆς ἐπενήνεκται, κατὰ τοὺς θείους Πατέρας, τοῦ δυσμενοῦς τοῖς ἀσκηταῖς ἐνεδρεύοντος, οὐ μιμήσομαί σου τὴν ἀνευλαβῆ περὶ ταῦτα εὐλάβειαν· ἡ μὲν γὰρ σὰρξ οὐ μεμίανται τῇ ἐκκρίσει τοῦ σπέρματος· πᾶν γὰρ κτίσμα Θεοῦ καλὸν, καὶ Χριστῷ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις(1), κατὰ τὸν μέγαν Ἀπόστολον· εἰ δὲ καὶ ὁ λογισμὸς τοῦ ὀνειρασθέντος ἐμπαθείας ἐκτὸς, κἀκεῖνος ἀμίαντος. Τί τοίνυν τὸ τὸν ἄνθρωπον ἀπεῖρξον τῆς εἰς τὰ ἅγια προσελεύσεως; εἰ μήτε ὁ λογισμὸς ἐξ ἐμπαθοῦς ἐπιθυμίας, μήτε ἡ σὰρξ ῥαντισθεῖσα τῷ ἐκκριθέντι σπέρματι κέχρανται; Σύ μοι δοκεῖς, εἰ ὁ τὴν ῥύσιν παθὼν οὗτος ἐν φαντασίᾳ γέγονεν εὐνῆς γυναικὸς συνεζευγμένης ἀνδρὶ, καὶ μοιχείαν αὐτοῦ καταψηφιεῖσθαι, καὶ ὡς μοιχῷ τῷ ἀνθρώπῳ ἐπιτιμῆσαι, καὶ τὸν ἐν ὕπνοις δόξαντα πεφονευκέναι τινὰ, φόνου κρινεῖν, καὶ φονικοῖς ἐπιτιμίοις ὑποβαλεῖν, ἢ καὶ τῇ ἀρχῇ παραδοῦναι πρὸς κόλασιν· καὶ γνώμης αὖθις ἐξ ἀντιῤῥόπου, τὸν ἐν ὀνείροις ὑπὲρ εὐσεβείας ἀθλήσαντα, συγκαταλέξαι τοῖς μάρτυσι· καὶ τὸν ἐν ὕπνοις ὁμιλίαν ἀκόλαστον ἐξαλύξαντα, στεφανῶσαι ὡς σώφρονα. Εἰ δὲ μὴ ταῦτα τῶν τιμωμένων, οὐδ' ἐκεῖνα τῶν ἐπιτιμωμένων· ἢ γὰρ ἂν ἀδικοῖτο μερὶς θατέρα, εἰ καὶ μὴ τὸ βέλτιστον δοκοῦν καὶ τὸ χείριστον, ὡς ὄναρ λογίζοιτο, καὶ καταφρονοῖτο ὡς φάντασμα· ἢ καὶ ὁμοίως τὸ μὲν ὡς καλὸν τιμῷτο, τὸ δὲ ὡς φαῦλον κολάζοιτο, κἂν ὄναρ ᾖ ἑκατέρωθεν. Οὐκ ἄχαρι δὲ καὶ τὸ ἐξ ἱστορίας δοῦναι τῷ λόγῳ ῥοπήν τινα. Ἡ δ' ἱστορία· Ἐρωτά τις ἤρα περιμανῆ γυναικὸς ἀκολάστου τινός. Θῶνις ἐκέκλητο ἡ γυνὴ, ἣ τὸν ἐραστὴν οὐ ῥᾷστα προσίετο· ὁ δ' ἐρῶν ἁδρὸν αὐτῇ δώσειν ἐπηγγέλλετο μίσθωμα· ἡ δὲ κατεφρόνει τῆς δόσεως. Καὶ ὃς, φλεγμαίνων τῷ ἔρωτι, τὴν δόσιν ἐπηύξανεν· ἡ δ' αὖθις βαρύνουσα τοὺς μισθοὺς, καὶ οὕτω περιεφρόνει. Ἐν τούτοις τοῦ

---

(1) Β', Κορ. Β', 15.

καιροῦ τριβομένου, ἔδοξεν ὄναρ ὁ ἐραστὴς συγγενέσθαι τῇ ἐρωμένῃ, καὶ ἡ φλὸξ ἐντεῦθεν ἀπέσβη τοῦ ἔρωτος. Ἡ δὲ, τοῦτο γνοῦσα, τὸν ἐπηγγελμένον ἀπῄτει μισθόν· καὶ μὴ λαμβάνουσα, προσῆλθε τῷ ἄρχοντι. Βόκχορις, ὃς τοῦ ἔθνους ἐκείνου κατῆρχεν, ὠνόμαστο. Καὶ ὁ πρώην ἐρῶν, μὴ ὀφείλειν ἀπελογεῖτο μισθὸν, ὡς τῆς ἐρωμένης τότε τὴν ὁμιλίαν ἀναινομένης. Ἀλλ' ὄναρ, εἶπε, δόξας μοι συγγενέσθαι, τοῦ ἔρωτος πέπαυσαι· καὶ γέγονεν ὃ κἂν τῆς καθύπαρ συνουσίας συμβήσεσθαι ἔμελλε· καὶ ὀφειλέτης εἶ τοῦ μισθοῦ. Ὁ δὲ τῆς δίκης διαιτητὴς, τὴν ἐπηγγελμένην ὑπὲρ τοῦ μισθοῦ τῇ γυναικὶ τοῦ χρυσίου ποσότητα εἰς μέσον παραχθῆναι ἀπῄτησε· καὶ παραχθείσης, τὸ ταύτην ἔχον ἔνδον βαλάντιον, ἡλιακῆς ἀκτῖνος ἔναντι τῇδε κἀκεῖσε προσέταξε φέρεσθαι, καὶ τὴν γυναῖκα τῆς σκιᾶς ἐπιλαβέσθαι, σοφῶς ἐψηφίσατο, ὡς τοῦ ἐραστοῦ μηδὲν πλέον σκιᾶς διὰ τῆς ἐν ὀνείροις φαντασίας παραπολαύσαντος· σκιὰ γὰρ ὡς ἀληθῶς τῆς ἀληθείας, τὸ φάντασμα· καὶ οὔτε χρηστόν τι δόξας οὕτω ποιεῖν, ἐπαινεθήσεται ἄνθρωπος· οὔτε φαῦλον, κατακριθήσεται. Οὐκ οἶσθα ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός; ὡς Γαλάταις ἐπιστέλλων φησὶν ὁ μέγας Ἀπόστολος(1)· πνεῦμα μὲν, τὸν πνευματικὸν καλῶν λογισμὸν, τὸν τὰ πνευματικὰ φανταζόμενον, καὶ τοῖς θείοις ἐνασχολούμενον· σάρκα δὲ, τὸν σαρκικόν τε καὶ ὑλικὸν, καὶ περὶ ταῦτα στρεφόμενον· οἳ καὶ ἀλλήλοις ἀντίκεινται. Οἱ μὲν γὰρ σαρκικοὶ λογισμοὶ, ἔμφυτον ἐχούσης τὴν πύρωσιν τῆς σαρκὸς, ἐπιθυμίας ἀτόπους ἐπάγουσιν· ὁ δέ γε πνευματικὸς λογισμὸς, αὐτοκράτωρ ἡμῖν δοθεὶς ἐκ Θεοῦ, τὰ τῆς σαρκὸς ἀνακόπτει ὁρμήματα, ἃ διὰ τῶν ἀντικειμένων λογισμῶν αὐτῇ ἐπεγείρονται, καὶ ὡς ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῆς ἄγχων, τὰ ταύτης ἀτάσθαλα καταστέλλει φρυάγματα. Εἰ γοῦν τῆς σαρκὸς πυρουμένης, ἀγχομένης δὲ ὑπὸ τοῦ λογισμοῦ, καὶ μὴ συγχωρουμένης καταφρυάξασθαι τῆς ψυχῆς, μὴ ἐνδιδόντος αὐτῇ τὸν ῥυτῆρα τοῦ χαλινοῦ, ἀλλ' ὅλαις χερσὶ τὰς ταύτης ὁρμὰς ἀνασειράζοντός τε καὶ ἀναστέλλοντος, ὡς ἵππον ἑτερόγναθον καὶ δυ-

(1) Γαλ. έ, 17.



σήνιον, βιαζομένης δὲ οὕτω καὶ γαργαλιζομένης, ἢ καὶ τοῦ πονηροῦ ἐπιτιθεμένου, φαντασθείη καθ' ὕπνους τι ὁ τῆς σαρκὸς τὸν πόλεμον ὑφιστάμενος, ὁποῖον ὁ ἐμπαθὴς ὑπέθετο λογισμὸς, ὃν ὁ πνευματικὸς ἀπώσατο καὶ σωτήριος, καὶ συνεκρυῇ τῇ φαντασίᾳ γονὴ, τίνα κατάκρισιν ἕξει πρὸς ἀνθρώπου διάκρισιν ἔχοντος, εἰ μή τις καὶ τὴν προσβολὴν τῶν λογισμῶν αὐτὴν αἰτιῷτο; Οἱ δὲ θεῖοι Πατέρες οὐδὲ τὴν πάλην ὑπ' αἰτίασιν τίθενται. Τεσσάρων γὰρ ἐπὶ τῆς ἁμαρτίας λεγομένων συμβαίνειν, προσβολῆς, καὶ πάλης, φημὶ, συγκαταθέσεώς τε καὶ πράξεως, τὰ μὲν τῶν προηγουμένων ἀμφοῖν, παρὰ τοῖς θεοφόροις Πατράσιν ἀνέγκλητα· ἡ συγκατάθεσις δ' ὑπ' αἰτίασιν, ὡς τὴν κατὰ διάνοιαν ἁμαρτίαν εἰσάγουσα· ἡ δέ γε πρᾶξις, καὶ ὑπὸ κόλασιν. Ὃς δὲ καὶ ἀμφοτέρας ταύτας τοῦ σωτηρίου λογισμοῦ νικῶντος ἐκπέφευγεν, ὑπὸ κατάκρισιν διὰ τί; Εἰ μὲν γὰρ τοῦ λογισμοῦ προσβαλόντος, καὶ πρὸς ἀσελγεῖς ἐπιθυμίας κινήσαντος, ὁ πάσχων ἀσμένως ἐδέξατο τὸ ἐνθύμιον, καὶ τὸν νοῦν ἔσχε τούτῳ ἐνδιατρίβοντα, καὶ οἷον ἐνηδυνόμενον, καὶ μελετῶντα τὰ περὶ αὐτοῦ, οὕτω τε τἀνθρώπου διακειμένου, ἡ φαντασία νυκτὸς ἐπελήλυθεν, οὐκ ἀνέγκλητος, κἂν ἴσως καὶ τὴν ἔκκρισιν τῆς γονῆς διαπέφευγεν· ὁ γὰρ λογισμὸς οὐ πάθους ἐκτὸς, ἀλλ' ἐτρώθη τῇ βολίδι τῆς προσβολῆς, καὶ πρὸς τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκ ῥᾳθυμίας χαυνωθεὶς ἐξωλίσθησεν· εἰ δὲ προσβάλῃ μὲν τὸ ἐνθύμιον, ἀποῤῥαπισθείη δ' αὐτίκα, ἢ καὶ ὑπὸ πάλην πεσόντων ἀμφοτέρων τῶν λογισμῶν, καὶ ταλαντευομένων ὡς ἐπὶ πλάστιγγος, ὁ κρείττων περιβριθέστερος γένηται, εἶτα διὰ τὴν τῆς σαρκὸς ἀνάγκην, καὶ τοῦ δυσμεναίνοντος ἡμῖν τὴν ἐπήρειαν, φαντασία νυκτερινὴ κινήσει τὴν σάρκα, καὶ ῥύσιν ἐργάσεται σπέρματος, ὁ ταύτην παθὼν οὐ μεμίανται, πῶς γὰρ, ὅς γε τὸν λογισμὸν ἐκ συγκαταθέσεως ἀπαθῆ διετήρησε; Συμφήσει δέ μοι πρὸς τοῦτο, καὶ σύμψηφος ἔσται καὶ ὁ Προφήτης καὶ θεοπάτωρ Δαυῒδ, λέγων· Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι(1). Εἰ γὰρ ἐνθύμιον, φησὶ, πονηρὸν ἀνθρώπῳ ἐπέλθῃ, καὶ τῷ τούτου ἐμφιλοχωρήσει νοΐ, ἐνηδυνομένῳ τῇ περὶ τοῦτο διατριβῇ, καὶ τὸ κατὰ διάνοιαν τε-

(1) Ψαλμ. ΟΕ', 11.

λοῦτι ἁμάρτημα, μετανοίας δεῖ τῷ τοιούτῳ καὶ ἐξομολογήσεως, ἵνα διὰ τούτων καθάρῃ τὸν λογισμὸν τοῦ ἐκ τοῦ μολυσμοῦ τῆς κατὰ διάνοιαν ἁμαρτίας αὐτῷ προστετηκότος ὁμόργματος. Εἰ δ' ἐγκαταλειφθείη προσβαλὸν τὸ ἐνθύμιον, ἀποβληθείη δηλονότι, καὶ ἄπρακτον μείνῃ, μὴ μολῦναν τὸν νοῦν, εἰς ἑορτὴν τῷ Θεῷ ἡ ἐγκατάλειψις αὐτοῦ λογισθήσεται, καὶ τὸ ἀποσκευάσασθαι τὸν νοῦν τὸ πονηρὸν διανόημα· οὐδὲν γὰρ οὕτως ὡς καθαρότης τέρπει τὸν Κύριον, καὶ οὐδὲν τῷ καθαρῷ καθαρότητος φίλτερον· ἀρέσκει γὰρ τῷ Θεῷ ὑπὲρ μόσχον νέον, καὶ ὑπὲρ πᾶσαν θυσίαν, καὶ θυμιαμάτων εὐόσμων προσαγωγὴν, καὶ μύρων πολυτελῶν. Καὶ ὁ μέγας δὲ Πατὴρ καὶ φιλοσοφώτατος Μάξιμος, ἀλληγορῶν τὸ, Οὐκ ἀποδώσει Κύριος ἕως τρίτης καὶ τετάρτης γενεᾶς, καὶ ἀναγωγικώτερον ἑρμηνεύων αὐτὸ, τὴν μὲν προσβολὴν καὶ τὴν πάλην ἀτιμώρητον εἶναί φησι, τὴν δέ γε συγκατάθεσιν καὶ τὴν πρᾶξιν ἀξιοῦσθαι ἀνταποδόσεως· ἡ γὰρ τούτων τετρακτὺς τῷ θείῳ τούτῳ καὶ σοφωτάτῳ Πατρὶ εἰς τὴν τῶν γενεῶν ἐξείληπται τετρακτύν. Εἰ δέ σοι ὁ τῷ λογισμῷ κρατήσας τῆς πονηρᾶς ἐνθυμήσεως, ἐν ὀνειρώξει δὲ φαντασθεὶς καὶ ἀποκρίνας γονὴν, τοῦ μετασχεῖν τῆς ἀναιμάκτου θυσίας ἀνάξιος ἥγηται, ὥρα σοι καὶ τὸν νηστεύοντα, ὡς τῶν ἁγιασμάτων μεθέξοντα, εἰ, τῆς σαρκὸς τροφὴν ζητούσης, ἐνύπνιον αὐτῷ γένηται, δόξαν ἐπάγον τροφῆς τε καὶ πόσεως, ἀπεῖρξαι, ὡς μὴ νῆστιν, τῆς μεταλήψεως. Τῶν γὰρ συχνάκις συμβαινόντων ἐστὶ τὸ τὸν διψῶντα δοκεῖν ἐν ὕπνοις ἑστάναι παρ' ὕδατα, καὶ τούτων ἀρύεσθαι, καὶ τὴν γαστέρα πιμπλᾶν. Καὶ ὁ Ἡσαΐας σοι τὸν λόγον πιστούτω, λέγων· Ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπικεν, οὕτως ἔσται καὶ ὁ πλοῦτος πάντων τῶν ἐθνῶν (1). Ἐγὼ δέ τινι τῶν ἱερῶν Πατέρων ἐνέτυχον, καὶ μάρτυσιν ἐξισοῦντα τοῦτον εὗρον τοὺς λογισμοῖς πυκτεύοντας, καὶ τῇ τούτων βίᾳ μὴ ὑποκύπτοντας· τυράννοις γὰρ ὡμοίου τοὺς ἐμπαθεῖς λογισμούς. Καὶ ὥσπερ ἐκεῖνοι τοὺς ὑπ' αὐτῶν ἁλισκομένους, σπονδὰς εἰδώλοις φέρειν ἠνάγκαζον, οὕτω δὴ καὶ οἱ λογισμοὶ ἀθέσμοις πράξεσιν ὑποκύπτειν βιάζουσι. Καὶ ὡς οἱ τύραννοι μὴ πειθομένοις τοῖς

(1) Ἡσ. ΚΘ', 8.



μάρτυσιν ἐπῆγον ἅπασαν κάκωσιν, οὕτως ἄρα καὶ ὁ ἀόρατος τύραννος, μὴ ἐνδιδοῦσι τῇ προσβολῇ τοῖς πνευματικοῖς παγκρατιασταῖς, πᾶσαν ἐπάγει κάκωσιν διὰ γαργαλισμῶν τῆς σαρκὸς καὶ πυρώσεως· καὶ ὡς ἐκεῖνοι μὴ ὑποκύψαντες, τοῖς μάρτυσι συνηρίθμηνται, κἂν μὴ τὸν διὰ ξίφους, ἢ πυρὸς, ἢ βασάνων ὑπέστησαν θάνατον, (οἷοι πολλοὶ γεγόνασι μάρτυρες,) τὸν αὐτὸν δὴ τρόπον καὶ τοῖς ἐν τῇ προσβολῇ τῶν ἐμπαθῶν λογισμῶν μὴ χαλάσασι τὸ εὔτονον τῆς ἐνστάσεως, τὸ κατὰ συνείδησιν μαρτύριον ἤνυσται. Εἰ δέ που, φησὶ, καὶ ὑπενδοίη τῇ βίᾳ νικώμενος τῆς πυρώσεως, καὶ συγκαταθέσει τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐργάσαιτο, εἶθ' ἑαυτοῦ γεγονὼς, καὶ ὅπῃ φέρεται γνοὺς, ἀποσταίη τῆς πράξεως, καὶ τὸν λογισμὸν τονώσει πρὸς ἔνστασιν, καὶ ἀποκρούσεται τὸ ἐνθύμιον, οὐδὲ τοῦτον τοῦ κατὰ συνείδησιν μαρτυρίου λέγει στερίσκεσθαι· ἐπεὶ μηδ' ὃς τῇ βίᾳ τῶν κολάσεων ὑπενδοὺς θύειν ὑπέσχετο, εἶτα τῷ βωμῷ προσαχθεὶς τοῦ θύειν ἀπέσχετο, τῶν μαρτυρικῶν ἐκπεσεῖται γερῶν. Ἀλλά φασί τινες τοὺς ταῦτα δογματίζοντας καὶ διδάσκοντας λέγειν, ὡς καὶ ὁ μέγας Βασίλειος περὶ τούτου ἐρωτηθεὶς ἀπεῖρξε τοὺς τοιούτους τῆς τῶν ἁγιασμάτων μεθέξεως· δοκοῦσι δέ μοι οἱ τῇ τοῦ ἁγίου τούτου Πατρὸς ἀποκρίσει χρώμενοι πρὸς τὴν τῆς οἰκείας ἐνστάσεως σύστασιν, ἢ ἑκόντες μύειν πρὸς τὴν ἀλήθειαν, ἢ τὸν νοῦν μὴ συνιέναι τῆς ἀποκρίσεως. Ἀναγκαῖον δὲ καὶ αὐτῆς πρὸς ῥῆμα μνησθῆναι τῆς ἐρωτήσεως, καὶ τῆς πρὸς αὐτὴν τοῦ σοφοῦ ἐκείνου καὶ θείου Πατρὸς ἀποκρίσεως. Ἔχει δὲ ἡ ἐρώτησις οὕτως· Εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ, χρὴ τολμᾷν εἰς κοινωνίαν τῶν ἁγίων παραδέχεσθαι. Ἡ δ' ἀπόκρισις οὕτω, Κρείττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἔδειξεν ὁ Ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτισμῷ συνταφέντα Χριστῷ· ποτὲ μὲν εἰπὼν, Ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ (1), ποτὲ δὲ παραγγείλας, Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς

(1) Ῥωμ. ϛ', 6.

τῆς ἀπειθείας(1)· ποτὲ δὲ ὅρον ἐκθέμενος, ἐν τῷ εἰπεῖν· Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις(2). Ἐγὼ δὲ ἔγνων, ὅτι ταῦτα καὶ κατωρθώθη, Θεοῦ χάριτι, καὶ ἐν ἀνδράσι, καὶ ἐν γυναιξὶ, πίστει τῇ εἰς τὸν Κύριον γνησίᾳ. Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρίμα· εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι· παιδεύσει δὲ ἡμᾶς ὁ Ἀπόστολος, εἰπών· Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει(3). Ἐκ γοῦν τῶν ῥημάτων τῆς ἀποκρίσεως δείκνυται, ὡς ὁ μέγας οὗτος Πατὴρ οὐ περὶ ἀφαντάστου ῥεύσεως εἴρηκεν, οὐδὲ περὶ πεφαντασμένης μὲν, ἐμπαθείας δὲ γενομένης χωρὶς, καὶ ἧς ἐπιθυμία οὐ προηγήσατο, ἢ κἂν ἴσως καὶ προηγήσατο, ἀλλ' ἀπεβλήθη, τοῦ ἀγαθοῦ νικήσαντος λογισμοῦ, ὥστε μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι· ἃ γὰρ εἰς μαρτυρίαν τοῦ λόγου παράγει τοῦ Ἀποστόλου ῥητὰ, ἁμαρτίας μέμνηται, καὶ ἀκαθαρσίας, καὶ ἐπιθυμίας κακῆς. Εἶτα ἐπάγει τὴν γνώμην ἐκεῖνος τὴν ἑαυτοῦ, λέγων· Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ τὰ ἑξῆς· οὐκ ἂν δέ τις εἴποι ἀκαθαρσίαν ὀνομάσαι τὸν μέγαν Βασίλειον τὴν σπερματικὴν ἔκκρισιν ἀπαθῶς γενομένην· τοῦτο γὰρ διαβολὴ τῆς σαρκός· ὁ δὲ πολλούς τε καὶ καλοὺς λόγους ἔθετο, ἀποδεικνὺς, ὡς οὐ κακὸν τὸ σῶμα, οὐδὲ κακίας ἀρχὴ, καθὼς ἐδόξασαν ἔνιοι. Οὐδ' ἐναντιοῦσθαι προδήλως λογίσαιτό τις αὐτὸν τῷ μεγάλῳ Ἀθανασίῳ, εἰρηκότι περὶ τῆς σπερματικῆς ταύτης ἐκκρίσεως ὅσαπερ ἄνω ποι τοῦ λόγου γεγράφαται· οὗ τοὺς λόγους, κανόνα καὶ στάθμην ἀκριβείας ἅπαντες οἱ ἱεροὶ Πατέρες ἐν ἅπασιν ἥγηνται. Εἶτα καὶ τοῦτο λογιστέον, ὅτι καὶ ἄμφω πνευματοφόροι οὗτοι δὴ οἱ Πατέρες, καὶ ὑπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ἐμπνεόμενοι Πνεύματος, ἔλεγόν τε καὶ ἔγραφον. Πῶς οὖν εἰκὸς ἀλλήλοις ἐναντιοῦσθαι τοὺς ὑπὸ τοῦ ἁγίου κινουμένους καὶ ἀγαθοῦ Πνεύματος; Ἐντεῦθεν ἀριδηλότατα δείκνυται, ὡς καὶ ὁ μέγας Βασίλειος, ἀκαθαρσίαν οὐ τὴν σπερματικὴν ὠνόμασεν ἔκκρισιν, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν· ἧς ἡγουμένης, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία τελεῖται διὰ συγ-

(1) Κολοσσ. Γ', 5, 6. — (2) Γαλ. Ε', 24. — (3) α', Κορ. ΙΑ', 29.



καταθέσεως, καὶ οὕτω γίνεται φαντασία καθ' ὕπνους, καὶ τοῦ σπέρματος ἐκροή· οὕτω γὰρ οὔτ' αὐτὸς ἑαυτῷ ἠναντιῶσθαι δόξειεν ἂν, ὡς κακὸν εἶναι τὸ σῶμα καὶ ἀκάθαρτον λέγων, οὔτε τῷ μεγάλῳ Ἀθανασίῳ τἀναντία διατάττεσθαι λογισθήσεται. Ἀλλὰ καὶ ἐκ τοῦ φάναι, Ἐγὼ δὲ ἔγνων ὅτι ταῦτα κατωρθώθη, Θεοῦ χάριτι, καὶ ἀνδράσι καὶ γυναιξὶ, τοῦτο ἐμφαίνεται, ἢ μᾶλλον καθαρῶς ἀποδείκνυται, ὅτι περὶ ἐκκρίσεως σπέρματος μετὰ φαντασίας γενομένης φησὶν, ἧς ἐμπάθεια προηγήσατο, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία. Τοῦτο γὰρ κατώρθωται παρ' ὧνπερ κατώρθωται, οὐχὶ τὸ μὴ ἐπιθυμῆσαι, ὅ ἐστι τὸ μὴ προσβαλεῖν λογισμὸν (τοῦτο γὰρ φυσικὸν), ἀλλὰ τὸ μὴ ὑποκλιθῆναι τῇ ἐπιθυμίᾳ, μηδὲ συνθέσθαι τῷ λογισμῷ, μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι. Οὐδὲ τὸ μὴ γίνεσθαι σπέρματος ἐκροὴν κατωρθώθη, (τῆς γὰρ φύσεως ἔργον τὸ διωθεῖσθαι τοῦτό ἐστιν, ὡς περίττωμα,) ἀλλὰ τὸ μὴ ἐμπαθῶς γενέσθαι τὴν ἔκκρισιν ἐκ φαντασίας, ἣν συνίστησιν ἐπιθυμία κακὴ, ἐξ ἧς ἡ διάνοια κέχρανται. Ὁ λογισμὸς, ὢ οὗτος, τῇ συγκαταθέσει μεμόλυνται· ἡ δὲ τοῦ σπερματικοῦ περιττώματος ἔκκρισις, οὐκ ἀκάθαρτος· ποιητὴς γὰρ τοῦ σώματος ὁ Θεός· τῶν δ' ὑπὸ Θεοῦ κτισθέντων οὐδὲν ὑπάρχει ἀκάθαρτον. Οἷς δὲ ἀκαθαρσία νενόμισται ἡ γονὴ, μανιχαΐζειν ὑπόληψιν δώσουσιν, ἢ τῆς τῶν Βογομίλων μετέχειν αἱρέσεως· ἐπεὶ καὶ οὗτοι κατά γε τὸ διττὰς εἰσάγειν ἀρχὰς, καὶ τὸ σῶμα κτίσμα λέγειν τοῦ πονηροῦ, προδήλως μανιχαΐζουσι. Χρὴ γοῦν ὑποστέλλεσθαι τοὺς τὴν ἔκκρισιν τῆς γονῆς μολυσμὸν οἰομένους καὶ λέγοντας, ἐξ ἧς τὴν ἡμετέραν σάρκα συμπήγνυσθαι ὁ ἀριστοτέχνης Θεὸς ᾠκονόμησεν, ἵνα μὴ τῆς βεβήλου ταύτης μετέχειν αἱρέσεως δόξωσιν· εἰ γὰρ ἀκάθαρτος ἡ γονὴ, καὶ ἡ ἐκ ταύτης συνισταμένη σὰρξ πάντως ἔσται ἀκάθαρτος· καὶ ὡς ἐκ θολερᾶς καὶ βορβορώδους πηγῆς οὐ νᾶμα πρόεισι καθαρὸν, ἀλλὰ ῥυπῶδες καὶ θολερὸν, τὸν αὐτὸν τρόπον, εἰ μεμόλυνται ἡ γονὴ, καὶ ἡ σὰρξ, ἣ ἐξ αὐτῆς οὐσίωται, μεμολυσμένη ἐστὶ καὶ ἀκάθαρτος· καὶ ἀντιστρόφως αὖθις, εἰ ἀκαθαρσία τὸ σπέρμα ἐστὶ, καὶ τὸ σῶμα, ἐξ οὗ κενοῦται, ἀκάθαρτον· καὶ οὕτω τὸ σῶμα δὴ τὸ ἡμέτερον, κτίσμα τοῦ πονηροῦ λογισθήσεται· οὐδὲν γὰρ τῶν ὑπὸ Θεοῦ γενομένων, κακόν·

τὸ δὲ μεμολυσμένον, κακόν· εἰ δὲ κακόν· οὐ κτίσμα Θεοῦ. Συνάγεται λοιπὸν, εἰ ταῦτα δῶμεν, ἔργον εἶναι τὴν σάρκα τοῦ πονηροῦ· ὅπερ, ὡς εἴρηται, τῆς τῶν Μανιχαίων αἱρέσεως, ἧς καὶ οἱ Βογόμιλοι συμμετέχουσιν· οἷς καί τι πλέον εἰσῆκται καὶ ἀσεβέστερον. Ἐν ταῖς καθ᾽ ὕπνους φαντασίαις αὐτοὺς τοὺς δαίμονας ληροῦσιν ἀσελγαίνειν εἰς τὰ σώματα τὰ ἀνθρώπινα, ἢ ποιοῦντας εἰς τοὺς τὴν φαντασίαν ὑφισαμένους, ἢ πάσχοντας ὑπ᾽ αὐτῶν. Τοὺς γοῦν μίασμα τὴν τῆς γονῆς νομίζοντας ἔκκρισιν, εἴ τινες τῆς δόξης ταύτης τῆς μυσαρᾶς μετέχειν νομίζοιεν, οὐ κρίσεως ἀφεστηκέναι νομισθεῖεν ὀρθῆς;

Ἀλλ᾽ ἐρεῖ τις ἴσως, ὅτι τῶν μὲν μολυσμὸν ἡγουμένων τὴν τῆς γονῆς ἐκροὴν καθήψω σφοδρῶς, μακρὸν περὶ τούτων κενώσας λόγον· τί δὲ ποιητέον αὐτοῖς, ἢ πῶς οἰκονομητέον τοὺς τοιούτοις τολμήμασι περιπίπτοντας, οὐ προστέθεικας· τὸ δὲ μέμφεσθαι, τοῦ βουλομένου παντός· τὸ δὲ διορθοῦσθαι τὸν σφαλλόμενον, ἄριστον. Ἵνα γοῦν μὴ χώραν δῶμεν ταῦτα λέγειν τινὶ, φαμὲν, ὅτι μάλιστα μὲν καὶ τοῖς ἤδη ῥηθεῖσιν ἐμπεριείληπται, τί μὲν τῶν νυκτερινῶν φαντασμάτων ἀνέγκλητον, τί δ᾽ ὑπὸ ἐπιτίμησιν· εἰρήσεται δὲ καὶ αὖθις σαφέστερον. Οἷς τοίνυν ἀφάνταστος τοῦ σπέρματος ἡ ἀπόκρισις, διωθουμένης τῆς φύσεως τὸ περίττωμα, καὶ οἷς ἂν καὶ μετὰ φαντασίας τοῦτο ἐπισυμβῇ, ἀπαθοῦς τοῦ λογισμοῦ διαμείναντος, καὶ μὴ μολυνθέντος πρότερον ἐκ συγκαταθέσεως, τὸ πάθος ἀκόλαστον καὶ ἀνεπιτίμητον· καὶ οὔτε τῆς μεθέξεως οὗτοι τῆς ἀναιμάκτου θυσίας εἰρχθήσονται, κατὰ τοὺς θείους Πατέρας, οὔτε μὴν ὡς ὑποστάντες μολυσμὸν λογισθήσονται. Εἰ γὰρ ὁ λογισμὸς αὐτοῖς οὐ μεμόλυνται, ἢ μηδὲ προσβαλούσης ἐνθυμήσεως αὐτῷ πονηρᾶς, ἢ, κἂν προσέβαλε, μὴ προσδεχθείσης, ἢ, κἂν προσεδέχθη, μὴ προσμεινάσης, ἀλλ᾽ ἐγκαταλειφθείσης, κατὰ τὸν μελῳδὸν, ἀποσκευασθείσης δηλαδὴ καὶ ἀποπεμφθείσης, τὸ δὲ σῶμα διὰ τῆς σπερματικῆς ἐκκρίσεως οὐ μεμίανται, (οὔτε γὰρ ἡ σὰρξ κακὸν, ὡς κτίσμα Θεοῦ, οὔτε μὴν τὰ ταύτης ἐκρέοντα, καὶ ταύτης συστατικὰ,) ἡ ἐπιτίμησις, ἢ τῆς τῶν ἁγιασμάτων μεθέξεως ἡ ἀποτροπὴ, διὰ τίνα λόγον ἔσεται εὔλογος; Οἷς δ᾽ ἐμπαθὴς προϋπέκειτο λογισμὸς, καὶ πονηρὸν ἐνθύμιον προσβαλὸν προσεδέχθη τε καὶ προσέμεινε, καὶ τῷ νῷ ἐνεφιλοχώ-



ρησε, καὶ ἡδύνθη αὐτῷ ἡ τούτου διαλογὴ, ὡς τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἤδη συστῆναι, τούτοις δὲ νυκτερινὴ φαντασία ἐπηκολούθησε, καὶ ῥύσις γονῆς ἐπιγέγονεν, οὗτοι καὶ ὑπὸ αἰτίασιν ἔσονται, καὶ ὑπὸ ἐπιτίμησιν, οὐ διὰ τὴν σπερματικὴν ἐκροὴν, ἀλλὰ διὰ τὴν κατὰ διάνοιαν ἁμαρτίαν, καὶ τὸν τοῦ λογισμοῦ μολυσμόν. Κἂν γὰρ μήτε φαντασία νυκτερινὴ αὐτοῖς ἐπιγένηται, μήτε ῥύσις γονῆς, οὐδὲν ἧττον μεμόλυνταί τε τὸν λογισμὸν, καὶ τὴν ἐπιτίμησιν οὐκ ἐκφεύξονται. Ἔστι δ᾽ ὃς, καὶ λογισμοῦ μὴ προϋπάρξαντος ἐμπαθοῦς, μήτε μὴν τῆς κατὰ διάνοιαν ἁμαρτίας τελεσθείσης, ἐν ὕπνοις φαντασθεὶς, καὶ σπερματικὸν ἐκκρίνας περίττωμα, οὐκ ἀνέγκλητος. Ποῖος δὲ οὗτος; Ὃς ἐξ ἀκρασίας τῆς περὶ βρῶσιν καὶ πόσιν, καὶ τὴν γαστέρα ἐβάρυνε, καὶ τὸν νοῦν συνεθόλωσε, καὶ ὕπνον ἀδελφὸν ὑπνώττων θανάτῳ, φαντασίᾳ περιπέπτωκε, καὶ σπέρμα ἐξέκρινε· καὶ οὗτος γὰρ αὐτὸς ἑαυτῷ διὰ τὴν ἀκρασίαν τοῦ φαντάσματος ὁ αἴτιος· καὶ ὁ τὰ κατ᾽ ἐκεῖνον οἰκονομῶν, ὡς συνίδῃ συμφέρειν τῷ ἀνθρώπῳ, ἐπενέγκῃ τὴν ἐπιτίμησιν.

# ΠΙΝΑΞ ΑΝΑΛΥΤΙΚΟΣ

## ΑΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΩ ΤΕΤΑΡΤΩ ΤΟΜΩ

## ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ, κτλ.

Μετὰ τῆς συμφωνίας αὐτῶν.

### ΚΑΝΟΝΕΣ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ.

Α'. Ὅτι ἀδήλου οὔσης ἀκριβῶς τῆς ὥρας, καθ' ἣν ἀνέστη ὁ Κύριος, οἱ μετὰ τὸ μεσονύκτιον τοῦ μεγάλου Σαββάτου ἀπονηστιζόμενοι, ἀνέγκλητοι. — Ἀπ. ξς'. Τῆς ς'. πθ'. Σελ. 1
Β'. Περὶ τοῦ μὴ μεταλαμβάνειν τὰς ἐν ἀφέδρῳ γυναῖκας. — Λαοδ. μδ'. Τιμοθ. ς'. ζ'. 7
Γ'. Περὶ τοῦ ἐν καιρῷ προσευχῆς, καὶ νηστείας, ἀπέχεσθαι ἀλλήλων τοὺς ὁμοζύγους.—Τῆς ς'. ιγ'. Τιμοθ. ε. ιγ'. 9
Δ'. Περὶ τῶν ὀνειρωξάντων, ὅτι, εἰ εὐσυνείδητοι, μεταλαμβανέτωσαν. — Τιμ. ιβ'. Ἀθαν. ά. Νης. σελ. 436. 12

### ΤΟΥ ΑΓΙΟΥ ΠΕΤΡΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Α'. Περὶ τῶν μετὰ πολλὰς βασάνους ἐξομοσάντων. Νύσσ. β'. 14
Β'. Περὶ τῶν μετὰ εἱρκτὴν μόνην. 16
Γ'. Περὶ τῶν διὰ δειλίαν μόνην. 17
Δ'. Περὶ τῶν ἐξομοσάντων, καὶ μὴ μετανοούντων. 18
Ε'. Περὶ τῶν ὑποκριναμένων τὰ πρὸς ἄρνησιν. 19
ς'. Περὶ τῶν ὑποβεβλημένων εἰς τοῦτο δούλων ἀναγκαστικῶς παρὰ τῶν οἰκείων δεσποτῶν. 22
Ζ'. Περὶ τῶν ὑποβαλόντων αὐτοὺς δεσποτῶν. 22
Η'. Περὶ τῶν παραδεδομένων, καὶ ἐκπεπτωκότων, εἶτα ἀναπαλαισάντων. 23
Θ'. Περὶ τῶν εἰς τὸν ἀγῶνα τοῦ μαρτυρίου ὠδίνοντα παραπηδώντων. 25
Ι'. Ὅτι ὁ ἐν διωγμῷ αὐτομολήσας, ἐκπεπτωκώς τε καὶ ἀναπαλαίσας κληρικός, οὐ δύναται ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι.

— Απ. ξϐ'. τῆς Α'. ι. Αγκύρ. ά. ϐ'. γ'. ιϐ'. Πέτρου ιδ'. Αθαν. πρὸς Ῥουφ. Βασιλ. μέ. Θεοφ. ϐ'. Σελ. 2)

ΙΑ'. Περὶ τῶν ζήλῳ μὲν καλῷ αὐτομολησάντων, ἡττηθέντων δὲ, καὶ διὰ τοῦτο ὕστερον ἀποδυρομένων. 34

ΙΒ'. Περὶ τῶν δόντων ἀργύρια ὥστε μὴ ἀρνήσασθαι. 37

ΙΓ'. Περὶ τῶν ἐασάντων τὰς ἰδίας περιουσίας, καὶ φυγόντων, ἀνθ' ὧν ἄλλοι κατεσχέθησαν, ὅτι ἀνέγκλητοι. 39

ΙΔ'. Περὶ τῶν, οἷς ϐίαν πολλὴν οἱ εἰδωλολάτραι ἐπήγαγον. 44

ΙΕ'. Περὶ τοῦ ἐν μὲν τετράδι καὶ παρασκευῇ νηστεύειν, ἐν δὲ Κυριακῇ μηκέτι, μηδὲ γονυκλιτεῖν. — Απ. ξθ'. Τῆς ς'. κθ'. πθ'. Λαοδ. μθ'. νά. νϐ'. Πέτρ. ιέ. Διον. ά. Τιμοθ. ή. ι. 43

## ΓΡΗΓΟΡΙΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Α'. Περὶ τῶν ἀναγκαστικῶς ἐσθιόντων εἰδωλόθυτα, καὶ περὶ τῆς ϐιαζομένης αἰχμαλώτου. — Πέτρ. ιδ'. 45

Β'. Περὶ τῶν καταπλεονεκτούντων τῶν ἀλλοτρίων, καὶ μάλιστα ὧν οἱ ἐχθροὶ ἐφείσαντο. 50

Γ'. Ὅτι τὸ ἐκ τοιαύτης ἁρπαγῆς κέρδος, ὀλεθριώτερον τῆς πράξεως τοῦ Ἄχαρ. 53

Δ'. Ὅτι εἰ οὐκ ἔξεστι τῷ εὑρόντι ἀποκερδαίνειν τὰ παρ' ἄλλου ἀπολεσθέντα, πολλῷ μᾶλλον τὰ τοῦ φεύγοντος τοὺς πολεμίους. 55

Ε'. Περὶ τῶν ἁρπαζόντων τὰ τῶν ἄλλων, ἐπεὶ παρ' ἄλλων τὰ ἑαυτῶν ἡρπάγησαν. 58

ς'. Περὶ τῶν ϐίᾳ κατεχόντων τοὺς τὰς τῶν ϐαρϐάρων χεῖρας διαφυγόντας. 59

Ζ'. Περὶ τῶν ἐγκαταλεχθέντων τοῖς ϐαρϐάροις, καὶ ἄτοπά τινα κατὰ τῶν ὁμοφύλων τολμησάντων. 60

Η'. Περὶ τῶν οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμησάντων ἐν τῇ τῶν ϐαρϐάρων ἐπιδρομῇ. 62

Θ'. Περὶ τῶν ἐν τῷ πεδίῳ, ἢ ἐν τοῖς ἰδίοις οἴκοις εὑρόντων τὰ ὑπὸ τῶν ϐαρϐάρων ὑπολειφθέντα. 64

Ι'. Περὶ τοῦ μὴ ἀπαιτεῖν εὕρητρα. 65

ΙΑ'. Περὶ τῶν τόπων τῆς μετανοίας. — Βασιλ. οέ. 66



## ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Ἐπιστολὴ πρὸς Ἀμμοῦν μονάζοντα, περὶ τῆς ἀϐουλήτου φυσικῆς ἐκκρίσεως. — Διον. δ'. Τιμ. ιϐ'. Νης. Σελ. 436. 67

Ἐκ τῆς λθ'. ἑορταστικῆς ἐπιστολῆς, περὶ κεκανονισμένων ἱερῶν ϐιϐλίων. — Απ. πέ. Λαοδ. ξ'. Καρθ. κδ'. (λϐ'.) 78

Ἐπιστολὴ πρὸς Ῥουφινιανὸν περὶ τῶν αἱρετικοῖς κοινωνησάντων. 82

## ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Προοίμιον τῆς Α'. Κανονικῆς ἐπιστολῆς. 88

Α'. Τίνες ἀναϐαπτίζονται; — Απ. μς'. τῆς Α'. ή. τῆς Β'. ζ'. τῆς ς'. ϞέΛαοδ. ζ'. 89

Β'. Περὶ τῆς φθειράσης κατ' ἐπιτήδευσιν τὸ ἔμϐρυον. — Απ. ξέ. τῆς ς'. ϞΑ. Αγκ. κά. Βασιλ. π'. 96

Γ'. Περὶ διακόνου πορνεύσαντος. — Απ. κέ. τῆς ς'. κά. Καρθ. κζ'. (λέ.) Βασιλ. λϐ'. μδ'. νά. 98

Δ'. Ἐπιτίμιον τῶν διγάμων. — Νεοκ. γ'. ζ'. Βασιλ. ν'. π'. 102

Ε'. Περὶ αἱρετικῶν μετανοούντων ἐν τῷ τέλει. — Τῆς Β'. ζ'. Νεοκ. ιϐ'. 107

ς'. Περὶ τοῦ μὴ καταλογίζεσθαι εἰς γάμον τὰς ἀθέσμους συναφείας τῶν κανονικῶν, ἀλλ' ἐκ παντὸς τρόπου διασπᾷν αὐτάς. — Απ. κς'. τῆς Δ'. ιδ'. ιέ. ις'. τῆς ς'. δ'. ς'. Αγκύρ. ι. Βασιλ. ιή. κ'. ξ'. 108

Ζ'. Τῶν ἀῤῥενοφθόρων, ζωοφθόρων, φονέων, φαρμακῶν, μοιχῶν, καὶ εἰδωλολατρῶν ἡ αὐτὴ ἐπιτιμία. — Απ. μή. ξέ. τῆς Α'. ιά. τῆς ς'. ξά. πζ'. Αγκ. ις'. ιζ'. κ'. Βασιλ. ξϐ'. Νύσσ. δ'. Νης. σελ. 434. 438. 441. 442. 110

Η'. Περὶ φόνου, καὶ φονέων. — Απ. ξς'. τῆς ς'. ϟά. Αγκ. κά. κϐ'. κγ'. Βασιλ. ϐ'. ιά. ιγ'. λγ'. μγ'. νϐ'. νδ'. νς'. νζ'. Νύσσ. έ. Νης. σελ. 442. 112

Θ'. Ὅτι ὁ ἀνὴρ καὶ μοιχεύων, οὐ καταλειπτέος ὑπὸ τῆς γυναικὸς, ἡ δὲ γυνὴ μοιχευομένη, καταλιμπάνεται. — Απ. μή. τῆς ς'. πζ'. Αγκ. κ'. Καρθ. ρϐ'. (ριγ'.) Βασιλ. ι. ιή. κά. λέ. οζ'. 120

Ι'. Περὶ τῶν ὀμνυόντων μὴ καταδεχθῆναι τὴν χειροτονίαν. — Τῆς ς'. ϞΔ'. Βασιλ. κή. κθ'. ξδ'. πϐ'. 124

ΙΑ'. Περὶ τοῦ ἀκουσίως φονεύσαντος. — Απ. ξς'. τῆς ς'. Ϟά.

Ἀγκ. κά. κϐ'. κγ'. Βασιλ. ϐ'. ιγ'. λγ'. μγ'. νϐ'. νδ'. νς'. νζ'. Νύσσ. έ. Νης. σελ. 442. 129
ΙΒ'. Ὅτι οἱ δίγαμοι παντελῶς ἀποκλείονται τῆς ὑπηρεσίας. — Ἀπ. ιζ'. τῆς ς'. γ'. Νεοκ. γ'. ζ'. Βασ. δ'. ν'. π'. 131
ΙΓ'. Περὶ τῶν ἐν πολέμοις φονευσάντων. — Ἀπ. κζ'. ξέ. τῆς ς'. Ϟά. Ἀγκ. κά. κϐ'. κγ'. Βασιλ. ϐ'. ή. ιά. ιγ'. μγ'. νδ'. νς'. νζ'. Νύσσ. έ. Ἀντιοχ. ά. 131
ΙΔ'. Περὶ τοῦ πότε οἱ τοκισταὶ ἱερῶνται. — Ἀπ. μδ'. τῆς Α'. ιζ'. τῆς ς'. ί. Λαοδ. δ'. Καρθ. έ. ις'. (κ'.) 134
ΙΕ'. Περὶ τοῦ μὴ ἀκριϐολογεῖν γραμματικὴν ἐν τῇ Γραφῇ, καὶ περὶ τῶν ἐν τῷ η'. ψαλμῷ ἰχθύων. 135
Ις'. Περὶ Νεεμὰν τοῦ Σύρου. 136
ΙΖ'. Περὶ τοῦ κατ' ἰδίαν ἱερουργεῖν τοὺς ὀμόσαντας, καὶ μὴ παῤῥησίᾳ. 138
ΙΗ'. Περὶ καθομολογητημένων παρθενίαν, καὶ ἐκπεσουσῶν. — Τῆς ς'. μ'. μδ'. 140
ΙΘ'. Περὶ τῶν ταττομένων ἀνδρῶν ἐν τοῖς μονάζουσι, καὶ μὴ ὁμολογούντων παρθενίαν. — τῆς Δ'. ζ'. ις'. τῆς ς'. μδ'. Ἀγκ. ιθ'. Καρθ. ις'. (ιθ'.) Βασιλ. ς'. ιη'. κ'. ξ'. 145
Κ'. Περὶ τῶν ἐν αἱρέσει ἔτι οὐσῶν, καὶ ὁμολογησασῶν παρθενίαν. — Τῆς Α'. ιδ'. Νεοκ. έ. Λαοδ. ιθ'. Βασιλ. δ'. Τιμοθ. ς'. Κυρίλλ. έ. 146
ΚΑ'. Περὶ ἐγγάμου ἀνδρὸς ἐλευθέρᾳ συμφθαρέντος. — Βασιλ. ιθ'. Νύσσ. δ'. Νεοκαισ. ή. 149
ΚΒ'. Περὶ τοῦ ἁρπάσαντος γυναῖκα ὑπεξουσίαν. — Τῆς Δ'. κζ'. τῆς ς'. Ϟϐ'. Ἀγκ. ιά. Βασιλ. λ'. λή. μϐ'. νγ'. 150
ΚΓ'. Περὶ τῶν δυσὶν ἀδελφαῖς, ἢ ἀδελφοῖς, γαμουμένων. — Ἀπ. ιθ'. τῆς ς'. γ'. κς'. Νεοκ. ϐ'. Βασιλ. οή. Θεοφ. έ. 154
ΚΔ'. Περὶ χηρευουσῶν, καὶ χηρευόντων, εἰς γάμον ἐρχομένων. — Νεοκ. γ'. ζ'. Βασιλ. δ'. ν'. π'. Νικηφ. ϐ'. 154
ΚΕ'. Ὅτι συγχωρεῖταί τις ἔχειν γυναῖκα ἣν ἔφθειρε. — Ἀπ. ξζ'. Βασιλ. κϐ'. κς'. λ'. 157
Κς'. Ὅτι κρεῖττον μέντοι χωρίζεσθαι. — Ἀπ. ξζ'. Βασιλ. κϐ'. κέ. 159
ΚΖ'. Περὶ τοῦ ἀθέσμῳ γάμῳ περιπαρέντος ἐν ἀγνοίᾳ πρεσϐυτέρου. — Ἀπ. ιθ'. τῆς ς'. γ'. κς'. νδ'. 161
ΚΗ'. Περὶ τοῦ ἐπαγγειλαμένου ἀπέχεσθαι θείων κρεῶν. 164
ΚΘ'. Περὶ τοῦ ὀμνύοντος εἰς τὸ κακοποιῆσαι. — Ἀπ. κέ. τῆς ς'. Ϟδ'. Βασιλ. ί. κή. ξδ'. πϐ'. 165
Λ'. Περὶ τῶν ἁρπαζόντων γυναῖκας ἐλευθέρας. — Τῆς δ'. κζ'. 169
ΛΑ'. Περὶ τῆς συνοικησάσης ἑτέρῳ ἀνδρί, πρὸ τοῦ πληροφορηθῆναι τοῦ οἰκείου τὸν θάνατον. — Τῆς ς'. Ϟγ'. Βασιλ. λς'. μς'. 173
ΛΒ'. Περὶ τῶν τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτανόντων. — Τῆς ς'. δ'. κα'. Βασιλ. γ'. μδ'. να'. 173
ΛΓ'. Περὶ τῆς ἀμελησάσης τοῦ κυήματος. — Ἀπ. ξϐ'. Βασιλ. νϐ'. Νης. σελ. 443. 175
ΛΔ'. Περὶ τοῦ μένειν ἀδημοσιεύτους τὰς μοιχευθείσας, ἄνευ μέντοι κοινωνίας. — Νης. σελ. 438. 177
ΛΕ'. Περὶ τῆς ἀλόγως ἐγκαταλιπούσης τὸν σύνευνον. — Ἀπ. μή. Τῆς ς'. πζ'. Ἀγκ. κ'. Καρθ. ρϐ'. (ριγ'.) Βασιλ. θ'. κθ'. λζ'. οζ'. Τιμοθ. ιε'. 179
Λς'. Περὶ γαμηθεισῶν στρατιωτίδων πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου τῶν οἰκείων ἀνδρῶν. — Τῆς ς'. Ϟγ'. Βασιλ. λγ'. μς'. 180
ΛΖ'. Περὶ τοῦ γαμήσαντος μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν. 181
ΛΗ'. Περὶ τῶν παρὰ γνώμην τοῦ πατρὸς ἀκολουθησασῶν κορῶν. — Βασιλ. κϐ'. 182
ΛΘ'. Περὶ τῆς μοιχῷ συζώσης. — Βασιλ. λε'. 184
Μ'. Περὶ τῆς παρὰ γνώμην τοῦ δεσπότου γημαμένης. — Ἀπ. πϐ'. τῆς Δ'. δ'. τῆς ς'. πέ. Γάγγρ. γ'. Καρθ. πϐ'. (Ϟ'.) Βασιλ. μά. μϐ'. νγ'. 185
ΜΑ'. Περὶ τῆς ἐν Κυρίῳ γαμουμένης χήρας. — Βασιλ. μ'. καὶ οἱ αὐτοὶ καν. 185
ΜΒ'. Περὶ τῶν ἄνευ τῶν κρατούντων γινομένων γάμων. — Ἀπ. πϐ'. Βασιλ. λή. μ'. μά. 189
ΜΓ'. Περὶ τοῦ πληγὴν θανάτου δόντος. — Ἀπ. ξέ. τῆς ς'.

ϞΑ΄. Ἀγκ. κα΄. κβ΄. κγ΄. Βασιλ. β΄. η΄. ια΄. ιγ΄. λγ΄. νβ΄. νδ΄. νς΄. νζ΄. Νύσσ. ε΄. σελ. 190

ΜΔ΄. Περὶ τῆς συμπορνευσάσης ἕλληνι διακόνου. — Ἀπ. κε΄. τῆς ς΄. δ΄. κα΄. Καρθ. λε΄. Βασιλ. λβ΄. ν΄. να΄. ο΄. 191

ΜΕ΄. Περὶ τοῦ ἐνυβρίζοντος Χριστιανοῦ τὸν Χριστόν. 194

Μς΄. Περὶ τῆς γημαμένης κατ᾿ ἄγνοιαν ἀνδρὶ καταλειφθέντι πρὸς καιρὸν ὑπὸ τῆς ἰδίας. — Τῆς ς΄. ϞΓ΄. Βασιλ. λα΄. λς΄. 195

ΜΖ΄. Περὶ τοῦ τίνας ἀναβαπτίζεσθαι χρεών. — Βασιλ. α΄. 197

ΜΗ΄. Περὶ τῆς ἐγκαταλειφθείσης ὑπὸ τοῦ οἰκείου ἀνδρός. 199

ΜΘ΄. Περὶ τῆς πρὸς ἀνάγκην τῶν γυναικῶν φθορᾶς. — Γρηγ. β΄. Νικηφ. κ΄. 202

Ν΄. Περὶ τριγαμίας. Νεοκ. β΄. Βασιλ. δ΄. π΄. 203

ΝΑ΄. Περὶ τοῦ μίαν προσήκειν τιμωρίαν τοῖς παραπεσοῦσι τῶν κληρικῶν. — Ἀπ. κε΄. λ΄. τῆς ς΄. δ΄. κα΄. Καρθ. κζ΄. (λε΄.) Βασιλ. γ΄. λβ΄. μδ΄. 206

ΝΒ΄. Περὶ τῆς ἀμελησάσης καθ᾿ ὁδὸν τοῦ κυήματος. — Ἀπ. ξε΄. Βασιλ. λγ΄. Νηστ. 448. 207

ΝΓ΄. Περὶ χήρας δούλης, δεύτερον γημαμένης. — Βασιλ. λη΄. 209

ΝΔ΄. Κατὰ τὴν περίστασιν οἱ ἀκούσιοι φόνοι παιδευέσθωσαν. — Ἀπ. κζ΄. ξε΄. τῆς ς΄. ϞΑ΄. Ἀγκ. κα΄. κβ΄. κγ΄. Ἀντιοχ. α΄. Βασιλ. β΄. η΄. ια΄. ιγ΄. μγ΄. νς΄. νζ΄. Νύσσ. ε΄. 211

ΝΕ΄. Περὶ τῶν ἀντεπεξιόντων τοῖς λῃσταῖς. — Ἀπ. ξε΄. Βασιλ. ιγ΄. 212

Νς΄. Περὶ τοῦ ἑκουσίως φονεύσαντος. — Ἀπ. ξε΄. τῆς Α΄. ια΄. Νύσσ. ε΄. Νηστ. σελ. 442. 215

ΝΖ΄. Περὶ τοῦ ἀκουσίως φονεύσαντος. — Ἀπ. ξε΄. τῆς Α΄. ια΄. Βασιλ. νς΄. Νύσσ. ε΄. Νηστ. σελ. 442. 215

ΝΗ΄. Περὶ μοιχοῦ. — Ἀγκ. κ΄. Νύσσ. δ΄. Νηστ. σελ. 438. 216

ΝΘ΄. Περὶ πόρνου. — Βασιλ. κβ΄. Νύσσ. δ΄. Νηστ. 437. 216

Ξ΄. Περὶ τῆς ἐπαγγειλαμένης παρθενίαν, καὶ ἐκπεσούσης. — Τῆς Α΄. ις΄. τῆς ς΄. μδ΄. Ἀγκ. ιθ΄. Καρθ. ις΄. (ιθ΄.) Βασιλ. ς΄. ιη΄. ιθ΄. κ΄. 217

ΞΑ΄. Περὶ κλέψαντος, καὶ ἢ ὁμολογήσαντος, ἢ ἐλεγχθέντος. — Γρηγορ. Νεοκ. γ΄. δ΄. ε΄. ς΄. Νύσσ. δ΄. 219

ΞΒ΄. Περὶ ἀρσενοκοίτου. — Βασιλ. ζ΄. Νύσσ. δ΄. 220

ΞΓ΄. Περὶ κτηνοβάτου. — Ἀγκ. ις΄. ιζ΄. Βασιλ. ζ΄. Νύσσ. δ΄. 220

ΞΔ΄. Περὶ ἐπιόρκου. — Τῆς ς΄. ϞΔ΄. 221

ΞΕ΄. Περὶ γόητος, ἢ φαρμακοῦ. — Βασιλ. οβ΄. πγ΄. 221

Ξς΄. Περὶ τυμβωρύχου. — Νύσσ. ζ΄. 222

ΞΖ΄. Περὶ ἀδελφομίκτου. — Βασιλ. οε΄. 222

ΞΗ΄. Περὶ ἀπειρημένου διὰ συγγένειαν συνοικεσίου. — Ἀγκ. κ΄. τῆς ς΄. νδ΄. Βασιλ. νη΄. πζ΄. 222

ΞΘ΄. Περὶ ἀναγνώστου τῇ μνηστῇ τῇ ἑαυτοῦ συναλλάξαντος, ἢ κλεψιγαμήσαντος. — Ἀπ. κς΄. τῆς Δ΄. ιδ΄. τῆς ς΄. ις΄. Καρθ. ς΄. κε΄. κβ΄. (λγ΄.) 223

Ο΄. Περὶ διακόνου, ἢ πρεσβυτέρου, ἐν χείλεσι μιανθέντων. 228

ΟΑ΄. Περὶ τοῦ συνεγνωκότος τινὶ τῶν προειρημένων ἁμαρτημάτων. — Ἀγκ. κε΄. 230

ΟΒ΄. Περὶ τοῦ δόντος ἑαυτὸν μάντεσι. — Τῆς ς΄. ξα΄. Βασιλ. ξε΄. 232

ΟΓ΄. Περὶ τοῦ ἀρνησιχρίστου. — Ἀπ. ξβ΄. Ἀγκ. α΄. β΄. ιβ΄. Πέτρ. η΄. 233

ΟΔ΄. Περὶ τῆς οἰκονομίας τοῦ πεπιστευμένου τὰς ἐξαγορείας. — Τῆς Α΄. ιβ΄. τῆς ς΄. ρβ΄. Ἀγκ. β΄. ε΄. ζ΄. Βασιλ. β΄. γ΄. Νύσσ. δ΄. ε΄. ζ΄. η΄. 235

ΟΕ΄. Περὶ τοῦ ἀδελφῇ ἑτεροθαλεῖ συμμιαινομένου. — Βασιλ. ξζ΄. 238

Ος΄. Περὶ τοῦ τῇ νύμφῃ. — Βασιλ. οη΄. οθ΄. 239

ΟΖ΄. Περὶ τοῦ καταλιμπάνοντος τὴν ἰδίαν γυναῖκα. — Ἀπ. μη΄. Τῆς ς΄. πζ΄. Ἀγκ. κ΄. Καρθ. ρβ΄. (ριγ΄.) Βασιλ. θ΄. κθ΄. λε΄. λζ΄. Τιμοθ. ιε΄. 239

ΟΗ΄. Περὶ τῶν δύω ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον. — Ἀπ. ιθ΄. Νεοκαισαρ. β΄. 240

ΟΘ΄. Περὶ τῶν μητρυιομίκτων. — Βασιλ. ξγ΄. οε΄. Νηστευτ. σελ. 440. 241

Π΄. Περὶ πολυγαμίας. — Βασιλ. δ΄. κβ΄. ν΄. 242

ΠΑ′. Περὶ τῶν διὰ βασάνους ἐξομοσάντων. — Τῆς Α′. ιδ′. τῆς ς′. Ϟδ′. Ἀγκ. δ′. ς′. ε′. Πέτρ. γ′. Βασιλ. ογ′. Νύσσ. β′. σελ. 245

ΠΒ′. Περὶ τῶν ἐπιορκησάντων. — Τῆς ς′. Ϟδ′. Βασιλ. ξδ′. 248

ΠΓ′. Περὶ τῶν καταμαντευομένων. — Τῆς ς′. ξα′. Ἀγκ. κδ′. Λαοδ. λς′. Βασιλ. ζ′. ξε′ οβ′. Νύσσ. γ′. 250

ΠΔ′. Περὶ τοῦ μὴ τῷ χρόνῳ, ἀλλὰ τῷ τρόπῳ κρίνεσθαι τὴν μετάνοιαν. — Τῆς Α′. ιβ′. Τῆς ς′. ρβ′. Νύσσ. δ′. ε′. Βασιλ. γ′. 253

ΠΕ′. Περὶ τοῦ διαμαρτύρεσθαι μὲν τοὺς πνευματικοὺς τοῖς ἐξαγορευομένοις, μὴ συναπάγεσθαι δὲ ταῖς τούτων πονηρίαις. 255

Πς′. Περὶ κρεωφαγίας. — Νηστ. 435. 257

ΠΖ′. Περὶ τοῦ δύω ἀδελφὰς ἀγομένου. — Βασιλ. κθ′. 260

ΠΗ′. Περὶ πρεσβυτέρου συνείσακτον ἔχοντος. — Τῆς Α′. γ′. τῆς ς′. ε′. ι′. τῆς Ζ′. ιη′. κβ′. Ἀγκ. κ′. Καρθ. λη′. (με′.) 269

ΠΘ′. Περὶ ὑπηρετῶν τῆς Ἐκκλησίας. — Ἀγκ. ιγ′. Νεοκ. ιδ′. Ἀντιοχ. η′. ι′. Λαοδ. νζ′. Σαρδ. ς′. 275

Ϟ′. Περὶ τῶν ἐπὶ χρήμασι χειροτονούντων. — Ἀπ. κθ′. τῆς Δ′. β′. τῆς ς′. κβ′. κγ′. τῆς Ζ′. δ′. ε′. ιθ′. Γενναδίου καὶ Ταρασίου ἐπιστολαί. 278

ϞΑ′. Περὶ τῶν μὴ δεχομένων τὴν, ἐν, συλλαβὴν ἐπὶ τοῦ Πνεύματος, καὶ περὶ παραδόσεων. — Τῆς Ζ′. ζ′. τῆς ς′. νε′. Γάγγρ. ιθ′. 283

ϞΒ′. Περὶ ἐγγράφων καὶ ἀγράφων παραδόσεων. 292

## ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΥΣΣΗΣ.

Α′. Περὶ τοῦ ὀφείλειν τὸν πνευματικὸν ἰατρὸν διαγινώσκειν τὴν ἕδραν τοῦ πάθους. 295

Β′. Περὶ τῶν ἀρνησαμένων. — Ἀγκ. γ′. ς′. Πέτρ. γ′. Βασιλ. λ′. ογ′. 303

Γ′. Περὶ τῶν ἀπιόντων εἰς γόητας. — Ἀγκ. κδ′. Βασιλ. ξε′. οβ′. πγ′. 306

Δ′. Περὶ πόρνων. — Βασιλ. νη′. νθ′. ξβ′. ξγ′. 308

Ε′. Περὶ ἑκουσίων καὶ ἀκουσίων φονέων, ὧν εἴ τινι ἐπαπειλεῖται θάνατος, ἐφεῖται μεταλαβεῖν, καίτοι προκεκωλυμένῳ. — Τῆς ς′. ρβ′. Βασιλ. οδ′. σελ. 314

ς′. Περὶ λῃστῶν, καὶ λαθροκλεπτῶν. Νηστ. 444. 320

Ζ′. Περὶ τυμβωρύχων ἀνακινούντων τὰ ὀστᾶ, ἢ μή. — Βασιλ. ξς′. 326

Η′. Περὶ ἱεροσύλων. — Τῆς ΑΒ′. ι′. Ἀγκ. κ′. Νύσσ. δ′. 328



## ΑΠΟΚΡΙΣΕΙΣ ΤΙΜΟΘΕΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Α′. Περὶ μεταλαβόντος ἐν ἀγνοίᾳ κατηχουμένου. 331

Β′. Περὶ τοῦ μὴ βαπτισθῆναι τὸν δαιμονῶντα. — Ἀπ. οθ′. τῆς ς′. ζ′. Τιμοθ. γ′. δ′. ιε′. 332

Γ′. Περὶ τοῦ αὐτοῦ, εἰ μεταλαμβάνειν ἐγχωρεῖται. — Ἀπ. οθ′. τῆς ς′. ζ′. Τιμοθ. β′. δ′. ιε′. Νικολ. δ′. 332

Δ′. Περὶ κατηχουμένου φρενητιάσαντος, εἰ ἐπιτρέπεται βαπτισθῆναι. — Ἀπ. οθ′. τῆς ς′. ξ′. Νεοκ. ιβ′. Λαοδ. μζ′. Καρθ. με′. (νβ′.) Τιμοθ. β′. γ′. ιδ′. ιε′. Βασιλ. ε′. Κυρίλλ. ε′. 333

Ε′. Περὶ τοῦ μὴ μεταλαμβάνειν τοὺς συγκαθευδήσαντας ὁμοζύγους. — Διονυσ. γ′. Τιμοθ. ιγ′. 334

ς′. Περὶ τοῦ μὴ βαπτισθῆναι τὴν ἐν ἀφέδρῳ. — Διονυσ. β′. Τιμοθ. ζ′. τῆς ς′. νθ′. 334

Ζ′. ὅτι καὶ βεβαπτισμένη οὐ μεταλαμβάνει ἐν ἀφέδρῳ οὖσα. — Διονυσ. β′. Τιμοθ. ς′. 335

Η′. Περὶ τοῦ μὴ νηστεύειν τὴν γεννήσασαν. — Ἀπ. ξθ′. τῆς ς′. κθ′. πθ′. Λαοδ. μθ′. ν′. να′. Διον. α′. Τιμοθ. ι′. 335

Θ′. Περὶ τοῦ μὴ λειτουργεῖν ἐπὶ παρουσίᾳ αἱρετικῶν. — Ἀπ. με′. ξε′. τῆς Γ′. β′. δ′. Λαοδ. ς′. θ′. λβ′. λγ′. λδ′. 336

Ι′. Ὅτι τῷ ἀσθενοῦντι ἐφεῖται λύειν τὴν νηστείαν. — Ἀπ. ξθ′. τῆς ς′. κθ′. πθ′. Λαοδ. μθ′. ν′. να′. Διον. α′. Τιμοθ. η′. 336

ΙΑ′. Περὶ κληρικοῦ καλουμένου εἰς τὸ ζεῦξαι γάμον παράνομον. 337

ΙΒ′. Περὶ ὀνειρασθέντος λαϊκοῦ, εἰ συγχωρεῖται μεταλαβεῖν. — Διονυσ. δ′. Ἀθαν. πρὸς Ἀμμοῦν. 338

ΙΓ′. Τῷ σαββάτῳ, καὶ Κυριακῇ ὀφείλουσιν ἀπέχεσθαι ἀλλήλων. — Διονυσ. γ′. Τιμοθ. ε′. 338

ΙΔ'. Περὶ αὐτοφονέως. σελ. 330
ΙΕ'. Περὶ τοῦ ἔχοντος γυναῖκα δαιμονῶσαν. — Ἀπ. μή. οθ'. τῆς ς'. ιγ'. πζ'. Ἀγκ. κ'. Καρθ. ρϐ.' (ριγ'.) Βασιλ. θ'. κά. λέ. λθ'. οζ'. 340
Ις'. Ὅτι συγχωρεῖται μεταλαβεῖν ὁ ἀκουσίως ὕδωρ καταπιών. 341
ΙΖ'. Περὶ ὠφελείας τῆς ἐκ τοῦ ἀκροᾶσθαι τῶν λόγων Κυρίου. 341
ΙΗ'. Περὶ τοῦ ποσαέτη ὀφείλουσι τὰ παιδία ἐξομολογεῖσθαι. 341

ΘΕΟΦΙΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Α'. Περὶ τῆς ἐν τῇ παραμονῇ τῶν Θεοφανείων νηστείας, εἰ τύχῃ ἐν Κυριακῇ. 342
Β'. Περὶ τοῦ πῶς χρηστέον τοῖς ἀρειανίσασιν ἐπισκόποις. — Ἀπ. μέ. ξή. τῆς Α. ή. Καρθ. μή. ξή. ϙγ'. (νζ'. οζ'. ρά.) Ἀθαν. πρὸς Ῥουφιν. Βασιλ. ά. 343
Γ'. Περὶ πρεσβυτέρου, εἰ ἐβιάσατο πρὸ τῆς χειροτονίας αὐτοῦ γυναῖκα ἀποταξαμένην ζῶντος τοῦ ἰδίου ἀνδρός. — Τῆς Α'. θ'. Νικολ. θ'. ί. Θεοφ. έ. ς'. 344
Δ'. Περὶ κληρικοῦ, ὃν καθεῖλεν ὁ οἰκεῖος ἐπίσκοπος. — Καρθ. ί. ιά. ιϐ'. 345
Ε. Περὶ διακόνου, εἰ πρὸ τοῦ βαπτίσματος τὴν οἰκείαν ἀδελφιδῆν ἔγημε. — Ἀπ. ιθ'. τῆς Α. θ'. Βασιλ. κ'. Θεοφ. ς'. 345
ς'. Περὶ ἀναγνώστου, εἰ ἐπόρνευσε, καὶ αὖθις ἐχειροτονήθη. — Τῆς Α'. θ'. Νεοκ. θ'. ί. Θεοφ. γ'. έ. 346
Ζ'. Περὶ τοῦ γίνεσθαι τὰς χειροτονίας, συμμαρτυρούντων καὶ τῶν ἁγίων. — Ἀπ. ϐ'. 347
Η'. Περὶ τοῦ τίνες ἐκχωροῦνται γεύεσθαι τῶν μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν θυσίαν. — Ἀπ. γ'. δ'. τῆς ς'. κή. λϐ'. νζ'. ϙθ'. Καρθ. λζ'. (μδ'.) Νικολ. έ. ί. Νικηφ. ιά. 348
Θ'. Περὶ τοῦ μὴ παιδεύεσθαί τινα κληρικὸν χωρὶς ἀξιοπίστων μαρτύρων. — Ἀπ. οδ'. οέ. τῆς Α'. ϐ'. τῆς Β'. ς'. Καρθ. ιϐ'. 349
Ι'. Περὶ ἐκλογῆς οἰκονόμου τῆς ἐπισκοπῆς. — Ἀπ. μά. τῆς Δ'. κς'. τῆς Ζ'. ιά. 350



ΙΑ'. Περὶ τοῦ τὰς χήρας, καὶ πένητας, καὶ ξένους, ἐκ τῶν τῆς Ἐκκλησίας βοηθεῖσθαι. — Ἀπ. λή. λθ'. μά. σελ. 350
ΙΒ'. Ὅτι οἱ Ναυατιανοὶ προσερχόμενοι χειροτονοῦνται. — Τῆς Α'. ή. 351
ΙΓ'. Περὶ τῶν μετανοούντων συζύγων ἀπὸ τῆς παρανόμου συνοικεσίας, καὶ διὰ τοῦτο ταχθέντων εἰς τοὺς κατηχουμένους. 352
ΙΔ'. Περὶ τῆς θεραπευσάσης τὴν ἀδικίαν, καὶ διὰ τοῦτο συγχωρηθείσης συνίστασθαι τοῖς πιστοῖς. — Γρηγορ. Νεοκ. γ'. δ'. έ. ς'. Βασιλ. ξά. Νύσσ. ς'. 354

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Α'. Περὶ τοῦ ποτνιωμένου διὰ τὸ ἐκϐληθῆναι τῆς ἐπισκοπῆς. Τῆς Δ'. θ'. ιζ'. Καρθ. ιθ'. (κζ'.) Θεοφ. ς'. Ὑπομν. περὶ Ἀγαπ. καὶ Βαγαδ. 355
Β'. Περὶ ἀπολήψεως ὧν ἀφῃρέθη ὁ αὐτὸς χρημάτων, καὶ περὶ τοῦ μὴ λογοπραγεῖσθαι αὐτόν. — Ἀπ. μά. τῆς Ζ'. ιϐ'. 358
Γ'. Περὶ ἀτοπίας τοῦ προσάγειν ἐν τῇ Ἐκκλησίᾳ παραίτησιν. — Τῆς Α'. θ'. τῆς γ'. Πέτρ. ί. 359
Δ'. Περὶ ἐρεύνης πρὸς τοὺς μέλλοντας κληροῦσθαι. — Ἀποστ. π'. 359
Ε'. Περὶ κατηχουμένων βαπτίσεως εἰ ἐξοδεύοιεν, καί τοι δι' ἁμαρτίαν κεκωλυμένων. — Τῆς Α'. ιγ'. ιδ'. Νεοκαισ. ιϐ'. 362

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Περὶ τοῦ τίνα χρὴ ἀναγινώσκεσθαι ϐιϐλία ἐκ τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης. 363

ΤΟΥ ΑΓΙΟΥ ΑΜΦΙΛΟΧΙΟΥ.

Περὶ τῆς αὐτῆς ὑποθέσεως. 365

ΓΕΝΝΑΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΚΑΙ ΤΗΣ ΣΥΝ ΑΥΤΩ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ,

Ἐπιστολὴ πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας καὶ

πρὸς τὸν Πάπαν Ῥώμης, περὶ τῶν Σιμωνιακῶν.—Ἀπ. κθ'. λ'. τῆς ϛ'. κβ'. κγ'. τῆς Ζ'. γ'. δ'. ε'. ιθ'. Λαοδ. ιδ'. Βασιλ. ιε'. Γενναδ. καὶ Ταρασίου ἐπιστολαί. σελ. 368

ΤΑΡΑΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

Ἐπιστολὴ πρὸς Ἀδριανὸν Πάπαν Ῥώμης, περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας. — Ἀπ. κθ'. λ'. τῆς ϛ'. κβ'. κγ'. τῆς Ζ'. γ'. δ'. ε'. ιθ'. Λαοδ. ιβ'. Βασιλ. ιε'. Γενναδ. καὶ Ταρασίου ἐπιστολαί. 376

ΔΙΑΦΟΡΑ.

Ἐκ τῆς πρὸς Νικοπολίτας ἐπιστολῆς τοῦ μεγάλου Βασιλ. 386

Ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, πῶς ἐπακτέον τὰ ἐπιτίμια τοῖς ἁμαρτάνουσι; 387

Τοῦ ἁγίου Ἀναστασίου, πότερον καλὸν τὸ συνεχῶς κοινωνεῖν, ἢ ἐκ διαλειμμάτων; 388

Ἐκ τῆς πρὸς Καισαρίαν Πατρικίαν ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου, περὶ τοῦ ποσάκις κοινωνεῖν ὀφείλομεν; 389

Ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, περὶ τῆς θείας κοινωνίας. 390

Ἐκ τοῦ μεγάλου Βασιλείου, παράγγελμα πρὸς τὸν ἱερέα περὶ τῆς θείας χάριτος. 391

ΕΚ ΤΗΣ ΣΥΝΟΨΕΩΣ ΤΩΝ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ,

Τῆς λεγομένης κοινῶς τοῦ Ἀριστηνοῦ.

Κανόνες Τοῦ ἁγίου Διονυσίου Ἀλεξανδρείας. 393

Τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας. 394

Τοῦ ἁγίου Γρηγορίου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ. 395

Τοῦ ἁγίου Ἀθανασίου πρὸς Ἀμμοῦν μονάζοντα. 396

Τοῦ ἁγίου Μαξίμου. 397

Τοῦ μεγάλου Ἀθανασίου. 397

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. 398

Εὐλογίου Ἀλεξανδρείας. 398

Γραφὴ ἀπὸ Κωνσταντινουπόλεως Μαρτυρίῳ Ἀντιοχείας, περὶ τοῦ πῶς δεκτέον τοὺς αἱρετικούς. 398



Τοῦ μεγάλου Ἀθανασίου πρὸς Ῥουφινιανόν. σελ. 399

Τοῦ ἁγίου Παύλου κανόνες Ἐκκλησιαστικοὶ ιζ'. 399

Τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου κανόνες ιζ'. 401

Κανόνες τῶν Ἀποστόλων πάντων β'. 402

Τὰ κεφάλαια τοῦ τῆς Μεγάλης Ἐκκλησίας χρυσοβούλλου τοῦ Ἰουστινιανοῦ, περὶ τῶν προσφύγων δούλων. 403

Τοῦ μεγάλου Βασιλείου, περὶ τίτλου καὶ χρόνου ἁμαρτημάτων. 404

Τοῦ αὐτοῦ πόσοι τόποι τῶν ἐπιτιμίων. 405

Τοῦ ἁγίου Κυρίλλου περὶ ὀρθοδοξίας κεφάλαια ιβ'. κατὰ Νεστορίου. 405

Δημητρίου μητροπολίτου Κυζίκου, περὶ Ἰακωβιτῶν καὶ Χατζιτζαρίων. 407

Περὶ Μασσαλιανῶν ἢ Βογομίλων. 408

Πέτρου Ἀντιοχείας πρὸς τὸν Βενετίας. 408

Λέοντος ἀρχιεπισκόπου Βουλγαρίας, ἐκ τῶν τριῶν ἐπιστολῶν τῶν περὶ ἀζύμων. 409

Πρὸς τοὺς λέγοντας ὡς ἡ Ῥώμη πρῶτος θρόνος. 409

Βασιλείου περὶ τῶν καταφρονούντων τῶν ἐπιτιμίων. 415

Τοῦ ἁγίου Ἀποστόλου Παύλου, περὶ δευτερογαμίας. 415

ΕΡΩΤΗΣΕΙΣ ΜΟΝΑΧΩΝ ΤΙΝΩΝ,

καὶ ἀποκρίσεις τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου ἐπὶ τοῦ Πατριάρχου Νικολάου.

Α'. Ὅτι ἀχειροτονήτος μοναχὸς ἀναγινώσκειν ἐπ' ἄμβωνος κεκώλυται, οὐ μὴν καὶ εἰσιέναι εἰς τὸ θυσιαστήριον. — Τῆς ϛ'. λγ'. ξθ'. τῆς Ζ'. ιδ'. Λαοδ. ιε'. 417

Β'. Εἰ κλίνομεν γόνυ ἐν σαββάτῳ. Ἀπ. ξϛ'. τῆς ϛ'. νε'. ϙ'. 418

Γ'. Εἰ χρὴ νηστεύειν τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν. 419

Δ'. Εἰ χρὴ τὸν δαιμονιζόμενον μεταλαμβάνειν. — Ἀπ. οθ'. Τιμοθ. γ'. δ'. 421

Ε'. Περὶ κλασμάτων τῆς ὑψωθείσης προσφορᾶς. Θεοφ. η'. 421

ϛ'. Πότε ἀποχωρεῖ μοναχὸς τῆς ἰδίας μονῆς; — Τῆς Ζ'. κα'. τῆς ΑΒ'. γ'. δ'. Νικολ. ζ'. 422

Ζ'. Ὁ ἄλογος δεσμὸς οὐκ ἰσχύει κατὰ τοῦ δεσμηθέντος μονα-

χοῦ. — Ἀπ. λϛ'. Σαρδ. ιδ'. Καρθ. ρλγ'. (ρμά.) Νικολ. ϛ'. σελ. 423

Η'. Ὁ καθαιρεθεὶς ἢ τὴν ἱερωσύνην ἑκουσίως ἐγκαταλείψας ἱερεὺς οὐ πράττει τὰ ἱερέων. 424

Θ'. Τὸ ἀπ' εὐλογίας γενέσθαι τί ἐστι; 425

Ι'. Περὶ τῶν ἀπὸ τῆς ἁγίας δωρεᾶς κεκωλυμένων, ὅτι καὶ τῶν ὑψουμένων κωλύονται. 425

ΙΑ'. Περὶ τοῦ Κανονικοῦ τοῦ Νηστευτοῦ. 425

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

Α'. Περὶ ἀντιμινσίου ὅτι πλυνόμενον οὐ κοινοῦται. — Τῆς Ζ'. ζ'. 427

Β'. Ὅτι οἱ δίγαμοι οὐ στεφανοῦνται, καὶ τῆς μεταλήψεως ἀπείργονται. — Νεοκ. γ'. ζ'. Βασιλ. δ'. ν'. π'. αὐτόθι.

Γ'. Περὶ τοῦ καταμένοντος ἐν νάρθηκι τῆς Ἐκκλησίας. — Τῆς ϛ'. οδ'. ϟζ'. Διον. β'. αὐτ.

Δ'. Περὶ τῆς γινομένης εὐποιΐας ὑπὲρ τῶν ἀδιαθέτως τελευτώντων. αὐτ.

Ε'. Ὅτι ἰχθυοφαγοῦμεν, εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ Παρασκευῇ. αὐτ.

ϛ'. Ποῖος ἡγούμενος χειροτονεῖ ὑποδιάκονον; — Τῆς ϛ'. λγ'. τῆς Ζ'. ιδ'. Καρθ. ιϛ'. (κβ'.) αὐτ.

Ζ'. Περὶ τοῦ ἐν ἀσωτείᾳ ζήσαντος, ὅτι οὐ χειροτονεῖται. — Ἀπ. π'. τῆς Α'. β'. Λαοδ. γ'. Σαρδ. ι'. τῆς ΑΒ'. ιζ'. Νεοκ. ιβ'. Κυρίλλ. δ'. αὐτ.

Η'. Ὅτι οἱ ἀπὸ δυσφήμου γέννας παῖδες δύνανται χειροτονεῖσθαι. — Τῆς Α'. λγ'. τῆς Ζ'. ιδ'. αὐτ.

Θ'. Ὅτι τῷ τελευτῶντι καὶ μετὰ τὸ φαγεῖν κοινωνητέον. 428

Ι'. Περὶ τῆς χάριν ἀσπασμοῦ γονυκλισίας. — Τῆς Α'. κ'. τῆς ϛ'. ϟ'. Πέτρ. ιε'. αὐτ.

ΙΑ'. Περὶ τῆς ὑπὲρ τριῶν ἀνθρώπων προσκομιδῆς. αὐτ.

ΙΒ'. Περὶ τοῦ μὴ σφραγίζειν τὸ ἐν τῇ προθέσει ποτήριον. αὐτ.

ΙΓ'. Πότε ἐφεῖται λειτουργεῖν χωρὶς θερμοῦ; αὐτ.

ΙΔ'. Περὶ τοῦ ἀθετήσαντος μοναχοῦ τὸ σχῆμα, καὶ πάλιν ἐπιστρέψαντος. — Ἀπ. πά. πγ'. τῆς Δ'. γ'. δ'. ϛ'. ζ'. τῆς Ζ'. ί. τῆς ΑΒ'. ιά. Καρθ. ιϛ'. (ιή.) τῆς Ζ'. ί. σελ. 428



ΙΕ'. Πότε ἐκχωρεῖται ταῖς μοναζούσαις ἡ εἰς τὸ ἅγιον βῆμα εἴσοδος; — Λαοδ. μδ'. αὐτ.

Ιϛ'. Περὶ μοναχῶν γεωργικῶν ἐργαζομένων τῇ μεγάλῃ μ'. αὐτ.

ΙΖ'. Διὰ πόσας αἰτίας ὑποχωρεῖ ὁ μοναχὸς τῆς ἰδίας μονῆς; — Τῆς Δ'. δ'. Τῆς Ζ'. κά. τῆς ΑΒ'. δ'. Καρθ. π'. (πή.) αὐτ.

ΙΗ'. Ὅτι ἄτοπον τὰ ἐν τῇ μονῇ δημοσιεύεσθαι. αὐτ.

ΙΘ'. Περὶ τῶν ἐν ἐπιτιμίοις μοναχῶν, ὅπως χρὴ ἀναστρέφεσθαι ἐν τῇ μονῇ. αὐτ.

Κ. Ὅπως χρὴ τοὺς μοναχοὺς διαιτᾶσθαι ἐν ταῖς τῶν ἁγίων Ἀποστόλων καὶ τῶν τοῦ Χριστοῦ Γεννῶν νηστείαις κατὰ τὴν τετάρτην καὶ παρασκευήν. αὐτ.

ΚΑ'. Περὶ φθαρείσης ὑπὸ βαρβάρων μοναστρίας. — Βασιλ. μθ'. Γρηγ. Νεοκ. β'. 429

ΚΒ'. Περὶ τοῦ πανουργίᾳ ἀποκαρέντος, καὶ ἀποστάντος, εἶτα μετανοήσαντος. αὐτ.

ΚΓ'. Περὶ μοναχοῦ νέου πρεσβυτέρου μεταδιδόντος μοναστρίαις. αὐτ.

ΚΔ'. Περὶ τοῦ μὴ δεῖν τὸν ἡγούμενον ἀφαιρεῖν τὸ κουκούλιον τοῦ μαθητοῦ, καὶ ἀποπέμπειν αὐτόν. αὐτ.

ΚΕ'. Περὶ τοῦ ἀθετήσαντος τὸ ἅγιον σχῆμα, καὶ μὴ μετανοοῦντος. — Ἀπ. πά. πγ'. τῆς Δ'. γ'. ϛ'. ζ'. τῆς ΑΒ'. ιά. Καρθ. ιϛ'. (ιη'.) τῆς Ζ'. ί. Νικηφ. λδ'. αὐτ.

Κϛ'. Περὶ τοῦ ἐπιζητοῦντος ἐν ἀσθενείᾳ τὸ βάπτισμα, ἢ τὸ ἅγιον σχῆμα, ὅτι δοτέον. αὐτ.

ΚΖ'. Ὅτι οὐ λειτουργητέον τὸν ἱερομόναχον ἄνευ μανδύου. αὐτ.

ΚΗ'. Περὶ τῶν ἄδηλα πταίσματα ἐξομολογουμένων, ὅπως δέον οἰκονομῆσαι τούτους. αὐτ.

ΚΘ'. Περὶ τῆς μοιχῶν, κτηνοβατῶν, καὶ ἀνδροφόνων οἰκονομίας παρὰ τῶν πνευματικῶν. 430

Λ'. Περὶ ἐξομολογήσεως κοσμικοῦ. — Τῆς Α'. ιβ'. Βασιλ. οδ'. αὐτ.

ΛΑ. Ὅτι κατ' ἐπιτροπὴν ἐπισκόπου καὶ πρεσβύτερος ποιεῖ σταυροπήγιον. αὐτ.

ΛΒ'. Περὶ τοκογλυφούντων ποινῆς. — Ἀπ. μδ'. τῆς Α'. ιζ'. τῆς ς'. ι. Λαοδ. δ'. Καρθ. ε. κ'. Βασιλ. ιδ'. σελ. 430

ΛΓ'. Ὅπως διαιτᾶσθαι δεῖ τοὺς μοναχοὺς τῇ δ'. καὶ τῇ ς'. τῆς Τυροφάγου. αὐτ.

ΛΔ'. Περὶ τοῦ παλλακὴν ἔχοντος, ὅτι ἀποβλητέος τῆς Ἐκκλησίας. — Ἀπ. ιζ'. τῆς ς'. γ'. Νεοκ. γ'. ζ'. Βασιλ. δ'. ιβ'. ν'. π'. αὐτ.

ΛΕ'. Περὶ μοναχοῦ ἀποθεμένου τὸ σχῆμα, κρεωφαγήσαντός τε, καὶ γήμαντος, ὅτι ἀναθεματίζεται. — Ἀπ. πά. πγ'. τῆς Ζ'. ι. τῆς Δ'. γ'. ς'. ζ'. τῆς ΑΒ'. ιά. Καρθ. ις'. (ιή.) Νικηφ. κδ'. αὐτ.

Λς'. Ὅτι οὐ δεῖ καὶ τὸν ἅπαξ πορνεύσαντα χειροτονηθῆναι. — Τῆς ς'. γ'. Νεοκαισ. ιβ'. Νικηφ. ζ'. αὐτ.

ΛΖ'. Περὶ ἀδελφοῦ τοῦ ὀνομαζομένου κατὰ τὸν Ἀπόστολον πόρνου. αὐτ.

ΛΗ'. Περὶ τοῦ μὴ εἰσιέναι τὴν λεχὼ εἰς τὸν κοιτῶνα, ἐν ᾧ κεῖται τὸ βρέφος αὐτῆς βαπτισθέν. 431

### ΤΟΥ ΑΥΤΟΥ ΚΑΝΟΝΕΣ Ζ'.

Α'. Περὶ τοῦ μὴ ὁδοιπορεῖν ἄνευ ἀνάγκης ἐν Κυριακῇ. 431

Β'. Τίνα βιβλία οὐ δεκτέα; αὐτ.

Γ'. Ὡσαύτως περὶ μὴ δεκτῶν βιβλίων. αὐτ.

Δ'. Ὅτι τὴν Διακαινήσιμον ἑβδομάδα οὐ δεῖ ἐργάζεσθαι, οὐδὲ τὰς πέμπτας φυλάττειν. αὐτ.

Ε'. Ἐπιτίμιον τοῦ πατροκτόνου, καὶ τοῦ φονέως. αὐτ.

ς'. Ὅτι καὶ μοναχὸς βαπτίζει ἐν ἀνάγκῃ. αὐτ.

Ζ'. Ὅτι καὶ ἄνευ ἱερέως βαπτίζονται τὰ νήπια ἐν ἀνάγκῃ, μόνον διὰ Χριστιανοῦ. αὐτ.

### ΤΟΥ ΑΥΤΟΥ ΚΑΝΟΝΕΣ Θ'.

Α'. Πῶς κατ' ἀνάγκην εἰσερχόμεθα καὶ ψάλλομεν καὶ ἐν ταῖς τῶν αἱρετικῶν Ἐκκλησίαις; 431 ά.

ς'. Πῶς γίνεται δεκτὸς ὁ τὸ σχῆμα ἀθετήσας, καὶ πάλιν ἐπιστρέφων μοναχός; αὐτ.



Θ'. Ὅτι οὐ χρὴ κοινωνεῖν ἐκ χειρῶν τοῦ μὴ νηστεύοντος ἱερέως. σελ. 431 ά.

Ις'. Ὅτι οἱ ἐργαζόμενοι μοναχοὶ ἐσθίουσι δὶς τῇ Μ'. αὐτ.

ΙΖ'. Ὅτι τοῖς μοναχοῖς οὐ καταλυτέον εἰς οἶνον καὶ ἔλαιον τῇ Μ'. αὐτ.

ΙΘ'. Διὰ τίνας λόγους ἐπιτρέπεται τῷ μοναχῷ τῆς οἰκείας μονῆς ἀπέρχεσθαι; αὐτ.

ΚΘ'. Πῶς νηστεύομεν κατὰ τὴν νήστιμον τῶν ἁγίων Ἀποστόλων, καὶ τοῦ ἁγίου Φιλίππου; 431 β'.

Νς'. Ὅτι καὶ μοναχὸς εὐλογεῖ τὴν τράπεζαν. αὐτ.

Ξς'. Ὅτι οὐ χρὴ συνεσθίειν μετὰ τοῦ ἀθετήσαντος τὸ σχῆμα, οὔτε χαίρειν αὐτῷ λέγειν. αὐτ.

### ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ.

Ἐρώτησις Α'. Εἰ προσδεκτέοι οἱ χειροτονηθέντες ἐν Ῥώμῃ, Νεαπόλει, καὶ Λογγοβαρδίᾳ. 431 γ'.

Β'. Περὶ τῶν ἐν Σικελίᾳ χειροτονηθέντων. αὐτ.

Γ'. Ὅτι οὐ χρὴ εἰσιέναι χάριν εὐχῆς εἰς τὰς ὑπὸ αἱρετικῶν ἱερέων κοινωθείσας καὶ κατεχομένας Ἐκκλησίας. αὐτ.

Δ'. Ὅτι ἐφεῖται καὶ τοῦτο, καὶ τὸ λειτουργεῖν ἐν αὐταῖς, προηγουμένης τῆς τῶν ἀνοιξίων τελετῆς. 431 δ'.

Ε'. Ὅτι οὐ χρὴ εἰσιέναι εἰς κοιμητήρια ἁγίων, κατεχόμενα ὑπὸ μιανθέντων ἱερέων, εἰ μήτοι πρὸς τὸ ἀσπάσασθαι τὸ ἅγιον λείψανον. αὐτ.

ς'. Πῶς δεκτέον τοὺς ἐκ τῶν κοινωθέντων ἱερέων λαβόντας τὸ σχῆμα; αὐτ.

Ζ'. Περὶ μοναχῶν ἢ κληρικῶν προστεθέντων τῇ αἱρέσει. 431 ε.

Η'. Ὅτι οὐ δεῖ συνεσθίειν ἢ συμψάλλειν μετὰ τοῦ ἀτάκτως περιπατοῦντος μοναχοῦ. αὐτ.

Θ'. Πῶς δεκτέον τοὺς μετὰ αἱρετικῶν συνεσθίοντας πρεσβυτέρους; αὐτ.

Ι'. Εἰ χρὴ συνεσθίειν μετὰ τῶν τῇ αἱρέσει ὑπογραψάντων κοσμικῶν. 431 ζ'.

ΙΑ'. Εἰ ἐφεῖται βαπτισθῆναι ὑπὸ κοινωθέντος ἱερέως, ἐν ἐλλείψει ὀρθοδόξου; αὐτ.

ΙΒ'. Ἂν ἐπιτιμᾶται ὁ ἀποσχίσας καὶ μετανοῶν; σελ. 431 η'.
ΙΓ'. Ὅτι οὐ δεκτὸς ὁ ὑπὸ καθῃρημένου ἐπισκόπου χειροτονηθεὶς πρεσβύτερος. αὐτ.
ΙΔ'. Περὶ πρεσβυτέρων συμφαγόντων μετὰ ἑτεροδόξων καὶ Κωνσταντίνου τοῦ μητροπολίτου. 431 θ'.
ΙΕ'. Περὶ τῶν κατ' ἄγνοιαν συμφαγόντων μετὰ πρεσβυτέρων βεβρωκότων μετὰ τοῦ αὐτοῦ μητροπολίτου. αὐτ.
Ιϛ'. Ὅτι καὶ ὁ ἁπλοῦς μοναχὸς δίδωσιν ἐπιτίμιον. 431 ι'.
ΙΖ'. Περὶ τοῦ κατ' ἄγνοιαν λαβόντος τὸ ἱερὸν σχῆμα ὑπὸ πρεσβυτέρου χειροτονηθέντος ὑπὸ καθῃρημένου. αὐτ.

### ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΝΗΣΤΕΥΤΟΥ.

Τὰ τοῦ λογιστικοῦ. Περὶ ἀρνήσεως. 432
Περὶ γοητείας. 434
Ὅπως τοὺς τῆς μετανοίας χρόνους ὁ Νηστευτὴς συνέτεμε; 435
Περὶ τοῦ ἐπιθυμητικοῦ μέρους. 436
Περὶ μαλακίας. 437
Περὶ πορνείας. 437
Περὶ διγάμων καὶ τριγάμων. 438
Περὶ μοιχείας. 438
Περὶ συζεύξεως μετὰ αἱρετικῶν. 439
Περὶ αἱμομιξίας. 439
Περὶ τοῦ μιγέντος τῇ ἰδίᾳ πενθερᾷ. 440
Περὶ τῶν ἐν ἀφέδρῳ γυναικῶν. 441
Περὶ ἀῤῥενομανίας. 441
Περὶ τοῦ θυμικοῦ τῆς ψυχῆς μέρους. Περὶ φόνου. 442
Περὶ κλοπῆς. 444
Περὶ τυμβωρύχων. 444
Περὶ ἱεροσυλίας. 444
Περὶ ἐπιορκίας. 444
Ἐν ὑποσημειώσει, ἕτεροι κανόνες ἀποδιδόμενοι τῷ Νηστευτῇ, ἐκ τοῦ Πηδαλίου, 445



### ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ,

### Ἀποκρίσεις εἰς τὰς κανονικὰς ἐρωτήσεις Μάρκου πατριάρχου Ἀλεξανδρείας.

Α'. Περὶ τῶν λειτουργιῶν Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ Μάρκου. σελ. 448
Β'. Περὶ τῶν βιβλίων τῶν καλουμένων, Διδασκαλίαι τῶν ἁγίων Ἀποστόλων, καὶ Ὁράσεις τοῦ ἁγίου Παύλου. 449
Γ'. Εἰ ἁγιάζονται δι' ἰδικῶν εὐχῶν τὰ τῶν ἁγίων ποτηρίων καὶ τῶν ἁγίων δίσκων καλύμματα, καὶ τὰ ἀγγεῖα, ἐν οἷς τὰ ἅγια βαπτίσματα γίνονται; 450
Δ'. Περὶ τῶν ἑξήκοντα βιβλίων τῶν νόμων, ἢ τῶν Βασιλικῶν. 451
Ε'. Περὶ τοῦ ἐπὶ τόκῳ δανείου. 451
ϛ'. Ὅτι οἱ μὴ εἰδότες τὴν Ἑλληνικὴν πιστοὶ ἱερουργοῦσι κατὰ τὴν οἰκείαν διάλεκτον. 452
Ζ'. Πότε ἀπαγορεύεται ὁ γάμος μετὰ τοῦ ἀδελφοῦ τοῦ ἀποθανόντος μνηστοῦ, καὶ πότε οὔ; 453
Η'. Πότε ἀξιοῦται ἱερατικοῦ βαθμοῦ ὁ μετὰ τὸ ἀποθανεῖν τὴν μνηστὴν αὐτοῦ ἄλλην ἀγόμενος; 453
Θ'. Ἂν ἱερουργῇ ἱερεὺς μετὰ τὴν ἀπόκαρσιν; 453
Ι'. Ἐὰν λαϊκὸς φαντασθεὶς ἀξιοῦται αὐθημερὸν τῆς τῶν θείων ἁγιασμάτων κοινωνίας, ἢ ἱερεὺς ἱερουργῇ. 455
ΙΑ'. Τί ὁ μετὰ τῆς οἰκείας νομίμου συμβίου συναφθείς; 456
ΙΒ'. Ἂν ἱερεὺς λουσθεὶς δύναται τὴν αὐτὴν ἡμέραν ἱερουργῆσαι, ἢ λαϊκὸς κοινωνῆσαι; Καὶ τἀνάπαλιν, ἂν ἱερεὺς ἱερουργήσας, ἢ λαϊκὸς κοινωνήσας λουσθήσεται, ἢ φλεβοτομηθήσεται; 457
ΙΓ'. Ὁ μετὰ τὴν ἁγίαν μετάληψιν ἐμέσας πῶς διορθοῦται; 458
ΙΔ'. Ὅτι καὶ ἐν πλοίῳ, καὶ ἐν εὐκτηρίῳ οἴκῳ τελοῦνται ἱερουργίαι, ἢ θεῖα βαπτίσματα. 458
ΙΕ'. Οὐκ ἐφεῖται ἱερουργεῖν ἢ συνεύχεσθαι μετὰ αἱρετικῶν. 459
Ιϛ'. Ἂν ἐκχωρητέον τοῖς Λατίνοις μεταλαμβάνειν τῶν θείων

ἁγιασμάτων ἐν ταῖς Ἐκκλησίαις ἡμῶν; σελ. 460
ΙΖ'. Ἂν ἐφεῖται μεταλαμβάνειν καθ' ἑκάστην τῶν Θείων ἁγιασμάτων; 460
ΙΗ'. Οἱ μετὰ τοῦ ἀρχιερέως ἢ τοῦ ἱερέως συλλειτουργοῦντες διάκονοι, καὶ ὑποδιάκονοι, ὀφείλουσι μεταλαμβάνειν, ἐκτὸς εὐλόγου κωλύματος. 462
ΙΘ'. Ἂν τὸ ζέον ὕδωρ ἀπαραιτήτως ἀπαιτῆται εἰς τὰ ἅγια βάλλεσθαι; 462
Κ. Ἐπιτίμιον τοῦ ἱερουργοῦντος, ὅταν χυθῇ τι ἐκ τοῦ ἁγίου ποτηρίου, ἢ τοῦ ἁγίου δίσκου. 463
ΚΑ'. Μοναχὸς ἀνίερος, ἢ καὶ ἱερωμένος, ἄνευ ἐπισκοπικῆς ἀδείας ἐξαγορείας οὐ δέχεται. 464
ΚΒ'. Ὡσαύτως καὶ λαϊκὸς ἱερεύς. 465
ΚΓ'. Ἂν ἀπροκριματίστως μεταβαίνωσιν οἱ μοναχοὶ ἀπὸ τῶν, ἐν οἷς ἀπεκάρησαν, μοναστηρίων, πρὸς ἕτερα; 465
ΚΔ'. Ὅτι οὐ κληροῦται τὶς εἰς διαφόρους Ἐκκλησίας. 466
ΚΕ'. Ὅτι οὐκ ὀφείλουσι μύρῳ χρίεσθαι οἱ τελευτῶντες ἱερεῖς καὶ ἀρχιερεῖς, ἢ ἕτεροί τινες. 467
Κϛ'. Ἂν λώβη σώματος κωλύῃ τῆς ἱερωσύνης; 468
ΚΖ'. Ἱερεύς, ἢ διάκονος, ἄλλο ἐπιτήδευμα παρὰ τὸ διδασκαλικὸν ἀκινδύνως οὐκ ἀναλαμβάνει. 468
ΚΗ'. Αἱρετικὸς ἱερεὺς κοινωνήσας μετὰ πιστῶν, καὶ πάλιν αἱρεσιώτης γενόμενος, ἐπιστρέφων οὐκ ἀξιοῦται ἱερατείας. 470
ΚΘ'. Ἐπίσκοποι, μοναχοί, καὶ κληρικοὶ οὐ γίνονται φρονтισταὶ δημοσίων πραγμάτων. 470
Λ'. Τοῖς ἀποκαρεῖσιν ὁμοζύγοις οὐκ ἐφεῖται ἐν μιᾷ κατοικίᾳ συνδιαιτᾶσθαι. 471
ΛΑ'. Οἱ χειροτονοῦντες, τῶν θείων ἁγιασμάτων μεταδιδόντες, ἢ βαπτίζοντες, οὐ δύνανται χρηματικὰς ἀπαιτεῖν ἀμοιβάς. 471
ΛΒ'. Τίνες αἱρετικοὶ χρίονται μόνον, τῇ ὀρθοδοξίᾳ προστιθέμενοι, τίνες δὲ καὶ βαπτίζονται; 473
ΛΓ'. Αἱρετικὸς ἱερεύς, ἢ διάκονος, τῇ ὀρθοδοξίᾳ προστεθείς, εὐπρόσδεκτος εἰς ἱερωσύνην χειροτονούμενος. 474



ΛΔ'. Καλῶς ἀξιοῦται ἱερωσύνης καὶ ὁ ἀπὸ αἱρετικοῦ τῇ ὀρθοδοξίᾳ προστεθείς, κἂν μὴ ὀρθοδοξήσωσιν ἡ γυνὴ καὶ τὰ τέκνα αὐτοῦ. σελ. 475
ΛΕ'. Οὐ θεμιτὸν τέκνων ἀναδοχὰς δι' ἑτεροδόξων γίνεσθαι. 476
Λϛ'. Αἱ μετὰ ἑτεροδόξων γαμικῶς συναπτόμεναι οὐ κοινωνοῦσι τῶν ἁγιασμάτων. 476
ΛΖ'. Ταῖς προϊσταμέναις γυναικείων μοναστηρίων οὐκ ἐφεῖται δέχεσθαι λογισμούς. 477
ΛΗ'. Τίς ἡ ὑπηρεσία τῶν διακονισσῶν; 477
ΛΘ'. Μετὰ τὴν χειροτονίαν συζευχθῆναι οὐκ ἔξεστι. 478
Μ'. Ἡ τῶν ἐπιμανίκων καὶ τῶν ἐπιγονατίων ἐνδυμασία, μόνοις τοῖς ἀρχιερεῦσι πεφιλοτίμηται. 478
ΜΑ'. Ἐν ταῖς Ἐκκλησίαις οὐκ ἔξεστι θάπτειν νεκρούς, ἀλλὰ μόνον ἐν τοῖς μὴ ἐγκαινισθεῖσιν εὐκτηρίοις οἴκοις. 479
ΜΒ'. Οὐκ ἔξεστι χειροτονεῖν ἢ χειροτονεῖσθαι παρ' ἐνορίαν. 479
ΜΓ'. Ἂν οἱ διάκονοι προάγωνται εἰς ἱερωσύνην παρὰ γνώμην τῶν ἀρχιδιακόνων αὐτῶν; 480
ΜΔ'. Πῶς ἡ τριγαμία ἐπιτιμᾶται; 481
ΜΕ'. Τοῖς παλλακευομένοις οὐκ ἐκχωρεῖται ἡ τῶν θείων ἁγιασμάτων μετάληψις. 482
Μϛ'. Μέχρι τίνος βαθμοῦ κωλύεται ὁ γάμος μεταξὺ συμπενθέρων; 482
ΜΖ'. Γάμος ἐντὸς τοῦ ϛ'. βαθμοῦ οὐ συναλλάττεται. 482
ΜΗ'. Ἂν δύναται ὁ δεσπότης τὴν ὑπ' αὐτοῦ φθειρομένην δούλην πωλεῖν; 483
ΜΘ'. Ἐπιτίμιον τοῦ μετὰ Ἰουδαίας ἢ Ἀγαρηνῆς πορνικῶς συμφθαρέντος. 484
Ν'. Ὅτι μετὰ τὸν ἕκτον ἐνιαυτὸν οἱ παῖδες δεκτοί εἰσιν εἰς ἐξαγορείαν. 484
ΝΑ'. Ἂν οἱ σαρκικῶς συμπλεκόμενοι ὁμόζυγοι κατὰ τὴν ἑσπέραν τῆς Κυριακῆς ἐπιτιμῶνται; 485
ΝΒ'. Οἱ ὁμόζυγοι μὴ ἐγκρατευόμενοι κατὰ τὴν τεσσαρακονθήμερον νηστείαν ἐπιτιμῶνται. 485
ΝΓ'. Οἱ κατὰ τὴν Κυριακὴν εἰς βαλανεῖα φοιτῶντες ἐπιτιμῶνται. 486

ΝΔ'. Ὅτι ἀπέχεσθαι ὀφείλομεν κρέατος, καὶ τυροῦ, καὶ ᾠῶν, τὰς τετράδας καὶ τὰς παρασκευὰς ὅλου τοῦ ἔτους. σελ. 487

ΝΕ'. Περὶ τῶν νηστειῶν τῶν ἁγίων Ἀποστόλων, τῆς Χριστοῦ Γεννήσεως, τῆς Μεταμορφώσεως τοῦ Χριστοῦ, καὶ τῆς Κοιμήσεως τῆς Θεοτόκου. 488

Νς'. Ὅτι οἱ κατὰ τὰς νηστείας ταύτας, καὶ οἱ κατὰ τὰς τετράδας καὶ παρασκευὰς ἐγκρατευόμενοι, ἐκχωροῦνται καὶ διὰ δευτέρας τραπέζης θεραπεῦσαι τὴν τοῦ σώματος ἔνδειαν. 488

ΝΖ'. Εἰ ἔξεστιν ἱερουργεῖν, βαπτίζειν, καὶ ἱερολογίας γάμων καὶ μνηστειῶν ποιεῖν κατὰ τὴν ὅλην ἁγίαν Τεσσαρακοστήν. 489

ΝΗ'. Κατὰ τίνας ἡμέρας τῆς ἁγίας Τεσσαρακοστῆς γίνεται χειροτονία; 490

ΝΘ'. Τίνες λαμβάνουσι καὶ ἐξουσιάζουσι τὰ ἐν τῷ ναῷ προσφερόμενα οἱαδήτινα πράγματα; Καὶ τίνα τὰ κανονικὰ τῶν ἱερέων καὶ ἀρχιερέων; 490

Ξ'. Ὀρθόδοξος αἰχμαλωτισθεὶς παρὰ Ἀγαρηνῶν καὶ ἐξομοσάμενος, καὶ περιτμηθεὶς, καὶ τὴν σωτηρίαν ἀνακαλούμενος, εἰ δύναται μεταλαμβάνειν τῶν ἁγιασμάτων; 492

ΞΑ'. Ὅτι ἡ ἐκλογὴ τοῦ χειροτονηθησομένου οὐκ ἐφεῖται τῷ ὄχλῳ. 493

ΞΒ'. Ἂν οἱ ἀπὸ δευτέρου γάμου παῖδες, καὶ οἱ ἀπὸ δουλίδων καὶ παλλακῶν τεχθέντες, ἀξιοῦνται ἱερωσύνης. 493

ΞΓ'. Ὁ ἀναγνώστης οὐ προκάθηται, οὐδὲ μνημονεύεται πρὸ τῶν ἱερέων, ἐκτὸς εἰ μὴ τόπον ἡγουμένου ἀναπληροῖ. 494

ΞΔ'. Ὁ τρίτον γάμον εὐλογῶν ἱερεὺς καθαιρεῖται. 495

ΞΕ'. Ἂν ὁ ἀπαγαγὼν γυναῖκα συνάπτεται μετ' αὐτῆς εἰς νόμιμον γάμον; 495

Ξς'. Ὁ ἀνὴρ γυναικὸς ἐξ ἀσθενείας δεινῆς αὐτοχειριασθείσης, οὐ κωλύεται ἱερωθῆναι. 496

ΜΕΛΕΤΑΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ.

Α'. Ἐπιστολὴ πρὸς τὸν καθηγητὴν τῶν κατὰ τὸν Παπίκιον μοναστηρίων Κ. Θεοδόσιον, περὶ τῶν ῥασοφόρων. 497



Β'. Ἐπιστολὴ πρὸς τὸν μητροπολίτην Φιλιππουπόλεως, περὶ τοῦ μὴ ἀναγινώσκειν μαθηματικὸν βιβλίον. σελ. 551

Γ'. Μελέτη περὶ τῆς εἰς τοὺς θείους ναοὺς τῶν μοναστηρίων γινομένης μετακλήσεως διὰ σημαντηρίων τριῶν. 520

Δ'. Ἐπιστολὴ πρὸς τὸν ἐπὶ τῶν κρίσεων, χάριν τῶν διδομένων θυμιαμάτων ἐτησίως παρὰ τοῦ πατριάρχου κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως. 523

Ε'. Μελέτη χάριν τῶν δύο ὀφφικίων, τοῦ τε χαρτοφύλακος, καὶ τοῦ πρωτεκδίκου. 530

ς'. Μελέτη χάριν τῶν πατριαρχικῶν προνομίων. 542

Ζ'. Διάγνωσις χάριν τοῦ λαληθέντος συνοδικῶς ζητήματος, περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ δισεξαδέλφαις συνάπτεσθαι. 556

Η'. Ἐπιστολὴ πρὸς τοὺς Ἀντιοχεῖς, χάριν τῶν ὀφειλουσῶν τελεῖσθαι νηστειῶν ἑκάστου ἔτους. 565

Ἀναστασίου τοῦ Σιναΐτου, Πατριάρχου Ἀντιοχείας, περὶ τῶν ἁγίων τριῶν Τεσσαρακοστῶν. 580

Ἀναστασίου ἐπισκόπου Καισαρείας, περὶ τῆς νηστείας τῆς ὑπερενδόξου Θεοτόκου. 585

Ἄλλως περὶ τῆς αὐτῆς νηστείας. 588

Τοῦ ἁγίου Νίκωνος περὶ τῆς αὐτῆς νηστείας. 589

Τοῦ αὐτοῦ περὶ τῶν λοιπῶν νηστειῶν. 591

Ἰωάννου τοῦ Ζωναρᾶ, περὶ τοῦ μὴ δεῖν δύο δισεξαδέλφους, τὴν αὐτὴν ἀγαγέσθαι πρὸς γάμον. 592

Τοῦ αὐτοῦ λόγος πρὸς τοὺς τὴν φυσικὴν τῆς γονῆς ἐκροὴν μίασμα ἡγουμένους. 593

ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ.

## Τῶν ἡμαρτημένων διόρθωσις.

Σελ. 9 στίχ. 11 εἶναι γρ. εἶναι, — σελ. 12 στίχ. 18 ἐκ ῥύσει γρ. ἐν ῥύσει — αὐτ. στίχ. 30 ῥῦσιν γρ. ῥύσιν — σελ. 23 στίχ. 3 εἰ ἔχειμεν πάντες γρ. ἔχομεν οἱ πάντες — σελ. 26 στίχ. 2 ἐσθ' ὅτε γρ. ἔσθ' ὅτε — σελ. 28 στίχ. 24 ὠδίναντα γρ. ὠδίνοντα — σελ. 53 στίχ. 27 τοῦ Θεοῦ, γρ. τοῦ Θεοῦ — σελ. 55 στίχ. 24 αὐτά. γρ. αὐτά (3). — αὐτ. στίχ. 27 αὐτῶν. γρ. αὐτῶν (4). — σελ. 58, στίχ. 28 δώῃ γρ. δῴη — σελ. 59. στίχ. 7 καὶ 26 δώῃ γρ. δῴη — σελ. 63 στίχ. 22 ἁρπάσαντες γρ. ἁρπάσαντες — σελ. 64 στίχ. 0 οἰκίαις γρ. οἰκίαις, — αὐτ. στίχ. 15 κατηγιρηθῶσ γρ. κατηγορηθῶσι — σελ. 71 στίχ. 20 τοῖς ἀσκητὰς γρ. τοὺς ἀσκητὰς — σελ. 75 στίχ. 24 ὁ γρ. ὁ — σελ. 76 στίχ. 1 προβαλεῖν γρ. προσβαλεῖν — αὐτ. 2 προβαλούσῃ, γρ. προσβαλούσῃ, — σελ. 77 στίχ. 2 νεφριτικῆς γρ. νεφρικῆς — σελ. 82 στίχ. 12 καρδίᾳ. γρ. καρδίᾳ (1). ἐν δὲ Σημ. β'. Κορ. Γ'. 2. — σελ. 99. στίχ. 8 καθότι γρ. καθ' ὅ, τι — σελ. 103 στίχ. 1 ἄνδρες γρ. ἄνδρας — σελ. 104 στίχ. 5 καὶ τὸν εἴ τις γρ. καὶ τὸν, εἴ τις — σελ. 105 στίχ. 1 μετὰ τεσσαρακοστὸν γρ. μετὰ τὸ τεσσαρακοστὸν, — αὐτ. στίχ. 25 σωρηρίῳ γρ. σωτηρίῳ — σελ. 109 στίχ. 20 τούτους, γρ. τούτους — σελ. 110 στίχ. 23 περιέργα. γρ. περίεργα — σελ. 117 στίχ. 15 ἐπάρχου γρ. ἐπάρχου — σελ. 143 στίχ. 33 ἐκκαιδεκάτου γρ. ἑκκαιδεκάτου — σελ. 148 στίχ. 16 ἐπιτιμῶντο γρ. ἐπετιμῶντο — σελ. 152 στίχ. 7 καὶ 8 τῷ ἁρπάσαντι ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, αὐτήν. γρ. τῷ ἁρπάσαντι αὐτήν· ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς — σελ. 154 στίχ. 14 τοῖτο γρ. τοῦτο — σελ. 185 στίχ. 16 γαμηθεῖσαν, γρ. γνωσθεῖσαν, — σελ. 208 στίχ. 13 ἐν μὲν λγ'. γρ. ἐν μὲν τῷ λγ'. — σελ. 302 στίχ. 30 κεχρημένος, εἰς γρ. κεχρημένοις εἰς — σελ. 303 ἐν Ὑποσημ. τὸ, καὶ Ε. παρέλκει. — σελ. 380 στίχ. 8 προφωνεῖ γρ. προσφωνεῖ — σελ. 365 στίχ. 14 χρυσίῳ γρ. χρυσίου — σελ. 428 στίχ. 19 Παρασκευῇ γρ. Τεσσαρακοστῇ — σελ. 600 στίχ. 15 ὡς ὁ ἐπὶ τῶν βρωμάτων γρ. ὡς ἐπὶ τῶν βρωμάτων αὐτ. — 17 ἀπαῤῥησίαστος γρ. εὐπαῤῥησίαστος.

## ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

### ΑΤΤΙΚΗΣ.

| | Σώμ. |
|---|---|
| Ἡ Α. Υ. Ὁ Πρίγκιψ Κ. Μιχαὴλ Σοῦτζος. | 1 |
| Ὁ Κ. Ἄνθιμος, Ἱεροδιάκονος τῆς ἐν Ἀθήναις Ῥωσσικῆς Ἐκκλησίας. | 1 |
| Ὁ Πανοσιώτατος Κ. Δανιὴλ ἡγούμενος τῆς ἱερᾶς μονῆς τῶν Κλειστῶν. | 1 |
| » ὁ σύμβουλος τῆς ἱερᾶς μονῆς Καλολειβαδίου Κ. Συμεών. | 1 |
| » ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς ὁσίου Μελετίου. | 1 |
| » ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς τῶν Ἀσωμάτων Πετράκη Κ. » Νεκτάριος. | 1 |
| » ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς Πεντέλης Κ. Κύριλλος. | 1 |
| » ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς Αἰγίνης Κ. Ἄνθιμος. | 1 |
| » ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς Φανερωμένης ἐν Σαλαμῖνι. | 1 |

### ΝΑΥΠΛΙΑΣ.

| | |
|---|---|
| Ὁ πανοσιώτατος Ἀρχιμανδρίτης Κ. Ι. Κωνσταντινίδης. | 1 |
| Ὁ Κ. Ν. Φλογαΐτης, πρόεδρος τῶν Ἐφετῶν. | 1 |
| Τὸ Γραφεῖον τῶν Ἐφετῶν. | 1 |
| Ὁ Κ. Μιχαὴλ Οἰκονόμου. | 1 |
| Ὁ Κ. Κωνσταντῖνος Πετζάλης. | 1 |
| Ὁ Κ. Χρ. Στ. Ἀντωνόπουλος. | 1 |
| Ὁ Κ. Γρηγ. Νικητάδης. | 1 |
| Ὁ Κ. Πέτρος Μεταξᾶς. | 1 |
| Ὁ Κ. Ἰωάννης Σ. Καλογερόπουλος. | 1 |
| Ὁ Κ. Αδ. Παπαδιαμαντόπουλος. | 1 |
| Ἡ Εἰσαγγελία τῶν Ἐφετῶν. | 1 |
| Ὁ Κ. Α. Βαλλῆς, δικηγόρος. | 1 |

### ΑΙΓΙΑΛΕΙΑΣ.

| | |
|---|---|
| Τὸ κοινὸν τῆς ἱερᾶς μονῆς τῶν Ταξιαρχῶν. | 1 |

### ΓΟΡΤΥΝΙΑΣ.

| | |
|---|---|
| Ὁ πανιερώτατος ἐπίσκοπος Γόρτυνος καὶ Μεγαλοπόλεως Κ. Φιλόθεος. | 1 |

σώμ.

Ὁ πανοσ. ἡγούμενος τῆς ἱερᾶς μονῆς Μπορᾶ Κ. Παγκράτιος. 1
» Ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς Αἰμυαλῶν Κ. Φιλόθεος. 1
» Ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς Κερνίτζας Κ. Προκόπιος. 1

## ΜΕΣΣΗΝΙΑΣ.

Ὁ πανιερώτατος ἅγιος Ἀρχιεπίσκοπος Μεσσηνίας Κ. Προκόπιος. 1
Ἡ ἐν Καλάμαις ἱερὰ μονὴ Βελανιδίας. 1
Ὁ σύμβουλος αὐτῆς Κ. Πανάρετος Ἀγγελόπουλος. 1
Ἡ ἐν Μεσσήνῃ ἱερὰ μονὴ τῆς Ἰθώμης (Βουρκάνου.) 1
Ἡ ἐν Καλάμαις ἱερὰ μονὴ Μαρδακίου. 1
Ὁ Κ. Π. Μπαρλῆς διὰ τὴν Ἐκκλησίαν τοῦ ἁγίου Νικολάου. 1
Ὁ Κ. Θ. Ματζαβάκος, ἐπίτροπος τοῦ ἁγίου Νικολάου. 1
Ὁ Πανοσιώτατος Κ. Γεώργιος Πολίτης, ἱερεὺς καὶ Οἰκονόμος. 1
» Κ. Ἰωάννης ἱερεὺς τῆς Κοιμήσεως τῆς Θεοτόκου. 1
» Κ. Γρηγόριος Ἱερομόναχος Κουλουμάκης. 1
Ὁ Κ. Α. Σπανίδης διὰ τὴν ἐκκλ. Μικρομάνης ἁγίαν Βαρβάραν. 1

## ΦΘΙΩΤΙΔΟΣ.

Ὁ Πανοσιώτατος Κ. Βησαρίων. 1
» Κ. Κωνστάντιος ἡγούμενος Ἀγάθωνης. 1
» Κ. Μακάριος Βαρλαὰμ ἡγούμενος Ἀντινίτζης. 1
» Κ. Καλλίνικος ἱερομόναχος, εἰδικὸς ἐπισκοπικὸς ἐπίτροπος Τυμφρηστοῦ καὶ Σπερχειάδος. 1
» Παπᾶ Ἰωάννης Κωνσταντίνου, ἐκ Τυμφρηστοῦ. 1

## ΟΙΤΥΛΟΥ.

Ὁ Πανιερώτατος ἅγιος ἐπίσκοπος Οἰτύλου Κ. Προκόπιος. 1

## ΣΠΑΡΤΗΣ.

Ὁ Πανιερώτατος ἅγιος Ἀρχιεπίσκοπος Σπάρτης Κ. Διονύσιος. 1
Ὁ πανοσιώτατος πρωτοσύγκελος Κ. Παρθένιος Χρυσικάκης. 1
Ἡ ἱερὰ μονὴ Καστρίου. 1
Ἡ ἱερὰ μονὴ τῶν ἁγίων Ἀναργύρων. 1
Ἡ ἱερὰ μονὴ τῶν ἁγίων Τεσσαράκοντα. 1
Ἡ ἱερὰ μονὴ Ζερμπίτζης. 1
Ἡ ἱερὰ μονὴ τῆς Γώλας. 1

## ΜΗΛΟΥ.

Ὁ Κ. Σ. Γ. Πραγματευτάκης ἔπαρχος Μήλου. 1



## ΑΝΔΡΟΥ.

σώμ.

Ὁ Πανιερώτατος ἅγιος ἐπίσκοπος Ἄνδρου καὶ Κέας Κ. Προκόπιος. 1
Ἡ ἱερὰ μονὴ τῆς Παναχράντου. 1
Ἡ ἱερὰ μονὴ τοῦ ἁγίου Νικολάου. 1
Ἡ ἱερὰ μονὴ τῆς Ζωοδόχου Πηγῆς. 1

## ΑΚΑΡΝΑΝΙΑΣ.

Ὁ Πανιερώτατος ἅγιος Ἀρχιεπίσκοπος Ακαρνανίας καὶ Αἰτωλίας Κ. Θεόφιλος. 1
Ἡ ἱερὰ μονὴ Κατερινοῦς. 1
Ἡ ἱερὰ μονὴ Μυρτιᾶς. 1
Ἡ ἱερὰ μονὴ Παντοκράτορος. 1
Ἡ ἱερὰ μονὴ Ῥόμβου. 1

## ΘΗΡΑΣ.

Ὁ πανιερώτατος ἅγιος ἐπίσκοπος Θήρας. 1
Ἡ ἐν Θήρᾳ ἱερὰ μονὴ τοῦ Προφήτου Ἠλιοῦ. 1
Ἡ ἐν Ἀμοργῷ ἱερὰ μονὴ τῆς Θεοτόκου. 1
Ἡ ἐν Ἀνάφῃ ἱερὰ μονὴ τῆς Θεοτόκου. 1

## ΚΕΡΚΥΡΑΣ.

Ὁ ἱερομόναχος Κ. Σπυρίδων Σκορδίλης. 1
Ὁ Κ. Ῥίκκης. 2

## ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ.

Ὁ Κ. Μελχισεδὲκ, Λαυριώτης καὶ προεδρεύων τῆς ἱερᾶς Κοινότητος. 1
Τὸ κοινὸν τῆς μεγίστης Λαύρας. 1
Ἡ ἱερὰ μονὴ τῶν Ἰβήρων. 1
Ἡ ἱερὰ μονὴ τοῦ Βατοπαιδίου. 1
Ὁ Καθηγούμενος τοῦ ἱεροῦ κοινοβίου Ἐσφιγμένου, Ἀρχιμανδρίτης Κύριος Ἀγαθάγγελος. 1
Τὸ ἱερὸν κοινόβιον τοῦ Ζωγράφου. 1
Τὸ κοινὸν τῆς ἱερᾶς μονῆς τοῦ Δοχειαρείου. 1
Τὸ ἱερὸν Ῥωσσικὸν κοινόβιον. 1
Τὸ κοινὸν τῆς ἱερᾶς μονῆς τοῦ Ξηροποτάμου. 1

Ὁ Καθηγούμενος τοῦ ἱεροῦ κοινοβίου τοῦ ἁγίου Διονυσίου Κ. Εὐλόγιος. σώμ. 1
Ὁ Καθηγούμενος τοῦ ἱεροῦ κοινοβίου τοῦ ἁγίου Παύλου Κ. Σωφρόνιος. 2
Ὁ Κ. Ἰωάσαφ ἱερομόναχος καὶ πνευματικὸς τῆς μεγάλης Λαύρας. 1
Ὁ Πανιερώτατος πρώην Τραϊανουπόλεως Κ. Ἄνθιμος. 1
Ὁ Τυπικάρης τῆς ἁγίας Ἄννης Κ. Ζαχαρίας. 1
Ὁ Πανιερώτατος πρώην Λευτσοῦ Κ. Μελέτιος. 1
Ὁ Πανιερώτατος πρώην Ἀγκύρας Κ. Ἱερόθεος Ῥύσιος. 1
Ὁ ἐξοχώτατος Κ. Ν. Γαρυφαλλίδης ἐξ Ἀρτάκης. 1

## ΤΕΡΓΕΣΤΗΣ.

Ὁ Κ. Ἄγγελος Γιαννικέσης Γενικὸς Πρόξενος τῆς Ἑλλάδος. 2
Ὁ Κ. Διονύσιος Θεριανός. 1

## ΜΟΣΧΑΣ.

Ὁ Κ. Ἀντώνιος Κουμιζόπουλος. 2